
יהוה
INSTITVTIO THEOLOGICA
ANDOVER FVNDATA MDCCCVII.
Ps. CXIX. 169.
כדברך הבינני
JOH. XVII. 17.
ὁ λογος ὁ σος αληθεια εστι
ΑΚΡΟΓΩΝΙ
ΟΥ ΧΡΙΣΤΟΥ

[redacted]

Laudatis hujus Editionis inveniuntur Neue Jenaische Allgem. Literaturzeitung N 165. – 168. 1842, scripta a D. Schulz, ex cujus judicio tamen [illegible] recipienda sunt:

Luc. I. 37. παρὰ τοῦ θεοῦ pro τῷ θεῷ.
— II. 37 ἕως — — ὡς
— — 39 πόλιν — τὴν πόλιν
— V. 13. εἰπών — λέγων
— VI. 3. ὁπότε — ὅτε – ὄντες retinu.
— 22. 3 Σατανᾶς — ὁ Σατανᾶς
— — 32 ἐκλίπῃ — ἐκλείπῃ
Joh. 6: 17. οὐκ — οὔπω

Et alia multa.

# NOVUM TESTAMENTUM GRAECE.

TEXTUM AD FIDEM ANTIQUORUM TESTIUM

RECENSUIT

BREVEM APPARATUM CRITICUM

UNA CUM VARIIS LECTIONIBUS

ELZEVIRIORUM, KNAPPII, SCHOLZII, LACHMANNI

SUBJUNXIT

ARGUMENTA ET LOCOS PARALLELOS

INDICAVIT

COMMENTATIONEM ISAGOGICAM

NOTATIS PROPRIIS LECTIONIBUS

EDD. STEPHANICAE TERTIAE ATQUE MILLIANAE,
MATTHAEIANAE, GRIESBACHIANAE

PRAEMISIT

AENOTH. FRID. CONST. TISCHENDORF
THEOL. LIC. PHIL. DR. SOCIET. HIST. THEOL. LIPS. SODALIS.

LIPSIAE, MDCCCXLI.
SUMPTUS FECIT C. F. KOEHLER.

VIRO

PRAENOBILISSIMO ATQUE PERILLUSTRI

# JOANNI PAULO DE FALKENSTEIN

PHIL. DR. CIRCULI LIPSIENSIS PRAEFECTO ACADEMIAEQUE CURATORI REGIO, ORD. SAX. VIRT. CIVIC. EQUITI

HUMANITATE INGENUA, SINCERA FIDE, PIETATE RARA INSIGNI

DE RE ET CIVILI ET SACRA OPTIME MERENTI

PATRONO SUO PLURIMUM COLENDO

HAEC IN EDENDO LIBRO LIBRORUM POSITA STUDIA VOLUIT SACRA ESSE

AUCTOR.

# PROLEGOMENA.

## I. De recensionibus quas dicunt textus Novi Testamenti, ratione potissimum habita *Scholzii*.

Assiduis virorum doctorum curis in reperiundo vero Novi Testamenti textu positis ineunte seculo decimo octavo Millius, vir incredibili industria, testatus est, lectionum variantium quas vocant numerum explere triginta millia. Quibus in colligendis computandisque quanquam ille quae leviora essent quae graviora, quae dubia quae aperte falsa, parum curasse videtur: tamen jam tum textus sacri varietas petita ex antiquis testibus certe inventa est tanta, ut brevi post Bengelius criticis faceret gratissimum, quod omnes istas lectiones in duas quasi nationes, asiaticam et africanam, discedere diceret. Ita enim et simpliciora fore criticorum studia et certius vel justius judicium spem movit. Nec defuere qui sagacissimi viri insisterent vestigiis. Ac primus quidem Semlerus sententiam ejus tuitus est ita, ut textus graeci recensiones, quod nomen ad significandas testium classes jam inde a Bengelii tempore inter criticos celebratur, saltem duas, quarum altera orientalis sive Lucianea, altera occidentalis, aegyptiaca, palaestinensis, Origeniana apte nuncupari posset, olim exstitisse affirmaret, atque e codicibus

graecis, ex interpretationibus antiquis, e patribus ecclesiasticis certa textus documenta recensioni utrique assignaret.

Quae audacter et ingeniose magis asserta quam probabiliter disposita ac demonstrata ratione et arte excoluit Griesbachius. Existimavit autem tres antiquitus textus Novi Testamenti recensiones institutas esse, quibus occidentalis, alexandrinae sive orientalis, constantinopolitanae sive byzantinae nomina imposuit. Ita quae Bengelio africana et Semlero occidentalis reliquisque signata nominibus fuit, eam Griesbachius in duas, occidentalem et alexandrinam, dispescuit atque quod indolem attinet breviter ita distinxit, ut grammaticum diceret egisse alexandrinum censorem, interpretem occidentalem. Simul autem hoc conjectura assecutus est, ortas esse hasce medio seculo aerae nostrae secundo, eodem tempore quo libri Evangelistarum et Apostolorum *τοῦ εὐαγγελίου* et *τοῦ ἀποστόλου* nomine colligerentur primum, ita quidem ut alexandrina his ipsis collectis superstrueretur et occidentalis niteretur codicibus ante collectionem scriptis; tertiam vero ex prioribus commixtam prodiisse seculo quarto et immutatam novis curis esse seculis duobus iis quae subsecuta sunt. Quam de origine recensionum conjecturam, quippe quae destituta sit et testimoniis veterum et argumentis idoneis, impugnare atque adeo, quod jam evenit identidem, paribus armis depellere facile est, sed non juvat. Unum hoc dixerim, apparuisse tum primum quum institueretur illa librorum Novi Foederis collectio, quanta exemplaribus singulis jam subesset textus varietas, e qua emergendi et ad verum perveniendi studium non posset non incessere. Sed gravius illud est quod Griesbachius primas alexandrini censoris partes in emendanda re grammatica, occidentalis in interpretando fuisse edixit. Ita enim, quum ignoraretur vel negligeretur, quod posteriores censores quae molesta graecis, quae dura, quae falsa viderentur, magis etiam aspernatos esse dixerat, ita, inquam, alexandrinis qui putantur testibus diuturnam virorum doctorum ac piorum invidiam conflavit; quod quam fecerit injuste, post demonstrabo reique gnaris in promtu erit.

Qui autem seculo nostro ineunte notissimus ille Griesbachii adversarius exstitit, **Matthaeius**, totam de recensionibus textus Novi Testamenti sententiam non tam refutavit docte quam ridendo rejecit; quemque singularem in distribuendis codicibus praeivit ordinem [1]), eo ut rei criticae utilitatem attulit, ita nihil fecit ad recensiones quae vocantur aut constituendas aut dissolvendas. Idque sane dolendum est, hominem quae vera ad imminuendam recensionum Griesbachianarum praedicationem sensisse videtur, cavillando obtrectandoque tantopere obscurasse, ut severo causae examini an profuerit quidquam dubium sit.

Contra ratione et via textus sacri documenta inquisivere **Hugius** et **Eichhornius**, quorum ille paullo propius hoc ad Griesbachium accessit. Quae excogitavit fere haec sunt. Exstitit ad medium fere seculum tertium vulgata quaedam librorum sacrorum editio, *κοινὴ ἔκδοσις*, cujus textus etsi singularem prae se ferebat indolem variisque jam a vero discrepabat modis, tamen nullis certis legibus compositus erat. Recensiones autem quae revera sunt comparatas novimus tres, quarum una Hesychii episcopi opera data est Aegyptiis, altera Luciani studiis prodiit in Asia, tertia denique Origeni seni debetur.

Convenit in his inter **Hugium** et **Griesbachium**, tum quod ad rei summam attinet de recensione occidentali, nisi quod rectius ab illo *κοινὴ ἔκδοσις* usurpata videtur, quippe quae ex ipsius Griesbachii sententia si verum quaeris non fuerit recensio; tum vero de recensione alexandrina, quam Hugius magnopere refragante Griesbachio ad Hesychium auctorem retulit, atque de constantinopolitana sive consentiente Griesbachio Lucianea; tum denique de Origeniana, nisi quod Griesbachius ortam illam seculo quinto et sequenti recensionis byzantinae quasi posteriorem partem, quasi secundas curas habuit, eamque ab Origene postquam ea quae habemus jam confecisset opera profectam esse pernegavit.

---

1) Cf. *Ueber die sogenannten Recensionen* etc. 1804. p. 52. Distinxit codices textus continui absque scholiis, lectionaria in usum conventuum parata, codices perpetui textus instructos scholiis, commentariis, catenis.

Eichhornius autem de ea re sic sensit. Varietatem quandam sacri textus ipso primo seculo collectis in Ponto epistolis Paulinis apparuisse atque seculo certe secundo duplicem textus conformationem, pro terrarum per quas in manibus erat diversitate, et asiaticam et africanam, utramque plenam depravationibus sed nulla arte aut lege factam exstitisse. Tertio vero seculo duas vel etiam tres institutas esse textus recensiones, quarum unam alexandrinam ab Hesychio, alteram byzantinam sive asiaticam a Luciano originem duxisse probabile sit, atque tertia ex his non uno modo conflata quorum potissimum studiis debeatur lateat.

Quae si judicantur integre, haec fere inter Griesbachium et Eichhornium ratio intercedit. Ipso primo seculo perturbatam esse textus veritatem et consensionem, Griesbachius quum non negaverit, tum concedere eo videtur coactus quod jam altero seculo textui corrupto manum emendatorum accessisse censuit. Deinde quem Eichhornius textum secundi seculi asiaticum et africanum perhibuit, is cum Griesbachii occidentali conferendus est. Ut ille enim neutrum arti et consilio deberi opinatus est, ita hic occidentalem voluit esse Hugii κοινὴν ἔκδοσιν et communem quasi recensionum sequentium patriam. Qua quidem re Griesbachius deflexit aliquantulum a sua ipsius sententia; id quod Eichhornius, magnopere ab illo se dissentire praedicans, parum perspexisse videtur. [2]) In reliquis autem facile patet quam conveniant, nisi quod Eichhornius magis favet dubiis istorum auctorum nominibus et quod serius illo provenisse alexandrinam recensionem statuit.

Quibus omnibus breviter ut animus erat expositis hoc intelligi puto, non adeo diversas esse gravium horum criticorum rationes in existimandis textus Novi Testamenti recensionibus.

De auctoribus quidem ubi quaeritur, unus altero in conjiciendo audacior est. Qua in re quum unius fere Hieronymi amb-

---

[2]) Cf. Eichhorn: *Einleitung in das N. T.* t. IV, p. 260 sqq. et Griesbachii *commentar. critic.* P. II, p. XXXXIII. sqq.

igne satis testimonio nitantur [3]), certi quidquam sciri negandum est, poteritque facile conjecturis supersederi, quum ad verum artis criticae usum tantum non nihil faciant.

Nec longe aliter de tempore statuendum est quo prodiisse recensiones proprie sic dictae creduntur. Ex quo enim primum

---

[3]) Cf. Hieronym. *adv. Ruffin.* lib. II. c. 27. Ibi tradit de tribus celeberrimis Septuaginta interpretum recensionibus, profectis illis ab Hesychio probato Alexandriae et Aegypto, a Luciano Antiochenis accepto, ab Origene, cujus codices, quemadmodum etiam evangelium palaestinense in scholiis commemoratur, palaestinenses nuncupat et vulgatos ab Eusebio atque Pamphilo dicit. His addit, totum orbem hac inter se trifaria varietate compugnare. In ea autem quae est ad Damasum epistola haec de Novo Testamento disserit: *Hoc certe cum in nostro sermone discordat et in diversos rivulorum tramites ducit uno de fonte quaerendum. Praetermitto eos codices quos a Luciano et Hesychio nuncupatos paucorum hominum asserit perversa contentio, quibus utique nec in toto veteri instrumento post septuaginta interpretes emendare quid licuit nec in novo profuit emendasse, cum multarum gentium linguis scriptura ante translata doceat falsa esse quae addita sunt.* Ad quae extrema Eichhornius l. l. p. 279. conjicit, Hieronymum scripsisse *mutata*, non *addita*, quum Hesychii quidem recensio non in addendo videatur versata esse. Luciani vero circa libros Novi Foederis studia denuo tangit Hieronym. *de vir. illustr.* c. 77. ubi ait: *Lucianus tantum in scripturarum studio laboravit, ut usque nunc quaedam exemplaria scripturarum Lucianea nuncupentur.* Atque ejus de duumviris testimonio accedit Gelasii decretum (cf. *Decret. P. I. distinct.* XV. §. 27.), quod sic se habet: *Evangelia quae falsavit Lucianus apocrypha; evangelia quae falsavit Hesychius apocrypha.* Itaque sane dubitari nequit, collocasse eos operam in Novi quoque Testamenti textu ad certam legem constituendo; sed parum probatur, eorum studia magnam vim habuisse ad eam quae nunc est textus sacri variam et multiplicem conditionem. Origenianam autem quod attinet Novi Testamenti recensionem, Hieronymus quamvis saepe ad praeclara Adamantii et Pierii exemplaria provocet, nihil exponit accuratius; videturque id ipsum quod dicit: *Adamantii et Pierii exemplaria*, potius horum manu scripta quam singulares textus conformationes significare. Neque magis ipse Origenes de Origeniana recensione conjecturam commendat in *comm. in Matth.* tom. XV. 14. (*de la Rue* t. III. p. 671.) Conquestus enim vehementer corruptum Novi Testamenti textum, se in Vetere quidem emendando elaborasse asserit, sed nihil addit de Novo. Quae vero ad eundem locum in antiqua interpretatione latina leguntur: *In exemplaribus autem Novi Testamenti hoc ipsum me posse facere sine periculo non putavi:* ea ab ipsius interpretis conjectura eaque probabili profecta esse persuasum habeo.

patres lectionum testimonium dant, testantur textus sacri varietatem; ii vero ante seculum fere quartum nullius constanter recensionis vestigia sequuntur, propereaque plurimi occidentalis recensionis, κοινῆς ἐκδόσεως, testes existimantur. Atque eadem vetustissimarum interpretationum conditio est, quam ob causam in documentis ejusdem classis ponenda videbantur Syriaca Peschito, Aegyptiacae, Latinae antehieronymianae. Codicum autem graecorum qui aetatem tulerunt ad hanc antiquitatem pertinet nullus; quique e superstitibus iisdem de quibus agimus adduntur testibus, pro textus quem referunt indole eo loco habentur.

Praeterea in definienda natura singularum recensionum et in distribuendis illustrandisque ipsis testibus nihil est quo illi magnopere inter se differant. Sed utraque de re accuratius infra videbitur. Tum negant omnes, codices versiones patres ab una alterave classe stantes, quales ad nos pervenerunt, integrum suarum recensionum ingenium servasse. Denique, idque quod sentiam summa res est, in eo consentiunt, ubi agatur de textu ad pristinam veritatem revocando majore quam ceteros vi atque auctoritate esse testes varii generis antiquissimos, h. e., ut negando affirmem, eos qui non ad byzantinam sive asiaticam recensionem trahuntur.

Jamvero inter eruditos constat, fere solius hujus classis exemplaribus nec ita multis superstructum esse textum editionis quae usurpari solet receptae. Ab hac igitur verum quaesituris saepissime recedendum esse probatum est, nisi, opinor, in magno errore versati sunt illi qui artem criticam cum acumine ingenii pariter atque cum studii assiduitate professi sunt.

Attamen non deest qui a tota hac ratione dissentiat maxime. Scholzium dico, theologum Bonnensem eumque catholicum. Quod miror. Quem enim Roma a remotissimis inde temporibus ad hunc usque diem probavit sancivitque librorum Novi Testamenti textum, eum Scholzius qua egregia est animi ingenuitate, modo ne semet deserat, locis sexcentis improbat. Sed id sine ira et invidia dixerim. Videamus quod res est.[4])

---

[4]) Sequar prae iis quae in *Curis criticis in histor. textus evangeliorum*

Duas ille vult esse antiquorum Novi Testamenti testium classes, alteram constantinopolitanam sive asiaticam, alteram alexandrinam sive africanam.[5]) Has post duo priora secula[6]) exstitisse ac distinguendas esse ita, ut africana textum exhibuerit corruptum et talibus potissimum auctum lectionibus quales maxime a grammaticis alexandrinis exspectamus (*Prolegg*. t. I. p. CLXIV. lin. 4.), asiatica vero textum servaverit integrum quanquam non carentem librariorum vitiis (p. CLXVIII. lin. extrema et p. CLXIX. lin. 1.). Quae simpliciter, plane, certo asserta his ille circumscribit finibus, ut utrumque codicum genus haud raro ex eodem fonte v. g. ex itacismo eadem vitia petiisse concedat, tamen sine ulla dubitatione illud confirmet, textum constantinopolitanum genuino propius accedere quam alexandrinum, illumque semper fere nobis referre textum eum quem auctores ipsi scripsere (p. CLXVI. lin. 21.); ut in utroque genere inde a seculo quarto quintove pauca in Oriente immutata dicat sed plurima corrupta in Occidente (p. CLXIX. lin. 15.); ut eam quidem deponendam ducat spem vulgati illius textus in asiaticis codicibus trium priorum seculorum inveniendi (p. CLXV. lin. 2.), tamen in codicibus constantinopolitanis superstitibus fiduciam se multam ponere meritoque credere profiteatur, eos esse apographa veterum accurata (p. CLXIV. lin. 27.).

Quae antequam aggrediar, improbo quod vir doctissimus modo trium modo duorum priorum seculorum virtutem in con-

---

Heidelb. 1820. 4. et in *Biblischkrit. Reise* etc. 1823. p. 163—187. super hac re disputavit, prolegomena ejus in editione N. T. tom. I. 1830. tom. II. 1836.

[5]) Has classes etiam sic distinguit Scholzius, ut priorem orientalem, posteriorem occidentalem dicat. Quod pro arbitrio fit et potest falsum videri. Contra enim Lachmannus quem ex alexandrinis testibus constituit textum, orientalem vocavit, atque Griesbachius quoque alexandrinam recensionem etiam orientalem nuncupavit. Sed secutus sum in ea re Scholzium, et noto, oriente significari Asiam minorem et Graeciam, omnes reliquos plerumque alexandrinorum, africanorum, occidentalium nomine comprehendi.

[6]) Agit enim capite primo Prolegomenorum de libris Novi Testamenti primo et secundo seculo integre servatis.

servanda textus integritate conspicuam laudat. Quod enim de duobus dicit, id ad universos codices spectat; ubi idem ad tria transfert, ex ipsius sententia nonnisi ad asiaticos codices attendere licet. Neque hoc intelligo, cur quum quarto quintove seculo etiam in Oriente pauca immutata, ut modeste loquitur, ponat, tertium eodem plane cum prioribus loco habeat. Sed id esto; quid sibi velit vir doctissimus, in promtu est; par est enim intelligere velle. Illam, ut refert ipse [7]), habet semperque habiturus est gloriam, qua primus doctus fortisque textus asiatici exstitisse patronus perhibetur .... nisi forte de principatu contendit cum Matthaeio, cujus studia eundem certe eventum habuere. Sed gravis res est summisque digna laboribus. Illorum virorum scripta sanctissimorum, quae ingenti obruta conspiciuntur lectionum variantium mole, ratione quam maxime probabili ad integritatem reduci, quum uniuscujusque qui Christo nomen dedit, tum theologorum, qui sunt quos esse se profitentur, magnopere quod sentiam interest. Quod quidem rite fieri posse nego, quin quam auctoritatem in restituendo textu habeant codicum classes intelligatur ac demonstretur.

Ut sint igitur, quod ponitur a Scholzio nec admodum, ut videtur, a ceterorum rationibus discrepat, duae potissimum antiquorum N. Testamenti documentorum classes: utra praestet quaeritur. In eo quidem supra dixi convenisse inter Griesbachium, Hugium, Eichhornium, testes antiquissimos, quos Scholzius uno nomine africanos sive alexandrinos nuncupat, praestare testibus ejus asiaticis; sed ille contrariam rationem sequitur atque adeo sustinet nuperrime [8]) ut fere dixerit, solam novitatis gratiam eos in errorem induxisse qui codices alexandrinos defenderunt. Quod si verum est: tum ipse eo quem constitui virisque doctis

---

[7]) Cf. N. T. tom. II. *prolegg.* p. II. ubi verba prof. Celerier citat haec: Mons. Sch. aura toujours la gloire d'avoir le premier solidement établi la grande prééminence du texte asiatique sur l'africain, dont les résultats s'élèvent plus haut que la critique et qui occupent presqu'une place parmi les garanties de la religion. cf. *introduction au N. T.* p. 107 sq. et *Bibl. univers. Decembr.* 1823.

[8]) Cf. N. T. tom. II. 1836. *prolegg.* p. II. in nota.

tradidi Novi Testamenti textu a vero procul aberravi, tum multi aetatis nostrae critici male ac frustra laborant. Quocirca omnia argumenta, quibus ille ad probandam sententiam suam usus est, examinando atque, siquidem jure fieri poterit, refutando facturus mihi videor operae pretium. Quibus rite confectis facile dictu erit, quid tota de recensionibus quaestio valeat ad adjuvanda et moderanda studia Novi Testamenti critica.

Sunt autem tres potissimum partes disputationis qua ille absolvit rem suam. Primum enim probat, duobus prioribus post Chr. seculis textus integritatem nisi forte in rebus levissimis non turbatam esse; tum ostendit, codices classis constantinopolitanae superstites eadem fere qua codices secundi seculi virtute praeditos recte putari; denique ab iis ipsis quae inveniuntur in codicibus textus depravationibus, ab indole utriusque classis codicum, a rationibus quas plerumque vocant internis causae suae commendationem petit. Quae sequar singula.

## I. [9])

Probaturus id quod primo loco retuli pietate quadam provocat ad eam veterum opinionem, qua singulari providentiae divinae cura libri sacri custoditi sunt. Nolim equidem videri impius; istud vero in re nostra a viro docto inepte affertur. Nonne eodem modo Latinarum interpretationum inprimisque ejus quae vulgatae nomen habet poterit causa dici? At eas vero putat ille a seculorum primorum sinceritate vel maxime recessisse. Si singulare illud et grave Dei beneficium primorum seculorum hominibus contigit, nonne etiam atque etiam mirum est, ejus partem cum magno rerum sacrarum detrimento nullam unquam habuisse gentes longe plurimas, in quarum linguas graeca conversa sunt? Talia argumenta concedenda erunt iis, qui ubi agendum est atque videndum, malunt otiari et credere, qui examini difficili obtendunt securam fidem, qui, ut Apostoli verbis utar, *ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.* Sed haec ego, ut

9) Cf. ad hanc partem Scholzii *Prolegomena ad N. T.* tom. I. a §. 1. usque §. 8.

decebat, silentio praetereunda putassem, nisi essent profecto multi, qui similiter omnem rem criticam quippe ignorantes odio habent atque despiciunt.

Progreditur autem sua via Scholzius asserens, non perinde fuisse primis christianis, quamnam doctrinam s. veram e scriptis genuinis s. falsam e corruptis collectam profiterentur. Quae addit, reverentiam erga libros sacros decursu temporis non diminutam sed maximopere auctam esse, ea contra ipsum dicta sunt. Nimirum ubi agitur de defendenda seculorum primorum in puris tuendis exemplaribus cura, nihil potest probandi vim habere nisi quod ejus aetatis rationem diversam fuisse a sequenti aetate doceat. Atvero Scholzius ut seculo tertio quarto quinto reverentiam erga libros sacros non diminutam sed maximopere auctam asserit, ita his seculis textum sacrum multifariam corruptum concedit. Hinc patet, hoc illum finxisse argumentum, nisi si scripturam sacram apud orientales in summo habitam honore, ab occidentalibus neglectam, illos pios, hos impios fuisse invita historia contenderit.

Atque ad eandem normam exigenda sunt quae sequuntur. Postquam enim rejecit conjecturam quae ab ipsis scriptoribus libros sacros festinationis plenos ponit retractatos, studio correctorum, qui *οἱ ἀντιβάλλοντες, οἱ δοκιμάζοντες* vocabantur Graecis, existimat provisum esse, ne quae primi librarii male scripsissent foras darentur textusque integritati revera officerent. At enim testatur, ne videamur conjicere, idem ad quem Scholzius provocat Fontaninius[10]), etiam seculo quinto illustrium virorum lucubrationes per librarios non edi solitas esse nisi a viris in dignitate constitutis ante recognitas et emendatas. Deinde ad alterum quem Scholzius citat locum[11]) inter alia similia notatur Cic. *ad Quintum fratr.* l. III. ep. 5. in f. ubi est: *De latinis libris quo me vertam nescio; ita mendose et scribuntur et veneunt.* De latinis autem quae tradita sunt, non possunt

---

10) Cf. *De antiquit. hort.* lib. II. c. III. p. 86.

11) Henr. Valesius *de critica* l. I. c. 34. p. 179. et Pet. Burmann. in notis ad h. l.

abhorrere a graecis. Et singularem fuisse primorum christianorum sive correctorum sive librariorum artem, eo minus est verisimile, quum pietate excellentes, quorum tum maxime interesse debebat, vel suum habere literarum sacrarum exemplum vel eo consulere coetui, non iidem semper excelluerint doctrina. Equidem sic crediderim, nobiles istos correctores, quorum maxime studia ubi de corruptis exemplaribus exponit Origenes spectare videtur [12]), ut tertio seculo ita antea pro mala quadam sedulitate in depravandis libris sacris primarias partes habuisse; nec id vero in solos cadere alexandrinos, quum plane fingas, ea in re nobiles orientales aliter atque alexandrinos nobiles versatos esse. Sed hoc est de quo sentire atque opinari queas multa iisque multis certi definire nihil. Unum certum, idque quaerimus, illud est, ab hac quidem parte Scholzium causam suam defendisse frustra.

Nec plus iis proficit quae de more libros sacros in tabulariis et bibliothecis, in templis et porticubus servandi disserit; quo loco refert, semet in ecclesiis sectarum Orientis omnium ipsis pauperrimis libros saltem aliquos reperisse in tabulis servatos. Quod enim dicit, tantum abest ut prima duo secula commendet prae ceteris, ut post demum in communem consuetudinem abiisse videatur. Certe templa, de quibus mentionem facit, tum nondum erant christianis coetibus. Verisimile est autem, recitaturis et explicaturis in conventu, quo diligentius id praepararent rectiusque perficerent, semper patuisse libros sacros. Inde et in legentium et in audientium usum ortas esse notas varii generis, post describentium manu modo apte et cum consilio, modo temere et confuse ipsis verbis contextis illatas esse: si quis conjicit, prudenter conjicit. Clandestinis enimvero artibus depravata esse exemplaria, unde mira nostri textus fluxerit varietas, quis tandem opinatus est?

Porro Scholzius effecturus, primorum ecclesiae doctorum

---

12) Cf. Opp. ed. *de la Rue* tom. III. p. 671. ubi haec leguntur: *πολλὴ γέγονεν ἡ τῶν ἀντιγράφων διαφορά, εἴτε ἀπὸ ῥαθυμίας τινῶν γραφέων, εἴτε ἀπὸ τόλμης τινῶν μοχθηρᾶς τῆς διορθώσεως τῶν γραφομένων, εἴτε καὶ ἀπὸ τῶν τὰ ἑαυτοῖς δοκοῦντα ἐν τῇ διορθώσει προστιθέντων ἢ ἀφαιρούντων.*

diligentiam in accuratorum exemplarium cura conspicuam fuisse, postquam praedicavit quot et quales prima secula et scholas et viros vidissent, Clementem Romanum, Ignatium, Papiam, Pinetum, Hegesippum, Seniores apud Irenaeum, Polycarpum, Barnabam magnae erga libros sacros reverentiae testes excitat. Quae enim ab his ad verbum inde citata legimus, ea genuini textus speciem saepe prae se ferre.

Quod vult vir doctus, persuadebit ignorantibus. Etenim si accuratissime verba sacra afferrent illi, tum sane probaretur singularis quaedam literae scriptae veneratio. Sed ea non fuit viris plenis spiritu ipsorumque Apostolorum diu fructi commercio. Accedit quod et paucissima exhibent testimonia et in his ipsis vestigia textus leviter servati insunt. Ita prorsus non video quid ad rem Pinetus faciat, qui triginta fere quae supersunt verbis vel ad 1 Cor. 3, 2. vel ad Hebr. 5, 12. 13. allusisse videtur. De reliquis plura infra proferam. Addit vero etiam Scholzius testibus suis Justinum Martyrem, quem locis multis ad evangeliorum nostrorum, inprimis Matthaei, orationem contextam tam prope accedere ait, ut vel eadem fere eorum verba expressa apud eum legantur, vel paucae tantum voces seu prorsus omissae seu cum aliis permutatae seu inter se transpositae reperiantur. Quae omnia quem fugit obesse Scholzio? Tria igitur et quidem usitatissima lectionum variantium i. e. depravatarum genera apud Justinum obvia refert nec tamen ullius momenti facit. Sed de his quoque uberius disserendi infra locus erit.

Deinde quod proponit Scholzius, videbitur probabilius. Dissidiis ait de doctrina ortis orthodoxos atque haereticos pro re sua cum gravitate laudasse N. Ti verba et hos quidem ab illis, non item illos ab his corrupti textus accusatos esse.

Praetereo quod Irenaeum adversus adulterantes τὸν ὑγιῆ τῆς ἐκκλησίας θεσμόν scripsisse et priscos illos sanctissimos viros ab Eusebio commendari pulcherrimum exactissimae diligentiae exemplum refert. Non possunt enim quae Eusebius in universum et cum pietate dicit, in re nostra ullam argumenti vim habere, praesertim quum de vera doctrina patres illos nihil abstulisse aut mala arte detorsisse, salva hac tota disputatione

omnino concedendum concessumque sit; Irenaei autem ipsius exemplaria ab ea de qua agitur textus depravatione libera fuisse, ne Scholzius quidem tenet [13]). Unde una intelligitur, aut aliam illorum hominum de textus integritate sententiam fuisse atque curam, aut eos studiis criticis, quemadmodum nunc coluntur, minime excelluisse. Certe hoc patet, Irenaeum ista contra haereticos disputantem nihil spectasse ejusmodi quod vel inscitia vel inepta pietate vel bono officiosoque animo sacro textui inferretur.

Nihilominus id quidem grave videtur, quod haeretici in accusandis piis haud parci illi nunquam dicuntur textum corruptum orthodoxis dedisse crimini, quamvis ejusdem ipsi accusati reperiantur. At illi vero ut quaelibet sua defenderent placita, tum non reformidabant de ipsorum Novi Testamenti scriptorum auctoritate audacter detrahere, tum interpretando maxime errare orthodoxos ostendebant. Id quod satis notum est. Facile igitur ista criminatione supersedere poterant. Ac tamen quaeritur an ea prorsus abstinuerint. Etenim Augustinus quidem, ut uno certe teste utar, *contra Faustum* lib. XXXII. c. 16. haec habet: *Evangelium falsatum esse vos dicitis. Quis ergo testem suum prius ipse dicat falsitate esse corruptum et tunc producat ad testimonium?* Deinde ait: *Ea de iis codicibus profertis quos dicitis infalsatos.* His quid tandem aliud vult quam haereticos orthodoxis libros depravatos objecisse? An vero potuere in re controversa suorum codicum defendere integritatem et adversariorum codices non in suspicionem vocare?

Sed quam male istud argumentum Scholzii habeat, denique perspicitur ex iis locis quos corrupisse haereticos orthodoxi perhibuere et quos summa industria collegisse nobisque servasse scriptores catholicos dicit Scholzius. Namque in iis sunt, tum de quorum sincera lectione boni illi maxime falsi videntur, tum quos singulari quidem sed pari cum patribus aliisque testibus modo exhibuerunt haeretici. Ita Tertullianus (*de carne Christi* 19.) Jo. 1, 13. legendum esse censet, quemadmodum ter

[13]) Cf. N. T. tom. I. *Prolegg.* p. VIII.

etiam legit Irenaeus, ὅς et ἐγεννήθη, οἵ et ἐγεννήθησαν lectionem, quam huc usque quod sciam in textu retinuimus omnes, Valentinianorum fraudem esse confirmans. Quod quum hos non refutasse legamus, an putemus concessisse? Idem (*adv. Marcion.* 5, 3.) Gal. 2, 5. *οἷς οὐδέ* a Marcione textui illatum idque omittendum ducit. Facit hoc autem, quanquam assentiunt Latini multi, invitis testibus graecis praeter D* omnibus, necdum hodie a quopiam *οἷς οὐδέ* verba e graecis expulsa sunt. Porro Irenaeus narrat, Matth. 11, 27. Valentinum *ἔγνω* pro *ἐπιγινώσκει* scripsisse. Idem vero apud Justinum Martyrem (*Apol.* II. p. 95. ed. Thalem. 1755.) occurrit. Simul Irenaeus simpliciter refert, in Valentini textu fuisse *ἀποκαλύψῃ*. Apud nos est *βούληται ἀποκαλύψαι*. Illud idem vero apud ipsum Irenaeum semel, apud Justinum Martyrem bis, apud Clementem sexies, apud Origenem quater et apud Tertullianum legitur. Cujus generis nolo plura afferre, sed in promtu sunt. Si quis vult igitur, etiamnum poterit haereticorum nomine Irenaeo, Tertulliano, quos modo certe erroris convicimus, par pari respondere. Videntur scilicet haeretici propter eandem illam, quae tum jam inveniebatur, lectionum varietatem licenter textum ad usus suos conformasse; apologetae vero, quo pio ardore erant, non dubitarunt simul communia codicum vitia iis dare crimini. Sic enim clarum fit, tum cur, ut Scholzius quoque notat, pleraque quae mutasse isti arguebantur tantum non nullius momenti fuerint, tum qui fieri potuerit, ut suspectas istorum lectiones etiam patres adsciscerent.

Novum autem argumentum Scholzius petit a nonnullis scriptoribus ecclesiasticis seculi potissimum quarti, quos in eadem cum ipso sententia fuisse prodit. Citat prae ceteris Augustinum, qui *contra Faustum* (lib. XXXII. c. 16.) in universum vetustiorum codicum veritatem praedicat, et Ambrosium, in cujus *comment. in epist. ad Rom.* c. V. v. 14. haec leguntur: *Constat autem quosdam Latinos porro olim de veteribus graecis translatos codicibus, quos incorruptos simplicitas temporum servavit et probat; postquam autem a concordia animis dissidentibus et haereticis perturbantibus torquere quaestiones coeperunt, multa immutata sunt ad sensum humanum.* Quae

Scholzius egregia quadam illustrandi arte sic proponit: *Olim* (secundo seculo). Magni vero haec testimonia facit eaque demiratur criticorum silentio obruta. Atvero quid, quaeso, in tali re magis usu venit quam laudare vetera eorumque queri jacturam? Nonne etiam debebant antiquissima putari verissima? Ac videamus subtilius paulo Ambrosium. Ea ipsa lectio, quam praedicatis codicibus antiquis et Tertulliano, Victorino, Cypriano excitatis testibus comprobat, admodum suspecta nec ulli criticorum nostrorum, ne Scholzio quidem recepta est. Vult enim Rom. 5, 14. *ἐπὶ τοὺς ἁμαρτήσαντας* omisso *μὴ* legi. Itaque plane in Scholzium cadit Augustini illud contra Faustum: *Quis testem suum prius ipse dicat falsitatate esse corruptum et tunc producat ad testimonium?* Et vero temere suisque partibus perperam consulens subjungit, in tanta literarum jactura nullo modo ostendi posse, ne satis quidem suspicari licere, quae genuina harum versionum — ut enim latina, ita aliarum linguarum vetustissima librorum sacrorum exemplaria a patribus laudata accepimus — conditio fuerit. Quidni enim quae sine dubio antiquissima in versione Itala et apud primos celeberrimosque ecclesiae Latinae patres atque etiam in versione Syriaca secundi, ut putant, seculi aliisque ejusmodi documentis reliqua sunt textus vestigia, pro vestigiis veri et integri textus cauti critici habemus? Ut illustres obscura, utare apertis oportet; quibus si uteris recte, habebis probabilia. Id vero si negatur, neganda erit quaevis in re gravi ad antiqua deperdita provocandi ratio. Sed Scholzius quidem, ne suam ipse opinionem dissolveret, non poterat non in illum modum disputare, quum interpretationes antiquissimas ab asiaticis quos in deliciis habet codicibus graecis mirum quantum discrepare vidisset.

Porro Scholzius ab *ἀκρισίας* suspicione doctores antiquitatis liberare studet. Quod frustra fit. Id ipsa ea quae jam attuli veterum de lectionibus judicia testantur. Quibus addam pauca.

1 Thess. 2, 7. *ἐγενήθημεν νήπιοι*, quod perperam ex *ἐγενήθημεν ἤπιοι* ortum esse facillimum visu est, habent Clem. ms. Or. diserte, Cyr., Damasc., Or. int., Ambrst.

2 Cor. 5, 10. pro *τὰ διὰ τοῦ σώματος* legunt *τὰ ἴδια τ. σ.* patres multi et latini et graeci; imo utrumque quamvis satis sit ab altero alterum diversum, variis locis Origenes sequitur.

1 Cor. 10, 9. dubium est, scripseritne Paulus *τὸν κύριον*, an *τὸν Χριστόν*, an *τὸν θεόν*. Et Epiphanius quidem *τὸν Χριστόν* a Marcione profectum esse censet, quanquam etiam Theodoto, Senioribus apud Irenaeum aliisque multis probatum est atque etiamnum cum gravitate defenditur a Scholzio [14]).

Id genus multa sunt. Maxime vero in negligentiae criticae crimen veteres eo incurrunt, quod absque falsi suspicione aut dubii mentione locos eosque graves diverso modo citant. Quod si quis memoriter factum putat, idem negligenter factum concedit. Nec talia omnia vel plurima describentibus edentibusve veterum opera crimini dari possunt. Sed liceat mihi unum modo et singulare quidem in quod incidi critices male praetermissae exemplum addere.

Epiphanius refert [15]), Ptolemaeum in epistola ad Floram locum Matthaei 15, 16. ita scripsisse: *καὶ ἠκυρώσατε τὸν νόμον τοῦ θεοῦ διὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ὑμῶν.* In his ille *τὸν νόμον*, quemadmodum etiam C aliique codices graeci habent, pro vulgari *τὴν ἐντολήν* vel potius pro *τὸν λόγον* dedit neque tamen ab Epiphanio falsi convincitur; tum vero pro *ὑμῶν* simplici *τῶν πρεσβυτέρων ὑμῶν* finxit. Id quod Ptolemaeo, ponenti trifariam divisam esse legem, magni momenti fuit. Nihilominus Epiphanius quamvis refutet Ptolemaeum, negans ejus rei afferri posse testimonium in scripturis expressum, *quum nusquam in lege tradita illa a senioribus decreta memorentur*, ne vidit quidem vel certe non curavit, quod prudenter iste Novi Testamenti verbis contextis intulerat.

Sed Scholzius orientalium et occidentalium in hac re diversam rationem fuisse contendit. Apud illos non fuisse similem atque apud hos textus varietatem: deesse enim testimonia

---

14) Cf. *Biblisch kritische Reise:* p. 182.

15) Cf. *adv. haeres.* lib. I. tom. II. p. 218. ed. *Petav.*

qualia dederint Clemens, Origenes et alii alexandrini[16]). Qui vero de codicibus corruptis locuti sunt, eos respexisse aegyptiacos extra omnem controversiae aleam positum esse. (*Prolegg.* p. CLXIV. lin. 11.) At quum non assequar, cur Chrysostomi presbyteri antiocheni et episcopi constantinopolitani testimonium non ad constantinopolitanos codices spectaverit, tum nescio quid tandem, ut ne ultra quartum seculum progrediar, faciam Basilio M. caesareensi, Cyrillo hierosolymitano, Epiphanio palaestinensi et Constantiae in insula Cypri episcopo, de quo modo vidimus plura, Eusebio caesareensi, Theodoro mopsvesteno, Gregorio nazianzeno, Gregorio nysseno aliisque, quorum libros testes ingentis varietatis textus ejus qui orientalibus in manibus erat habemus locupletissimos. Hi quippe non conquesti codices depravatos textu usi sunt integro vel certe optimo? Strenui fuere critici? Si quis corruptos conqueritur codices, spectat ad aegyptiacos quamvis nullo id modo significet? Huc sane quadrat Ciceronis illud: Quicquid horum attigeris, ulcus est.

Restat unum quo Scholzius textus sacri integritatem duobus primis seculis servatam probare studet. Eadem qua priora probandi vi pollet. Dicit enim, quum concedat, Clementem alex., Irenaeum aliosque alexandrinos et occidentales textum integrum ante oculos non habuisse, se negare et pernegare, Justinum Martyrem, Syrum interpretem aliosque Asiae minoris et Europae orientalis scriptores textu eodem corrupto usos esse. Hoc ut ostendat, nihil habet nisi quod quae citant patres primi, memoriter citata et dictis librorum apocryphorum vel traditionibus pro arbitrio aucta existimat atque inde concludi vetat varietatem textus. Quod si datur, una hoc dandum

---

16) Non animadversum videtur quod etiam Irenaeus V, 30., ubi de Apoc. 13, 18. disputat, diversam fuisse auctoritatem codicum significat. Provocat enim ad antiquas et probatissimas scripturas, sive referente Euseb. h. eccl. V, 8. ad τὰ σπουδαῖα καὶ ἀρχαῖα ἀντίγραφα. Praeterea dubium est, an quod Dionysius Corinth. citante Eusebio h. eccl. IV, 23. de depravatis libris sacris dicit, tantummodo spectet ad haereticos. Cf. Scholz: *Biblisch kritische Reise* p. 173.

est, ex citatis illis ad illustrandam textus historiam omnino nihil posse confici. Id ipsum vero non vult Scholzius; alioquin quod dicit non re sed conjectura assecutum se fatetur. Neque nos volumus. Non est enim adeo difficile distinguere, quae peccaverit memoria, quae suggesserit arbitrium, quae codex suppeditaverit. Relinquantur in medio suspecta atque dubia; erunt quae circumspectis criticis habeantur pro certis. Ita non video, cur eaedem lectiones in codicibus graecis, in interpretationibus, apud scriptores seculi tertii, quarti, quinti obviae ex alio plane genere sint apud patres secundi seculi. Non ignoro equidem, esse qui dicant, ex ipsis patribus talia illata esse codicibus. Hoc accidere potuit et accidisse scimus, ubi patrum aliquis de loci lectione diserte disputavit vel praeclaram aliquam ejus proposuit explicationem. Moneo tantum de *Βηθαβαρᾶ* et de *Γεργεσηνῶν* lectionibus quae deberi videntur Origeni. Sin vero in universum ad eam legem lectionum momenta exegeris, contortulis conclusionibus tibi tuis conficies textus historiam et confundes omnia. Aliud illud est quod in describendis veterum commentariis longiorem potissimum verborum textus seriem ad codicum suorum rationem interdum exhibuisse videntur librarii; unde factum est, ut aliud agnosceretur in textu, aliud in commentario. Sed id non cadit in scriptores seculorum duorum priorum, quos ejusmodi commentarios non reliquisse constat.

Jamvero de Justino quidem nolo fusius explicare. Namque post Eichhornium et Hugium, cujus egregiam subtilitatem didicisset vellem is de quo haec scripta sunt discipulus, luculenter in commentatione sua Winerus, V. S. Venerabilis, exposuit ac probavit, in solis Matthaeo et Luca Justinum plus vicies cum variis testibus contra textum quem vocitant receptum facere et quidem saepe sic ut non veri speciem prae se ferat. [17])

---

[17]) Cf. *Justinum Martyrem evangeliis canonicis usum fuisse ostendit* G. Bd. Winer etc. in *Commentationibus theol. edid. Rosenmueller, Fuldner et Maurer.* T. I. P. 1. p. 221 sqq. Ibi p. 243 sqq. locos Justini cum Griesbachii apparatu N. Ti critico collatos habes. Denuo similiter

De Syro autem quod Scholzius sentit, tum ad ingentem textus varietatem judicetur, quae e Syriaca Peschito ab omnibus ejus rei peritis maxime contra textum receptum unaque contra codices asiaticos laudatur, tum ad ea quae Griesbachius, Hugius, Eichhornius, e recentioribus Winerus, Rueckertus, Loehleinius super ejus versionis indòle disputarunt. Tres priores illi qui maxime recensionum in ea re rationem habuerunt, utut discesserunt, in eo convenere, Syrum non esse e testibus Scholzii asiaticis [18]). Quod quidem perlustratis apparatibus quibuscunque Novi Testamenti criticis quisque intelliget. Non ignoro equidem, Scholzium [19]) ipsorum horum apparatuum, suo non excluso, imminuisse fidem. Sed ut concedendum erit, in errorem saepe incidisse versionis Syriacae veteris similiumque collatores, quanquam admodum improbabile est, alexandrinas potissimum ab hisce fictas esse lectiones: ita eandem illam interpolatam esse latinis, demum probandum est Scholziumque dicturum fuisse dubito, si non Latini codicibus constantinopolitanis tantopere adversarentur ac tamen cum his Syrus facere videretur cogendus. Ille quum suis adductus esset studiis, in recensionibus quidem existimandis ut de Syro aliter ac Griesbachius ceterique statueret, cur ne periculum quidem fecit sententiae comprobandae in exhibendo apparatu critico textuque constituendo? Neganti et perneganti, Syrum textu corrupto usum fuisse, quid faciendum

---

Justinum exploravit de Wettius: *Lehrbuch der histor. kritischen Einleit. in die kanon. B. des N. T. 3te Aufl.* p. 75 — 83.

18) Qua in re videndum est ne quis Eichhornii verbis fallatur, quibus (tom. IV. p. 266. 294.) Syrum veterem sane in asiaticis esse asserit monumentis. Differt enimvero Eichhornii asiaticum genus magnopere a Scholziano; est illud, ut ad Griesbachium applicem, occidentalis recensionis asiatica pars, et ut in placita transferam Hugii, κοινὴ ἔκδοσις usitata Asianis. Id quoque contendit Eichhornius, Syro et ipso minime depravationum immuni superstructam esse asiaticam Luciani recensionem; sed ex hac serius novis studiis et depravationibus undique arreptis prodiisse vult codices qui supersunt asiaticos, e quibus demum fluxerit textus iste receptus. Haec docent quam discrepet a Scholzio Eichhornius, quamvis primo obtutu aliquatenus convenire videantur.

19) Cf. *Prolegg.* p. CXXIV sqq.

erit, nisi Syrum ut investiget, ex Syroque ubicunque poterit fieri ut restituat graeca? Ita vero suos sustenturus errores in dubium vocat quae explorarunt alii iique et probi et docti, confugitque ad ea quae licenter ponit nec quispiam exploratum habet aut, uti videtur, habere unquam poterit.

Sed istud quod de antiquissimis textus testibus Scholzius disseruit ut et nos non sine idonea rei scientia judicasse videamur et, quum in talibus facile sit fallere, quisque ipse rem expediendi habeat copiam, de iis accuratius videre placet. Videndi autem hi erunt: Hermas, Clemens romanus, epistola Barnabae, Ignatius, Polycarpus, Papias, Seniores apud Irenaeum, Hegesippus, epistola Viennensium et Lugdunensium, Ptolemaeus, Heracleon.

Et Hermam quidem aliquoties leviter tangere Veteris et Novi Testamenti dicta, commemorasse satis est.

Clemens autem quamvis permultos et continuos Veteris Testamenti locos diligenter exscribat, perraro habet quae cum Novo Testamento conferri queant ac ne unum quidem ejus locum accurate laudat [20]). Quo, nisi fallor, probabile illud fit, Clementi nondum ac posterioribus cognitos vel certe in usu atque auctoritate fuisse Novi Testamenti libros.

Atque eadem est ratio epistolae quae nomine circumfertur Barnabae et a Clemente alexandrino sic citatur, ut tum temporis pervulgata fuisse videatur. In ea ut multa e Vetere Testamento allata sunt, ita e Novo quamvis ad rem satis apta afferri saepe potuissent, unum tantum, Luc. 6, 30. et quidem ita petitum est ut legitur in codice Vaticano: *παντὶ αἰτοῦντί σε δίδου*, omisso *τῷ* articulo ante participium.

Nec magis criticos adjuvat Ignatius, qui in genuinis epistolis ad Novi Testamenti dicta interdum alludit, ad verbum vero nullum nec hujus nec Veteris locum exprimit. Potiora haec sunt:

---

20) Haec ad genuinam ejus I. ad Corinth. epistolam pertinent. Non idem dixerim de reliquis quae esse putantur scriptis ejus.

*Ὁ χωρῶν χωρείτω.* Cf. Matth. 19, 12.

*Βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ' αὐτοῦ.* Cf. Matth. 3, 15.

*Περίψημα τὸ ἐμὸν πνεῦμα τοῦ σταυροῦ, ὅ ἐστιν σκάνδαλον τοῖς ἀπιστοῦσιν, ἡμῖν δὲ σωτηρία καὶ ζωὴ αἰώνιος. ποῦ σοφός; ποῦ συζητητής; ποῦ καύχησις τῶν λεγομένων συνετῶν;* Cf. 1 Cor. 1, 18 sqq.

*Φανερὸν τὸ δένδρον ἀπὸ τοῦ καρποῦ αὐτοῦ.* Cf. Matth. 12, 33.

*Πρέπον ἵνα ἐν μιᾷ ὑποταγῇ ἦτε κατηρτισμένοι τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ, καὶ τὸ αὐτὸ λέγητε πάντες περὶ τοῦ αὐτοῦ.* Cf. 1 Cor. 1, 10.

*Φρόνιμος γίνου ὡς ὁ ὄφις ἐν ἅπασιν, καὶ ἀκέραιος ὡσεὶ περιστερά.* Cf. Matth. 10, 16.

Polycarpus autem in sua ad Philippenses epistola multa e Novo Testamento modo liberius modo adstrictius citat. In his Act. 2, 24. sic affert: *ὃν ἔγειρεν ὁ θεὸς λύσας τὰς ὠδῖνας τοῦ ᾅδου.* Quo loco vix attinet quod *ἔγειρεν* cum *ἀνέστησεν* commutavit; quod vero pro *τοῦ θανάτου* habet *τοῦ ᾅδου*, id eum legisse in codice suo haud dubito. Eodem enim modo locum exhibent D Syr. Erp. Copt. Vulg. Cant. Laud. Epiphan. (semel) Iren. et alii.

Porro 1 Tim. 6, 7. pro *δῆλον ὅτι*, quod in editione recepta est, *ἀλλ'* habet, quemadmodum etiam Augustinus legit. Id, quum lectio loci multorum testium dissensione impedita sit, certe hoc probat, facillimum *δῆλον ὅτι* non esse a Paulo profectum.

Deinde ad similitudinem loci 1 Jo. 4, 3. accedit in his: *πᾶς ὃς ἂν μὴ ὁμολογῇ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, Ἀντίχριστός ἐστιν.* In quibus memorabile est pro *ἐληλυθότα* eum prodere *ἐληλυθέναι*, quemadmodum in priore ejusdem sententiae parte pro *ἐληλυθότα* habent *ἐληλυθέναι* e graecis testibus B alii et Theodoretus.

Denique speciem additamentorum, quod frequens lectionum variantium genus est, haec habent: *μὴ ἀποδιδόντες κακὸν ἀντὶ*

*κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας ἢ γρόνθον ἀντὶ γρόνθου ἢ κατάραν ἀντὶ κατάρας*. Cf. 1 Pet. 3, 9.[21])

In paucis Papiae fragmentis[22]) citantur 1 Cor. 15, 25. 26. et nonnullis interjectis versus 27. altera pars et v. 28. Haec ille accurate ad Pauli verba composuit, nisi quod pro *τότε καὶ αὐτός*, ut est in editionibus vulgaribus, *τότε αὐτός* cum BDEG al. Syr. It. Am. Harl. Marian. Or. atque aliis legit, et *ὁ υἱός* retinet quod omittunt Vg. ms., epistola ad Tarsenses Ignatio adscripta, Hippol., Cyr. hieros. Tert. alii.

Seniores apud Irenaeum[23]) inter varia quae e Novo Testamento citant haec potissimum examinanda critico praebent.

Rom. 11, 21. tuentur *μήπως* quod omittunt ABC al. Copt. Damsc. Ruf. Aug.

1 Cor. 10, 1—12. Omnes duodecim versus ad verbum referunt. Memoranda sunt haec tria: 1) v. 1. omittunt verba *καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον* cum Lect. 17. Hilar. (ter) Vigil. taps. 2) pro *κύριον*, quod praesertim quum reliqui testes vel *θεόν*, ut codex alexandrinus, vel *Χριστόν* exhibeant, egregie commendatur testibus BC al. Aeth. al. Epiphan. (diserte) al., legunt *Χριστόν*. Hoc idem est apud Theodotum. 3) v. 11. cum editionibus tuentur *ταῦτα δὲ πάντα;* omittunt vero *πάντα* AB al. Sahid. Marcion ap. Epiph. et Tert. Dial. c. Mcion. Or. (semel) Hippol. al. et ponunt *πάντα δὲ ταῦτα* DEFG al. g. Or. (semel) Chrs. Iren.

1 Cor. 6, 9. 10. omittunt, si in hac re Latinis est auctoritas, *οὐ* quod plerumque ante *κληρονομήσουσιν* legitur. Id vero etiam praeter Latinos omittunt ABDE al. pm. Polyc. (quanquam libere citans), Ignat. (in ep. ad Tars. adscripta Ign.) al.

---

21) Male Millius, Wetstenius, Griesbachius, Scholzius ad 1 Pet. 1, 8. Polycarpum excitant testem lectionis *ἰδόντες* pro *εἰδότες*. Plane enim aliter is conformavit locum. Petrus habet: *ὃν οὐκ εἰδότες* (ed. recepta) *ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες πιστεύοντες δὲ ἀγαλλιᾶσθε* etc.; Polycarpus: *εἰς ὃν οὐκ ἰδόντες πιστεύετε, πιστεύοντες δὲ ἀγαλλ.* etc.

22) Cf. Routh: *Reliquiae sacrae* Vol. I. p. 11. Sumsit haec ex Irenaei adv. haeres. libro V. Ea verba de quibus ago tantum latine exstant.

23) Cf. Routh: *Reliq. sacr.* Vol. I. p. 41—57.

1 Cor. 6, 11. praetermittunt cum 67.** Chrs. (in textu) Tert. al. *ἀλλ' ἐδικαιώθητε* verba et nomini *Ἰησοῦ* addunt *Χριστοῦ* cum BD* al. Syr. al. m. Athan. Chrs. al. m., quanquam non cum his iisdem post *κυρίου* habent *ἡμῶν*.

In Hegesippi fragmentis[24]) nonnulla occurrunt locis Novi Testamenti similia, sed nihil ad amussim citatur.

Illud est autem memoratu dignum quod in epistola Viennens. et Lugdunens.[25]) post verba *ἵνα ἡ γραφὴ πληρωθῇ* haec inveniuntur: *ὁ ἄνομος ἀνομησάτω ἔτι καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι.* His non dubium est respici locum Apoc. 22, 11. ubi quidem *δικαιωθήτω* editiones vulgares tuentur, potiores vero testes *δικαιοσύνην ποιησάτω* commendant. Priora autem *ὁ ἄνομος ἀνομ. ἔτι* respondent textus verbis *ὁ ἀδικῶν ἀδικησάτω ἔτι.*

Ad Ptolemaeum transeo. In ejus ad Floram epistola, quam Epiphanius nobis tradidit[26]), haec e Novo Testamento allata momentum habent[27]):

1 Cor. 5, 7. omittit contra textum receptum *ὑπὲρ ἡμῶν* cum ABCDEFG al. Vg. It. al. Clem. al. pm.

Matth. 15, 4—9. sic in rem suam convertit: *δηλοῖ καὶ τοῦτο ὁ Σωτήρ. Ὁ γὰρ θεός, φησίν, εἶπεν· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. ὑμεῖς δέ, φησίν, εἰρήκατε, τοῖς πρεσβυτέροις λέγων· Δῶρον τῷ θεῷ ὃ ἐὰν ὠφεληθῇς ἐξ ἐμοῦ, καὶ ἠκυρώσατε τὸν νόμον τοῦ θεοῦ διὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ὑμῶν. τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν εἰπών· Ὁ λαὸς οὗτος τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία*

24) Cf. Routh: *Reliq. sacr.* Vol. I. p. 191 sqq.

25) Scripta est post medium seculum secundum; cf. Routh: l. l. p. 267 sqq. Verba citata leguntur pag. 289.

26) Opp. ed. *Petav.* tom. I. p. 216—222.

27) In eo falsus est Hugius (et post eum Scholzius) quod plane singularem lectionem tribuit Ptolemaeo Luc. 6, 29. *στρέψον αὐτῷ καὶ τὴν ἄλλην* pro *πάρεχε κ. τ. ἄλλην*, comitantibus paucis codicibus serioribus. Cf. *Einleitung in die Schr. des N. T. 3te Aufl.* I. 171. At enim Ptolemaeus ea sine dubio petiit e Matth. 5, 39. quum simul citet haec quae apud solum Matthaeum et quidem eodem v. 39. leguntur: *ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι ὅλως τῷ πονηρῷ.*

*αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με διδάσκ. διδ. ἐντ. ἀνθρ.*

Haec ad Matthaeum non ad Marc. 7, 6—13. conformata esse verborum perpetuitas docet. Significavi singula quae discedunt a Matthaei verbis, ac vere dubia sunt prius *σοῦ* quod editio recepta invitis recentioribus habet et *τὸν νόμον*, quod etiam C et alii legunt, gravissimi testes cum *τὸν λόγον* atque editores plurimi cum *τὴν ἐντολήν* permutant. Deinde omittit Ptolem. contra textum receptum: *ἐγγίζει μοι τῷ στόματι αὐτῶν καί*, idque grave est. Denique alterum *σοῦ* addit cum nonnullis codicibus, sed *ἵνα εὖ σοι γένηται* e loco Exodi petitum, *τῷ θεῷ* et *τῶν πρεσβυτέρων* cum nullo.

Ad Matth. 12, 25. spectat *οἰκία ἢ πόλις μερισθεῖσα ἐφ' ἑαυτήν*, ubi *ἐφ' ἑαυτ.* convenienter locis Marci et Lucae geminis tuentur D al. quum plerique testes habeant *καθ' ἑαυτῆς*, pauci *καθ' ἑαυτήν*.

Restat ut Heracleonem videamus. De eo mire Scholzius: *Textus ejus a recepto haud differebat.* Sibi rem putat esse cum credulis. Istud unde tandem hausit? Perpauca enim de Heracleonis textu Origenes refert, praetereaque nihil scimus. In illis vero est quod testatur, eum Jo. 1, 3. post *οὐδὲ ἕν* pro arbitrio addidisse *τῶν ἐν τῷ κόσμῳ καὶ τῇ κτίσει*[28]. Tum simpliciter ad Jo. 4, 18. notat: *ἡμεῖς μὲν οὖν ἀνέγνωμεν· Πέντε ἄνδρας ἔσχες, παρὰ δὲ τῷ Ἡρακλέωνι εὕρομεν· Ἓξ ἄνδρας ἔσχες*[29]. Deinde Heracleon invito Origene invitoque recepto textu Jo. 1, 28. legit *Βηθανίᾳ*[30], non *Βηθαβαρᾷ*. Denique Jo. 4, 21. Origenes sic refert ut appareat, eundem se textum cum Heracleone sequi[31]. In eo est autem *πίστευέ*

---

28) Cf. Opp. ed. *de la Rue* tom. IV. p. 66.

29) Cf. tom. IV, p. 221.

30) Cf. tom. IV, p. 140.

31) Cf. tom. IV, p. 225. Idem minus liquet Jo. 4, 34., ubi Orig. habet *ποιήσω* pro vulgari *ποιῶ*, et 4, 36., ubi Orig. *καί* post *ἵνα* omittit, quod utrumque Wetstenium, Griesbachium, Scholzium secutus ipse quoque et Heracleoni et Origeni tribui. Tamen vero his quoque locis probatur, Scholzium de Heracleonis textu a recepto haud diverso illo disputantem et temere disputasse et repugnasse ipsi sibi.

μοι, γύναι, quemadmodum contra multitudinem testium constantinopolitanorum contraque receptum textum qui est: γύναι, πίστευσόν μοι, habent B C* L Veron. Athan. Cyr. Hilarius. Tuentur πίστευε etiam D al. et Chrs.

Haec utiliter commemoranda et exscribenda duxi textus sacri documenta antiquissima. Sunt autem omnia ita comparata, ut tum variantium lectionum signa plura habeant perquam probabilia, tum ubi revera quid scripserint auctores dubium est, conspirent cum testibus suspectis illis quidem, africanis et occidentalibus, excepto uno loco Rom. 11, 21. de quo vide supra Seniores apud Iren.[32])

Ad haec igitur judicari velim opinionem Scholzii, qua duo priora post Chr. secula textus Novi Testamenti integritatem conservavere, heredes institutura asiaticos quos vocant codices. Per se quidem nihil est simplicius, nihil veri similius, quam per illud saltem temporis spatium virorum summorum libros sine ulla perfidia aut negligentia tractatos esse atque propagatos. Sed quum jam ineunte seculo tertio magnam textus varietatem inventam esse certum sit nihilque singulare innotuerit quod tum potissimum ejus rei sustinuisset causam: prioris aetatis fides jure vocatur in dubium et anquirenda sunt argumenta in re posita. Jamvero ea quo par est studio ab historia petita, si quid probant, probare vidimus contrarium. Huc accedit, ut jam tetigi, tum quod antequam certi libri publicam apud universos nacti essent auctoritatem, liberiorem fuisse eorum usum credibile est, tum quod doctorum christianorum ingenia quo propius ab ipsius aetate Christi scriptorumque sacrorum abfuere, eo magis, ut res ferebat, ita viguerunt et sustentata sunt, ut non in unis paucis iis, quae ab Apostolis consignata literis habe-

---

[32]) Scholzius quidem magni facit momenti quod iidem Seniores tum 1 Cor. 10, 9. Χριστόν, de quo ante exposui, tum 1 Cor. 10, 11. πάντα exhibent consentientes cum testibus constantinopolitanis. Ego vero nullus dubito quin πάντα illatum sit genuino textui. An forte duce Marcione emendasse locum alexandrinos grammaticos arguet? Nihilne ei dubitationis eo injicitur quod illud praeter graves qui omittunt testes tot alii haud spernendi aliter ponunt?

bant, salutis novae tesseram aut summam rerum legem putarent positam esse.

## II.

Altero loco examinaturum me professus sum ea Scholzii argumenta quibus probat, codices qui supersunt constantinopolitanos in exhibendo textu ejusdem fere participes esse virtutis qua excelluisse putat primorum post Chr. seculorum codices. Id quidem iis potest supervacaneum videri, qui me his modo expositis demonstrasse existimant, celebratam istam textus integritatem ad tertium usque seculum non fuisse. Sed hoc ut demonstratum sit, codices constantinopolitani si quam simillimum cum antiquissimis illis textum ad hunc usque diem repetierunt, haud exiguam profecto sunt commendationem habituri. Qua in re ne videar ambigua saepe Scholzii urgere verba. Defendit ille hoc, codices asiaticos, quamvis non ab omnibus sordibus liberi sint atque etiam unus et alter cum alexandrinis exemplaribus collatus indeque videatur esse corruptus, tamen universos non in tales, in quas alexandrinos, incidisse manus et genuinum textum prae reliquis testibus omnibus retinuisse maxime. Hinc patet, immensum discedere Scholzium a nobilibus triumviris Griesbachio, Hugio, Eichhornio, quum unos codices asiaticos, si proprie dicis, plane non recensitos ducat. Erit autem recensere nihil aliud quam inepta sedulitate multifariam a vero detorquere. Atque inde est quod nuperrime ille dixit: Nomen recensionis omnino detrecto[33]). Sed argumenta videamus.

Ex eo, inquit, quod documenta critica alexandrina sunt antiquiora, nihil in gratiam textus illorum erui potest; primum enim gravitas testium non solum ex eorum aetate sed etiam ex aliis rebus, quae fidem et auctoritatem ipsis conciliare possunt, judicatur; potuit enim seculo decimo quinto e codice longe antiquissimo apographum fieri quod exemplar suum exactissime repraesentaret. (*Prolegg.* p. CLXVII.)

---

[33]) Cf. N. T. tom. II. *Prolegg.* p. I.

In his varie peccatum est. *Non solum* ex aetate judicari vult testium gravitatem. Itaque tamen aliquid gravitatis ex sola aetate accedit codici; id sibi contradicens negat. Deinde quum de aliis rebus auctoritatem conciliaturis se dicturum simulet, ad ipsam aetatem recurrit. Tum vero quale, hoc est, potuisse decimi quinti codicem sequi antiquissimum. Fieri potuit id quidem; sed quis cum Scholzio dicat inde parem fidem conciliari recens scriptis cum iis quae certo sunt antiqua, ita ut in hac re utrique nihil differant? Meque profiteor fugere, qua rerum iniquitate antiquissimi codices, qui decimi quinti seculi hominibus inservivere, statim interierint. Sin autem, quod pluribus sustinet, e multo vetustioribus illi possunt esse transscripti, nonne pariter testes alexandrini, de quorum insigni aetate constat, possunt secuti esse primi seculi et alterius codices? Coërcetur vero haec conjiciendi licentia haud dubie eo quod constantinopolitani codices semper, ut ipse ait Scholzius, in ecclesiis adhibebantur, nec igitur facile vetustissima exempla erant residua. Id quod in ipsa multo priora quadrat tempora. Origenes enim lectionis *Βηθανίᾳ* insignem antiquitatem significaturus non ad sua videtur provocare potuisse exemplaria, sed provocat ad ejusdem testem Heracleonem [34].

Pergit Scholzius: Deinde codices constantinopolitanum textum exhibentes certo etiam erant plurimi seculo VIII., VII., VI., V., quorum ii qui adhuc exstant sunt apographa. Istud quis unquam est infitiatus? Nihilominus dicere possis et probare, horum seculorum scripta puriora recentioribus fuisse. Aptius quaedam ejus textus constantia, quam requirit vir doctissimus, demonstrari ex eo potest quod plurimae quas proprias habet lectiones jam apud Chrysostomum et Theodoretum, in iis quidem quas tractant Novi Testamenti partibus, reperiuntur. Quae res gravis est ac nondum satis examinata a criticis.

Sed suam ipse denuo conjecturam impedit. Hieronymum existimat et asiaticos et alexandrinos codices nosse in suamque convertisse rem quum Damasi mandato satisfaceret, sensisse

---

[34]) Cf. Opp. tom. IV, p. 140.

vero magis opinatumque esse quam vidisse ac perspexisse constantem utriusque codicum generis diversitatem[35]). Hunc igitur praeclarissimos codices tum temporis certe vidisse ac legisse tamque vehementer esse falsum, eos ut corruptis alexandrinis nihil suspicans aequipararet vel potius posthaberet? Testatur enim Scholzius, ubi in universum de Hieronymi lectionibus refert, eum plerumque graeco usum esse textu eoque alexandrino. Omnino certum est, Hieronymum et Constantinopoli et Antiochiae et in Syria et in Palaestina diu versatum esse literisque ibi navasse operam. Et quum totus paene habitaret in tractandis exponendisque libris sacris, ubique debebat vel maxime bonorum codicum rationem et curam habere. Tamen Scholzius, invitis Bentlejis, hominis inter aequales facile eruditissimi in ea ipsa quam profitebatur arte auctoritatem esse nullam, conclusionibus suis efficit, conservatamque statuit ad posteros pervenisse textus integritatem in codicibus Hieronymo parum probatis. Neque aliter de **Eusebio** sentit eadem cum Hieronymo de praeclaris alexandrinis testibus perversa opinione capto. Mihi quidem magis magisque miraculosa res videtur. Itaque Eusebium quoque et ipsum orientalem nec indoctissimum praeteriit orientalium codicum praestantia, licet in mediis contaminatis lucerent vel potius delitescerent soli non contaminati[36])?

Sed non dissimulandum est, e Scholzii sententia caesareenses quidem et hierosolymitanos libros aliquantulum ad aegyptiacos accessisse[37]). Ita **Pamphilum** nonnullos codices

[35]) Cf. *Biblischkritische Reise* etc. p. 180. Alio loco (p. 182.) dicit, mediam quandam viam Hieronymum ingressum esse inter constantinopolitanum et alexandrinum textum. Quem qualem tandem sibi informavit hominem! E duabus codicum classibus confecit medium quendam textum novum, se duas ante oculos habere classes ignorans. Habuit alexandrinos codices praestantissimos, eosdem tamen significat ubi de codicibus errore confusis queritur. (Cf. *Prolegg*. p. CLXIV lin. 13 sqq.)

[36]) Quam haec prolata sunt temere: Eusebius N. Ti libros ad verbum laudare solet et plerumque codicibus alexandrinis usus fuisse videtur. Sed quum haud raro ab iis recedat et alterius classis codices sequatur, patet, *eum codices palaestinenses non respuisse*. (Cf. *Prolegg*. CXLIV.)

[37]) Cf. *Biblischkritische Reise* etc. p. 174. 175.

Alexandriae emisse Caesareamque invexisse; iis usos esse librarios sed *rarissime*; inde vero maxime vetustiores evangeliorum codices constantinopolitanos, ut EFGHS[38], integritatis damnum contraxisse. Vult itaque ad horum ingenium paullulum mixtum non ipsam judicari classem. Quod quum diducat in singula et ex ipsius Scholzii sententia non ad rei summam faciat, non est quod nunc fusius tractem. Sed plura poscit sibi Pamphilus.

Hunc admiratorem Origenis fuisse ejusque quae Vetus Testamentum spectabant curas describendo divulgandoque in communem utilitatem convertisse, auctor est Hieronymus[39]. Hunc eundem multa Novi Testamenti exempla praeparasse, ut quum necessitas poposcisset volentibus largiretur, et Eusebius et Hieronymus tradidere[40]. Nihilominus Scholzius confirmat, eum in bibliothecam Caesareensem, cujus ipse conditor erat, nonnullos tantum alexandrinos codices intulisse quos non plane contemnerent librarii. Haec quam inter se pugnant! Ipse scit, de exemplari manu Pamphili scripto testari, ut taceam alium[41]), celeberrimum codicem coislinianum (Nr. 202. Paul. epp. H.) seculi, ut Wetstenius vidit, quinti, in quo notatum est: *ἀντεβλήθη δὲ ἡ βίβλος πρὸς τὸ ἐν Καισαρείᾳ ἀντίγραφον τῆς βιβλιοθήκης τοῦ ἁγίου Παμφίλου, χειρὶ γεγραμμένον αὐτοῦ.* Illum quidem ex alexandrinis esse testibus, non dubitant. An tamen vero est veri simile, Pamphilum in iis quae paravit exemplaribus non prae ceteris Origenem alexandrinosque esse secutum? An nihilominus veri umbram habet, Pamphilum *emisse nonnullos* alexandrinos codices ex hisque paucis librariorum rara indulgentia paucas hujus classis sordes immigrasse in egregios asiaticos?

Sed plura rerum restant vestigia, quae ne pulchrum ordinem turbarent, noster conjecturis providit. Audentes scilicet fortuna juvat et, ut addit Cicero quidem, etiam ratio.

Est Constantini Magni ad Eusebium caesareensem epi-

---

[38]) Cf. l. l. p. 187.
[39]) Cf. *adv. Ruffin.* lib. II, c. 27.
[40]) Cf. Euseb. *h. eccl.* VI, c. 32. Hieron. *adv. Ruff.* II. 9.
[41]) Cf. Eichhorn: *Einleitung* etc. IV, 309.

stola[42]), qua is adornaturus digne Byzantium suum eaque quae maxime necessaria ducebat piorum coetibus procuraturus docto viro mandat, ut quinquaginta divinarum scripturarum codices ab artificibus antiquariis venuste scribendi peritissimis, sive, ut Cassiodorus vertit, perfecte artem scientibus, describendos et quam primum mittendos curet. Subjungitque epistolae Eusebius, dicta continuo opus ipsum excepisse seque in voluminibus magnifice exornatis terniones et quaterniones ad imperatorem misisse. Jamvero Eusebius, qui, ut Scholzius ait, plerumque alexandrinis utebatur codicibus, hos, quum *non respuisse* palaestinenses dicatur, optimos ratus eorumque celebrans auctoritatem, Constantini mandato bonaeque de se existimationi satisfacturus non poterat non quales codices habebat optimos comparandos curare. Accedit quod quinquaginta codices et brevi et ab artis peritissimis scribendi erant; hanc vero artem Alexandriae floruisse indeque pependisse Caesaream comprobant omnia. Ad haec quid Scholzius? Hoc, inquit, sine ulla dubitatione affirmaverim, codices hos vel non fuisse aegyptios — similius enim veri est, palaestinenses codices quam alios in his parandis adhibitos esse adeoque horum textum praevaluisse — vel deletos fuisse cum regnante Basilisco seculo V. bibliotheca a Juliano aucta combureretur. De priore, opinor, visum est; reliquum est posterius. Profecto mirum id quidem; potissimum hos eo deletos esse incendio. Doctene exploratum est, quinquaginta codices in communem usum paratos[43]) iisque quibus opus erat distributos irrepsisse sensim in bibliothecam augustam ibique seculo quinto combustos esse? Quum describenda sine dubio plura nova essent exempla et Constantinopoli et ubicunque illos Caesar largitus erat, ab his perperam scilicet invectis constanter abstinuisse librarios? Sed istud ut ne cui videatur mirum, addit Scholzius: Vestigia enim damni codicibus constantinopolitanis facti multa non exstant. Denique sententiam inflectens paullulum suam sub-

---

[42]) Cf. Theodoret. l. I. c. 16. Euseb. *de vita Constantini* IV, 36.

[43]) Est in epistola Constantini: *qui et legi facile et ad omnem usum circumferri possint.*

jungit illud: Vero etiam proximum est, codicum palaestinensium — quos in ista re adhibitos probat — textum lectionibus quas Origenes maxime probaverat fuisse mixtum.

Quae quidem omnia tam artificiosa sunt, tam contorta, tam apta ad explicandam veram indolem asiaticorum nostrorum codicum undique depravatorum, tamque contraria integritati textus in iis prae ceteris conservatae, ut, ne cum umbra conferre arma videamur, supersedendum sit pluribus [44]).

Praeterea vero quae de simili alexandrinorum codicum propagatione traduntur, minoris momenti sunt. Ut enim taceam obscuram quandam famam quam Scholzius refert et nihil nisi rem commentitiam habet (cf. *Prolegg*. p. CLX.): volumina codicum rogante Constante Augusto se confecisse ad eumque misisse, narrat Athanasius [45]). Sed id obiter commemorat nihilque praeterquam de ea re compertum habemus. Haec volumina quod Scholzius tantummodo occidentalibus data esse usuique fuisse censet, probabiliter censet, quanquam Illyricum quoque in Constantis ditione erat idque Graeciae finitimum. Tamen etiam in hac disputationis parte perperam ille versatus est. 'Facile igitur, inquit', quis dixerit, codices alexandrinos fuisse celeberrimos, longe lateque propagatos eorumque textum eo quod Athanasius confectos ad ipsum transmisit magis magisque diffusum. Talia dicturo objicit, in ea re ipsius tantum Athanasii auctoritatis rationem esse habitam, nullius codicum conditionis. At cur tandem mordicus tenet, alexandrinos codices non fuisse celeberrimos? Per se patet, alexandrinum episcopum non alios quam alexandrinos misisse codices. A qua vero alia re magis quam ab auctoritate utentium proficisci poterat auctoritas codi-

---

[44]) Rectius, mea quidem sententia, Scholzius ante suam N. Ti editionem et de hac re et de ea quae statim tractabitur judicavit in *Curis criticis* p. 48., assensitque ei Rinckius, vir ingenii acumine insignis, qui in *Lucubratione critica in acta app*. etc. p. 11. scribit haec: Conjectura Scholzii minime respuenda videtur, editionem orientalem s. byzantinam ex iis libris manasse quos Constantinus M. cura Eusebii episcopi caesar. et Constans cura Athanasii episcopi alex. eleganter et accurate describi et in Europam mitti jusserint.

[45]) Cf. *Apolog*. p. 236. (ed. Benedict. 1777. I.)

rum? Doctorum alexandrinorum praeclara nomina ille non vocat in dubium; sed eorum codices magnopere commendatos fuisse etiam atque etiam negat. Ceterum Constantem atque eos qui mandati suasores fuerunt sine dubio latebat, quanto inferiora alexandrina exemplaria essent constantinopolitanis; alioquin non ab alexandrino homine petendi erant codices. Ea vero, ut hoc obiter addam, ratio, qua Athanasius librorum mandatorum mentionem facit[46]), significare videtur, tale quid nihil novi aut insoliti habuisse.

Sed haec hactenus. Quemadmodum per se audacter, temere, mire conjicitur, totam eorum classem codicum qui per Asiam minorem et Graeciam in usu erant, a primis inde seculis usque ad tempora inventae artis typographicae textum sacrum paene illibatum conservasse, omnibus per reliquas hominum christianorum terras varie neglectis graviterque corruptis, quum ceteroquin nulla vel pietatis singularis vel admirabilis diligentiae vel doctrinae eximiae monumenta posteritati tradiderint iidem illi ad quos pertinebant orientales: ita quicquid de historia codicum proditum est memoriae, docet, neque cognitam fuisse librorum constantinopolitanorum praestantiam antiquitatis viris doctissimis in eoque literarum genere maxime versatis, neque ab alexandrinorum contagione abstinuisse christianos constantinopolitanos. Si quis autem opiniones praejudicatas sequi mavult quam certis rerum vestigiis insistere, nihil moror.

## III.

Ad tertiam progrediar hujus contra Scholzium disputationis partem, qua disserendum est de codicum indole, de ipsius textus, quem alexandrini codices quem produnt asiatici, praestantia. Hanc ille negligendam nec nisi leviter tangendam duxit. Ea non esse graviorem, habeo persuasissimum. Ut enim constet de codicis patria, unde quid valeat scis nisi ab ejus indole? Ut quis

[46]) Ita refert: *πυκτία τῶν θείων γραφῶν κελεύσαντος αὐτοῦ μοι κατασκευάσαι, ταῦτα ποιήσας ἀπέστειλα.*

originis praestet nobilitate majorumque gloria, poteritne summo fungi munere nisi suo excellat ingenio? Summum vero ac grave munus est docentis, quae sint vera Christi et Apostolorum verba. De grammaticorum alexandrinorum temeraria textus emendatione commentum, quod, si quid video, tanti tamque pertinacis erroris primaria exstitit causa, unde tandem habes nisi a docto, subtili, integro textus utriusque classis examine? Sed hoc quidem unde sit rei ignaris, non attinet dicere; unde sit homini intelligenti, non habeo dicere.

Sed ad propositum ut perveniam, in his quoque quae Scholzius dedit videre singula, oro ut ne aegre lectores ferant. Si etiam, inquit, rationibus internis aliquid efficere velimus, textum constantinopolitanum multo magis textui genuino accedere videri quam alexandrinum, facile nobis dabitur. Plurima huc pertinentia producere in promtu foret, sed sufficiant in re clara pauca exempla. (Cf. *Prolegg.* CLXV.) Quae jam affert, vel falsa sunt vel dubia.

Et primum quidem ad peculiares multas Lucae dictiones provocat, quas in textu constantinopolitano reperiri, in alexandrino autem interdum mutari, ex lectionum sylloge dicit cognosci posse. Ita *ἔλεγε δὲ καί*, *εἶπε δὲ καί*, *ἦλθον δὲ καί*, *ἀπέθανε δὲ καί*, *εἶδε δὲ καί*, *παραδοθήσεσθε δὲ καί*. Ex iis quos citat locis hi tantum variantem lectionem habent: XIV, 12. om. *καί* V al. Syr. Ar. p. Erp. XVI, 1. om. *καί* SV al. pm. cdd. Ital. Hier. XVIII, 19. om. *καί* EGKSV al. pl. vv. pl. Bas. Theophyl. XIX, 9. om. *καί* 127.* XXI, 16. om. *καί* 13. 346. In his igitur omnibus ne unus quidem ita comparatus est ut dicas, alexandrinis testibus deesse *καί*. Quod vero XVIII, 1. *καί* omittunt BL al. m. tres cdd. It. et VI, 6. BLX al. vv. pm., id an recte fiat jure dubitari potest; posteriore enim loco requiri illud *καί* videri potuit ratione habita versus primi; priore reputandum est, saepe offendisse[47]) illud *δέ* simpliciter ut videtur quidem annectens, quod Lucas prae reliquis Evangelistis plane e Graecorum usu

[47]) Cf. X, 2. 37. XIII, 15. IX, 9. 50. VI, 9. IV, 9. ubi modo cum *οὖν* modo cum *καί* commutatum est, quanquam in hac quoque re est quod excipiatur.

peculiare habet. Admodum autem fallitur, qui quae quis scriptorum plerumque et proprie sua habet, nihil excipiens negat ab aliena manu posse profecta esse. E quo genere commemoro tantum Synopticorum ἰδού et Pauli Χριστὸς Ἰησοῦς. Porro XXI, 2. omittunt καί BKLMX al. pl. videturque id eo omitti rectius quum ab AGHSV al. pm. aliter ponatur. At vero VI, 39. fere soli alexandrini et quidem BCDFL al. Vg. It. tuentur καί. Quae quum ita sint, Scholzius confidenter refert, istas lectiones in textu constantinopolitano reperiri, in alexandrino interdum mutari. Ita quidem qui sibi videtur de classibus codicum judicare recte, recte judicavit ubi tacuit.

Sed videamus de reliquis. Codices, ait, alexandrini vel omnes vel permulti habent Luc. VII, 24. 25. 26. ἐξήλθατε s. ἐξήλθετε, sed Lucae tempus praeteritum est solennius. Citat in hanc rem V, 32. XXII, 52. Idem Scholzius post duas fere paginas laudatae alexandrinorum codicum praestantiae haec objicit: Quae de articulo, de particulis nonnullis, de verborum temporibus, de vocum positione proferuntur, ita comparata sunt, ut in utramque partem disputari possit. Atque, sic mihi liceat pergere, Scholzii disputatio ita est comparata, ut videatur ludere, non judicare. Vestis enim candida quae ei candida est in constantinopolitanis, cana si non nigra est ei in alexandrinis. Quod ipsum illud ἐξήλθατε attinet, plane cum altera parte Scholzii fecerim; est enim dubium [48]). Potest forma ἐξήλθατε quippe paullo insolentior ab alteris in ἐξήλθετε, ab alteris in ἐξεληλύθατε mutata dici. Eadem plane ratio est loci XXII, 52. Non negaverim quidem, comparatis Matthaei et Marci locis geminis, ubi codices tantum inter formas -θατε et -θετε fluctuant, com-

[48]) Non possum quin h. l. ante oculos ponam editionis Scholzianae quae sexcentis demonstrari potest exemplis negligentiam. Notatur ad v. 24., habere ἐξήλθατε s. ἐξήλθετε ABDKLM et sequuntur sat multi alii; ad v. 25., habere ἐξήλθατε B 13. 33. 157. 346.; ἐξήλθετε KM 124. 129. 131. 133. alii; ad v. 26., habere ἐξήλθατε B 13. 124. 157. 346.; ἐξήλθετε 131. At vero iidem illi ABDKLM atque, ut apud Wetstenium et Griesbachium videre est, iidem reliqui et v. 25. et v. 26. nominandi sunt.

mendari apud Lucam ἐξεληλύθατε; tamen in talibus codicum qui plerumque sequendi erunt auctoritate stare malim quam conjicere.

Porro Scholzius Luc. 9, 49. errare censet alexandrinos (sunt BLX al.), qui ἐν pro ἐπί exhibent. In eo assentior; sed is locus pertinet ad eos qui parallelorum collatione confusi sunt; quod genus et maxime frequens et ad omnes omnino codices pertinet.

Deinde pessime haec habent: Codices alexandrini omittunt Luc. 10, 22. verba καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπε, sed retinent merito constantinopolitani: est enim phrasis plane ex more Lucae. At enim primum plurimi alexandrini et ipsi ea verba retinent et omittunt ex uncialibus soli DL; tum vero tale additamentum falsi suspicionem vel maxime movere quis negabit? Ita similia habes addita a paucis Luc. VII, 41. X, 19. XVI, 19., atque VII, 31. nec Scholzius dubitavit εἶπε δὲ ὁ κύριος, textus recepti verba, missa facere.

Nec minus repugnans sibi scribit: Codices alexandrini habent Matth. 1, 18. et Luc. 1, 14. γένεσις, sed constantinopolitani γέννησις bene: nam sermo est de generationis modo. Sibi, inquam, repugnans; ipse enim Luc. 1, 14. γέννησις commutavit cum γένεσις. Altero vero loco ubi sane admodum graves alexandrini testes, sed nec omnes et comitantibus nonnullis qui constantinopolitani existimantur, habent γένεσιν, critici iique probi valde dubii sunt.

Denique affert 1 Cor. 6, 9 sq. ubi cdd. alexandrinos octies habere οὐδέ pro constantinopolitanorum οὔτε dicit. Hoc temere finxit; habent enim οὐδέ soli DE.

Jamvero tanquam re bene gesta in hunc modum eam finit disputationem: Qui de propria singulorum Novi Testamenti scriptorum orationis indole judicant, vix quidquam reperient in textu constantinopolitano quod optatis suis non in omnibus respondeat. Atque ad haec respiciens ante quatuor annos[49]) confirmat, alexandrinas lectiones damnari falsas, quia longe pleraeque vel

[49]) Cf. N. T. Vol. II. p. III.

contextui repugnant [50]), vel genere dicendi quo dignoscitur scriptor ab aliis scriptoribus rejiciuntur.

Sed antequam discedam ab opinionibus Scholzii, restat ut de duabus breviter rebus explicem; primum de hominum alexandrinorum grammatica textus emendatione, quam cum aliis finxit vir doctissimus; tum de miro codicum constantinopolitanorum consensu ceterorumque dissensione. Atque illud quidem non potest

---

[50]) De eo hujus generis loco quem Scholzius primum commemorat, Jac. 4. 4., obiter disserere placet. Lectio Lachmanni: μοιχαλίδες, quam recepi et ipse pro vulgari μοιχοὶ καὶ μοιχαλίδες, praeter Scholzium viro acutissimo et peritissimo magnopere improbata est (Cf. *Hallische Allgem. Literaturz. März* 1833. 53. p. 420.). Omittunt μοιχοὶ καὶ A B 13. et vertunt tantum μοιχοί Syr. Copt. Aeth. Arm. Vulg. Corb. Vult autem ille, facile potuisse praeteriri alterum errore oculi; hinc modo μοιχοὶ καὶ, modo καὶ μοιχαλίδες esse omissum; nec apte vero Apostolum lectores suos, quum certe se non ad meretrices convertat, eo nomine compellare. Sed mea sententia *primum* videndum est, ne codicibus alias optimis, quos interdum unos adversus universam reliquorum vim verum tenere omnes consentiunt critici, temere id crimini des quod de aliis accidit nulli. Eadem explicatione lectiones gravissimae multae et reprobari possunt et sunt a nonnullis reprobatae. Ut vero detur, scripsisse Jacobum μοιχαλίδες, nemini videbitur mirum quod additum in tot exemplis legitur μοιχοὶ καί. *Tum* quoniam ne unus quidem codex graecus μοιχοί omissis καὶ μοιχαλίδες verbis exhibet, veri simillimum est, interpretes Syrum, Copticum illosque ceteros pariter legisse μοιχαλίδες sed cum consilio expressisse μοιχοί. Accedit quod, opinor, haud facile potuit errantibus oculis praetermitti καὶ μοιχαλίδες post μοιχοί. Nequaquam id fieri ab iis potuit qui interpretabantur; sin ante jam factum ponitur, in pluribus id factum esse exemplaribus consentaneum est. Quod vero in pluribus tum temporis legebatur et in Syria et in Aegypto et in Italia, id ne unum quidem nobis conservasse, etiam atque etiam mirum est. *Deinde* omnino inest quaedam magna in eo vis, quod Apostolus ipsos adulteros genere feminino alloquitur. Idque et rei natura et dictione Jacobi valde commendatur. *Denique* non desunt apud Graecos admodum similia, ut Hermannus in celebri dissertatione *de officio interpretis* ostendit, pag. 22 sq. Ὑποφάτιες (est apud Pindarum Pyth. 2, 140. διαβολιᾶν ὑποφ.), inquit, *mihi quidem et iidem esse videntur qui Syracusanis ποταγωγίδες* (cf. Aristotel. Polit. 5, 11.) *audiebant et ob eandem caussam dicti genere feminino. Nec dubitandum puto, quin illi non feminae sed viri fuerint: quare Plutarchus eos in Dione c.* 28. τοὺς καλουμένους προσαγωγίδας *vocavit.* Potest vero etiam Latinorum *scortum* comparari, quo et viri et feminae significabantur. Similiter de loci lectione atque natura statuit Theilius V. S. Venerabilis, v. ejus *Commentarium.*

nunc ita tractari ut absolvatur ab omni parte. Universam N. Ti dictionem pro variis iis modis quibus differt ab usu veterum Graecorum subiisse Alexandriae examen, non dēmonstratum est. Idque ineptum est dicere, quoniam auctores N. Ti ad eum graeci sermonis usum se conformarunt quem LXX interpretes alexandrini et ipsi praeiverant. Ex quo simul intelligitur, errare eos qui seriores quasdam in flectendis nominibus verbisque formas et quae hujus generis sunt alia, ab alexandrinis grammaticis illata malunt quam ab ipsis profecta sacris auctoribus. Quod reprobandum eo magis est, quum apud eos alexandrinos doctores, qui ut Clemens, ut Origenes, erudite et eleganter scripsere, rariora sint talia, quin etiam mutata in iis locis legantur quos e libris sacris citant. Nec vero majorem probabilitatis quam temeritatis speciem habet qui ad librarios et quidem indoctos — constat enim et ipsos eruditos ut Origenem, ut Pamphilum, ut Euthalium, describentium officio fungi esse solitos — ista referenda ducit. Atque igitur ab hac quoque parte ut commendantur alexandrini, ita reprehenduntur asiatici.

In aliis vero quae ad rem grammaticam spectant, in adjuvanda verborum, dictionum, periodorum perspicuitate atque elegantia elaborasse alexandrinos perhibent. Nec nego equidem, in codicibus talia inveniri multa, sed nequaquam inveniuntur in solis alexandrinis. Quemadmodum Luc. 15, 16. *γεμίσαι τὴν κοιλίαν ἐκ* apud graves nonnullos hujus classis testes unumque mosquensem mutatum est in *χορτασθῆναι ἐκ*, quod, ut etiamnum in scholiis legitur, apparet glossam unam e multis fuisse neque ipsum ab elegantia commendationem habere: ita in solis duobus constantinopolitanis Marc. 9, 49. pro *ἁλισθήσεται* legitur *δοκιμασθήσεται*. Verum est, ter, nisi fallor, formulam illam Lucae, in qua *ἐγένετο* hebraeum redolet, ab alexandrinis multis vitatam esse, sed semel etiam mutata est in codice constantinopolitano (F. cf. Luc. 2, 46.) et plus quadragies ea apud omnes intacta conspicitur. Item dativus ille participii, in quo ad absoluti naturam quaedam accessit attractio, ut Matth. 8, 28. *ἐλθόντι αὐτῷ ὑπήντησαν αὐτῷ*, apud praestantissimos alexandrinos cum genitivo absoluto passim permutatus legitur. At vero eadem ratione apud

constantinopolitanos Tit. 3, 5. pro *ἔργων ἃ ἐποίησαν*, quod consentientes codices antiquissimi una cum Clemente tuentur, mutatum est in elegantius *ἔργ. ὧν ἐποίησ.*; 1 Cor. 10, 16. *τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοιν. ἐστὶν* in simplicius *ὁ ἄρτος* etc. Ita iidem Jo. 19, 38. habent *ὁ Ἰωσ. ὁ ἀπὸ Ἀρ.* pro *Ἰωσ. ἀπὸ Ἀρ.* Rom. 10, 1. *ἡ δέησις ἡ πρὸς τ. θ.* pro *ἡ δέησις πρός* etc. Luc. 5, 7. *τοῖς μετόχοις τοῖς ἐν τῷ πλ.* pro *τ. μετόχοις ἐν* etc. Ita Matth. 14, 6. quod plurimorum codicum alexandrinorum est *γενεσίοις δὲ γενομένοις* s. *ἀγομένοις* multo minus a re grammatica commendatur quam quod fere uno consensu constantinopolitani tuentur *γενεσίων δὲ ἀγομένων*, vel quod ex utrisque habent pauci *γενεσίων δὲ γενομένων*. Pluraque hujus generis afferri facile possunt.

Sed haec ut sint ejusmodi, de quibus in utramque disputari posse partem dicant, proponam quae certo probent. Phil. 2, 1. omnes codices antiquissimi tuentur *εἴ τις σπλάγχνα*. Quod, sive a Paulo sive ab aliena manu profectum est, non potuit ferri ab homine emendationis grammaticae studioso. Similis ratio est formae *καθαρίζων* pro vulgari *καθαρῖζον* Marc. 7, 19. Illud in alexandrinis longe plurimis gravissimisque legitur; utut vero judicatur, grammaticorum oculos non potuit effugere. In Apocalypsi autem quotquot habentur soloecismi vel certe lectiones a lege grammaticorum alienissimae: ab alexandrinis religiose servari solebant, quum plerumque immutarentur atque corrigerentur ab asiaticis. Perpauca afferam exempla. 3, 12. *τῆς Ἱερουσαλὴμ ἡ καταβαίνουσα;* textus receptus habet: *τ. Ἰ. ἣ καταβαίνει.* 5, 8. *ζῶα λέγοντες;* textus receptus: *ζ. λέγοντα.* 7, 9. *ἑστῶτες* et *περιβεβλημένους*; in textu recepto est: *ἑστ.* et *περιβεβλημένοι.* 9, 14. *ἀγγέλῳ ὁ ἔχων;* vulgare est: *ἀγγ. ὃς εἶχε.*

Porro huc pertinet quod particulae quae pro lege et consuetudine Graecorum cum conjunctivo et optativo modis componi solent, ut *ὅπως, ἵνα*, in gravibus codicibus alexandrinis multo saepius quam in textu recepto fit cum indicativo et futuri et praesentis temporis junguntur. Quod si non ad auctores ipsos referendum est, quamvis referri ad eos saepe probabiliter videatur, neglectae potius quam emendatae grammaticae alexandri-

nis suspicionem movet. Ex multis quae in editione mea videre est unum afferam: Tim. 2, 4. ἵνα σωφρονίζουσιν.[51])

Praeterea ut taceam multos eos N. Ti locos, qui in plurimis omnino codicibus ita leguntur ut quadam laborent obscuritate quae facile potuerit removeri emendatoris licentia grammatici, alii a solis alexandrinis mire impediti traduntur. Ita 2 Tim. 4, 1. *Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ κυρίου Ἰ. Χρ. τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς καὶ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, κήρυξον* etc. Act. 4, 25. *ὁ τοῦ πατρὸς ἡμῶν διὰ πνεύματος ἁγίου στόματος Δαυὶδ παιδός σου εἰπών.*

Quibus omnibus hoc efficitur, exstitisse quidem inter varia multa curam emendandae grammaticae causam corrupti textus sacri; ea vero ut solis fuerit alexandrinis vel iis certe prae ceteris maxime, abesse tantum, ut magis etiam conspicua sit in testibus nostris asiaticis.

Tandem quem magna Scholzius laude effert, mirum codicum constantinopolitanorum consensum non tantam quantam vult auctoritatis vim habere, inter alios nuper demonstravit Rinckius[52]) ac facile dictu est. Seculo enim quinto iisque quae proxime secuta sunt conferentes plura varia conficere solebant exemplaria nova: medio vero aevo et postea nulla amplius alia monachis, qui describendi officio fungebantur, fuit cura, quam ut exemplar unum sibi propositum exscriberent quam diligentissime. Cujus rei causas jam Griesbachius docte indagavit; potissima mihi quidem videtur ea fuisse, quod, quum alias graeca literarum sacrarum exempla fere non amplius in usu essent, apud Graecos certus textus publicam quandam auctoritatem nactus isque pro arctiore ea, quae inter coetus erat, communione sancte est propagatus. Quae sententia magnopere eo confirmatur, quod simillima ratio est textus latini. Is in exemplaribus ante seculum fere undecimum exaratis admodum variat; postea autem, multo

---

[51]) Cum Wetstenio praetermisi ad eum locum notare H, quo sane pondus accedit lectioni Lachmannianae. Griesbachius et Scholzius, ut in talibus saepe, variantis lectionis nullam mentionem faciunt.

[52]) Cf. *Lucubratio critica* etc. p. 10.

quidem ante Sixtum V. et Clementem VIII. tantam induit constantiam, ut testante nuperrime Fleckio [53]) codices innumeri seculi XI., XII., XIII. ut militum saga similes sibi esse soleant, quique viderit mille, vidisse unum videatur. Ex ipsis vero codicibus constantinopolitanis, qui uncialibus literis scripti magna caterva paullo sunt antiquiores, propius ad variam alexandrinorum indolem accedunt. Id quod nec Scholzius infitiatus est.

Ceterum majorem quam revera est perhiberi puto codicum praeter constantinopolitanos varietatem. Quod enim limato judicio distinxerunt alexandrinos et occidentales, id perperam improbavit Scholzius [54]). Convenit quidem alexandrina classis cum occidentali in multo pluribus quam cum asiatica, tamen utramque si quis penitius cognitam habet, nisi miscendi contorquendique amans non plane confundet. Itaque laudabiliter Rinckius [55]), quocum fere Lachmannus facere mihi videtur, ex uno fonte duos rivulos emanasse dicit, africanum et latinum; ita ut postquam divisa sunt duo codicum universorum genera, alexandrinum et constantinopolitanum, denuo dividantur in illo quidem duae classes, africana et latina. Atque idem fieri posse in asiatico, quanquam nondum probatum, tamen est probabile. Ita Scholzio discrimen inter palaestinenses et reliquos codices asiaticos intercedere visum est. Ita Hugius novam illam recensionem excogitavit nominavitque Origenianam, quae quidem non ita abhorret a Scholzii palaestinensi. Ita Griesbachius in iisdem fere cum Hugio codicibus non recensionem quidem singularem, sed tamen simile quid inesse voluit. Quoniam autem nihilominus a Scholzio non modo latini sive graecolatini, sed etiam antiquiores codices illi qui interdum prae ceteris mixti audiunt, in alexandrinis ponuntur, major hujus classis

---

53) Cf. *N. T. vulgatae editionis* etc. *cum variantibus lectionibus codicis Amiatini*. 1840. prolegg. p. VIII et XXXIV.

54) In ea quoque re fluctuavit ille, quod, ut ante indicavi, Hieronymum inter constantinopolitanos codices et alexandrinos tenere medium putaverat, post tamen plane confudit alexandrinos cum occidentalibus, ad quos maxime pertinet Hieronymus.

55) Cf. *Lucubratio crit.* etc. pag. 4.

cernitur discrepantia eaque suspecta habetur. Contra vero, ut utar exemplo, evangeliorum codices praestantissimi BCL prorsus consentire solent eosque in uno quarto Marci capite viginti quinque locis conspirare contra constantinopolitanos, Hugius ostendit [56]). Nec obliviscendum est, tum quod saepe manci sunt antiquissimi codices, unde in apparatu dissentire videtur qui tacet, tum quod accuratiore collatione multo saepius quam huc usque visum est conveniunt [57]).

Atque de Scholzio quidem haec hactenus. Optavit ille et cupiit vehementer, ut sollicite expenderentur omnia momenta istius demonstrationis, idque ab iis arbitris qui hoc maxime studiorum genus colunt. (Cf. *Prolegg.* CLVIII.) Feci equidem quod potui. Haec eum boni consulturum spero. Non viri rationem habebam sed sententiae, non novitatis gratiam capturus eram sed sanctam rem pro viribus illustraturus. Neque autem quin haec omni studio exponerem, videbar mihi recte disputaturus reliqua aut curas meas criticas confidenter foras daturus.

Jamvero addam quae restant in pertractanda de recensionibus quaestione, breviterque dicam quamnam idcirco in constituendo textu viam ingrediendam mihi existimaverim.

De singulis recensionum documentis videndum est. In alexandrinis testibus, ubi abs re est, distinguam africanos et latinos, eosque qui textum quendam exhibent mixtum in parenthesi apponam iis quibus accedunt proxime. Sic igitur codices graecos unciales ordinaverim:

In evangeliis sunt *africani* BCLX, Ev. Matth. Z, fragmenta NPQTW*TΓ*. (AKM*Δ*.)
*latinus* D. (de reliquis fere cum Hugio nominandi sunt 1. 13. 69. 124.)
*constantinopol.* FGHSUV (E, fragmenta I).

---

[56]) Cf. *Einleitung* etc. I. p. 211 sq.

[57]) Hoc me ipsum profiteor sexcenties expertum esse quum apparatum Wetstenii, Griesbachii, Scholzii Bentlejana codicis Vaticani collatione in Actis et Epistolis augerem.

In actis *africani*: ABC (fragmentum F).
*latini:* DE.
*constant.* H (G).
In epistolis Paulinis *africani* ABC, fragmenta H.
*latini* DEFG.
*constant.* I.
In epistolis catholicis *africani* ABC.
*constantinop.* H (G).
In apocalypsi *africani* AC.
Inter alexandrinos et constantinopolitanos medium tenere videtur B.

Haec facile cum Griesbachii, Hugii, Scholzii rationibus conferri queunt. Quos enim africanos dixi, Griesbachius dicit alexandrinos, Hugius Hesychianos; latini Griesbachio sunt occidentales, Hugio *ἡ κοινὴ ἔκδοσις;* quos cum Griesbachio constantinopolitànos nominavi, Hugius Lucianeos nominat. Praeterea in AKM Evangeliorum codicibus Hugio inesse visa est Origeniana illa recensio. Scholzio autem praeter constantinopolitanos omnes promiscue vocantur alexandrini.

Praeterea codices cursivis literis scripti fere omnes cum constantinopolitanis faciunt; de paucis qui cum reliquis componi possunt, hi potiores esse videntur: in evangg. 1. 13. 22. 33. 69. 106. 118. 124. 131. 157. 346. 435; in actis et epistolis catholicis 1. 13. 25. 31. 36. 40. 68. 81. 96. 137. 180; in epistolis Paulinis 1. 17. 31. 37. 46. 47. 67.** 71. 73. 109. 176; in apocalypsi 2. 7. 12. 13. 14. 36. 38. 82. 83.

De interpretationibus autem cum constantinopolitanis constanter convenit nulla, sed maxime conspirant Gothica, Slavonicae, Georgiana, quae quidem e codicibus constantinopolitanis facta esse a Scholzio perhibetur, tamen nullius paene videtur usus critici fuisse, atque etiam, quanquam excipienda sunt sat multa, Syriaca posterior. Ceterae omnes ad alexandrinos propius quam ad constantinopolitanos accedunt. Ac latinae quidem quae sint classis, per se intelligitur, nisi quod memorabile est, cum africanis nobilissimis magis consentire antehieronymianas quam vulgatam, quippe cujus tex-

tus e variis codicibus videatur mixtus. Iisque addenda est versio Saxonica. Aegyptiacae vero, sive Coptica, Sahidica, Basmurica, mihi non visae sunt cum latina magis classe quam cum africana facere. Post has proximae sunt alexandrinis Aethiopica, Armenia, cujus quidem prae reliquis suspecta est integritas, et Syriaca hierosolymitana. Porro Arabicae et Persicae, ubi faciunt ad rem criticam, plerumque alexandrinis accedunt. Atque, quae reliqua est, Syriacam veterem, qualis certe innotuit, multo saepius cum alexandrinis, et quidem modo cum africana modo cum latina classe, quam cum constantinopolitanis convenire confirmo.

Patres denique cognati sunt alexandrinis fere omnes usque ad seculum quartum gravesque ex his prae ceteris sunt Marcion, Clemens alexandr., Origenes, Auctor Dialogi contra Marcionitas, Irenaeus, Cyprianus, Tertullianus. De serioribus propiores iisdem quam constantinopolitanis quum plurimi tum potissimum hi sunt: Athanasius, Eusebius caesareensis, Didymus, Cyrillus alex., Macarius, Isidorus pelusiota, Lucifer, Hilarius (incluso Ambrosiastro), Ambrosius, Rufinus, Augustinus, Hieronymus. Quorum qui latinae potius quam africanae classi adscribendi sint, ita ut partim ex antehieronymianis interpretationibus partim e vulgata pependerint, in aperto est. Clementem autem et Origenem ego non dixerim cum africanis minus quam cum latinis concinere. Contra cum constantinopolitanis saepe prae omnibus consentiunt Chrysostomus et Theodoretus. Praeterea saepissime laudantur ac textu usi sunt admodum mixto atque vario Joannes damascenus, Theophylactus, Euthymius. Idem in apocalypsi de Andrea et Aretha dixerim.

Repetendum est vero quod indicavi supra, e communi criticorum sententia integram illibatamque recensionis indolem in nullo fere documento ad nos pervenisse atque adeo in uno eodemque pro diversis librorum sacrorum partibus diversam videri textus rationem[58]). Huc addo, tum recensiones apertiores esse

58) Ita Griesbachius (v. N. T. ed. Schulz. in prolegg. Griesbach.

in evangeliis, actis, epistolis Paulinis quam in catholicis epistolis et in apocalypsi; tum easdem expeditiores in graecis esse codicibus quam in interpretationibus et patribus. Quocum hoc cohaeret, difficile esse dictu, quibusnam potissimum rebus alteri ab alteris differre videantur. Jam relata est Griesbachii sententia qua africani elaborarunt in grammaticis, latini explicando dederunt operam, constantinopolitani studiosius etiam exercuere utrumque. Quae tria si conjunctim tenentur, sine dubio habent veri aliquid. Namque quae contra Scholzium identidem praedicantem emendationem alexandrinorum grammaticam disputavi, disputanda erant propterea quod is tum male in ea re opposuit alexandrinos constantinopolitanis, tum illorum licentiam justo longe majorem sibi informavit. Sed ista quae et ipsa suis circumscribenda finibus sunt, quum nec ex alexandrinae grammaticae nec ex proprie latinae explicationis vestigiis paucis veri aliquod censoris munus confici queat, non ita comparata sunt, ut quid africani, quid latini, quid reliqui valeant, satis cognoscatur. Equidem omnibus etiam atque etiam circumspectis hoc edoctus sum, non ita longe a Griesbachio, Hugio, Eichhornio aliisque discedens, quaecunque et in formis et in rebus per totam fere scripturam sacram textus integritati obesse videntur, ea multo saepius locisque gravissimis in recentioribus i. e. constantinopolitanis inveniri quam in antiquioribus testibus; nisi quod multo cautius adhibendi critico sunt latini quam africani, pariterque interpretationes patresque quam graeci codices. Quod pluribus luculentisque exemplis, praeter ea quae haec jam suppeditat disputatio, alio loco ante oculos ponendum existimavi et explorari a quovis poterit perlustrandis meis curis criticis. Quibus autem quod simpliciter dixi, nec ab ingenii acumine nec a subtilitate doctrinae commendatur, ii velim reputent, fieri ut in re impeditissima studiis strenue absolutis propior veri sit qui

---

p. LXXVII.): *Alexandrinus recensionem sequitur aliam in evv., aliam in epp. Paul., aliam in actibus et epp. catholicis; sic Vaticanus etiam in priore ev. Matth. parte cum occidentalibus facit, in postremis Matth. capitibus et in Marco, Luca ac Joanne cum alexandrinis concinit.* Quae subtilius ille quam verius disputavit.

acquiescat in simplici et explorato quam qui speciosa et incerta jactet.

Consequitur autem, varias testium classes, quanquam esse negari nequeunt, magis tamen pro diversitate terrarum in quibus textus per secula propagabatur quam unius vel complurium certo consilio videri exortas. Licet enim cum quadam probabilitate de certis verisque textus emendatoribus proponi queat conjectura: ea tamen in ipsa exercenda arte critica homini cauto deserenda erit, quoniam istorum studia tum qualia fuerint nos fugit, tum aetatem tulisse etiam atque etiam dubium est, tum ab ullo nobis teste tradi salva, prorsus est incredibile.

Deinde vero clarum est, antiquissimos testes, h. e. fere alexandrinos Scholzii, quaerenti id quod primum exaratum est caterva reliquorum jure haberi potiores eosque sequi praestare ubicunque non vetet causa gravior. Quam quidem inprimis mihi scripsi legem atque ita duxi observandam, ut consensum testium qui ad varias classes pertinere videntur magni facerem neque tamen anteponerem exacto de ipsius lectionis praestantia judicio. Sunt enim etiam quae corrupta et vitiosa esse appareat, diversis interdum maximeque et africanis et latinis communia testibus. Praeterea has potissimum rationes in agnoscendo constituendoque vero textu sequendas puto et ipse secutus sum:

I. Probabilis est lectio ea, quae non neglecto antiquitatis respectu reliquarum in se continere videtur causam.

II. Suspecta sunt, ubi variat lectio, quae e locis geminis sive Novi sive Veteris Testamenti, maxime vero evangeliorum synopticorum quae vocant, videntur invecta esse [59]).

[59]) Equidem nullus dubito quin permagna lectionum variantium pars compositis locis geminis orta sit. Videtur id sane primis fere temporibus actum esse, ut maxime tria priora evangelia quam convenientissima inter se fierent. Hinc in historia textus indaganda antiquissima illud mihi grave videtur quod de Tatiano Syro post Eusebium (*hist. eccl.* 4, 29.) Theodoretus tradidit. Dicit enim, Tatiani evangelio διὰ τεσσάρων dicto non modo usos esse qui ejus erant sectae sed eos etiam qui apostolica dogmata sequebantur, compositionis fraudem non agnoscentes sed simplicius tan-

III. Observanda est ubique ea sermonis graeci conformatio, qua omnes Novi Testamenti auctores a veterum Graecorum consuetudine discedunt.

IV. Diligenter anquirenda et tenenda sunt quae cuique scriptorum sacrorum cogitando, sentiendo, dicendo fuisse videntur peculiaria.

Has paucas leges, quibus singula quae ad rem faciunt continentur omnia, ubivis ita sequi ut testium auctoritas conjuncta cum lectionum praestantia valeat, artis criticae est. Qua in re difficile est, in quam plurimis enucleare verum, quod in omnibus ipsis minutissimis inventum iri unquam plane est desperandum. Potest ea tamen quam ingressus sum via, idque quod sentiam semper erit summum, impetrari hoc, ut et historicam strenue sequaris legem et docto rei ipsius satisfacias examini.

---

quam compendiario libro utentes; ac se ipsum plus ducenta ejus exemplaria in suis coetibus reperisse, iisque collectis atque amotis veros quatuor evangelistarum libros suppeditasse. Cf. *Haeret. fabul. comp.* lib. I. c. XX. (ed. *Sirmondi* IV, 312.)

## II. De hujus editionis adornandae consilio et ratione.

Quas in constituendo textu secutus sum regulas, earum summam breviter proposui modo. Inde intelligebatur, a textu vulgo recepto ita mihi recedendum visum esse, ut in universum nihil commendatum haberem quin commendarent testes vetustissimi. Quod qui rei rationem anteponunt consuetudinis auctoritati probaturos confido; improbantibus autem spero fore ut cum veri cura ipsa tandem persuadeat pietas, causam gravem quo tueare rectius, missa assuetorum gratia haud reformidandam esse novi molestiam. Tueri vero causam rectius eum qui fundamenta ista commoda relinquat quam qui teneat, satis ipsi illi ostenderunt qui in exercenda critica versati sunt aliter. Quorum sunt principes Millius, Wetstenius, Griesbachius. Atque Millius quidem ut Elzeviriorum textum tanquam editionis fundamentum commutavit cum Stephanicae tertiae textu, a quo istum duodêcim tantum locis differre egregie errans perhibet[60]), ita innumeras textus Stephanici lectiones improbat, quas vero habet probatas, eas in prolegomenorum notarumque nube modestia nescio qua abscondidit. Porro Wetstenius quanqaum et ipse textum repetiit Elzeviriorum, tamen in prolegomenis pag. 151 et seq. tum editionem receptam auctoritate publica aut adornatam aut aliis praelatam esse negat, tum eo quo orta est ex pluribus editionibus conflandi unam consilio, destituto illo quidem evidenti κριτηρίῳ, nec paci nec infirmorum conscientiae consultum, atque, ut eruatur veritas, codicum scriptorum, patrum, versionum testimonia, quippe unde omnium unice pendeat editionum auctoritas, dicit esse producenda atque examinanda.

---

[60]) Cf. *N. T. cur. Kuster*. 1710. *Prolegg*. 1307.

Denique Griesbachius in prolegomenorum sectione prima de opinata textus vulgo recepti auctoritate sic disseruit, ut cum singulari quadam sermonis gravitate demonstraret, edendum hodie esse Novum Testamentum ad solam ipsorum antiquorum testium fidem, nulla anteriorum editionum tanquam quae per sese commendatae sint ratione habita [61]).

Jamvero quod probarunt viri de critica sacra meritissimi suaseruntque: id ipsi, sive existimatorum verentes iniquitatem sive refugientes difficultatem operis sive tale quid nonnisi sensim perfici posse persuasum habentes, non exsecuti sunt. Istud tamen satis, opinor, frustra est, ad tuendum vulgatum textum cum Scholzio [62]) provocare ad Griesbachium, qui raro eum mutandum judicaverit. Hic enim primum plurimas textus vulgaris lectiones habuit suspectas nec eas vero missas fecit; tum ut in gravioribus semper fere neglectis illis testibus antiquissimis stetit, ita quae videbantur leviora justo minus curavit; deinde non ea qua par erat diligentia denuo ipse illa exploravit monumenta, quibus maximam omnino auctoritatem tribuit; denique suis se artibus, ut ita dicam, sic implicuit, ut pleraque incerta vagarentur certique quid definiri posset aegerrime.

Primus autem ante hoc fere decennium Lachmannus, Bentleji [63]) se insistere professus vestigiis, graecum Novi

---

[61]) Ad Griesbachium, ne acta agere videar, delego accuratius scituros textus Elzeviriani origines. Breviter quidem omnia sic complexus est, ut dubitem id fieri posse pressius ipsaque ejus verba afferenda existimem: *Editiones recentiores sequuntur Elzevirianam* (anni 1624.); *haec compilata est ex editionibus Bezae et Stephani tertia; Beza itidem expressit Stephanicam tertiam, nonnullis tamen pro lubitu fere ac absque idonea auctoritate mutatis; Stephani tertia presse sequitur Erasmicam quintam, paucissimis tantum locis et Apocalypsi exceptis, ubi Complutensem Erasmicae praetulit; Erasmus vero textum, ut potuit, constituit e cdd. paucissimis et satis recentibus, omnibus subsidiis destitutus praeter versionem Vulgatam interpolatam et scripta nonnullorum, sed paucorum nec accurate editorum, Patrum.* V. *N. T. cur. Schulz. Prolegg.* p. XXXVII.

[62]) Cf. *N. T. Prolegg.* p. CLXVI nota a).

[63]) De eo Hare 1724. referente Frid. Aug. Wolfio (v. *Literar. Analekten.* 1816. p. 48.) sic scripsit: *Ad Novum Foedus ex antiquissimis cdd. pristino nitori restituendum animum adjecit, ut graecum textum ab insana*

Testamenti textum proposuit e solis haustum libris antiquis manu scriptis, atque hinc magnam in perpetuum his studiis criticis utilitatem attulit. Sic ego existimo, non quo cum Lachmanno censeam, fieri posse ut ex iis paucis quibus usus est testibus divulgatissimus seculi potissimum quarti textus eruatur, quod quam saepe steterit teste uno vel duobus, in rebus desperatis habendum esse suo comprobavit exemplo, aut quo ejus quam hucusque curavit editionis egregium putarem esse usum, ut non aliunde accurate discatur, quae vera dubiis locis subsit lectionis varietas: sed quoniam ille post diuturnos verum quaerentium textum errores ausus est novam plane fortiter et cum ratione ingredi viam eam, quae rite secuturos ad praeclaros tandem est perductura eventus. Ad quos quamvis sero demum, iteratis conjunctisque multorum doctorum hominum cordatorumque curis, perventum iri arbitrer, tamen ut perveniatur, et ipse pro mearum virium exiguitate hac editione adjuvisse mihi videor. Qua quidem in absolvenda illud edoctus sum, studia Novi Testamenti critica multis variisque modis ad hunc usque diem jacere neglecta ac largam quae in libris venditari solet lectionum variantium copiam fere esse splendidam quandam miseriem. Id ipse, cui praeter Bengelii, Millii, Wetstenii, Griesbachii, Scholzii aliorumque editiones apparatu instructas critico et varios libellos ad artem criticam pertinentes[64]) commentariosque librorum sacrorum eos qui recenti memoria scripti sunt, nonnisi codices graecos typis exscriptos, interpretationes maxime latinas, gravissimorumque testimonia patrum magna ex parte denuo propriis oculis examinare licuit, exemplis et multis et perspicuis docere facile possum; sed hoc loco dixisse satis habeo, diligenter alibi probaturus ubi abs re id esse intellexero. Hoc tantum tacere

---

*variarum lectionum mole quam recentiores cdd. invexerunt liberaret et Hieronymi versionem ab erroribus purgatam talem daret, qualis e doctissimi Patris manu exiit; opus profecto grande et tanti viri diligentia, acumine, judicio inprimis dignum.*

[64]) Inter hos prae ceteris magno cum fructu usus sum Rinckii *lucubratione critica in acta apostolorum, epistolas catholicas et Paulinas,* quae prodiit Basileae 1830.

nequeo, quod a nemine majori cum negligentia aut levitate apparatui critico prospectum vidi quam a Scholzio. Instar omnium documento erit unum. Tantopere ille enim a Griesbachio pendet, ut errores editionis Griesbachianae typographicos, qui ex parte ne sensum quidem habent patentque literas graecas aliquantulum docto, non modo bona fide repetendos curaverit, sed etiam quas invenisse sibi visus est lectiones variantes ad eosdem notaverit. Ita Apoc. XXI, 2. recipit *κεκοσμένην* notatque unum codicem 2. habere *κεκοσμημένην;* Apoc. XV, 2. pro eo quod vulgare est *ἔχοντας* recipit *ἔχοντες*, in uno codice 13. *ἔχοντας* esse significans; Philem. 11. *νυνὶ δέ σοι καὶ εὔχρηστον* habet omisso *ἐμοί* post *καί*, refertque id addere 44. 174. 219. al.; Eph. VI, 1. *τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ἡμῶν* prodit memoratque *ὑμῶν* lectionem esse codicum I 44. 219. al.; Col. II, 19. pro *αὔξει*, quod omnium facile librorum est, in textu exhibet *αὔξῃ*, notans dissensionm codicum 44. 108. 109. 110. 219. al. mult.; 2 Pet. I, 15. omittit *καί* ante *ἑκάστοτε* scitque variantes codices quinque. Ex talibus ergo, quae exemplis nunc ipsum augere nolo, inprimis hoc perspicitur, tot ubique terrarum repositos codices a viro doctissimo vel iterum vel primo collatos exploratosque esse. Peto autem etiam atque etiam ab iis qui mea sunt ad aliena judicaturi, ut ne me errasse aut in temeritatis crimen incurrisse facile opinentur, ubi hoc suadent duces ii qui plerumque consuluntur. Praeterea certum habeo, cum iisdem me nunc, quod vitari non poterat, repetiisse multa quae novis curis rejicienda erunt. Neque illud infitior, in constituendo textu, quae difficilis et impedita rei ratio est, non semper me ita versatum esse ut versatum me cuperem. Ita vix dubito quin Mt. VI, 12. pro *ἀφίομεν* legere praestet *ἀφήκαμεν* c. BX al. Syr. It. cdd. Or. al.; videtur enim *ἀφίομεν* Lucae esse, ad quem *ἀφήκαμεν* et ipsum transtulerunt Syrus interpres et Origenes. Ita Mc. IX, 28. *εἰσελθόντα αὐτόν* praeferendum duco lectioni *εἰσελθόντος αὐτοῦ*. Quare intelligentes viros reputare velim, tum non ubique me ea textus conformandi libertate ausum esse uti qua utendum existimo, tum delectis iis quas textui supposui lectionibus variantibus hoc spectatum esse,

ut suo quisque judicio varia probaret aut reprobaret. Atque in his quidem notis deligendis hanc rationem secutus sum, ut perscriberem quae gravia viderentur tum pro ipsius lectionis probabilitate, tum pro auctoritate codicum, tum pro commendatione criticorum scientissimorum. Interdum tamen quae vix ulli recipienda videbuntur, eam ob causam retuli, ut in universum testium antiquorum indoles cognosceretur; praeteriique quanquam bonis firmata libris antiquis, quae e locis geminis petita esse nullus dubitabam.

Ubi autem quae ab Elzeviriorum, Knappii, Scholzii, Lachmanni editionibus discedebant, in textum recepi: qua id auctoritate fecerim, religiose indicavi; quum in iis quae cum uno alterove horum communia habeo, pro libri angustiis de testibus saepe tacendum esset. Sed hoc lectores scire dataque opera perspicere velim, ejusmodi locis omni quo par est studio me versatum atque iisdem quibus niti soleo usum esse testibus; ita quidem plerumque, ut auctoritas ubi retenta est major sit quam ubi relata. Quod tamen quam tetigi discrepantiam meae ab illorum editionibus attinet, eam plerumque non notavi ubi cernitur in ordine verborum neque is singulare quoddam momentum habet, in *ἄν* et *ἐάν*, *πάντες* et *ἅπαντες*, *οὐχ* et *οὐχί*, *νῦν* et *νυνί*, *ἕνεκα* et *ἕνεκεν*, *ἐννάτῃ* et *ἐνάτῃ*, *ἐννενήκοντα* et *ἐνενήκοντα*, *γέννημα* et *γένημα* (quae nescio an frustra subtiliter distinxerint), *κἀκεῖ* et *καὶ ἐκεῖ*, *κἀγώ* et *καὶ ἐγώ*, *ἀλλ'* et *ἀλλά*, *ἔλεγεν* et *εἶπεν* (perraro et tantum in evv.), *ὡς* et *ὥσπερ* (ter fere: Mt. VI, 5. et 16. Lc. XVIII, 11.), *εὐθύς* (quod minime ut voluerunt a Marci usu abhorret) et *εὐθέως*, *υἱέ* et *υἱός* aliisque promiscue positis vocativis et nominativis, *οἰκία* et *οἶκος* (rarissime), nominibus neutrius generis compositis cum verbi numero singulari et plurali, atque si quae alia ex eodem plane genere sunt. Tum de quorundam verborum augmentis, ut *ἐδύνατο* et *ἠδύνατο*, *ἔμελλον* et *ἤμελλον*, *ἠργάσατο* et *εἰργάσατο*, *ηὕρισκον* et *εὕρισκον*, quae saepe variant neque dum satis in codicibus observata sunt, nonnisi ubi singularis mihi causa erat, mentionem feci. *Ἐπροφήτευσαν* pro *προεφήτευσαν*, excepto Judae 14., ubique et quidem Mt. VII, 22. XI, 13. XV, 7. Mc. VII, 6. Lc. I, 67.

Jo. XI, 51. Act. XIX, 6. optimis nixus libris mss. recepi; item τὸ ἔλεος pro τὸν ἔλεον Mt. IX, 13. XII, 7. XXIII, 23. Tit. III, 5.; item τὸ πλοῦτος[65]) pro τὸν πλοῦτον Eph. I, 7. II, 7. III, 8. III, 16. Porro saepe non commemoravi varietatem quae cernitur in aoristi formis, ut εἶπα et εἶπον, ἦλθα et ἦλθον, εἱλάμην et εἱλόμην, ἔπεσα et ἔπεσον atque in his formis temporis perfecti: εἴρηκαν et εἰρήκασιν, γέγοναν et γεγόνασιν. Quaecunque vero horum recepi ipse, cum consilio perspectaque firma auctoritate recepi. *N* ἐφελκυστικὸν et ς finale in οὕτως (non idem in consimilibus licere visum est) ubique jure exprimenda existimavi. Αὑτοῦ et αὐτοῦ etc. e plerorumque editorum consuetudine distinxi, quanquam αὑτοῦ formam ubique probabiliter amovendam cum Lachmanno putem, id quod Heb. VI, 7. ἐπ' αὐτῆς, Apoc. IX, 11. ἐπ' αὐτῶν loci cum nonnullis aliis confirmant. Praeterea non retuli plures singulares formas quae interdum a Lachmanno receptae, in multis libris antiquissimis saepe obviae sunt, ut accusativos ἄρσεναν, μῆναν, ποδήρην, εἰκόναν, ut νικοῦντας, τέσσερας, τέσσερα et τεσσεράκοντα[66]), κατασκηνοῖν, πῖν, συνζητεῖν, λήμψονται[67]), quae quidem non statim rejicienda, sed subtilius quam hucusque factum est examinanda duco.

Denique hae textus recepti mutationes non indicatae sunt, quemadmodum nec ea quae ad easdem pertinet editionum collatarum differentia:

1) omisi ὁ Ἰησοῦς Mt. IV, 12. post ἀκούσας δέ, IV, 18. post περιπατῶν δέ, VIII, 3. post ἥψατο αὐτοῦ, IX, 12. om. Ἰησοῦς post ὁ δέ, XIII, 36. om. ὁ Ἰ. post εἰς τὴν οἰκίαν, XIV, 14.

---

65) Hanc formam commendat Knappius uno loco, Eph. II, 7. ubi habent ABDFG al., tacet vero I, 7. ubi probatur codicibus ABDEFG (h. τοῦ πλοῦτος FG), III, 8. ubi est in ABCDFG al. III. 16. ubi commendatur codicibus ABCD*EFG al. Similem in similibus inconstantiam apud eundem et Griesbachium aliosque videre est.

66) Haec tria in Apoc. his fere locis habet IV, 4. 6. 8. V, 8. et 14. VII, 4. XI, 3. XIII, 5. XIV, 1. et 3. XIX, 4. XXI, 17. et quidem auctoritate codicis A, interdum etiam C codicis.

67) Apoc. XIV, 13. *Ln.* recepit etiam ἀναπαήσονται, quod ut ex AC cdd. notavi, ita notandum e *Ln.* erat.

post ἐξελθών, XIV, 22. post ἠνάγκασεν, XIV, 25. post πρ. αὐτούς, XV, 16. om. Ἰησ. post ὁ δέ, XV, 30. mutavi τοῦ Ἰησοῦ cum αὐτοῦ, XVII, 20. omisi Ἰησ. post ὁ δέ, XVIII, 2. om. ὁ Ἰησ. post προσκαλεσάμ. XXII, 37. om. Ἰησ. post ὁ δέ. Mc. VI, 34. om. ὁ Ἰησ. post εἶδεν, XI, 14. post ἀποκριθείς et 15. post εἰσελθών, XII, 41. post καθίσας, Lc. VII, 22. post ἀποκριθείς.

2) omisi αὐτοῦ s. αὑτοῦ post μαθητῶν vocem Mt. VIII, 21. 25. XIV, 22. XV, 36. XVI, 5. 20. XVII, 10. XIX, 25. XXVI, 8. 45. Mc. VI, 41. X, 10.

3) omisi ὅτι ubi simpliciter dicentis verbis praeponitur: Mt. V, 31. VI, 5. 16. IX, 18. 33. XIX, 9. XX, 12. XXI, 16. XXVI, 29. 65. Mc. VI, 16.

Ita etiam praetermisi, quod Knappius Lc. IV, 11. ὅτι omittit, et quod cum Matthaeio Scholzius Mt. XXVI, 38. ὁ Ἰησοῦς addit.

Praeterea breviter explicandum videtur *de locorum* quos vocant *parallelorum* et *argumentorum notatione, de positione accentuum* et *de interpunctione*.

Atque ex illis quidem qui Veteris Testamenti sunt, in editione mea insigniti asterisco, inprimis ea apposui, quae videbantur ad rem facere criticam; tamen eorum quoque, quae ad res spectant historicas, habui rationem, et in Apocalypsi potissimum indicavi quae singulas mirifici operis partes variis modis illustrarent. Ceterum in conferendis V. Ti locis, non neglecto, ubi abs re esse videbatur, ipsius hebraei textus respectu, constanter usus sum LXX interpretum editione Reineccianа a. 1730. Quod autem e Novo petitos Foedere attinet, in evangeliis fere non allata sunt nisi quae accurate sibi invicem responderent. Quapropter nonnulla etiam desiderantur quae ad conformandum textum vim habuere. Ita Mt. I, 25. e vulgari lectione: τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, auctoritate codicum BZ 1. 33. graviumque nonnullorum interpretum atque patrum (αὐτῆς omittunt etiam D** L Cant.) non existimassem υἱόν solum retinendum esse nisi Lc. II, 7. eadem plane illa verba legerentur et in omnibus co-

dicibus intacta essent servata. Sed paucos istos quos desiderari dixi locos ubi quaeras, in promtu est. In epistolis vero et in Apocalypsi, quum non esset similis atque in evangeliis locorum geminorum ratio, studiose et anquisivi et perscripsi quae veras locorum impeditorum lectiones indagantem adjuvarent.

De *argumentis* autem in superiore margine singularum paginarum quoad poterat notatis nihil dicere habeo nisi quod, ubi spatii me angustiae premebant, ea quoque consulebam quae suppeditabant alii.

In *accentibus* et *signis textus dividendi* ponendis antiquorum testium auctoritatem tantum non nullam esse existimo. Quaecunque igitur ab his rebus ad constituendum locorum sensum petuntur, quodammodo conjicientis sunt, estque probanda in his conjiciendi licentia [68]). Atque idem fere dixerim de verborum quos vocant spiritibus, qui potissimum in nominibus propriis variantur; ita Matthaeius, suorum quidem codicum talibus jam instructorum auctoritate nixus ἁβραάμ, Lachmannus Ἡλίας expressit. Qualia in apparatu critico partim praetereunda, partim raro laudanda duxi. De αὑτοῦ et αὐτοῦ etc. jam supra expositum est. Sed in accentuum usu fere unum est quo ab aliorum consuetudine recessi. Pronomina enim personalia, etiamsi formam habent minutam, ubi cum praepositionibus composita sunt, apice notanda duxi, quaeque in libri parte priore sese aliter habent, ea ad hanc legem mutanda sunt. Quae mihi probabilis visa est constantia, quoniam certo demonstrari potest, etiam ubi eminet in pronomine gravitas, minutam formam adhibitam esse; ita Mt.

---

68) Quod praeterea *conjecturae* usum in emendando N. Ti textu attinet, id quidem negari nequit, in tanta subsidiorum criticorum antiquissimorum paucitate, quorum ipsorum textum saepe depravatum esse satis perspectum est, concedendas esse conjecturas atque etiam quae probabilitatis haberent speciem jam esse a multis propositas. Ipse quoque quum contortos quosdam falsique suspectos pertractarem locos, a conjiciendo temperare mihi non poteram. Quod quidem fere fit ut sit et facile et leve. Sed tum propterea, tum quoniam futurum esse unquam dubito ut quae testibus antiquis prorsus destituta sunt in textum vulgarem recipiantur, omnem conjecturarum quae exstat molem recte posse ab hac editione abesse putavi.

III, 14. καὶ σὺ ἔρχῃ πρὸς μέ; [69]) aliquam vero ea pronomina cum praepositionibus juncta gravitatem semper habent dictuque difficile est, ea ubi sit major, ubi minor; nec denique satis apparet, cur σοῦ formae, quam plerumque cum praepositione positam accentu insigniunt, in hac re diversa ratio a μοῦ forma esse statuatur.

*Interpunctionem* autem, quae nondum ab ullo constanti modo praestita est, ad majorem quam apud Knappium aliosque est revocare studii simplicitatem. Id tamen minus feci in priore libri parte, et fere singulis locis quae maxime convenirent exhibui, ut non eorum qui ad sensum erant similes aequabilitatem affectarem. Interdum etiam, ubi absque obscuritate fieri poterat, ita versatus sum ut liberum esset legentibus de loci sensu arbitrium.

Praetereo reliqua quae ad formam graeca scribendi pertinent, et similia alia editioni magis minusve propria; ea enim et clara per se nec improbabilia visum iri spero.

---

69) Hunc tamen locum et ipsum Griesbachius, Matthaeius, Schulzius, Vaterus, Knappius, Scholzius, Lachmannus sic exhibent: Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

---

## III. De editionibus cum hujus textu collatis.

Textum receptum eum secutus sum, quem talem suppeditant Wetstenius et Griesbachius. Constat quidem differre in paucis quibusdam rebus minutis varias ejus editiones, sed redeundo ad primam anni 1624. quid proficiatur non video. Illud vero consentaneum mihi videbatur, ut, quod nondum factum est, diligenter ea componerem quibus ab Elzeviriorum editionibus discedit Stephanica tertia anni 1550. Ad quam quum plures postea conformatae sint editiones ad hasque institutae testium antiquorum collationes: locis ejus a recepto textu discrepantibus quam parum de multorum testium lectione constet, facile intelligitur. Satis autem mirum est, Millium post triginta suorum studiorum annos duodecim tantum in locis differre utrasque opinatum esse iisque Wetstenium non plures quam triginta fere addidisse. Quorum quidem collationes post suppleverunt Birchius in evangeliis et Griesbachius in aliis, atque hic circiter centum discrepantias numerari perhibet. Sed numerum vide infra notatum.

Porro addidi collationem Millianae editionis, quae quanquam ad unam Stephanicam tertiam conformata dicitur, in nonnullis tamen, ut vidi et indicavi, discedit.

Deinde quem Knappius proposuit textum, in hac editione notatum esse volui, quoniam momenta criseos Griesbachianae ad suam ille rem sedulo convertit et apud plurimos nunc in usu est atque auctoritate. Lectionibus Knappianis velim ut ii quorum intererit addant haec uncinis inclusa, a me in notis non ita signata: Mt. IX, 13. (εἰς μετάνοιαν) XXI, 12. (τ. θεοῦ) Mc. IV, 9. (αὐτοῖς) V, 40. (ἀνακείμενον) Lc. II, 45. (αὐτόν) IV, 2. (ὕστερον) 8. (ὕπαγε ὀπίσ. μ. σ.) V, 20. (αὐτῷ) XI, 29. (τοῦ προφήτ.) XVII, 3.

(εἰς σέ) Jo. VI, 58. (τὸ μάννα) Heb. XI, 9. (τήν) Jac. V, 11. (ὁ κύριος) 1 Jo. IV, 3. (Χρ. ἐν σαρκὶ ἐληλυθ.) Apoc. VIII, 9. κτισμάτ. (τῶν) XIII, 17. (καὶ) ἵνα.

Quod vero discrimen inter Griesbachii et Knappii textum infra separatim indicatum attinet, non obliviscendum est, illum fere omnia quae contra hunc in ipso textu retinuit cum aliis ceteroquin multis suspecta habuisse.

Tum quem Scholzius in editione sua probavit textum, per omnia laudandum duxi, quoniam ille prae ceteris asiaticorum quos vocant testium patronum se professus est et suum in criticis tenere locum videtur. Pro eo vero nescio an, qui infra in appendice tractatur, Matthaeium, Mosquensium maxime codicum laudatorem, videre praestiterit. Is in Apocalypsi certe, ubi recessit plane ab Elzeviriis, magna saepe cum probabilitate conformavit textum. Atque sunt Matthaeii potissimum lectiones ita comparatae, ut apparatum criticum nonnunquam suppleant.

De Lachmanno denique plura jam antea vidimus. Addo modo, eum ad orientalem[79]) suum inveniendum textum usum esse 1) codicibus proprie orientalibus ABC, in evv. etiam PQ TZ, in epp. Paulinis etiam H; 2) testibus occidentalibus s. interpretationibus latinis, et quidem in evv. Vercellensi, Veronensi, Colbertina; in actis Cantabrigiensi, in epp. Paul. Claromontana, Germanensi, Boeneriana; in apocalypsi Primasiana. Praeterea etiam de mixtis testibus versionem Vulgatam et codicem graecum Cantabrigiensem consuluit, atque de patribus adhibuit Origenem, Irenaeum, Cyprianum, Hilarium. Ipse de editione sua exposuit in *Theolog. Stud. u. Kritiken* 1830 p. 817—845. et denuo breviter ibidem 1835 pag. 570 sqq., ubi profitetur, dedisse se exemplum librorum sacrorum ita scribendorum ut excluderetur arbitrium.

---

79) h. e. fere alexandrinum. Cf. supra: *de recensionibus* p. XL etc.

His fere locis CXV editio Stephanica tertia (a. 1550.) cum Milliana (cur. Kusteri 1710.) discedit a textu vulgo recepto:

Mt. XIII, 15. habet *συνῶσι* XXI, 7. *ἐπεκάθισεν* XXIII, 13. 14. ponit *ὅτι κατεσθίετε* etc. ante *ὅτι, κλείετε* XXIV, 9. hab. *πάντων τῶν* XXV, 2. *καὶ αἱ πέντε.*

Mc. VI, 9. *ἐνδύσησθε* VII, 29. *ἐν τῷ μνημείῳ* VIII, 3. *ἥκασι* VIII, 24. *ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας* IX, 38. *τινὰ τῷ ὀνόματι* XVI, 20. addit *ἀμήν.*

Lc. VII, 12. hab. *καὶ αὕτη ἦν χήρα, καὶ ὄχλ. τ. πολ. ἱκανὸς σὺν αὐτῇ* (Millius addit *ἦν* ante *σὺν αὐτῇ.*) X, 19. *ἀδικήσῃ* XI, 33. *εἰς κρυπτόν* XII, 20. *ἄφρων* XV, 26. *τῶν παίδων αὐτοῦ* XVII, 1. *τοῦ μή* XVII, 36. om. versum XVIII, 3. hab. *δὲ ἦν* XIX, 4. *συκομωραίαν* XXII, 45. om. *αὐτοῦ* XXIV, 27. hab. *περὶ ἑαυτοῦ.*

Jo. IV, 5. *Συχάρ* IV, 21. *τῷ ὄρει τούτῳ* VI, 28. *τί ποιοῦμεν* VIII, 25. *τὴν ἀρχὴν ὅτι* (Millius: *τ. α. ὅ,τι.*) IX, 10. *σοῦ οἱ ὀφθ.* XIII, 30. 31. *νὺξ ὅτε ἐξῆλθε* XIV, 11. om. *ἐστίν* XVIII, 20. hab. *ὅπου πάντοτε* XVIII, 24. om. *οὖν* XIX, 31. hab. *ἐκείνου.*

Act. II, 36. *ὅτι καὶ κύριον* (Millius: *ὅτι κύριον*) V, 12. *ἐγένετο* VI, 3. *καταστήσομεν* VII, 26. *τῇ τε* IX, 35. *τὸν Σαρωνᾶν* XIV, 8. *περιπεπατήκει* (Millius: *περιεπεπατήκει*) XV, 32. *Ἰούδας τε καί* (Millius: *Ἰούδ. δὲ καί.*) XVI, 17. *καταγγέλλουσιν ἡμῖν* XVII, 25. *κατὰ πάντα* XIX, 27. *μέλλειν δὲ καί* XIX, 33. *προβαλόντων* XXI, 3. *ἀναφάναντες* XXI, 8. *ἦλθον εἰς* XXIII, 16. *τὸ ἔνεδρον* XXIV, 13. *παραστῆσαί με* XXIV, 14. *καὶ τοῖς προφήταις* XXIV, 18. *τινὲς δὲ ἀπό* XXIV, 19. *οὓς δεῖ* XXVII, 3. om. *τούς* ante *φίλους.*

Rom. VII. 6. hab. *ἀποθανόντες* VIII, 11. *διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα* (VIII, 26. per errorem duce Griesbachio refert Scholzius, Steph. 3. habere *προσευξόμεθα.*) IX, 19. *τῷ γὰρ βουλήματι* XII, 11. *τῷ καιρῷ* XVI, 20. om. *ἀμήν.*

1 Cor. V, 7. hab. *ἐτύθη* VI, 14. *καὶ ἡμᾶς* VII, 5. *συνέρχησθε* VII, 29. om. *ὅτι* et hab. *συνεσταλμένος· τὸ λοιπόν ἐστιν ἵνα* etc. XIII, 3. *ψωμίσω* XV, 23. *οἱ Χριστοῦ* XV, 31. *τὴν ἡμετέραν.*

2 Cor. VI, 15. *Βέλιαρ* VII, 12. *ὑμῶν τὴν ὑπὲρ ἡμῶν* VII, 16. om. *οὖν* XI, 1. hab. *ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ* XI, 10. *αὕτη οὐ σφραγίσεται* XIII, 4. *καὶ γὰρ ἡμεῖς.*

Gal. III, 8. *ἐνευλογηθήσονται* IV, 17. *ἐκκλεῖσαι ὑμᾶς.*

Eph. I, 3. om. *ἐν* ante *Χριστῷ* IV, 25. hab. *ἀλλήλοιν* (Mill.: *ἀλλήλων.*).

Phil. I, 23. om. *γάρ* ante *μᾶλλον.*

Col. I, 2. hab. *Κολασσαῖς* II, 14. *ἡμῖν.*

1 Tim. I, 4. *οἰκονομίαν.*

Tit. II, 7. post *σεμνότητα* add. *ἀφθαρσίαν.*

Heb. IV, 15. hab. *πεπειραμένον* IX, 2. *λέγεται ἁγία* X, 2. *ἐπεὶ οὐκ ἂν* X, 10. *οἱ διὰ τῆς.*

Jac. IV. 13. *σήμερον καὶ αὔριον* et *πορευσώμεθα, ποιήσωμεν, ἐμπορευσώμεθα, κερδήσωμεν.*

1 Pet. I, 4. *εἰς ἡμᾶς* II, 21. *ἡμῶν, ἡμῖν* III, 7. *συγκληρονόμοι* III, 11. om. *ἀγαθόν· ζητησάτω* (addit Millius.) III, 21. hab. *ὃ καὶ ἡμᾶς* (Millius: *ᾧ καὶ ἡμᾶς.*) IV, 8. *ὅτι ἀγάπη* (Millius: *ὅτι ἡ ἀγ.*) IV, 13. *ἀλλὰ καθό.*

2 Pet. II, 12. *γεγενημένα* (Millius: *γεγεννημένα.*) II, 18. om. *ἐν* ante *ἀσελγείαις* III, 7. hab. *γῇ αὐτοῦ λόγῳ.*

1 Jo. I, 4. *ἡ χαρὰ ἡμῶν.*

2 Jo. 3. *μεθ' ἡμῶν* 5. *γράφω.*

3 Jo. 7. om. *αὐτοῦ.*

Jud. 19. om. *ἑαυτούς* 24. hab. *φυλάξαι αὐτούς.*

Apoc. II, 5. *ἔρχομαί σοι τάχει* IV, 3. *τοῦ θρόνου ὅμοιος* IV, 10. *προσκυνοῦσι* V, 11. om. *καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων* VII, 3. hab. *σφραγίζωμεν* VIII, 5. *τὸ λιβανωτόν* et *ἐγέμισ. αὐτό* XI, 1. om. *καὶ ὁ ἄγγελος εἱστήκει* XIII, 5. om. *πόλεμον* XVI, 14. h. *σημεῖα ἐκπορεύεσθαι* XIX, 1. om. *ὡς* XIX, 6. h. *ἰσχυρῶν, λέγοντας* XIX, 14. om. *τά* ante *ἐν τῷ* XX, 4. hab. *τὴν εἰκόνα* et *μετὰ Χριστοῦ* XXI, 16. hab. *σταδίων δώδεκα χιλιάδων* XXII, 8. *ἔπεσα.*

---

Griesbachii editio (Vol. I. cur. Schulzii 1827. Vol. II. 1806.) in ipso textu differt a Knappii editione hisce locis.

1) *Lectiones vulgo receptas Griesb. contra Knapp. retinuit*

Mt. VIII, 28. XI, 21. XV, 25. XVIII, 6. XX, 15.

Mc. IX, 6. X, 10. XI, 6. et 32. XII, 31. XIV, 40. et 72.

Lc. II, 24. IV, 11. V, 25. et 36. VI, 23. et 26. VII, 4. VII, 24. 25. 26. IX, 5. XIII, 20. XVII, 3. 30. 35. XIX, 22. et 41. XXII, 30.

Jo. III, 5. V, 3. 4. VI, 11. 40. 63. VII, 53. usque ad VIII, 11. XI, 21. XII, 13. et 34. XIII, 25. XVIII, 15. et 36. XIX, 11. et 26. XX, 2.

Act. II, 7. 23. 40. III, 21. V, 36. VII, 10. 21. 26. 31. 44. IX, 18. X, 10. 12. 19. XI, 25. XIII, 41. et 43. XV, 14. XIX, 4. et 13. XXI, 15. et 20. XXII, 7. XXIII, 15. XXIV, 16. XXVI, 17. et 22. XXVII, 2.

Rom. II, 5. XI, 19. et 30. XV, 33.

1 Cor. I, 28. VII, 8. et 34. VIII, 9. XI, 15. XII, 12. XV, 8. XVI, 24. — 2 Cor. VIII, 12.

Eph. V, 22. — Phil. I, 30. IV, 23. — Col. III, 14.

1 Thess. I, 7. II, 19. III, 13. IV, 8. et 11. — 2 Thess. I, 12. II, 17. III, 18.

1 Tim. V, 21.

Heb. IV, 15. IX, 14. X, 12. et 30. XI, 9.

Jac. I, 27. V, 11.

1 Pet. I, 24. IV, 3. et 8. — 2 Pet. II, 18.

1 Jo. II, 7.

Apoc. I, 9. retinet *Χρ.* I, 12. II, 18. II, 24. *βαλῶ* V, 2. *ἐστίν* V, 13 *πάντα* VII, 12. VIII, 9. X, 4. ret. *ταῦτα* XII, 8. *αὐτῶν* XII, 10. *κατεβλήθη* XIV, 8. *ἄλλ. ἄγγ. ἠκολ.* XIV, 15. *τοῦ θερ.* XV, 3. *Μω. δούλου* XVI, 3. *ἄγγ.* XVIII, 16. *καί* XIX, 2. *ἔφθειρε* XIX, 5. *ἐκ* XX, 3. *καὶ μετα* XXI, 7. *ὁ υἱός* XXI, 9. *τ. νύμφ. τοῦ ἀρν. τ. γυν.* XXI, 18. et 24. *κ. τὴν τιμήν.*

2) *Suas Griesb. contra Knapp. recepit lectiones:*

Mt. V, 27. om. *τ. ἀρχαίοις* VI, 13. om. *ὅτι σοῦ* usque *ἀμήν* VI, 18. om. *ἐν τ. φανερῷ* VIII, 29. om. *Ἰησοῦ* VIII, 31. hab. *ἀπόστειλον ἡμᾶς* IX, 13. om. *εἰς μετάνοιαν* IX, 35. om. *ἐν τ. λαῷ* XII, 35. om. *τ. καρδίας* XIII, 46. h. *εὑρὼν δέ* XVI, 8. om. *αὐτοῖς* XVII, 5. h. *φωτός* XVIII, 29. om. *εἰς τ. πόδας αὐτ.* XVIII, 35. om. *τ. παραπτώματα αὐτ.* XIX, 17. h. *τί με ἐρωτᾷς π. τ. ἀγαθοῦ; εἷς ἐστ. ὁ ἀγαθ.* XX, 6. om. *ἀργούς* XX, 22. et 23. om. bis *καὶ τὸ βάπτισμα* etc. XXIII, 8. om. *ὁ Χρ.* XXIV, 45. h. *τοῦ δοῦναι* XXV, 13. om. *ἐν ᾗ* etc. XXV, 31. om. *ἅγιοι* XXVI, 9. om. *τὸ μύρον* XXVI, 60. h. *καὶ οὐχ εὗρον, πολλ. ψευδομ. προσελθόντων. ὕστερον* etc. XXVII, 35. om. *ἵνα πληρωθῇ* usque *κλῆρ.* XXVII, 64. om. *νυκτός* XXVIII, 20. om. *ἀμήν.*

Idem *ἀμήν* om. Lc. XXIV, 53. Jo. XXI, 25. Rom. XVI, 20. 2 Cor. XIII, 13. Eph. VI, 24. Col. IV, 18. 1 Thess. V, 28. 1 Tim. VI, 21. 2 Tim. IV, 22. Tit. III, 15. Philem. 25. 1 Pet. V, 14. 1 Jo. V, 21. 2 Jo. 13.

Mc. I, 2. om. *ἔμπροσθ. σου* I, 10. h. *ὡς* I, 13. om. *ἐκεῖ* II, 17. om. *εἰς μετάνοιαν* III, 5. om. *ὑγιὴς ὡς ἡ ἄλλη* IV, 4. om. *τ. οὐρανοῦ* et 9. *αὐτοῖς* et 19. *τούτου* et 24. *καὶ προστεθ.* usq. *ἀκούουσι* IV, 38. h. *ἐν τῇ πρύμνῃ* V, 12. om. *πάντες* et ret. *οἱ δαίμονες* V, 40. om. *ἀνακείμενον* VI, 11. om. *ἀμήν* usque *ἐκείνῃ* VI. 16. om. *ἐστίν, αὐτός* VI, 33. om. *οἱ ὄχλ.* et *αὐτόν* et hab. *καὶ ἦλθον ἐκεῖ* omissis *κ. προῆλθ. αὐτοὺς καὶ συνῆλθ. πρ. αὐτόν* VII, 31. h. *εἰς τ. θάλασσ.* VIII, 35. om. *οὗτος* IX, 24. om. *κύριε* IX, 26. h. *κράξας* et *σπαράξας* omisso *αὐτόν* IX, 38. om. *ὃς οὐκ ἀκολ. ἡμῖν* XI, 7. h. *ἐπιβάλλουσιν* XI, 10. om. *ἐν ὀνόμ. κυρ.* XI, 13. h. *ἀπὸ μακρ.* XII, 5. om. *πάλιν* et 27. *θεός* XIII, 14. om. *τὸ ῥηθέν* usque *προφ.* XIV, 22. om. *φάγετε.*

Lc. I, 29. h. *ἡ δὲ ἐπὶ τῷ λόγ. διεταράχθη* I, 75. om. *τῆς ζωῆς* II, 33. h. *ὁ πατ. αὐτοῦ καὶ ἡ μήτ.* II, 44. om. *ἐν* ante *γνωστοῖς* et 45. *αὐτόν* III, 19. om. *Φιλίππ.* IV, 8. om. *ὕπαγε ὀπ. μ. σατ.* et 18. *ἰάσασθαι τ. συντ. τ. καρδ.* et 41. *ὁ Χρ.* V, 20.

om. αὐτῷ VI, 10. om. οὕτως et ὑγιής VI, 28. h. καταρ. ὑμᾶς VII, 44. om. τῆς κεφαλ. VIII, 34. h. τὸ γεγονός IX, 1. om. μαθητ. αὐτοῦ IX, 12. pro ἀπελθόντ. h. πορευθέντες IX, 43. h. οἷς ἐποίει IX, 56. om. ὁ γὰρ υἱός usq. σῶσαι X, 11. om. ἐφ᾽ ὑμᾶς X, 37. pro οὖν h. δέ XI, 2. om. ἡμῶν, ὁ ἐν τ. οὐρ. et γενηθήτω usq. γῆς et ἀλλὰ ῥῦσαι usq. πονηροῦ et 29. τοῦ προφ. XI, 34. add. σοῦ ante ὅταν XIII, 24. pro πύλης h. θύρας XIII, 35. om. ἔρημος XIV, 28. h. εἰ ἔχει εἰς ἀπαρτ. XVII, 36. om. versum XXII, 45. om. αὐτοῦ et 62. ὁ Πέτρ. XXIV, 36. om. ὁ Ἰησ. et 49. Ἱερουσ.

Jo. I, 16. h. ὅτι ἐκ I, 27. om. αὐτός ἐστ. et ὃς ἔμπρ. σου γέγον. et 29. ὁ Ἰω. IV, 5. h. οὗ ἔδωκ. IV, 30. om. οὖν et 31. δέ V, 30. om. πατρός VI, 2. om. αὐτοῦ et 22. ἐκεῖνο usque αὐτοῦ VI, 43. 45. 68. om. οὖν et 58. τὸ μάννα VI, 69. h. ὁ ἅγιος et om. τοῦ ζῶντ. VIII, 39. pro ἦτε h. ἐστέ VIII, 42. et 48. om. οὖν et 46. δέ post εἰ et 59. διελθ. usq. οὕτως IX, 11. h. εἰς τὸν Σιλωάμ XI, 41. om. οὗ ἦν usq. κείμενος XVI, 19. et XIX, 10. om. οὖν.

Act. I, 14. om. καὶ τῇ δεήσ. II, 31. om. ἡ ψυχὴ αὐτ. III, 26. om. Ἰησοῦν V, 25. om. λέγων VI, 13. om. βλάσφημα VII, 14. et 20. om. αὐτοῦ et 37. ὑμῶν et 48. ναοῖς VIII, 18. h. ἰδὼν δέ VIII, 37. om. versum IX, 19. et 26. om. ὁ Σαῦλ. X, 11. om. ἐπ᾽ αὐτόν et 21. τοὺς ἀπ. usq. αὐτόν et 39. ἐσμέν XI, 13. om. ἄνδρας et 28. Καίσαρος XII, 20. om. ὁ Ἡρώδ. XIV, 8. om. ὑπάρχων et 28. ἐκεῖ XV, 18. om. ἐστί usq. αὐτοῦ XV, 33. h. ἀποστείλαντας αὐτούς XIX, 10. om. Ἰησοῦ XIX, 40. h. περὶ οὗ οὐ XX, 28. τ. ἐκκλ. τοῦ κυρίου XXII, 20. om. τῇ ἀναιρ. αὐτ. et 30. ἀπὸ τ. δεσμ. XXIII, 11. om. Παῦλε et 34. ὁ ἡγεμών XXIV. 25. om. ἔσεσθαι et 26. ὅπως λύσ. αὐτ. XXV, 7. h. αἰτιώματα XXVII, 34. pro πεσεῖται h. ἀπολεῖται XXVIII, 30. om. ὁ Παῦλ.

Rom. I, 16. om. τοῦ Χρ. IV, 12. om. τῇ ante ἀκροβ. et 13. τοῦ ante κόσμ. V, 6. post ἀσθενῶν repetit ἔτι VI, 11. om. τῷ κυρ. ἡμῶν VII, 14. h. σάρκινος VIII, 1. om. μὴ κατὰ σ. περιπ. ἀλλὰ κ. πν. X, 1. om. ἐστίν XI, 6. om. εἰ δὲ ἐξ usque ἔργον XII, 11. h. τῷ καιρῷ XIII, 1. om. ἐξουσίαι et 9. οὐ ψευδομ.

XV, 29. om. τοῦ εὐαγγ. τοῦ XVI, 25. 26. 27. post XIV, 23. ponit.

Subscriptiones om. in omnibus epistolis.

1 Cor. II, 4. om. ἀνθρωπίνης et 13. ἁγίου III, 1. h. σαρκίνοις III, 5. om. ἀλλ' ἤ V, 13. om. καί ante ἐξαρεῖτε VI, 20. om. καὶ ἐν τῷ usq. θεοῦ VII, 38. h. καὶ ὁ μὴ γαμίζων IX, 10. ἐπ' ἐλπίδι τοῦ μετέχειν et 15. οὐ κέχρημαι οὐδενί X, 13. om. ὑμᾶς et 23. bis μοί et 24. ἕκαστος XI, 24. om. λάβ. φάγ. XV, 39. om. σάρξ.

2 Cor. IV, 10. om. κυρίου et 12. μέν VIII, 21. h. προνοούμενοι γάρ IX, 10. χορηγήσει, πληθυνεῖ, αὐξήσει X, 7. om. Χριστοῦ XII, 11. om. καυχώμενος XII, 21. post ταπεινώσῃ repetit μέ.

Gal. III, 1. om. τῇ ἀληθ. μὴ πείθ. et 12. ἄνθρωπος IV, 6. h. καρδίας ἡμῶν IV, 26. om. πάντων V, 19. om. μοιχεία.

Eph. III, 3. h. ἐγνωρίσθη III, 9. om. διὰ Ἰησ. Χρ. IV, 9. om. πρῶτον V, 23. om. καί ante αὐτός VI, 12. om. τοῦ αἰῶνος.

Phil. I, 8. h. Χρ. Ἰησ. II, 1. εἴ τις σπλάγχνα II, 4. ἕκαστοι II, 9. τὸ ὄνομα III, 16. om. κανόνι, τὸ αὐτὸ φρ. et 21. εἰς τὸ γεν. αὐτό IV, 14. om. Χριστῷ.

Col. I, 2. om. καὶ κυρ. Ἰ. Χρ. I, 10. om. ὑμᾶς et h. τῇ ἐπιγνώσει I, 14. om. διὰ τ. αἵμ. αὐτ. et 28. Ἰησοῦ II, 2. om. καὶ πατρ. κ. τοῦ Χρ. et 11. τ. ἁμαρτ. III, 18. om. ἰδίοις.

1 Thess. III, 2. h. καὶ συνεργὸν τοῦ θεοῦ.

2 Thess. II, 4. om. ὡς θεόν III, 6. h. παρελάβοσαν.

1 Tim. III, 3. om. μὴ αἰσχροκ. III, 16. pro θεός h. ὅς IV, 12. om. ἐν πν.

2 Tim. II, 13. h. ἀρνήσ. γάρ IV, 1. om. οὖν ἐγώ et τοῦ κυρ. et h. καί pro κατά.

Tit. II, 10. h. τὴν τοῦ σωτῆρος.

Philem. 7. h. χαράν.

Heb. II, 7. om. καὶ κατέστησ. usq. σοῦ III, 1. om. Χριστόν VII, 16. h. σαρκίνης IX, 10. pro δικαιώματα h. δικαιώμασι X, 9. om. ὁ θεός.

Jac. I, 26. om. ἐν ὑμῖν II, 3. om. αὐτῷ.

1 Pet. I, 12. h. ὑμῖν I, 23. om. εἰς τ. αἰῶνα.

2 Pet. I, 9. h. ἁμαρτημάτων III, 10. om. ἐν νυκτί.

1 Joh. IV, 3. om. *Χριστὸν ἐν σ. ἐληλ.* V, 7. om. *ἐν τῷ οὐρ.* usque *γῇ*.

Apoc. I, 8. om. *ἀρχ. καὶ τέλ.* I, 17. om. *χεῖρα* et *μοί* II, 3. h. *οὐκ ἐκοπίασας* IV, 3. om. *ἦν* post *καθήμ.* IV, 7. h. *τὸ πρόσωπ. ἀνθρώπου* V, 14. om. *εἰκοσιτέσσ.* et *ζῶντι* usq. *αἰώνων* VII, 14. h. *ἐλεύκαναν αὐτὰς ἐν.* X, 4. om. *τὰς φων. ἑαυτ.* XI, 19. h. *τ. διαθήκης τοῦ κυρίου* XVI, 4. 8. 10. 12. om. *ἄγγελος* XIX, 1. om. *καὶ ἡ τιμή* XIX, 19. h. *τὸν πόλεμον* XX, 4. h. *τὸ θηρίον* et om. *αὐτῶν* XX, 8. h. *εἰς τὸν πόλ.* XX, 11. h. *ἐπ' αὐτόν* XXI, 1. h. *ἀπῆλθον* XXI, 4. om. *ὁ θεός* XXI, 6. h. *δώσω αὐτῷ* XXI, 23. h. *φαίνωσιν αὐτῇ* XXII, 2. om. *ἕνα* XXII, 5. h. *ἔσται ἔτι καὶ οὐ χρεία* XXII, 7. h. *καὶ ἰδού* XXII, 10. om. *ὅτι*.

---

Matthaeius (in editione III tomorum 1803. 1804. 1807.) contra edd. Elzeviriorum, Knappii, Scholzii textum sacrum his fere mutavit locis:

Mt. I, 10. h. *μανασσῆν* III, 11. om. *καὶ πυρί* V, 47. h. *τοὺς φίλους* X, 4. om. *ὁ* ante *ἰσκαριώτης* XII, 13. h. *ἀπεκατεστάθη* XIII, 15. *ἰάσομαι* et 32. *μεῖζον πάντων* et 33. *ἔκρυψεν* XV, 32. *νῆστις* XVIII, 19. *πάλιν ἀμήν* XX, 2. *καὶ συμφωνήσας* XXII, 37. om. *τῇ* ante *καρδ.* et ante *ψυχῇ* XXII, 39. h. *ὁμοία αὕτη* XXIII, 21. *ὁ ὀμνύων* XXIII, 37. *ἀποκτένουσα* XXIV, 32. *ἐκφυῇ* XXVI, 33. *ἐγὼ δέ* et 35. *ἀπαρνήσωμαι* et 52. *ἀποθανοῦνται* pro *ἀπολοῦνται* XXVI, 75. om. *τοῦ* ante *ἰησοῦ* XXVII, 41. h. *πρεσβ. καὶ φαρισαίων* et 46. *λιμά* XXVIII, 9. om. *ὁ* ante *ἰησοῦς*.

Mc. I, 6. h. *ὁ ἰωάνν.* II, 26. om. *τοῦ* ante *ἀρχιερ.* IV, 8. et 20. ter h. *ἐν* pro *ἓν* IV, 22. om. *τὶ* V, 16. h. *διηγήσ. δέ* VI, 16. om. *ὁ* ante *ἡρώδ.* VI, 33. h. *αὐτοὺς πολλοί* VII, 32. *μογγιλάλον* VIII, 3. *νῆστις* et 6. *καὶ εὐχαριστήσας* et 13. *εἰς πλοῖον* et 25. *ἀπεκατεστάθη* IX, 4. et 5. *μωυσῇ* et 25. *ὁ ὄχλος* X, 21. om. *τοῖς* ante *πτωχ.* et 24. ante *χρήμασιν* X, 25. h. *εἰσελθεῖν ἢ πλούσ.* X, 33. om. *τοῖς* ante *γραμματ.* XI, 18. h.

ἀπολέσωσιν XII, 5. δαίροντες XII, 23. om. οὖν XIII, 28. h. ἐκφυῇ et 28. ἢ ὥρας XIV, 32. h. προσεύξομαι et 35. προσελθὼν XV, 22. ἐπὶ γολγοδὰν τόπον et 32. πιστεύσ. αὐτῷ et 34. λιμά XVI, 1. μαρία ἰακώβου XVI, 20. add. ἀμήν.

Lc. I, 34. h. ἔσται μοι et 50. εἰς γενεὰν κ. γενεάν IV, 4. om. ὁ ante ἄνθρ. V, 8. om. τοῦ VI, 10. om. οὕτως et h. ἀπεκατεστ. VI, 34. om. οἱ ante ἁμαρτ. VII, 9. h. οὔτε VII, 12. om. ἦν ante σύν VII, 24. h. τοῖς ὄχλοις IX, 1. om. μαθητ. αὐτ. IX, 20. et 33. om. ὁ ante πέτρ. X, 8. h. καὶ εἰς ἣν ἂν XI, 6. om. μοῦ XI, 8. h. ὅσον XI, 44. om. οἱ ante περιπατ. XII, 15. h. ἡ ζωὴ αὐτῷ et 53. ἐπὶ υἱῷ XIII, 29. om. ἀπό XIV, 15. h. ἄριστον XVI, 14. ἐκλείπητε XVII, 6. ἔχετε et 7. ἀνάπεσε XVII, 36. om. versum XVIII, 5. h. ὑποπιάζῃ et 7. ποιήσῃ XVIII, 9. om. καί et 28. ὁ XIX, 23. om. τήν XIX, 48. h. ποιήσουσιν XX, 1. οἱ ἱερεῖς XX, 19. om. τὸν λαόν XX, 31. h. αὐτὴν ὡσαύτως et καὶ οἱ ἑπτὰ οὐ κατέλιπον etc. XX, 35. ἐκγαμίζονται XXI, 2. τινὰ καί XXII, 4. om. τοῖς ante στρατηγ. XXII, 5. h. ἀργύρια et 9. ἑτοιμάσομεν et 32. ἐκλίπῃ et 34. φωνήσῃ et 36. πωλήσει, ἀγοράσει XXII, 66. om. τέ post ἀρχιερεῖς XXIII, 8. om. τόν ante βαραββᾶν et 54. καί ante σάββατ. XXIII, 55. h. δὲ γυναῖκες XXIV, 10. ἡ ἰακώβου.

Jo. I, 42. h. μεσίαν et IV, 25. μεσίας II, 19. om. ὁ ante ἰησοῦς. — Idem facit VI, 29. VII, 21. 39. XI, 51. XII, 12. 30. XVIII, 8. 37. — III, 23. h. σαλήμ III, 28. om. μοί III, 38. h. τὴν ζωήν IV, 3. om. πάλιν V, 1. h. ἡ ἑορτή et 4. καὶ ἐταράσσετο VI, 15. om. πάλιν et 39. ἐν et 70. ὁ ἰησοῦς VII, 41. om. δέ poster. VII, 53. h. ἀπῆλθεν VIII, 1. καὶ ὁ ἰησ. et 2. πάλιν βαθέος ἦλθ. ὁ ἰησ. et 3. ἐν τῷ μέσ. et 5. ἡμῶν sine ἡμῖν VIII, 6. in f. add. μὴ προσποιούμενος VIII, 7. h. εἶπ. αὐτοῖς et om. τόν ante λίθ. VIII, 10. pro καὶ μηδ. usq. γυναικός h. εἶδεν αὐτὴν καί, tum om. αὐτῇ et ἐκεῖνοι VIII, 11. add. ἀπὸ τοῦ νῦν VIII, 12. h. περιπατήσῃ IX, 20. ἀπεκρίθ. δέ X, 8. om. πρὸ ἐμοῦ et 22. τοῖς XII, 13. om. ὁ ante βασιλ. XII, 17. h. ὅτε τόν et 40. ἰάσομαι XIII, 25. add. οὕτως et 36. ἐγώ XIII, 38. h. φωνήσῃ XIV, 3. om. καί ante ἑτοιμάσ. XVII,

2. h. δώσει et 24. ἣν δέδωκας XVIII, 25. ἠρνήσ. οὖν et 28. πρωΐ XIX, 38. om. δέ et ὁ ante ἰωσήφ.

Act. III, 3. om. λαβεῖν III, 21. h. πάντων τῶν IV, 2. τῶν νεκρῶν 5. ἀρχ. καὶ τούς 17. ἀπειλησόμεθα 21. κολάσονται V, 5. ὁ ἀνανίας 36. προσεκλήθη VII, 22. om. ἐν ante ἔργοις 39. h. τῇ καρδίᾳ 58. om. αὐτῶν VIII, 1. h. πάντες δέ 10. om. πάντες 13. h. δυνάμ. κ. σημεῖα γενόμενα IX, 8. ἀνεωγμ. τε 17. om. ἰησοῦς et 18. παραχρ. 21. h. ἐλήλυθεν 26. ἐν 28. om. κ. ἐκπορ. et 38. δύο ἄνδρ. X, 1. om. ἦν et h. σπείρας 5. h. τὸν ἐπικαλ. πέτρ. XI, 26. om. ἐν XIII, 23. h. σωτηρίαν 24. μεταν. τῷ ἰσραήλ 27. om. ἐν 41. h. ὃ omisso ἔργον XIV, 13. ἤθελον XV, 18. om. versum 22. om. τῷ 34. om. versum XVI, 12. h. ἐν αὐτῇ τῇ 34. ἠγαλλιᾶτο XVII, 18. τινὲς δὲ καί 25. κατὰ πάντα 27. καίγε XIX, 27. δὲ καί 40. περὶ οὗ οὐ et δοῦναι pro ἀποδ. XX, 13. προσελθ. 15. τρωγιλλίῳ 21. om. χριστόν 28. h. τ. ἐκκλ. τοῦ κυρίου καὶ θεοῦ 35. τὸν λόγον XXI, 4. om. τούς 13. h. ἀπεκρ. τε 29. ἑωρακότες 33. ἐγγίσ. δέ 37. om. τι XXII, 12. h. κατοικ. ἐν δαμασκῷ ἰουδ. 20. om. καί XXIII, 9. h. ἀναστάντ. γραμματεῖς τοῦ μέρους 10. καταβῆναι καί 16. τὸ ἔνεδρον 35. om. τοῦ ante ἡρώδ. XXIV, 6. h. κρίναι 13. παραστ. με 14. καὶ τοῖς προφ. 16. ἔχων πρός τε τόν 19. δεῖ XXV, 20. om. εἰς XXVI, 18. h. ἀποστρέψαι 32. ἐπικέκλ. XXVII, 1. σπείρας 27. ἀρτέμωνα XXVIII, 3. διεξελθ. 11. ἤχθημεν 27. ἰάσομαι.

Rom. VIII, 26. προσευξόμεθα XIII, 1. εἰ μὴ ὑπὸ θεοῦ.

1 Cor. VI, 16. om. ἤ VI, 19. h. τὰ σώματα VII, 39. ἐὰν δὲ καί et om. αὐτῆς IX, 27. h. ὑποπιάζω XII, 21. δὲ ὁ ὀφθ. XIII, 3. καυθήσομαι (?) XIII, 9. δὲ γινώσκ. XIV, 7. διδῶ XVI, 23. τοῦ κυρίου ἡμῶν.

2 Cor. I, 15. τὸ πρότερον V, 21. γενώμεθα VII, 12. ὑμῶν την ὑπ. ἡμ.

Gal. III, 1. ἐβάσκηνεν IV, 4. γεννώμενον ἐκ.

Eph. II, 21. om. ἡ IV, 32. h. ἐχαρίσ. ἡμῖν. VI, 17. δέξασθαι.

Phil. I, 23. om. γάρ II, 1. εἴ τις παραμύθ. et εἴ τις σπλάγχνα III, 1. τὸ ἀσφαλές III, 13. οὔπω.

Col. I, 2. κολασσαῖς.

1 Thess. I, 12. *μαρτυρόμενοι* III, 3. *τὸ μηδένα.*

1 Tim. IV, 8. *ἐπαγγελίας* V, 21. *πρόσκλησιν.*

Tit. II, 7. post *σεμνότ.* add. *ἀφθαρσίαν.*

Heb. III, 1. *ἰησοῦν χριστόν* IV, 2. *συγκεκραμένους* X, 10. *ἐσμὲν οἱ* XII, 7. *εἰς παιδείαν* XII, 28. *ἔχωμεν* et *λατρεύομεν.*

Jac. I, 5. *καὶ οὐκ ὀνειδίζ.* II, 8. *ὡς ἑαυτόν* II, 13. *κατακαυχᾶ τε* IV, 4. om. *οὖν* IV, 14. h. *ἀτμὶς γ. ἔσται* et *ἐπ. δὲ καί* (?) V, 7. *ἐπ᾽ αὐτόν* et om. *ἄν* V, 11. om. *ὁ κύρ.* V, 12. h. *εἰς ὑπόκρισιν.*

1 Pet. II, 17. *ἀγαπήσατε* III, 1. *κερδηθήσονται* 4. *ἐνώπ. θεοῦ* 16. *καταλαλοῦσιν* IV, 8. om. *ἡ* IV, 11. h. *ὡς χορηγεῖ* V, 8. *τινὰ καταπιεῖν.*

2 Pet. I, 2. *ἰησοῦ χριστοῦ τοῦ* etc. I, 4. *δι᾽ ὧν τὰ τίμια ἡμῖν κ. μέγιστα ἐπ. δεδώρ.* III, 10. om. *οἱ* ante *οὐρ.*

1 Jo. I, 4. h. *χαρὰ ἡμῶν* II, 5. *ἐστ. αὕτη* 29. *ἴδητε* III, 23. om. *ἡμῖν* IV, 2. h. *γινώσκεται* 3. om. *τόν* ante *ἰησ. χρ.* 16. in f. add. *μένει* 20. h. *μισεῖ* V, 6. om. *ὁ* ante *χριστ.* 20. h. *καὶ ζωὴ ἡ αἰώνιος.*

Jud. 15. *ἐλέγξαι* 19. om. *ἑαυτούς* 23. om. *τοῦ* ante *πυρός* 24. h. *αὐτούς.*

Apoc. I, 4. *ἀπὸ θεοῦ ὁ ὢν* et *ἃ* omisso *ἐστίν* 9. *κοινωνός* et *ἐν χρ. ἰησ.* 12. *καὶ ἐκεῖ ἐπέστρ.* II, 10. *παθεῖν* et *ἰδοὺ δή* et *ἡμέρας δέκα* 13. *ἡμέραις αἷς* 20. *ἣ λέγει* 27. *συντριβήσεται* III, 2. *ἃ ἔμελλες ἀποβάλλειν* 3. om. *καὶ ἤκ. κ. τήρ.* 7. h. *καὶ οὐδ. κλείσει αὐτὴν εἰ μὴ ὁ ἀνοίγων καὶ οὐδ. ἀνοίξει* 18. *κολλύριον, ἵνα ἐγχρίσῃ* 19. *ζήλευε* IV, 2. om. *καί* ab init. 3. om. *καὶ ὁ καθήμ.* et h. *ὁμοίως ὅρασις σμαρ.* 7. h. *ἔχον πρόσ. ἀνθρώπου* et om. *ζῶον* post *τέταρτ.* 9. h. *δώσι* 11. *ὁ κύρ. καὶ ὁ θεὸς ἡμῶν ὁ ἅγιος* V, 3. ter *οὔτε* 5. *ὁ ἀνοίγων* 6. *ἅ εἰσι* et *ἀποστελλόμενα* 8. *κιθάραν* 12. *τὸν πλοῦτον* 13. *ἐπὶ τῷ θρόνῳ* 14. *λέγοντα τὸ ἀμήν* VI, 2. *καὶ ἴδε* omisso *καὶ εἶδον* atque sic etiam v. 5; v. 7 et 8. VI, 4. om. *καί* ante *ἵνα* 8. h. *ἠκολούθ. αὐτῷ* 9. *μαρτυρίαν τοῦ ἀρνίου* 10. *ἐκ τῶν* 13. *βαλοῦσα* 14. *ἑλισσόμενος* 16. *ἐπὶ τῷ θρόνῳ* VII, 1. *ἐπί τι δένδρ.* 5. *ἐσφραγισμέναι*, sic etiam 8. praetereaque id non repetit 9. om. *αὐτόν* et h. *ἑστῶτας* et *φοίνικας* 10. *ἐπὶ τῷ θρόνῳ* 11. *εἱστή-*

κεισαν 15. ἐπὶ τῷ θρόνῳ 16. οὐδ' οὐ μὴ πέσῃ 17. ποιμαίνει et ὁδηγεῖ VIII, 8. om. πυρί 9. om. τῶν post κτισμ. 11. h. ἐγένετο 12. καὶ τὸ τρίτον αὐτῆς μὴ φανῇ, ἡ ἡμέρα κ. ἡ etc. IX, 2. om. καὶ ἠν. τὸ φρ. τ. ἀβ. et h. καμίνου καιομένης 10. καὶ ἐν τ. οὐρ. αὐτ. ἐξουσίαν ἔχουσιν 11. ἐν δὲ τῇ ἑλλην. 12. ἔρχεται 14. λέγοντος 15. ὥραν καὶ εἰς τὴν ἡμ. 16. τοῦ ἵππου et pro δισμυρ. h. μυριάδες 18. ἀπὸ τοῦ πυρός 19. ὄφεων 20. om. καὶ τὰ χαλκ. 21. h. φαρμάκων X, 1. om. ἄλλον 2. h. βιβλίον 6. ὤμοσε τῷ 9. βιβλιδάριον 10. βιβλίον 11. λέγουσιν et καὶ ἐπὶ ἔθν. XI, 8. τῆς πόλ. 9. om. καί ante ἥμισυ. 10. h. δῶρ. δώσουσιν 11. εἰσῆλθ. εἰς αὐτούς 12. κ. ἤκουσα 13. om. καί ab init. et h. τῇ ἡμέρᾳ 14. om. ἰδού 16. h. ἐνώπ. τοῦ θρόνου τ. θ. οἳ κάθηνται 19. ἠνοίχθη XII, 6. ὑπὸ τ. θ. et ἐκτρέφ. 7. om. τοῦ ante πολεμῆσ. 9. om. ὁ ante σαταν. 12. om. οἱ ante οὐρ. 14. h. ὅπως τρέφηται XIII, 3. ὡσεὶ ἐσφαγμ. 4. τῷ δεδωκότι et δυνατός 5. μεγάλα κ. βλασφημίαν 6. om. καί ante τούς 10. h. εἴ τις αἰχμαλωσίαν, ὑπάγει· εἴ τις ἐν μαχαίρᾳ, δεῖ αὐτ. ἀποκτ. 11. om. δύο 13. h. ἐπὶ τὴν γ. 14. τοὺς ἐμοὺς τούς et καὶ ἔζησ. ἀπὸ τ. μαχ. 15. om. ἵνα poster. 16. h. ἵνα δώσωσιν et χαράγματα 18. om. καί XIV, 1. h. ἑστός et ἀριθμὸς ἑκατόν 4. ὑπὸ ἰησοῦ ἠγόρ. 6. om. ἄλλον 7. h. τὸν κύριον et προσκ. αὐτὸν τὸν ποιήσαντα 8. om. semel ἔπεσεν, tum om. ἥ et h. πάντα τά 18. φων. ἐν κραυγ. et ἤκμασεν ἡ σταφυλὴ της γῆς 19. ἐξέβαλεν XV, 2. ἐκ τῆς εἰκόνος κ. ἐκ τ. θηρ. αὐτοῦ 4. δοξάσει et μόνος ὅσιος, ὅτι πάντες 6. om. ἐκ τ. ν. et h. οἳ ἦσαν ἐνδεδυμ. 8. ἐκ τοῦ καπνοῦ XVI, 1. om. ἐκ τ. ν. 12. h. ἀνατολῆς 16. μαγεδών XVII, 3. γέμον ὀνόματα 4. om. καί ante κεχρυσ. 6. om. ἐκ prius et καί prius 8. h. κατοικ. τὴν γῆν et ἐπὶ τοῦ βιβλίου 11. καὶ οὗτος ὄγδοος 13. om. τήν ante ἐξουσ. 16. om. καὶ γυμνήν 17. h. ἄχρι τελεσθῶσιν XVIII, 1. om. καί ab init. 2. om. semel ἔπεσεν 3. h. πεπώκασι 4. ἔξελθε 5. ἐμνημ. αὐτῆς 6. διπλώσ. τὰ διπλ. ὡς καὶ αὐτή, καὶ κατά, tum ποτηρίῳ αὐτῆς 8. om. καί ante πένθος 9. h. ἐπ' αὐτήν 11. κλαύσουσι καὶ πενθοῦσιν 12. πορφυροῦ 13. κινναμώμου 14. εὕρῃς 16. om. semel οὐαί et h. βύσσον et om. ἐν 19. h. καὶ λέγοντες XIX, 3. εἴρηκεν 4. ἐπὶ τῷ θρόνῳ 10. om. τοῦ

ante *ἰησοῦ* prius 12. om. *ὡς* et h. *ἔχ. ὀνόματα γεγραμμένα καὶ ὄνομα* 13. *κέκληται* 17. om. *ἕνα*, h. *ἐν φωνῇ* et *τὸν δεῖπν. τὸν μέγαν* XX, 2. *σαταν. ὁ πλανῶν τὴν οἰκουμένην ὅλην* 3. om. *καί* ante *μετά* 4. h. *τὸ θηρίον οὐδὲ τήν* etc. 5. om. *οἱ* usq. *ἔτη* 6. h. *μετὰ ταῦτα* pro *μετ' αὐτοῦ* 7. *καὶ μετὰ τὰ χίλ. ἔ.* 9. *ἐκύκλευσαν* 11. *ἐπ' αὐτόν* 12. *τοὺς μεγ. κ. τοὺς μικρ.*, *ἤνοιξαν* 13. *ἔργα αὐτοῦ* XXI, 3. om. *αὐτ. θεός* 5. om. *μοί* et *οὗτοι*, h. *τοῦ θεοῦ εἰσ.* 6. *γέγονα ἐγὼ τό.* 7. *δώσω αὐτῷ* pro *κλῆρον.* 9. *γεμούσας ἑπτά* et *τ. γυναῖκ. τ. νύμφ. τ. ἀρν.* 10. *ἐκ τοῦ οὐρ. ἐκ τ. θεοῦ* 12. *ἃ ἐστ. ὀνόματα* 15. om. *καὶ τὸ τεῖχ. αὐτ.* 16. h. *δεκαδύο χιλιάδων, δώδεκα* 17. om. *ἐμέτρησεν* 19. om. *καί* ab init. 23. h. *φαίνωσιν. αὐτὴ γ.* 24. *φέρ. αὐτῷ δόξ. κ. τιμὴν τ. ἐθνῶν εἰς αὐτήν* 26. add. in f. *ἵνα εἰσέλθωσιν* 27. h. *καὶ ὁ ποιῶν* XXII, 2. *ἐντεῦθ. κ. ἐκεῖθ.* et *ἀποδιδούς* 5. *οὐ χρ. λύχνου κ. φωτός, ὅτι* 6. *λέγει* 8. *κ. ὅτε εἶδον* 10. *ὁ καιρ. γάρ* 15. *πᾶς φιλῶν* 18. *ἐπιθήσαι* 19. *ταύτης, ἀφέλοι* 21. *πάντ. τῶν ἁγ. ἀμήν.*

---

## IV. Index subsidiorum criticorum cum explicatione signorum scribendique compendiorum.

---

### A. Codices graeci

#### 1) evangeliorum

##### a) *literis scripti uncialibus.*

A. Alexandrinus. Mutilus est Matth. I, 1—XXV, 6; Jo. VI, 50—VIII, 52. Praeterea multae literae per totum librum abscissae sunt. Servatur Londini in museo Britannico; putatur esse seculi V. Novum Testamentum, quod cum Vetere complectitur, typis exscriptum est cura Woidii Londini 1786. fol. Varias ejus lectiones excerptas edidit Spohnius in *Woidii Notitia codicis Alexandrini* 1788. 8.

B. Vaticanus, signatus numero 1209. Continet utrumque Testamentum. Scriptus est ex Hugii sententia ante medium sec. IV. Post Lucam Brugensem, qui a Wernero Noviomago excerpta publicavit usuique Millio atque Wetstenio fuit, et Caryophilum, cujus collationem edidit Possinus, de eo excerpendo meruere Birchius et Bentlejus. Hujus collatio qua in evv. Lucae et Joannis ipse Birchius usus est multisque per totum Testamentum locis utiliter uti poterat ad supplendam suam, exhibetur in appendice ad editionem N. Ti gr. e cod. ms. alex. a C. Godofr. Woidio (Oxon. 1799.), estque longe prae-

stantissima. Tamen fit ut quid legerit Bentlejus non satis liqueat. Alia etiam codicis collatione, anno 1669. a Julio de st. Anastasia facta servataque in biblioth. reg. paris. in adornanda sua N. Ti editione se usum dicit Scholzius.

C. Regius (Parisinus) 9. Est rescriptus; sunt enim fragmentis Veteris et Novi Testamenti superscripta Ephraemi Syri opuscula graeca. In eo desiderantur Matth. V, 15 — VII, 5; XVII, 27 — XVIII, 28; XXII, 21 — XXIII, 17; XXIV, 10—45; XXV, 30—XXVI, 22; XXVII, 11 — 46; XXVIII, 15—Marc. I, 17; VI, 32 — VIII, 5; XII, 30 — XIII, 18; Luc. II, 6 — 42; III, 21 — IV, 25; VI, 4 — 36; VII, 17 — VIII, 28; XII, 4 — XIX, 42; XX, 28 — XXI, 20; XXII, 20 — XXIII, 25; XXIV, 7 — 45; Jo. I, 42 — III, 32; V, 17 — VI, 37; VII, 3 — VIII, 34; IX, 11 — XI, 7; XI, 47 — XIII, 8; XIV, 8 — XVI, 21; XVIII, 36 — XX, 25. Praeterea vero multae textus sacri voces quippe obsoletae atque evanidae nondum potuerunt erui. Exaratus videtur V. vel VI. seculo.

D. Cantabrigiensis; olim Bezae fuit. Deficit Matth. I, 1 — 20; VI, 20 — IX, 2; XXVII, 2 — 12; Jo. I, 16 — III, 26. Manus recentior explevit lacunas Matth. III, 7 — 16; Marc. XVI, 15 — fin.; Jo. XVIII, 13 — XXII, 13. Adjectam habet interpretationem latinam. Scriptus putatur ineunte sec. VII. Splendidissime editus est a Kiplingio Cantabrig. 1793.

E. Basileensis. Mutilus est Luc. III, 4—15; XXIV, 47 — fin. et recentiore manu scripta sunt Luc. I, 69 — II, 4; XII, 58 — XIII, 12; XV, 8—20. Sec. IX.

F. olim Boreeli; nunc ubi sit latet. Mutilus Matth. I, 1 — VII, 6; VIII, 25 — fin.; Marc. XI, 6 — 16. Collatus tantum est usque ad finem cap. X. ev. Lucae.

G. Harlejanus in museo Britannico. Mutilus Matth. I, 1 —VI, 6; VII, 25 — VIII, 9; VIII, 23 — IX, 2. XXVIII, 18 — Marc. I, 13. (suppletum est.) Marc. I, 32 — II, 4. XIV, 19 — 25; Luc. I, 1 — 13; V, 4 — VII, 3; VIII, 46 — IX, 5. XII, 27 — 41. (suppletum); XXIV, 41 — fin. Jo. XVII, 5 — 19. XIX, 4 — 27. Sec. XI.

H. Wolfii. Deficit Matth. I, 1 — XV, 30; XXV, 3 — XXVI, 3; Marc. XV, 44 — XVI, 14. Luc. V, 18 — 33; VI, 8 — 23; X, 2 — 19; Jo. IX, 30 — X, 25. XVIII, 2 — 25; XX, 12 — 25. Sec. XI.

J. Cottonianus. Continet Matth. XXVI, 57—65; XXVII, 26—34; Jo. XIV, 2—10. XV, 15—22. Sec. VII. vel VIII.

K. Regius 63. Cyprius dictus. Sec. IX.

L. Regius 62. Mutilus Matth. IV, 21 — V, 14; XXVIII, 17 — fin.; Marc. X, 16 — 30; XV, 2 — 20; Jo. XV, 21 — fin. Sec. VII. vel VIII.

M. Regius 48. Sec. X.

N. Vindobonensis Caesareus. Continet Luc. XXIV, 13 — 21. et 39 — 49. Sec. VII.

O. Montefalconii; continet Luc. XVIII.

P. Guelpherbytanus rescriptus, continet evangeliorum fragmenta. Sec. VI.

Q. Guelpherbytanus rescriptus, continet fragmenta e Luca et Jo. Sec. VI. Et P et Q Knittelius curavit typis exprimenda.

R. Tubingensis. Hoc fragmentum, Jo. I, 38 — 50. continens, typis exscriptum est cura Reussii. Sec. VII.

S. Vaticanus 354. Medio seculo X. exaratus est.

T. Borgiae fragmenta Joannea: Jo. VI, 28 — 67. VII, 6 — VIII, 31. Edita sunt cum versione sahidica ab Aug. Ant. Georgio Romae 1789. Sec. IV. vel V.

U. Venetianae biblioth. s. Marci. Sec. X.

V. Mosquensis. Sec. VIII. Inde a Jo. VII, 39. literis cursivis scriptus est sec. XIII.

W. Regius, adjunctus Regio 314. Continet Luc. IX, 36—47. X, 12—22. Sec. VIII.

X. Landshutensis. Mutilus est Matth. I, 1 — V, 40; VI, 11 — VII, 1; IX, 21 — 35; XI, 24 — XII, 9; XVII, 1 — 14; XVIII, 25 — XIX, 22; XXI, 13 — 28; XXIII, 38 — XXIV, 23; XXIV, 35 — XXV, 1; XXV, 30 — XXVI, 69; XXVII, 12 — fin. Marc. I, 1 — VI, 47; XIV, 61 — 64; XV, 1 — 3. (Fine cap. XV. et initio cap. XVI. dimidiae tantum lineae conspiciuntur.) Luc. I, 37 — II, 19; IV, 1 — 21; X, 38 — XI, 1;

XIX, 1 — XX, 45; Jo. III, 8 — IV, 6; IV, 6 — VII, 1. (suppletum est); XV, 26 — XVI, 28.

Y. Barberinus (Romanus), cont. Jo. XVI, 4 — XIX, 28. Sec. IX.

Z. Dublinensis, rescriptus. Continet evangelium Matthaei, sed mutilus est I, 1 — 16; II, 7 — 12; II, 20 — IV, 4; IV, 13 — V, 45; VI, 15 — VII, 16; VIII, 6 — X, 40; XI, 18 — XII, 43; XIII, 11 — 57; XIV, 18 — XV, 13; XV, 23 — XVII, 9; XVII, 17 — 26; XVIII, 7 — XIX, 3; XIX, 12 — 21; XIX, 28 — XX, 7; XXI, 8 — 23; XXI, 45 — XXII, 16; XXII, 25 — 37; XXIII, 3 — 13; XXIII, 23 — XXIV, 15; XXIV, 25 — XXV, 1; XXV, 12 — XXVI, 21; XXVI, 29 — 62; XXVI, 71 — fin. Editus est a Barreto Dublinii 1801. Sec. VI.

Γ. Vaticanus. Continet Matth. XIX, 6 — 13; XX, 6 — 22; XX, 29 — XXI, 19. Sec. VII.

Δ. Sangallensis, cum interpretatione latina interlineari. Editus est a Rettigio Turici 1836. Sec. IX.

b) *literis cursivis scripti*

a Scholzio referuntur 469. A seculo X. usque ad sec. XVI. confecti et vel collati vel inspecti sunt. His ab eodem adduntur 178 evangelistaria s. pericoparum ex evangeliis desumtarum codices. Ii inde a sec. VIII. literis uncialibus, sed maximam partem literis minoribus et quidem post sec. X. scripta sunt; tamen fere non nisi cursim collata esse videntur.

2) actorum et epistolarum catholicarum

a) *literis exarati uncialibus.*

A. Alexandrinus. Vide supra evv. A.

B. Vaticanus 1209. V. supra evv. B.

C. Regius 9. V. supra evv. C. Deficit Act. IV, 3 — V, 34; X, 43 — XIII, 1; XVI, 36 — XX, 10; XXI, 31 — XXII, 20; XXIII, 18 — XXIV, 14; XXVI, 20 — XXVII, 16; XXVIII, 5 — fin. Jac. IV, 3 — fin. 1 Pet. IV, 5 — fin. 1 Jo. IV, 3 — 3 Jo. 3.

D. Cantabrigiensis. V. supra evv. D. Continet acta, sed deficit VIII, 29 — X, 14; XXI, 2—10. et 15 — 19; XXII, 10—20; XXII, 29 — XXVIII, fin. Ex epp. cathol. habet tantum fragmentum latine 3 Jo. 11 — 15.

E. Laudianus dictus; est Oxonii in biblioth. Bodlejana. Continet acta cum versione latina; mutilus est XXVI, 29—XXVIII, 26. Typis exscriptus est cura Thomae Hearnii Oxonii 1715. Sec. VII vel VIII.

F. Coislinianus, (Parisinus). Continet act. IX, 24. 25. Sec. VII.

G. Bibliothecae Romanae Angelicae. Continet acta et epistolas catholicas; mutilus est Act. I, 1 — VIII, 10. Sec. IX. (Est Paulinarum epp. I.)

H. Mutinensis. Acta continet scripta sec. IX., sed I, 1 — V, 28. addita sunt sec. XV. et XXVII., 1 — fin. sec. XI. Praeterea cum epistolis catholicis continet epp. Paul. (numero 179. signatur) sec. XII. cursivis literis scriptas.

b) *literis cursivis scripti*

a Scholzio laudantur 192, post X. fere seculum facti.

3) epistolarum Paulinarum

a) *unciales.*

A. Alexandrinus. V. supra evv. A. Deficit 2 Cor. IV, 13 — XII, 7.

B. Vaticanus 1209. V. evv. B. Desunt epp. I. et II. ad Tim., ad Tit., ad Philem. Inde ab Hebr. IX, 14. (huic parti signum b dedi) manu valde recenti scriptus est.

C. Regius 9. V. evv. C. Mutilus est Rom. II, 5 — III, 21; IX, 6 — X, 14; XI, 31 — XIII, 10; 1 Cor. VII, 18 — IX, 6; XIII, 8 — XV, 40; 2 Cor. X, 9 — Gal. I, 20; Eph. I, 1 — II, 18; IV, 17 — Philipp. I, 22; III, 5 — fin.; 1 Thess. II, 9 — fin.; Hebr. I, 1 — II, 4; VII, 26 — IX, 15; X, 24 — XII, 15; 1 Tim. I, 1 — III, 9; V, 20 — fin.

D. Regius 107. Claromontanus dictus. Mutilus est Rom. I, 1 — 7. Ab alia sed antiqua manu scriptum est 1 Cor. XIV, 13 — 22;

Recentius addita est epist. ad Hebr. Interpretatio latina, quam adjectam habet textus graecus, edita est a Sabatiero 1743. Sec. VII. vel VIII.

E. Petropolitanus, plerumque Sangermanensis dictus, codicis D, et graeci et latini, jam varie correcti apographum. Mutilus est 1 Tim. I, 1 — VI, 15; Hebr. XII, 8 — fin. Sec. XI.

F. Augiensis, collegii Trinitatis Cantabrigiae; cum versione latina. Deficit Rom. I, 1 — III, 8. et Hebr. Sec. X.

G. Bibliothecae Regiae Dresdensis, Boernerianus dictus, cum versione latina interlineari. Mutilus est Rom. I, 1 — 5; II, 16 — 25; 1 Cor. III, 8 — 16; VI, 7 — 14. Col. II, 2 — 8; Philem. 21 — 25. et Hebr. Typis exscribendum curavit Matthaei Misenae 1791. Sec. IX.

H. Coislinianus 202. Continet 1 Cor. X, 23 — 39; XI, 9 — 16; Gal. I, 4 — 10; II, 9 — 14; 1 Tim. III, 7 — 13. Tit. I, 1 — 3; I, 15 — II, 5; III, 13 — fin.; Hebr. II, 11 — 16; III, 13 — 18; IV, 12 — 15. Haec fragmenta edidit Montefalconius in bibliotheca coisliniana p. 253 — 261. Sec. VII.

I. Angelicus. V. actorum G. Deficit Hebr. XIII, 1 — fin.

b) *cursivi*

collati laudantur a Scholzio 246; scripti iisdem fere seculis quibus scripti sunt evangeliorum codices cursivi.

Praeterea lectionaria, sive codices qui lectiones desumtas ex Actis et Epp. continent, a Scholzio commemorantur 58; pleraque illa literis cursivis exarata.

### 4) apocalypseos

a) *unciales.*

A. Alexandrinus. V. evv. A.

B. Vaticanus. Sec. VII.

C. Regius 9. V. evv. C. Deficit III, 20 — V, 14; VII, 14 — IX, 16; XVI, 14 — XVIII, 2; XIX, 10 — fin.

b) *cursivi*

referuntur a Scholzio 88; eorundem fere cum ceteris cursivis temporum[71]).

Ceterum plurima universorum codicum N. Ti pars asservantur Romae, Parisiis, Oxonii, Vindobonae, Londini, Mosquae, Florentiae, Cantabrigiae, Venetiis.

---

## B. Versiones antiquae.

Aegyptiacae seculi III. et quidem Coptica *(Cpt.* s. *Copt.)* quam ed. Wilkens 1716; Sahidica *(Sah.)* cujus plurima fragmenta ed. Woide; Basmurica *(Basm.)* cujus pauca ex ev. Joannis et epistolis Pauli fragmenta edd. Georgi et Engelbreth.

Aethiopica *(Aeth.)* sec. IV. ed. Bode 1753.

Arabicae *(Arr.)* et quidem *Ar. rom.* ex ed. romana 1591. et 1619; *Ar. p.* quae est in Waltoni bibliis polyglottis; *Erp.* ex editione Erpenii; *Ar. vat.* quae exstat in arabico codice bibliothecae vaticanae.

Armenica *(Arm.)* sec. V. Differunt priores edd. (Amstelod. 1666. sq. Byzant. 1705. Venet. 1736.) ab editione Venetiana Zohrabi *(ed. Venet.)*.

Georgiana *(Georg.)* sec. V. vel VI. ed. 1743.

Gothica *(Gth.* s. *Goth.)* sec. V. Post alios nuper editionem instituerunt Gabelentz et Loebe.

Latinae et quidem Itala *(It.)* et Vulgata *(Vg.)*. Illo nomine comprehenduntur antiquae interpretationes latinae; dicuntur etiam antehieronymianae, quanquam nonnullae ex his quas refero potius hieronymiana videntur esse superstructae. Co-

---

71) Inter hos quem b litera signavi, is est supplementum celeberrimi codicis Vaticani, recentiore manu e codice Bessarionis aliquo, ut fert traditio, descriptum. Hanc quoque codicis partem Bentlejus contulit.

dices Italae *(It. cdd.)* quorum nullus totum Testamentum, multi pauca tantum fragmenta continent, hi fere commemorantur: Bobbianus *(Bobb.)*, Bodlejanus *(Bodl.)*, Boernerianus *(g.)*, Brixianus *(Brx.* s. *Brix.)*, Cantabrigiensis *(Ct.)*, Claromontanus *(d.)*, Colbertinus *(Colb.)*, Corbejenses *(Corb.)*, Demidovianus *(Demid.)* s. Emmerani ratisbonensis *(Emmer.)*, Floriacensis *(Flor.)*, Forojuliensis *(For.)*, Fossatensis *(Foss.)*, ecclesiae s. Gateani *(Gat.)*, Germanenses *(Germ.* et latina pars codicis epp. Paul. E significatur *e* litera), Ingolstadiensis, Harlejanus *(Har.* s. *Harl.)*, Laudianus *(Ld.)*, Lipsienses *(Lips.)*, Luxoviensis *(Lux.)*, s. Martini turonensis *(Mart.)*, Macoris monasterii *(Mm.)*, Marianus *(Mar.* s. *Marian.)*, Molsheimensis, Perusinus *(Perus.)*, Pragensis *(Prag.)*, Guelpherbytanus *(Guelph.)*, Rehdigeranus *(Rd.)*, Regius *(Reg.)*, Sangallensis, Toletanus *(Tol.)*, Vercellensis *(Vrc.* s. *Verc.)*, Veronensis *(Ver.)*, Vindobonensis *(Vind.)* Ex his gravissimi sunt in evv. Verc., Ver., Brix., Colb., Vind., Rd. iique praeter Rd. editi sunt a Blanchino et Sabatiero; in actis Ld. (ed. Hearne.) et Ct. (ed. Kipling.); in epp. Paul. d. e. (utrumque ed. Sabatier.) g. (ed. Matthaei.); in ep. Jacobi Corb. (ed. Blanchini.) Vulgata autem quae dicitur versio sec. IV. ab Hieronymo facta est. Ab edd. Sixti V. et Clementis VIII. saepe discedunt codices Vulgatae manuscripti atque horum princeps est codex Amiatinus *(Am.)*, sec. VI. scriptus, cujus varias lectiones nuperrime publicavit Fleckius.

Persicae *(Pers.* s. *Prs.* s. *Prss.)*. Interdum differt ed. Wheloci *(Prs. w.)* ab ed. Waltoni in polyglottis *(Prs. p.)*.

Saxonica s. Anglosaxonica *(Sax.)* sec. VIII. Primum typis expressa est 1571.

Slavonica *(Sl.* s. *Slav.)* s. IX. De conferendis variis ejus cdd. et edd. egregie promeruit Dobrowsky.

Syriacae et quidem Peschito *(Syr.)* sec. II. (ed. Schaaf 1709. 1717.) et Syr. posterior *(Syr. p.)* s. Philoxeniana, anno 508. facta (ed. White 1779. 1800.). Syr. p. in margine *(Syr. p. in m.)* singulares lectiones anno 616. a Thoma heracleensi adscriptas atque ab eodem additos aliis locis asteriscos *(Syr.*

*p.*)*, aliis obelos habet. Ubi consentit Peschito cum Philoxeniana, utraque conjunctim citatur *(Syr. utr.)*. Accedit Syr. hierosolymitana *(Syr. hr.)* sec. V.

---

## C. Patres et Scriptores ecclesiastici in apparatu critico fere hi citantur:

### 1) *graeci.*

Ammonius alexandrinus sec. III.
Andreas cretensis *(Andr. cret.)* s. VII.
Andreas caesareensis in Cappadocia *(Andr., Andr.* 1. spectat ad codicem Andreae Augustanum, *Andr.* 2. ad Palatinum, *Andr.* ad utrumque) sec. VI.
Antiochus Ptolemaidis in Phoenicia episc. sec. V.
Antonius monachus aegyptius sec. IV.
Apollinaris laodicenus sec. IV.
Archelaus mesopotamius sec. III.
Arethas cappadox sec. X.
Arius sec. IV.
Athanasius *(Ath.)* sec. IV.
Basilius M. *(Bas.)* sec. IV.
Basilius seleucus *(Bas. sel.)* sec. V.
Chronicon alexandrinum sec. VII.
Chrysostomus *(Chrys.)* sec. IV.
Clemens alexandrinus *(Clem.)* sec. II.
Clemens romanus sec. II.
Constitutiones Apostolorum *(Cstit.* s. *Cstitt.)* sec. III.
Canones Apostolorum sec. V.
Cyrillus alexandrinus *(Cyr.)* sec. V.
Cyrillus hierosolymitanus *(Cyr. hr.)* sec. IV.
Joannes damascenus *(Damsc.)* sec. VIII.
Dialogus contra Marcionitas *(Dial. c. Mcion.)* sec. III.
Dionysius alexandrinus sec. III.
Dionysius areopagita sec. III.
Didymus *(Did.)* sec. IV.
Ephrem Syrus *(Ephr.* Multa ejus scripta graece exstant.) sec. IV.
Epiphanius *(Epiph.* s. *Ep.)* sec. IV.
Eusebius caesareensis *(Eus.)* sec. IV.
Euthalius *(Euthal.)* sec. V.

Euthymius (*Euth.* s. *Euthym.*) sec. XII.
Georgius Syncellus chronista sec. IX.
Gelasius cyzicenus sec. V.
Gregorius thaumaturgus sec. III.
Heracleon gnosticus sec. II.
Hesychius presbyter (*Hes.*) sec. V.
Hippolytus (*Hipp.*) sec. III.
Ignatius sec. II.
Irenaeus (*Ir.*) sec. II.
Isidorus pelusiota (*Isid.*) sec. V.
Justinus (*Just.*) sec. II.
Lucianus ap. Socrat. sec. III.
Macarius sec. IV.
Macedonius sec. VI.
Marcellus apud Eusebium sec. IV.
Marcion (*Mcion.* s. *Mc.* Citatur *Mc. ap. Ep.* h. e. apud Epiphan., et *Mc. ap. Tert.*, h. e. ap. Tertullian.) sec. II.
Maximus monachus (*Max.*) sec. VII.
Methodius (*Meth.*) sec. III.
Gregorius nazianzenus (*Gr. naz.*) sec. IV.
Gregorius nyssenus (*Gr. nyss.*) sec. IV.
Nestorius sec. V.
Nonnus sec. V.
Oecumenius (*Oec.*) sec. X.
Origenes (*Or.*) sec. III.
Palamas sec. XIV.
Pamphilus sec. V.
Petrus alexandrinus (*Petr.* s. *Petr. alex.*) sec. III.
Photius sec. X.
Polycarpus sec. II.
Proclus sec. V.
Procopius (*Proc.* s. *Procop.*) sec. VI.
Ptolemaeus gnosticus (*Ptol.*) sec. II.
Seniores ap. Irenaeum (*Sen. ap. Ir.*) sec. II.
Severus antiochenus (*Sev.* s. *Sev. ant.*) sec. VI.
Socrates sec. VI.
Suidas sec. XI.
Theodorus heracleensis sec. IV.
Theodorus mopsvestenus sec. IV.
Theodorus studites sec. VIII.
Theodoretus sec. V
Theodotus (*Theodt.* s. *Theodot.*) sec. II.
Theodotus ancyranus (*Theodt. anc.*) sec. V.
Theophylactus (*Thphyl.* Differunt editiones commentarii ejus in Acta, unde ap. Griesb. et Scholz. distinguuntur numeris 1. 2. 3.) sec. XI.
Titus bostrensis sec. IV.
Valentinus gnosticus sec. II.
Victor antiochenus (*Vict.*) sec. V.

## 2) *latini:*

Ambrosius *(Ambr.)* sec. IV.
Ambrosiaster *(Ambrst.* Est commentarius Hilarii adscriptus Ambrosio) sec. IV.
Ausbertus sec. VIII.
Apringius s. Aprigius sec. VI.
Arnobius *(Arn.)* sec. IV.
Augustinus *(Aug.)* sec. IV.
Beda sec. VIII.
Caesarius arelatensis sec. VI.
Cassiodorus *(Cass.)* sec. VI.
Cyprianus *(Cypr.)* sec. III.
Faustus manichaeus sec. IV.
Faustinus sec. IV.
Fulgentius ruspensis *(Fulg.)* sec. V.
Gaudentius sec. IV.
Gildas sec. VI.
Glycas sec. XII.
Gregorius M. sec. VI.
Haymo sec. IX.
Hieronymus *(Hier.)* sec. IV.
Hilarius *(Hil.)* sec. IV.
Hincmarus sec. IX.
Idacius sec. IV.
Juvencus *(Juv.)* sec. IV.
Lactantius *(Lact.)* sec. IV.
Leo I. sec. V.
Liberatus sec. VI.
Lucifer *(Lcif.* s. *Lucf.)* sec. IV.
Novatianus sec. III.
Pacianus *(Pac.)* sec. IV.
Paulinus aquilejensis sec. VIII.
Pelagius *(Pel.)* sec. IV.
Primasius sec. VI.
Prosper sec. V.
Rufinus sec. V.
Rupertus sec. XII.
Sedulius sec. V.
Siricius sec. IV.
Tertullianus *(Tert.)* sec. III.
Tychonius *(Tych.)* sec. IV.
Victor tununensis *(Vict. tun.)* sec. VI.
Victorinus sec. IV.
Vigilius tapsensis *(Vig.)* sec. V.

Praeterea citantur hi auctores graeci et latini de quorum aetate parum constat:

Auct. de singular. clericor.
Auct. synopseos.
Auct. quaestionum ex utr. Test.
Auct. de promissionibus dimid. temp.
Opus imperfectum (Op. imp.).
Test. XII patriarcharum.

Denique haec signa et compendia explicanda videntur:

*Rc.* significat textum vulgo receptum s. Elzeviriorum.

*Kn.* sign. editionem Knappii, Halis Saxonum a. 1829.

*Sz.* sign. ed. Scholzii, Lipsiae a. 1830. et 1836.

*Ln.* sign. ed. Lachmanni, Berolini a. 1837.

Ex his quoties quis non commemoratur, cum lectione quae in textu exhibetur consentit.

*Wtst.* sign. Wetstenium.
*Btlj.* sign. Bentlejum.
*Bch.* sign. Birchium.
.. sign. pergi de eadem re agi.
(—) sign. uncinis includi. Ita *om. Rc.* et *Kn.* (—) h. e. omittit ed. recepta et *Kn.* uncinis inclusit.
(1.) (2.) (3.) etc. sign. semel, bis, ter etc.
* sign. a prima manu sic legi.
** sign. sic correctum in cd. esse.
*al.* sign. alios ejusdem generis testes. Ita *B al. Syr. al. Or. al.* h. e. B et al. codices graeci, Syr. et aliae versiones, Or. et alii patres vel scriptores ecclesiastici.
*al. m.* sign. alios multos.
*al. pm.* sign. alios permultos.
*al. pl.* sign. alios plurimos.
*alic.* sign. alicubi.
*c.* sign. cum i. e. auctoritate. Ita *om. c. B, scr. c. B., add. c. B* h. e. omisi, scripsi, addidi auctoritate codicis B.
*ctra* sign. contra. Ita *Rc.* ὑπέρ *ctra B* etc. h. e. B etc. habet lectionem in textu exhibitam.
*cd.*, *cdd.* sign. codicem, codices.
*diff.* sign. differunt.
*dis.* sign. diserte.
*ed.*, *edd.* sign. editionem, editiones.
*et.* sign. etiam.
*Ev.* sign. Evangelistarium.
*h.* sign. habet, habent.
*in f.* sign. in fine.
*in m.* sign. in margine.
*It.*³ etc. sign. Italae cdd. tres etc.
*leg.* sign. legitur. Ita *leg. et.* *παρά (L)*, *ἀπό (G)* h. e. legitur etiam *παρά* ut in codice L, *ἀπό* ut in cd. G etc.
*Lect.* sign. Lectionarium.
*ms.*, *mss.* sign. manuscriptum, manuscripta.
*pon.*, *pos.* sign. ponunt, posui.
*PP.* sign. Patres.
*s.*, ubi est (s. XI.) et similia, sign. seculum.
*vv.* sign. versines.
*var.* sign. variat, variant.

# Mutanda.

Mt. II, 6. in text. lege τὸν Ἰσραήλ. V, 38. et 43. in margine pro *Nm. lege *Lv. VI, 24. in text. dele τοῦ ante ἑνός. Mt. VI, 29. lege Σολομῶν. VIII, 32. in nota dele Kn. XIII, 54. in margine pro Mc. 2, 6. lege Mc. 6, 1—6. XXI, 6. pro προσέταξ. legendum est συνέταξ. c. BCD al. Ita h. etiam Ln. XXIII, 39. lege ἀπ' ἄρτι. Mc. I, 2. in nota adde: Rc. et Kn. (—) in f. add. ἔμπροσθέν σου, deletis iis quae ad v. 3. notata sunt: Rc. post etc. I, 10. in n. ante ὡσεί adde: Kn. V, 25. in n. post — adde 26. V, 42. in n. post εὐθύς adde: posterius. VI, 3. lege Ἰώσητος. VII, 26. Kn. h. Συραφοινίκισσα et Rc. Συροφοίνισσα. IX, 5. versus incipit a καὶ ἀποκριθ. verbis. XII, 29. notandum est Kn. habere ὅτι πρώτη πάντων ἐντολή c. A al. m. XIV, 40. ante βεβαρημ. adde: exc. Kn. XIV, 71. in nota dele Kn. Lc. IV, 11. in n. lege: Kn. om. ὅτι c. D etc. XXII, 8. in n. post ὁ σατ. adde: —. Jo. IV, 35. in n. pro Kn. lege Rc. Act. VII, 26. in n. adde: Rc. Sz. h. τῇ δέ. Heb. VII, 1. in n. adde: Rc. om. τοῦ ante ὑψίστου. Jac. I, 6. in notis pro 6. lege 5. 2 Pet. I, 1. in nota lege Συμεών. Jud. 22. et 23. in n. lege ἐκ τοῦ πυρός.

Praeterea v. supra pag. LX sub finem.

# ΕΥΑΓΓΕΛΙΟΝ

# ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

---

L.c. 3, 23-38. Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυὶδ, υἱοῦ Ἀβραάμ. 1
1 Chr. 2, 1-15. 2 Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ· Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ· 2
1 Chr. Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ·
3, 1-19. 3 Ἰούδας δὲ ἐγέννησεν τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ· 3
Φαρὲς δὲ ἐγέννησεν τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ·
4 Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ· Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν 4
Ναασσών· Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών· 5 Σαλμὼν δὲ 5
ἐγέννησεν τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ· Βοὸζ δὲ ἐγέννησεν τὸν Ἰωβὴδ
ἐκ τῆς Ῥούθ· Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί· 6 Ἰεσσαὶ δὲ ἐγέν- 6
νησεν τὸν Δαυὶδ τὸν βασιλέα. Δαυὶδ δὲ ὁ βασιλεὺς ἐγέννησεν τὸν
Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου· 7 Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥο- 7
βοάμ· Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησεν τὸν
Ἀσά· 8 Ἀσὰ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησεν 8
τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν· 9 Ὀζίας δὲ ἐγέν- 9
νησεν τὸν Ἰωάθαμ· Ἰωάθαμ δὲ ἐγέννησεν τὸν Ἄχαζ· Ἄχαζ δὲ
ἐγέννησεν τὸν Ἐζεκίαν· 10 Ἐζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆ· 10
Μανασσῆς δὲ ἐγέννησεν τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέννησεν τὸν Ἰωσίαν·

---

* L.N. Εὐαγγ. κ. Μαθθαῖον. Ita semper.
1. Rc. Δαβίδ. L.N. Δαυείδ. Ita semper.
5. L.N. Βοός. — Rc. Kn. Sz. Ὠβήδ.
6. Om. ὁ βασιλεύς B al. Syr. It.² al. Aug. — Rc. L.N. Σολομῶντα (XII, 42. L.N. Σολομῶνος).
7. L.N. Ἀσάφ. — 8. L.N. Ὀζείαν. — 9. L.N. Ἐζεκίαν.
10. L.N. Ἀμώς et Ἰωσείαν.

11 [11] Ἰωσίας δὲ ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ
12 τῆς μετοικεσίας Βαβυλῶνος. [12] Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυ-
λῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ· Σαλαθιὴλ δὲ ἐγέννησεν
13 τὸν Ζοροβάβελ· [13] Ζοροβάβελ δὲ ἐγέννησεν τὸν Ἀβιούδ· Ἀβιοὺδ
δὲ ἐγέννησεν τὸν Ἐλιακείμ· Ἐλιακεὶμ δὲ ἐγέννησεν τὸν Ἀζώρ·
14 [14] Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ· Σαδὼκ δὲ ἐγέννησεν τὸν Ἀχείμ·
15 Ἀχεὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ· [15] Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν
Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν· Ματθὰν δὲ ἐγέν-
16 νησεν τὸν Ἰακώβ· [16] Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα
17 Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. [17] Πᾶσαι
οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες· καὶ
ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες·
καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δε-
κατέσσαρες.

18 Τοῦ δὲ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. μνηστευθείσης γὰρ
τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς
19 εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. [19] Ἰωσὴφ δὲ ὁ
ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν δειγματίσαι, ἐβουλήθη
20 λάθρα ἀπολῦσαι αὐτήν. [20] ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού,
ἄγγελος κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ λέγων· Ἰωσήφ, υἱὸς Δαυίδ,
μὴ φοβηθῇς παραλαβεῖν Μαρίαν τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ
21 γεννηθὲν ἐκ πνεύματος ἁγίου ἐστίν· [21] τέξεται δὲ υἱόν, καὶ κα- Lc. 2. 21.
λέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ
22 ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. [22] τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πλη-
23 ρωθῇ τὸ ῥηθὲν ὑπὸ κυρίου διὰ τοῦ προφήτου λέγοντος· [23] Ἰδού, Es. 7. 14.
ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσιν τὸ

---

11. Pro τὸν Ἰεχονίαν hab. τὸν Ἰωακείμ· Ἰωακεὶμ δὲ ἐγέννησεν τὸν Ἰεχονίαν M al. m. Syr. hr.
15. Ln. Μαθθάν.
18. τ. δὲ Χρ. cum D (videtur, quoniam Ct.) It. Vg. al. Ir. (dis.) al. .. τ. δὲ Χρ. Ἰησ. hab. B. .. τ. δὲ Ἰησ. hab. Pers. .. Rc. Kn. Sz. Ln. τ. δὲ Ἰησ. Χρ. — Kn. Ln. ἡ γένεσις. — Ln. om. γάρ.
19. Rc. Kn. Sz. παραδειγματίσαι.
20. Μαρίαν cum BL al. Chrys. Cyr. .. Rc. Kn. Sz. Ln. Μαριάμ.
22. Rc. Kn. Sz. ὑπὸ τοῦ κυρίου.
23. Hab. καὶ καλέσεις D al. Eus. Epiph. al.

ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστιν μεθερμηνευόμενον μεθ' ἡμῶν
ὁ θεός. [24] ἐγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν ὡς 24
προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου· καὶ παρέλαβεν τὴν γυναῖκα
αὐτοῦ, [25] καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν υἱόν· καὶ 25
ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

## II.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέ- 1
ραις Ἡρῴδου τοῦ βασιλέως, ἰδού, μάγοι ἀπὸ ἀνατολῶν παρεγέ-
νοντο εἰς Ἱεροσόλυμα λέγοντες· [2] Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς 2
τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ. [3] ἀκούσας δὲ ὁ βασιλεὺς Ἡρῴδης 3
ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ, [4] καὶ συναγαγὼν 4
πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ'
αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. [5] οἱ δὲ εἶπον αὐτῷ· Ἐν 5
Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου·
Mich. 5, 1. [6] Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγε- 6
μόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ
τὸν λαόν μου Ἰσραήλ. [7] τότε Ἡρῴδης λάθρα καλέσας τοὺς μά- 7
γους ἠκρίβωσεν παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος,
[8] καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπεν· Πορευθέντες ἐξετάσατε 8
ἀκριβῶς περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως
κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. [9] οἱ δὲ ἀκούσαντες τοῦ βασι- 9
λέως ἐπορεύθησαν· καὶ ἰδού, ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ,
προῆγεν αὐτούς, ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν τὸ παιδίον.
[10] ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα· 10
[11] καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς 11
μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες
τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον
καὶ σμύρναν. [12] καὶ χρηματισθέντες κατ' ὄναρ, μὴ ἀνακάμψαι 12
πρὸς Ἡρῴδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

---

24. Rc. Kn. Sz. διεγερθεὶς.
25. Rc. Kn. Sz. τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.
Cap. II. 6. Pro οὐδαμῶς hab. μή D. non It. (2· num quid?) al. Tert. al.
6. Hab. μοὶ ἐξελεύσ. CK al. — 9. Rc. Kn. Sz. ἔστη.
11. Rc. εὗρον τὸ παιδίον.

13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδού, ἄγγελος κυρίου κατ᾽ ὄναρ
φαίνεται τῷ Ἰωσὴφ λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ
τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως
ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι
14 αὐτό. [14] ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα
15 αὐτοῦ νυκτός, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον· [15] καὶ ἦν ἐκεῖ ἕως
τῆς τελευτῆς Ἡρώδου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ κυρίου διὰ τοῦ
16 προφήτου λέγοντος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. [16] τότε ᵃ Hos. 11, 1.
Ἡρώδης ἰδών, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν·
καὶ ἀποστείλας ἀνεῖλεν πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ
ἐν πᾶσιν τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν
17 χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μάγων. [17] τότε ἐπληρώθη τὸ
18 ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· [18] Φωνὴ ἐν Ῥαμᾷ ᵃ Jer. 31, 15.
ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ
τέκνα αὐτῆς· καὶ οὐκ ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσίν.
19 [19] τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδού, ἄγγελος κυρίου φαίνεται
20 κατ᾽ ὄναρ τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ [20] λέγων· Ἐγερθεὶς παράλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ·
21 τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. [21] ὁ δὲ
ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν
22 εἰς γῆν Ἰσραήλ. [22] ἀκούσας δέ, ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς
Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν·
χρηματισθεὶς δὲ κατ᾽ ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλι-
23 λαίας· [23] καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ·
ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κλη-
θήσεται.

## III.

1 Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτι- Lc. 3, 1-18.
2 στής, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας [2] καὶ λέγων· Μετανο- Jo. 1, 6 sqq.

13. LN. ἐφάνη. — 15. Rc. Kn. Sz. ὑπὸ τοῦ κυρίου.
17. Rc. Kn. Sz. ὑπὸ Ἱερεμίου.
18. Rc. Kn. Sz. θρῆνος καὶ κλαυθμ. κ. ὀδυρμ. π. — LN. ἠθέλησεν.
21. LN. εἰσῆλθεν. — 22. LN. om. ἐπὶ ante τῆς Ἰουδαίας.
23. LN. Ναζαρέθ . . Ναζαράθ Δ 1. . . Ναζαρά Eus.
Cap. III. 1. Om. δέ ab initio DKLMSΔ al. m. It.[4] al Chrys. al.
2. LN. om. καὶ ante λέγων.

Mc. 1, 2-8. εἶπε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. [3] οὗτος γάρ ἐστιν ὁ 3
Es. 40, ῥηθεὶς διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ
3. ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους
αὐτοῦ. [4] αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν 4
καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ
αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. [5] τότε ἐξεπορεύετο πρὸς αὐτὸν 5
Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορ-
δάνου· [6] καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογού- 6
μενοι τὰς ἁμαρτίας αὐτῶν. [7] ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων 7
καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ εἶπεν αὐτοῖς·
Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης
ὀργῆς; [8] ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, [9] καὶ μὴ 8 9
δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ
ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ
Ἀβραάμ. [10] ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· 10
πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ
βάλλεται. [11] ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ 11
ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ
ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ
πυρί· [12] οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν 12
ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ
δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.
Mc. 1, 9-11. Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορ- 13
Lc. 3, 21. 22. δάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. [14] ὁ δὲ 14
Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτι-
σθῆναι, καὶ σὺ ἔρχῃ πρός με; [15] ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν 15
αὐτῷ· Ἄφες ἄρτι· οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν

---

3. Rc. Kn. Sz. ὑπὸ Ἡσαΐου.
6. Ln. post ἐβαπτίζ. hab. (πάντες) et post Ἰορδ. hab. ποταμῷ.
7. Ln. post βάπτισμα om. αὐτοῦ. — 8. Rc. καρποὺς ἀξίους.
10. Rc. Kn. Sz. Ἤδη δὲ καί.
11. Om. καὶ πυρί ES al. pm. Syr. hr. Euth. (dis.) al.
12. Ln. post ἀποθήκην hab. αὐτοῦ ... αὐτοῦ om. post σῖτον et hab. post ἀποθήκ. EL al. Syr. utr. It.⁴· al. Cyr. al. .. Nec post σῖτον nec post ἀποθ. est αὐτοῦ in 13. al. Verc. al. Just. Clem. al.
14. Ln. om. Ἰωάννης.
15. Rc. Kn. Sz. εἶπε πρὸς αὐτόν. .. Om. αὐτῷ It. al.

16 δικαιοσύνην. τότε ἀφίησιν αὐτόν. [16] καὶ βαπτισθεὶς ὁ Ἰησοῦς
εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδού, ἀνεῴχθησαν αὐτῷ οἱ οὐ-
ρανοί, καὶ εἶδεν τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν
17 καὶ ἐρχόμενον ἐπ' αὐτόν. [17] καὶ ἰδού, φωνὴ ἐκ τῶν οὐρανῶν λέ-
γουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

## IV.

1 Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, Mc. 1, 12. 13. Luc. 4, 1-13.
2 πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. [2] καὶ νηστεύσας ἡμέρας τεσσαρά-
3 κοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασεν. [3] καὶ προσελ-
θὼν ὁ πειράζων εἶπεν αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπέ, ἵνα οἱ
4 λίθοι οὗτοι ἄρτοι γένωνται. [4] ὁ δὲ ἀποκριθεὶς εἶπεν· Γέγραπται· * Dt. 8, 3.
Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι
5 ἐκπορευομένῳ διὰ στόματος θεοῦ. [5] τότε παραλαμβάνει αὐτὸν ὁ
διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον
6 τοῦ ἱεροῦ, [6] καὶ λέγει αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
κάτω· γέγραπται γάρ· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, * Ps. 91, 11.
καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν
7 πόδα σου. [7] ἔφη αὐτῷ ὁ Ἰησοῦς· Πάλιν γέγραπται· Οὐκ ἐκ- * Dt. 6, 16.
8 πειράσεις κύριον τὸν θεόν σου. [8] πάλιν παραλαμβάνει αὐτὸν ὁ
διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βα-
9 σιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν, [9] καὶ λέγει αὐτῷ·
10 Ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. [10] τότε
λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου, σατανᾶ· γέγραπται γάρ· * Dt. 6, 13.
Κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.
11 [11] τότε ἀφίησιν αὐτὸν ὁ διάβολος· καὶ ἰδού, ἄγγελοι προσῆλθον
καὶ διηκόνουν αὐτῷ.
12 Ἀκούσας δέ, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γα- Mc. 1, 14. 15. Lc. 4, 14. 15.

---

16. Ln. Βαπτισθεὶς δέ. — Ln. (αὐτῷ) et om. καί ante ἐρχόμ.

Cap. IV. 3. προσελθ. ὁ πειρ. εἶπ. αὐτῷ cum B al. Syr. It.² Vg. al. Chrys... Rc. Kn. Sz. αὐτῷ hab. post προσελθ. et om. post εἶπ... Ln. αὐτῷ et post προσελθ. et post εἶπ. hab.

4. Rc. Sz. om. ὁ ante ἄνθρωπ. — Rc. Kn. Sz. ἐπὶ παντὶ ῥήμ. — Om. ἐκπορ. δ. στ. θ. D Syr. hr. Ct. It.² — 5. Ln. ἔστησεν. — 6. Ln. εἶπεν.

7. Jungunt Ἰησοῦς πάλιν· E al. It.⁶ al. — 9. Ln. καὶ εἶπεν.

10. Rc. om. ὀπίσω μου et Ln. (ὀπ. μου).

λιλαίαν. [13] καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς 13
Καφαρναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθα-
* Es. 9. λείμ· [14] ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγον- 14
1. 2. τος· [15] Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν 15
τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, [16] ὁ λαὸς ὁ καθήμενος ἐν 16
σκότει φῶς εἶδεν μέγα· καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ
θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. [17] Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς 17
κηρύσσειν καὶ λέγειν· Μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐ-
ρανῶν.

Mc. 1, Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο 18
16-20. ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελ-
Lc. 5, 1-11. φὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ
Jo. 1, 35-42. ἁλιεῖς. [19] καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς 19
ἁλιεῖς ἀνθρώπων. [20] οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθη- 20
σαν αὐτῷ. [21] Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, 21
Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν
τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ
δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. [22] οἱ δὲ εὐθέως ἀφέντες τὸ 22
πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ.

Καὶ περιῆγεν ὁ Ἰησοῦς ὅλην τὴν Γαλιλαίαν, διδάσκων ἐν 23
ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας
καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.
[24] καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσή- 24
νεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βα-
σάνοις συνεχομένους, καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ
παραλυτικούς· καὶ ἐθεράπευσεν αὐτούς. [25] καὶ ἠκολούθησαν αὐτῷ 25
ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων
καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

## V.

Lc. 6, Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐ- 1
17 sqq. τοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. [2] καὶ ἀνοίξας τὸ στόμα 2

---

13. Ln. Ναζαράθ ... Hab. Ναζαρά B* Z* al. — Rc. Kn. Sz. Καπερναούμ. Sic semper.
16. Ln. ἐν σκοτίᾳ. — 18. Hab. παράγων DL. Ct. It.[6] Eus.
23. Hab. ἐν ὅλ. τ. Γ. B al. — 24. Ln. om. καὶ ante δαιμονιζομ.

3 αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· 3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύ- Lc. 6,
4 ματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. 4 μακάριοι οἱ πεν- 20. 21.
5 θοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. 5 μακάριοι οἱ πραεῖς, ὅτι
6 αὐτοὶ κληρονομήσουσιν τὴν γῆν. 6 μακάριοι οἱ πεινῶντες καὶ δι-
7 ψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. 7 μακάριοι
8 οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. 8 μακάριοι οἱ καθαροὶ τῇ
9 καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. 9 μακάριοι οἱ εἰρηνοποιοί,
10 ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. 10 μακάριοι οἱ δεδιωγμένοι ἕνε-
11 κεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. 11 μα- Lc. 6,
κάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν καθ' 22.
12 ὑμῶν πᾶν πονηρὸν ἕνεκεν ἐμοῦ. 12 χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ
μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προ-
13 φήτας τοὺς πρὸ ὑμῶν. 13 Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. ἐὰν δὲ τὸ Lc. 14,
ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ 34. 35. Mc. 9,
14 βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. 14 Ὑμεῖς 50.
ἐστὲ τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους
15 κειμένη· 15 οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, Lc. 11,
16 ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. 16 οὕ- 33. 8, 16.
τως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδω- Mc. 4,
σιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν 21.
17 τοῖς οὐρανοῖς. 17 Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ
18 τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. 18 ἀμὴν Lc. 16,
γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ 17.
μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένη-
19 ται. 19 ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων
καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας
20 κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. 20 λέγω γὰρ ὑμῖν, ὅτι
ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ
Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
21 21 Ἠκούσατε, ὅτι ἐῤῥήθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ὃς δ' ἂν *Ex. 20, 13.

---

Cap. V. 4. Ln. versum 5. ante v. 4. hab. — 9. Ln. (αὐτοί).
11. Rc. Kn. Sz. εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι.
13. Hab. μαρανθῇ 47. al. evanuerit Vg. It.[6] — Ln. βληθὲν ἔξω καταπατεῖσθαι. — Antea om. ἔτι D Ct. Syr. It.[5] Cypr. al.
21. Rc. Kn. Sz. ἐῤῥέθη h. v. et vv. sqq.

φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. 22 ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ 22
ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν
εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ· Ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ'
ἂν εἴπῃ· Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. 23 ἐὰν 23
οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς,
ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ· 24 ἄφες ἐκεῖ τὸ δῶρόν σου 24
ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ
Lc. 12, 58. 59. ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. 25 ἴσθι 25
εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ·
μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτὴς τῷ ὑπη-
ρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. 26 ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς 26
*Ex. 20, 14. ἐκεῖθεν ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. 27 Ἠκούσατε, 27
ὅτι ἐῤῥήθη· Οὐ μοιχεύσεις. 28 ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέ- 28
πων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρ-
Mt. 18, 8. 9. δίᾳ αὐτοῦ. 29 εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, 29
Mc. 9, 43-48. ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται
ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν.
30 καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ 30
βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν
Mt. 9, 7-9. σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. 31 Ἐῤῥήθη 31
Mc. 10, 11. 12. δέ· Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον.
Dt. 24, 1. 32 ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρ- 32
Lc. 16, 18. ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἐὰν ἀπολε-
*Ex. 20, 7. λυμένην γαμήσῃ, μοιχᾶται. 33 Πάλιν ἠκούσατε, ὅτι ἐῤῥήθη τοῖς 33
ἀρχαίοις· Οὐκ ἐπιορκήσεις· ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους
Jac. 5, 12. σου. 34 ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, 34
ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ· 35 μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν 35
ἐστιν τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶν τοῦ

---

22. Rc. Kn. Sz. post τῷ ἀδελφῷ αὐτ. hab. εἰκῆ.
25. Rc. Kn. Sz. post ὁ κριτὴς repetunt σε παραδῷ.
27. Rc. post ἐῤῥέθη hab. τοῖς ἀρχαίοις et Kn. (τοῖς ἀρχ.).
28. ἐπιθυμῆσαι cum K al. Clem. Or. (ter) Ath. Euth... Rc. addit αὐτῆς... Kn. Sz. Ln. add. αὐτήν. — Om. ἐν τῇ καρδίᾳ αὐτοῦ Syr. hr. Clem. (ter).
30. Ln. pro βληθῇ hab. ἀπέλθῃ.
32. Ln. ὅτι πᾶς ὁ ἀπολύων. — Ln. pro μοιχᾶσθαι hab. μοιχευθῆναι, atque tum hab. ὁ ἀπολελ. γαμήσας.

36 μεγάλου βασιλέως· 36 μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύ-
37 νασαι μίαν τρίχα λευκὴν ποιῆσαι ἢ μέλαιναν. 37 ἔστω δὲ ὁ λόγος
ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.
38 38 Ἠκούσατε, ὅτι ἐῤῥήθη· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα • Ex. 21, 24.
39 ἀντὶ ὀδόντος. 39 ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· • Nm.
ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα σου, στρέψον αὐτῷ 24, 20. l.c. 6,
40 καὶ τὴν ἄλλην· 40 καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά 29-30.
41 σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· 41 καὶ ὅστις σε ἀγγαρεύσει
42 μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. 42 τῷ αἰτοῦντί σε δός, καὶ τὸν
43 θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. 43 Ἠκούσατε, ὅτι • Nm. 19, 18.
ἐῤῥήθη· Ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου.
44 44 ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχε- l.c. 6,
45 σθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς· 45 ὅπως γένησθε υἱοὶ τοῦ πα- 27.28. et 32-36.
τρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ
46 πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 46 ἐὰν
γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ
47 καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; 47 καὶ ἐὰν ἀσπάσησθε τοὺς
ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ
48 οὕτως ποιοῦσιν; 48 ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὡς ὁ πατὴρ ὑμῶν ὁ
οὐράνιος τέλειός ἐστιν.

## VI.

1 Προσέχετε δὲ τὴν δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν
τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ
2 ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. 2 ὅταν οὖν ποιῇς

---

37. Ln. ἔσται. — 39. Om. σοῦ 1. al. pm. It.[4] Bas. al. .. in al. locum mutat.
42. Rc. Kn. Sz. δίδου.
44. Rc. Kn. Sz. ἀγαπᾶτε τ. ἐχθρ. ὑμ., εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν [Rc. τοὺς μισοῦντας] ὑμᾶς καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς.
46. Hab. ἕξετε D al. Ct. It. (exc. 1.) Aug.
47. Pro ἀδελφούς hab. φίλους EKLMSΔ. al. pl. It.[2] al. Bas. al. — Rc. Kn. Sz. pro ἐθνικοί hab. τελῶναι ... Ln. pro οὕτως hab. τὸ αὐτό.
48. Rc. Kn. Sz. ὥσπερ ὁ πατ. ὑμ. ὁ ἐν τοῖς οὐρανοῖς.
Cap. VI. 1. δέ ab initio cum LZ al. m. Syr. utr. It.[1] al. .. Rc. Kn. Sz. Ln. om. δέ. — Rc. Sz. pro δικαιοσ. hab. ἐλεημοσύνην.

ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ
ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν
ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐ-
τῶν. [3] σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου, 3
τί ποιεῖ ἡ δεξιά σου· [4] ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· 4
καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι. [5] καὶ 5
ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὡς οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς
συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχε-
σθαι, ὅπως φανῶσιν τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν
τὸν μισθὸν αὐτῶν. [6] σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν 6
σου, καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου ἐν τῷ
κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι.
[7] Προσευχόμενοι δὲ μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοί· δοκοῦσιν 7
γάρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. [8] μὴ οὖν 8
ὁμοιωθῆτε αὐτοῖς· οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ
Lc. 11, 2-4. τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. [9] οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ 9
ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· [10] ἐλθέτω 10
ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ
ἐπὶ τῆς γῆς· [11] τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· 11
[12] καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίομεν τοῖς 12
ὀφειλέταις ἡμῶν· [13] καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ 13
Mt. 18, 35. ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. [14] Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις 14
τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐρά-
Mc. 11, 26. νιος· [15] ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις, οὐδὲ ὁ πατὴρ ὑμῶν 15
ἀφήσει τὰ παραπτώματα ὑμῶν. [16] Ὅταν δὲ νηστεύητε, μὴ γίνε- 16
σθε ὡς οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσιν γὰρ τὰ πρόσωπα

---

4. Rc. Kn. Sz. ante ἀποδώσει hab. αὐτός ac post σοί hab. ἐν τῷ φανερῷ.
5. Ln. προσεύχησθε, οὐκ ἔσεσθε. — Rc. Kn. Sz. ὅπως ἂν φανῶσιν.
6. ἐν τῷ κρυπτῷ cum D al. Arr. Arm. in absconso It. Vg... Rc. Kn. Sz. Ln. τῷ ἐν τ. κρ. — Rc. Kn. Sz. post ἀποδώσει σοι hab. ἐν τῷ φανερῷ.
10. Ln. καὶ ἐπὶ γῆς.
12. ἀφίομεν cum DELΔ al... Rc. Kn. Sz. ἀφίεμεν ... Ln. ἀφήκαμεν.
13. Rc. post πονηροῦ. hab. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν... Kn. eadem (—) hab.
14. Post ὁ οὐράνιος hab. τὰ παραπτώματα ὑμῶν L al. Syr. hr. It.[6] Vg. al.
15. ἀνθρώποις, οὐδέ cum D al. Syr. Vg. It.[5] al. Aug. al. .. Rc. Kn. Sz. Ln. ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδέ.]

αὐτῶν, ὅπως φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες. ἀμὴν λέγω
17 ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. 17 σὺ δὲ νηστεύων ἄλειψαί
18 σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι· 18 ὅπως μὴ φανῇς
τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυφαίῳ·
19 καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυφαίῳ ἀποδώσει σοι. 19 Μὴ Lc. 12,
θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις 33. 34.
20 ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν· 20 θη-
σαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶ-
σις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν.
21 21 ὅπου γάρ ἐστιν ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου.
22 22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ὁ ὀφθαλ- Lc. 11,
23 μός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· 23 ἐὰν δὲ ὁ 34-36.
ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. εἰ
24 οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν, τὸ σκότος πόσον. 24 Οὐδεὶς Lc. 16,
δύναται δυσὶν κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν 13.
ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρο-
25 νήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. 25 Διὰ τοῦτο λέγω Lc. 12,
ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε ἢ τί πίητε· μηδὲ 22-31.
τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστιν τῆς
26 τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος; 26 ἐμβλέψατε εἰς τὰ πετεινὰ
τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν
εἰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. οὐχ
27 ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; 27 τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύ-
28 ναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; 28 καὶ περὶ
ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς
29 αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει. 29 λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολο-
30 μὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. 30 εἰ δὲ τὸν
χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμε-
νον, ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

---

18. Rc. Kn. Sz. pro κρυφαίῳ bis hab. κρυπτῷ. — Rc. post ἀποδώσ. σοι hab. ἐν τῷ φανερῷ... Kn. eadem (—) hab.
21. Rc. Kn. Sz. pro σοῦ bis ὑμῶν hab.
22. Ln. ὁ ὀφθαλμός σου. ἐὰν οὖν. — 24. Rc. μαμμωνᾷ.
25. Rc. Kn. Sz. καὶ τί πίητε.. Haec om. 1. al. Vg. It.4· al. m. Clem. (videtur) Bas. al.
28. Ln. αὐξάνουσιν. οὐ κοπιῶσιν οὐδὲ νήθουσιν.

31 μὴ οὖν μεριμνήσητε λέγοντες· Τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί 31
περιβαλώμεθα; 32 πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ. οἶδεν γὰρ ὁ 32
πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων. 33 ζητεῖτε 33
δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ· καὶ
ταῦτα πάντα προστεθήσεται ὑμῖν. 34 μὴ οὖν μεριμνήσητε εἰς τὴν 34
αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει ἑαυτῆς. ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία
αὐτῆς.

## VII.

Lc. 6, 37. 38. Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. 2 ἐν ᾧ γὰρ κρίματι κρίνετε, 1 2
Lc. 6, 41. 42. κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν. 3 τί 3
δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν
δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; 4 ἢ πῶς ἐρεῖς τῷ 4
ἀδελφῷ σου· Ἄφες, ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου·
καὶ ἰδού, ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σοῦ; 5 ὑποκριτά, ἔκβαλε πρῶ- 5
τον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ, καὶ τότε διαβλέψεις ἐκβα-
λεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. 6 Μὴ δῶτε 6
τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπρο-
σθεν τῶν χοίρων· μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν
Lc. 11, 9-13. αὐτῶν καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. 7 Αἰτεῖτε, καὶ δοθήσεται 7
ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. 8 πᾶς 8
γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι
ἀνοιγήσεται. 9 ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ 9
υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; 10 καὶ ἐὰν ἰχθὺν αἰ- 10
τήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; 11 εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες 11
οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ
πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν.
Lc. 6, 31. 12 πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕ- 12

---

32. LN. ἐπιζητοῦσιν.
33. Hab. τὴν δικαιοσύνην καὶ τὴν βασιλείαν αὐτοῦ B.
34. Rc. Kn. Sz. pro ἑαυτῆς hab. τὰ ἑαυτῆς.
Cap. VII. 2. Rc. ἀντιμετρηθήσεται. — 4. LN. ἐκ τοῦ ὀφθαλμοῦ.
5. LN. ἔκβαλε πρῶτον ἐκ τ. ὀφθ. σου τὴν δοκόν.
6. LN. καταπατήσουσιν.
9 et 10. LN. ἢ τις ἐξ ὑμῶν ἄνθρωπος, ὃν αἰτήσει etc. ἢ καὶ ἰχθὺν αἰτήσει etc.

τως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προ-
13 φῆται. [13] Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη Lc. 13, 24.
καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί
14 εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς· [14] ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμ-
μένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρί-
15 σκοντες αὐτήν. [15] Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες
ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προβάτων, ἔσωθεν δέ εἰσιν λύκοι
16 ἅρπαγες. [16] ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. μήτι Lc. 6,
17 συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν ἢ ἀπὸ τριβόλων σῦκα; [17] οὕ- 43. 44. Mt. 12,
τως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν 33.
18 δένδρον καρποὺς πονηροὺς ποιεῖ. [18] οὐ δύναται δένδρον ἀγαθὸν
καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς
19 ποιεῖν. [19] πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ Mt. 3,
20 εἰς πῦρ βάλλεται. [20] ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε 10.
21 αὐτούς. [21] Οὐ πᾶς ὁ λέγων μοι· Κύριε κύριε, εἰσελεύσεται εἰς Lc. 6,
τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός 46. 47.
22 μου τοῦ ἐν οὐρανοῖς. [22] πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·
Κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν, καὶ τῷ σῷ ὀνό-
ματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς
23 ἐποιήσαμεν; [23] καὶ τότε ὁμολογήσω αὐτοῖς· ὅτι οὐδέποτε ἔγνων Lc. 13,
24 ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. [24] Πᾶς 27. Lc. 6,
οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, ὁμοι- 48. 49.
ώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ
25 ἐπὶ τὴν πέτραν. [25] καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί,
καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ· καὶ οὐκ
26 ἔπεσεν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. [26] καὶ πᾶς ὁ ἀκούων
μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ
27 μωρῷ, ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον. [27] καὶ

---

13. Ln. εἰσέλθατε. — 14. Kn. Sz. Ln. pro ὅτι [c. BX al. pm. It.[2] Arm. Copt. Or. (1; alibi om.) Gaud.] στενή hab. τί στενή.
15. Ln. om. δέ ab initio. — 16. Ln. σταφυλάς.
19. Ln. πᾶν (οὖν).
21. Ln. τοῦ ἐν τοῖς οὐρανοῖς. — In fine addunt οὗτος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν 33. It. (exc. 2.). Vg. al. Cypr. al.
24. Ln. τ. λόγους (τούτους). — Ln. pro ὁμοιώσω αὐτόν hab. ὁμοιωθήσεται.
26. Om. τούτους 56. al. Syr. hr. It.[1] Goth. Cypr. al.

κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι,
καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ· καὶ ἔπεσεν, καὶ ἦν ἡ πτῶσις
αὐτῆς μεγάλη.
Mc. 1, Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξε- 28
22. Lc. 4, πλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ· [29] ἦν γὰρ διδάσκων αὐ- 29
32. τοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν.

## VIII.

Mc. 1, Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ 1
40-44. Lc. 5, ὄχλοι πολλοί. [2] καὶ ἰδού, λεπρὸς προσελθὼν προσεκύνει αὐτῷ λέ- 2
12-14. γων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. [3] καὶ ἐκτείνας τὴν 3
χεῖρα ἥψατο αὐτοῦ λέγων· Θέλω, καθαρίσθητι. καὶ εὐθέως ἐκα-
θαρίσθη αὐτοῦ ἡ λέπρα. [4] καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅρα, μη- 4
δενὶ εἴπῃς· ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε
*Lv. 14, 2 sqq. τὸ δῶρον, ὃ προσέταξεν Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς.
Lc. 7, Εἰσελθόντι δὲ αὐτῷ εἰς Καφαρναούμ, προσῆλθεν αὐτῷ ἑκα- 5
1-10. τόνταρχος παρακαλῶν αὐτὸν [6] καὶ λέγων· Κύριε, ὁ παῖς μου 6
βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. [7] καὶ 7
λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. [8] καὶ ἀπο- 8
κριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ
τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς
μου. [9] καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυ- 9
τὸν στρατιώτας, καὶ λέγω τούτῳ· Πορεύθητι, καὶ πορεύεται· καὶ
ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου· Ποίησον τοῦτο,
καὶ ποιεῖ. [10] ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν καὶ εἶπεν τοῖς 10
ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πί-
Lc. 13, στιν εὗρον. [11] λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν 11
28. 29. ἥξουσιν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ

---

28. Rc. Kn. Sz. συνετέλεσεν.
29. αὐτῶν cum BKΔ al. Syr. utr. et hr. Vg. It.[8] al. Eus... Rc. Kn. Sz. om. αὐτῶν... Ln. hab. αὐτῶν καὶ οἱ Φαρισαῖοι.

Cap. VIII. 1. Ln. hab. ab initio καὶ καταβάντος αὐτοῦ.
2. Rc. Kn. Sz. ἐλθών. — 4. Rc. Sz. Μωσῆς. Ita semper.
5. Ln. Εἰσελθόντος δὲ αὐτοῦ... Rc. Εἰσελθ. δὲ τῷ Ἰησοῦ.
7. Ln. om. καὶ ab initio. — 8. Rc. εἰπὲ λόγον.
9. Ln. ὑπὸ ἐξουσίαν τασσόμενος. — 10. Ln. τ. ἀκολουθ. αὐτῷ. — Ln. παρ' οὐδενὶ τοσαύτην πίστιν ἐν τῷ Ἰσραὴλ εὗρον.

12 ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· [12] οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσον-
ται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς
13 τῶν ὀδόντων. [13] καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῃ· Ὕπαγε, ὡς
ἐπίστευσας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς ἐν τῇ ὥρᾳ ἐκείνῃ.
14 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου εἶδεν τὴν πεν- Mc. 1. 29-34.
15 θερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν. [15] καὶ ἥψατο τῆς χει- Lc. 4. 38-40.
ρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει
16 αὐτῷ. [16] Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους
πολλούς· καὶ ἐξέβαλεν τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς
17 ἔχοντας ἐθεράπευσεν· [17] ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου *Es. 53, 4.
τοῦ προφήτου λέγοντος· Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβεν καὶ
τὰς νόσους ἐβάστασεν.
18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν ἐκέλευσεν Lc. 9. 57.-60.
19 ἀπελθεῖν εἰς τὸ πέραν. [19] Καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν
20 αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ. [20] καὶ
λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ
21 ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ. [21] ἕτερος δὲ τῶν μαθητῶν εἶπεν
αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν
22 πατέρα μου. [22] ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ
ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.
23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μα- Mc. 4. 35-41.
24 θηταὶ αὐτοῦ. [24] καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, Lc. 8. 22-25.
ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκά-
25 θευδεν. [25] καὶ προσελθόντες οἱ μαθηταὶ ἤγειραν αὐτὸν λέγοντες·
26 Κύριε, σῶσον· ἀπολλύμεθα. [26] καὶ λέγει αὐτοῖς· Τί δειλοί ἐστε,
ὀλιγόπιστοι; τότε ἐγερθεὶς ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ·
27 καὶ ἐγένετο γαλήνη μεγάλη. [27] οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγον-

---

13. Rc. ἑκατοντάρχῳ. — Rc. Kn. Sz. Ὕπαγε, καὶ ὡς. — Rc. Kn. Sz. ὁ παῖς αὐτοῦ. — Ln. ἀπὸ τῆς ὥρας ἐκείνης. — In versus fine addunt: Καὶ ὑποστρέψας ὁ ἑκατόνταρχος εἰς τὸν οἶκον αὐτοῦ ἐν αὐτῇ τῇ ὥρᾳ εὗρεν τὸν παῖδα ὑγιαίνοντα (in nonnull. inter se differunt): CEMX al. pm. Syr. hr. It.[l.] al.

15. Rc. Kn. διηκόνει αὐτοῖς.

18. Ln. pro πολλοὺς ὄχλους hab. ὄχλον. — 23. Ln. εἰς πλοῖον.

25. Ln. (οἱ μαθηταί). — Rc. Kn. Sz. σῶσον ἡμᾶς.

τες· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπα-
κούουσιν αὐτῷ;

Mc. 5, 1-17. Lc. 8, 26-37. Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γαδαρη- 28
νῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερ-
χόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς
ὁδοῦ ἐκείνης. 29 καὶ ἰδού, ἔκραξαν λέγοντες· Τί ἡμῖν καὶ σοί, υἱὲ 29
τοῦ θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; 30 ἦν δὲ μα- 30
κρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. 31 οἱ δὲ δαίμο- 31
νες παρεκάλουν αὐτὸν λέγοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἀπόστειλον
ἡμᾶς εἰς τὴν ἀγέλην τῶν χοίρων. 32 καὶ εἶπεν αὐτοῖς· Ὑπάγετε. 32
οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τοὺς χοίρους. καὶ ἰδού, ὥρμησεν
πᾶσα ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον
ἐν τοῖς ὕδασιν. 33 οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν 33
πόλιν ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων. 34 καὶ ἰδού, 34
πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν
παρεκάλεσαν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

## IX.

Mc. 2, 3-12. Lc. 5, 18-26. Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν ἰδίαν 1
πόλιν. 2 καὶ ἰδού, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βε- 2
βλημένον. καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπεν τῷ παραλυ-
τικῷ· Θάρσει, τέκνον· ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. 3 καὶ ἰδού, 3
τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ. 4 καὶ 4
ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν· Ἵνα τί ἐνθυμεῖσθε
πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; 5 τί γάρ ἐστιν εὐκοπώτερον, εἰ- 5
πεῖν· Ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειρε καὶ περιπάτει;

---

28. Ln. καὶ ἐλθόντος αὐτοῦ. — Rc. Γεργεσηνῶν. Kn. Ln. Γερασηνῶν. cf. Mc.
29. Rc. Sz. ante υἱέ hab. Ἰησοῦ et Kn. id. hab. (—).
31. Rc. Kn. Sz. ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς etc.
32. Rc. Kn. Sz. ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. — Rc. Sz. post πᾶσα ἡ ἀγέλη hab. τῶν χοίρων, quae verba Kn. (—).
34. Ln. εἰς ὑπάντησιν.
Cap. IX. 1. Ln. εἰς πλοῖον. — 2. Ln. προσφέρουσιν.
2. Ln. ἀφίενταί σου αἱ ἁμαρτίαι. — Hab. σοί αἱ ἁμαρτίαι sine σου D gr. Δ. It.[1]
4. Ln. pro ἰδών hab. εἰδώς. — Rc. Kn. Sz. post ἵνα τί hab. ὑμεῖς.
5. Ln. ἀφίενται. — Rc. pro σοῦ hab. σοί . . . hab. σοὶ αἱ ἁμ. σου 115. al. Syr. utr. Vg. It. (exc. 3.) — Rc. Kn. Ln. ἔγειραι.

6 6 ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς
γῆς ἀφιέναι ἁμαρτίας· τότε λέγει τῷ παραλυτικῷ· Ἐγερθεὶς ἆρόν
7 σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. 7 καὶ ἐγερθεὶς ἀπῆλ-
8 θεν εἰς τὸν οἶκον αὐτοῦ. 8 ἰδόντες δὲ οἱ ὄχλοι ἐφοβήθησαν καὶ
ἐδόξασαν τὸν θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.
9 Καὶ παράγων ἐκεῖθεν ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον καθήμενον Mc. 2,
ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· Ἀκολού- 14-17. Lc. 5,
10 θει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. 10 καὶ ἐγένετο αὐτοῦ 27-32.
ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδού, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ
11 ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. 11 καὶ
ἰδόντες οἱ Φαρισαῖοι ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ
12 τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; 12 ὁ
δὲ ἀκούσας εἶπεν· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ'
13 οἱ κακῶς ἔχοντες. 13 πορευθέντες δὲ μάθετε, τί ἐστιν· *Ἔλεος * Hos.
θέλω καὶ οὐ θυσίαν. οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρ- 6, 6.
τωλούς.
14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου λέγοντες· Διὰ Mc. 2,
τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου 18-22. Lc. 5,
15 οὐ νηστεύουσιν; 15 καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ 33-38.
υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος;
ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ
16 τότε νηστεύσουσιν. 16 οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνά-
φου ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ
17 ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται. 17 οὐδὲ βάλλουσιν οἶνον νέον
εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος
ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς
ἀσκοὺς καινούς, καὶ ἀμφότεροι συντηροῦνται.
18 Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδού, ἄρχων εἰσελθὼν προσε- Mc. 5, 22-43. Lc. 8, 41-56.

---

6. LN. Ἔγειραι ἆρον etc.
8. Rc. Kn. Sz. pro ἐφοβήθησαν hab. ἐθαύμασαν.
12. Rc. Kn. Sz. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς.
13. Rc. Kn. Sz. post ἁμαρτωλ. add.: εἰς μετάνοιαν.
15. Pro νυμφῶνος hab. νυμφίου D al. It. Vg. al. Arn. Aug. — Pro πενθεῖν h. νηστεύειν D al. Syr. It. (exc. 1.) al. Chrys. al.
17. LN. ἀσκοὶ ἀπόλλυνται. — Rc. καὶ ἀμφότερα.
18. Rc. ἄρχων ἐλθών. .. Kn. Sz. ἄρχ. εἷς ἐλθών. .. LN. ἄρχ. εἷς προσελθών. .. τὶς προσελθ. FGL al. m. .. al. aliter.

κνεῖ αὐτῷ λέγων· Ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν
ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται. [19] καὶ ἐγερθεὶς ὁ 19
Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. [20] καὶ ἰδού, 20
γυνὴ αἱμοῤῥοοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ
κρασπέδου τοῦ ἱματίου αὐτοῦ. [21] ἔλεγεν γὰρ ἐν ἑαυτῇ· Ἐὰν μόνον 21
ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. [22] ὁ δὲ Ἰησοῦς ἐπιστρα- 22
φεὶς καὶ ἰδὼν αὐτὴν εἶπεν· Θάρσει, θύγατερ· ἡ πίστις σου σέσω-
κέν σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. [23] καὶ ἐλθὼν ὁ 23
Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ
τὸν ὄχλον θορυβούμενον [24] ἔλεγεν· Ἀναχωρεῖτε· οὐ γὰρ ἀπέ- 24
θανεν τὸ κοράσιον, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ. [25] ὅτε 25
δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησεν τῆς χειρὸς αὐτῆς· καὶ
ἠγέρθη τὸ κοράσιον. [26] καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν 26
γῆν ἐκείνην.

Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο 27
τυφλοὶ κράζοντες καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, υἱὸς Δαυίδ. [28] ἐλ- 28
θόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει
αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγου-
σιν αὐτῷ· Ναί, κύριε. [29] τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν 29
λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. [30] καὶ ἀνεῴχθη- 30
σαν αὐτῶν οἱ ὀφθαλμοί. καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων·
Ὁρᾶτε, μηδεὶς γινωσκέτω. [31] οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν 31
ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

Lc. 11, 14. Αὐτῶν δὲ ἐξερχομένων, ἰδού, προσήνεγκαν αὐτῷ ἄνθρωπον 32
κωφὸν δαιμονιζόμενον. [33] καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν 33
ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες· Οὐδέποτε ἐφάνη οὕ-
τως ἐν τῷ Ἰσραήλ. [34] οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρχοντι 34
τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, 35
διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον

---

19. Ln. ἠκολούθει. — 22. Ln. στραφείς... h. ἔστη στραφεὶς D Ct.
24. Rc. Kn. Sz. λέγει αὐτοῖς.
26. Pro αὕτη hab. αὐτοῦ D al. Ct. al. .. αὐτῆς C al.
27. Ln. om. αὐτῷ. — 30. Ln. ἐνεβριμήθη.
32. Ln. om. ἄνθρωπον.
34. Om. totum v. D Ct. Verc. Hil. Juv. .. ad ἐν add. Belzebul It.

τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.
36 36 ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλ- Mc. 6, 34.
37 μένοι καὶ ἐῤῥιμμένοι, ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. 37 τότε Lc. 10, 2.
λέγει τοῖς μαθηταῖς αὐτοῦ· Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται
38 ὀλίγοι. 38 δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ
ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

## X.

1 Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν Mc. 3, 13-19.
αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ Lc. 6, 13-16.
2 θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. 2 Τῶν δὲ δώδεκα
ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος
Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου
3 καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, 3 Φίλιππος καὶ Βαρθολομαῖος,
Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου καὶ
4 Θαδδαῖος, 4 Σίμων ὁ κανανίτης καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ
5 παραδοὺς αὐτόν. 5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς
παραγγείλας αὐτοῖς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς
6 πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· 6 πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ
7 πρόβατα ἀπολωλότα οἴκου Ἰσραήλ. 7 πορευόμενοι δὲ κηρύσσετε λέ- Lc. 9, 1-6.
8 γοντες· ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. 8 ἀσθενοῦντας θερα-
πεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε,
9 δωρεὰν δότε. 9 Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν Mc. 6, 8-11.
10 εἰς τὰς ζώνας ὑμῶν· 10 μὴ πήραν εἰς ὁδόν, μηδὲ δύο χιτῶνας, Lc. 10, 4-12.

---

35. Rc. post *μαλακίαν* add. *ἐν τῷ λαῷ* et Kn. haec (—) hab.
36. Rc. pro *ἐσκυλμένοι* hab. *ἐκλελυμένοι*. — *ὡς πρόβ.* DFLM al. pm. Chrys.

Cap. X. 1. Hab. *ἐξουσίαν κατά* EFL al. m. Syr. utr. al. Cyr. al.
2. Post *μαλακίαν* add. *ἐν τῷ λαῷ* L al. It.[2] Cyr. Thdret.
3. Rc. Kn. Sz. *καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος* .. hab. *καὶ Λεββαῖος* D al. Ct. .. al. aliter.
4. Ln. *Σίμων ὁ καναναῖος*. — Ln. *ὁ Ἰσκαριώθ*. .. hab. *ὁ Σκαριώτης* D Syr. It. (exc. 1.) al. — Hab. *ὃς καὶ παρέδωκεν* L al. Or. .. *ὁ κ. παραδιδούς* XΔ al.
8. Rc. post *λεπροὺς καθαρ.* hab. *νεκροὺς ἐγείρετε* ... idem Kn. et Ln. hab. post *ἀσθεν. θεραπ.* .. idem post *δαιμ. ἐκβάλλ.* hab. PΔ al.

μηδὲ ὑποδήματα, μηδὲ ῥάβδους. ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς
αὐτοῦ. 11 Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε, τίς 11
ἐν αὐτῇ ἄξιός ἐστιν· κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε. 12 εἰσερχό- 12
μενοι δὲ εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν. 13 καὶ ἐὰν μὲν ᾖ ἡ οἰ- 13
κία ἀξία, ἐλθάτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ
εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. 14 καὶ ὃς ἐὰν μὴ δέξηται 14
ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι ἔξω τῆς οἰκίας
ἢ τῆς πόλεως ἐκείνης ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.
Mt. 11. 24. 15 ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας 15
Lc. 10. 3. ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ. 16 Ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς 16
ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ
Mc. 13, 9-13. ἀκέραιοι ὡς αἱ περιστεραί. 17 προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· 17
Lc. 21, 12-17. παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐ-
τῶν μαστιγώσουσιν ὑμᾶς· 18 καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς 18
ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν.
Lc. 12, 11. 12. 19 ὅταν δὲ παραδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσητε· 19
δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε· 20 οὐ γὰρ 20
ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ
λαλοῦν ἐν ὑμῖν. 21 παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον 21
καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θα-
Mt. 24, 9 et 13. νατώσουσιν αὐτούς. 22 καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ 22
ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. 23 ὅταν 23
δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην. ἀμὴν
γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν
Lc. 6, 40. Jo. 13, 16. ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. 24 Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν δι- 24

---

10. Rc. Kn. Ln. ῥάβδον. — Rc. Kn. Sz. τῆς τροφ. αὐτ. ἐστίν. .. hab. τοῦ μισθοῦ KM al. It. (exc. 1.) al. Gaud. al.

12. Addunt in fine: λέγοντες· Εἰρήνη τῷ οἴκῳ τούτῳ DL al. m. Vg. It. al.

14. Rc. Kn. Sz. om. ἔξω ante τῆς οἰκίας. — Ln. ἐκ τῶν ποδῶν.

15. Γομόῤῥας cum CDLMP al. m. Ct. It.²· Chrys. .. Rc. Ln. Sz. Ln. Γομόῤῥων.

19. Rc. Kn. Sz. παραδιδῶσιν ... hab. παραδώσουσιν DGLX al. pm. Vg. It. (exc. 3.). Ath. al. — Om. δοθήσεται γάρ usque λαλήσετε DL al. m. Ct. It.²· al. Or. Cyr. al.

23. Ln. φεύγετε εἰς τὴν ἑτέραν (κἂν ἐν τῇ ἑτέρᾳ διώκωσιν ὑμᾶς, φεύγετε εἰς τὴν ἄλλην) ... Cdd. al. aliter. — Om. γάρ post ἀμήν DM al. m. It. Vg. al. m. — Ln. om. τοῦ ante Ἰσραήλ.

25 δάσκαλον οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. 25 ἀρκετὸν τῷ
μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ
κύριος αὐτοῦ. εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐπεκάλεσαν, πόσῳ
26 μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ. 26 μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν Lc. 12,
γάρ ἐστιν κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν 2-9.
27 ὃ οὐ γνωσθήσεται. 27 ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ Mc. 4,
φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. 22. Lc. 8,
28 28 καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ 17.
ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβηθῆτε δὲ μᾶλλον τὸν δυνά-
29 μενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. 29 οὐχὶ δύο στρου-
θία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν
30 ἄνευ τοῦ πατρὸς ὑμῶν· 30 ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς
31 πᾶσαι ἠριθμημέναι εἰσίν. 31 μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων
32 διαφέρετε ὑμεῖς. 32 Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν
τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός
33 μου τοῦ ἐν οὐρανοῖς· 33 ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν
ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου Lc. 12,
34 τοῦ ἐν οὐρανοῖς. 34 Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ 51-53.
35 τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. 35 ἦλθον *Mich.
γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ 7, 6.
36 τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· 36 καὶ
37 ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. 37 Ὁ φιλῶν πατέρα ἢ
μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγα-
38 τέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος· 38 καὶ ὃς οὐ λαμβάνει τὸν Mt. 16, 24. 25.
σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστιν μου ἄξιος. Lc. 14, 26. 27.

---

25. Lɴ. *τῷ οἰκοδεσπότῃ* et *τοῖς οἰκιακοῖς*. — Rc. *ἐκάλεσαν*. — Hab. *Βεελζεβοὺβ* Syr. Vg. It.[4] al. Cypr. al. — Pro *οἰκιακούς* hab. *οἰκειακούς* (etiam v. 36.) D al. pm. Chrys. al.

28 Rc. pro *καὶ μὴ φοβεῖσθε* hab. *κ. μὴ φοβηθῆτε*. — Rc. *ἀποκτεινόντων* ... Kɴ. Sz. *ἀποκτενόντων*. — Hab. *καὶ τὴν ψυχ. κ. τὸ σῶμα* EFMSVΔ al. m. — Pro *ἐν γεέννῃ* hab. *εἰς γέενναν* D It. Vg. PP. lat.

31. Rc. Kɴ. Sz. *μὴ οὖν φοβηθῆτε*. — Pro *πολλῶν* hab. *πολλῷ* 10. al. It.[4]

32 et 33. Lɴ. *τοῦ ἐν τοῖς οὐρανοῖς*.

35. Pro *ἄνθρωπ.* hab. *υἱόν* D al. It. (exc. 2.) Hil. al.

37. Om. *καὶ ὁ φιλῶν — ἄξιος*. B*D al. Ct. al.

Jo. 12, 25. 39 ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας 39
Jo. 13, 20. τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. 40 Ὁ δεχόμενος ὑμᾶς 40
ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με.
41 ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου 41
λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δι-
Mc. 9, 41. καίου λήψεται. 42 καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων 42
ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ
μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

## XI.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα 1
μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν
ταῖς πόλεσιν αὐτῶν.
Lc. 7, 18-35. Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χρι- 2
στοῦ, πέμψας διὰ τῶν μαθητῶν αὐτοῦ 3 εἶπεν αὐτῷ· Σὺ εἶ ὁ 3
ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; 4 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς 4
εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ
βλέπετε· 5 τυφλοὶ ἀναβλέπουσιν καὶ χωλοὶ περιπατοῦσιν, λεπροὶ 5
καθαρίζονται καὶ κωφοὶ ἀκούουσιν, νεκροὶ ἐγείρονται καὶ πτωχοὶ
εὐαγγελίζονται· 6 καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν 6
ἐμοί. 7 Τούτων δὲ πορευομένων ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις 7
περὶ Ἰωάννου· Τί ἐξήλθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον
ὑπὸ ἀνέμου σαλευόμενον; 8 ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; ἄνθρωπον ἐν 8
μαλακοῖς ἠμφιεσμένον; ἰδού, οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς
οἴκοις τῶν βασιλέων εἰσίν. 9 ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; προφήτην; 9
ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. 10 οὗτός ἐστιν, περὶ 10
* Mal. 3, 1. οὗ γέγραπται· Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ-

---

42. Hab. τῶν ἐλαχίστων D It. Vg. Cypr. al. — Hab. ψυχροῦ ὕδατος D It. Vg. al. m. Clem. Or. — Hab. ἀπόληται ὁ μισθὸς αὐτοῦ D Ct. It.3. al. Cypr. al.

Cap. XI. 2. Rc. Kn. Sz. pro διά [c. BCDPZΔ al. Ct. Syr. utr. al.] hab. δύο. .. hab. πέμψας τοὺς μαθητάς It.5. al.

5. Ln. (καὶ) χωλοί. — Ln. καὶ νεκροί.

8. ἐν μαλακοῖς cum BDZ al. It. (exc. 4.). Vg. Tert. al. .. Rc. Kn. Sz. addunt ἱματίοις, quod Ln. (—). — Sz. βασιλείων.

10. οὗτός ἐστιν cum BDZ Ct. It.2. al. Ambr. .. Rc. Kn. Sz. οὗτος γάρ ἐστιν ... Ln. οὗτ. (γάρ) ἐστ. — Ln. (ἐγώ).

11 ὠπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. [11] ἀμὴν
λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου
τοῦ βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μεί-
12 ζων αὐτοῦ ἐστιν. [12] ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ Lc. 16, 16.
ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζου-
13 σιν αὐτήν. [13] πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου
14 ἐπροφήτευσαν. [14] καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ
15 16 μέλλων ἔρχεσθαι. [15] ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. [16] Τίνι δὲ
ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶν παιδίοις καθημένοις ἐν
17 ἀγοραῖς, ἃ προσφωνοῦντα τοῖς ἑτέροις [17] λέγουσιν· Ηὐλήσαμεν
ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν, καὶ οὐκ ἐκόψασθε.
18 [18] ἦλθεν γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσιν·
19 Δαιμόνιον ἔχει. [19] ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων,
καὶ λέγουσιν· Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν
φίλος καὶ ἁμαρτωλῶν. καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων
αὐτῆς.

20 Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται
21 δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. [21] Οὐαί σοι, Χοραζίν· οὐαί Lc. 10, 13-15.
σοι, Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις
αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν.
22 [22] πλὴν λέγω ὑμῖν· Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ
23 κρίσεως ἢ ὑμῖν. [23] Καὶ σύ, Καφαρναούμ, ἣ ἕως οὐρανοῦ ὑψώ-
θης, ἕως ᾅδου καταβήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις

---

10. Ln. pro ὅς hab. *καί*.

16. Rc. *παιδαρίοις*. — Ln. *ἐν ἀγορᾷ*. .. *ἐν τῇ ἀγ.* D. .. *ἐν ταῖς ἀγ.* BZ al. — *ἑτέροις* cum BCDEFKLΔ al. pm. Ct. al. *ad invicem* It.[4] *ad alterutrum* It.[1] Ex cdd. illis add.: *αὐτῶν* Δ al. .. Ln. *ἃ προσφων. τοῖς ἑταίροις λέγουσιν*. .. Rc. Kn. Sz. *καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν, καὶ λέγουσιν*.

7. Rc. Kn. Sz. *ἐθρηνήσαμεν ὑμῖν*. [om. c. BCDZ al. Vg. Ct. It.[7] al. Clem.]. — 19. Pro *τέκνων* hab. *ἔργων* B* al. Syr. utr. al.

21. *Χοραζάϊν* D It. Vg. .. *χώρα Ζιν* 127. al. Or. — Rc. Sz. *Βηθσαϊδάν*.

23. *ἢ* — *ὑψώθης* cum EFGSV al. pm. It.[2] al. Chrys. .. Rc. Kn. Sz. *ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ*. .. Ln. *μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ; ἕως Ἅιδου καταβήσῃ*. — Ln. *ἐγενήθησαν*.

*αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον. 24 πλὴν λέγω* 24
*ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν.*
Lc. 10, 21. 22. *Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· Ἐξομολογοῦ-* 25
*μαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας*
*ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.*
*26 ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.* 26
*27 Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπι-* 27
*γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει*
*εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. 28 Δεῦτε* 28
*πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω*
*ὑμᾶς. 29 ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ,* 29
*ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν*
*ταῖς ψυχαῖς ὑμῶν. 30 ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον* 30
*μου ἐλαφρόν ἐστιν.*

## XII.

Mc. 2, 23-28. Lc. 6, 1-5. *Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν διὰ* 1
*τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλ-*
*λειν στάχυας καὶ ἐσθίειν. 2 οἱ δὲ Φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ·* 2
*Ἰδού, οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ.*
*1 Sam. 21, 6. 3 ὁ δὲ εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, τί ἐποίησεν Δαυίδ, ὅτε ἐπεί-* 3
*νασεν καὶ οἱ μετ' αὐτοῦ; 4 πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ* 4
*καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, ὃ οὐκ ἐξὸν ἦν αὐτῷ φα-*
*γεῖν οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις; 5 ἢ οὐκ* 5
*Nm. 28, 9. 10. ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ*
*σάββατον βεβηλοῦσιν καὶ ἀναίτιοί εἰσιν; 6 λέγω δὲ ὑμῖν, ὅτι τοῦ* 6
*Hos. 6, 6. ἱεροῦ μεῖζόν ἐστιν ὧδε. 7 εἰ δὲ ἐγνώκειτε, τί ἐστιν· Ἔλεος θέλω* 7
*Mt. 9, 13. καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. 8 κύριος γάρ* 8
*ἐστιν τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.*

---

23. Ln. *ἔμεινεν.*
24. Hab. *λέγω σοι* 77. al. Syr. utr. — *ἢ ὑμῖν* cum D Ct. It. (exc. 3.) al. Ir. .. Rc. Kn. Sz. Ln. *ἢ σοί.*
25. Ln. pro *ἀπέκρυψας* h. *ἔκρυψας.*
27. Hab. *καὶ ᾧ ἐὰν ὁ υἱὸς ἀποκαλύψῃ* Clem. (6.) Or. (4.) Just. (2.) al.
29. Rc. Kn. Sz. *πρᾶος.*

Cap. XII. 3. Rc. *ἐπείνασεν αὐτός.* — 4. Rc. Kn. Sz. pro *ὅ* hab. *οὕς.*
6. Rc. Kn. *μείζων.* — 8. Rc. *καὶ τοῦ σαββάτου.*

9 Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν. Mc. 3, 1-6. Lc. 6, 6-11.
10 [10] καὶ ἰδού, ἄνθρωπος χεῖρα ἔχων ξηράν. καὶ ἐπηρώτησαν αὐτὸν
λέγοντες· Εἰ ἔξεστιν τοῖς σάββασιν θεραπεύειν; ἵνα κατηγορήσω-
11 σιν αὐτοῦ. [11] ὁ δὲ εἶπεν αὐτοῖς· Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος,
ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βό-
12 θυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; [12] πόσῳ οὖν διαφέρει ἄν-
θρωπος προβάτου· ὥστε ἔξεστιν τοῖς σάββασιν καλῶς ποιεῖν.
13 [13] τότε λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου. καὶ ἐξέτεινεν·
14 καὶ ἀπεκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη. [14] ἐξελθόντες δὲ οἱ Φαρισαῖοι
συμβούλιον ἔλαβον κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν.
15 Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολούθησαν
16 αὐτῷ ὄχλοι πολλοί· καὶ ἐθεράπευσεν αὐτοὺς πάντας, [16] καὶ ἐπε-
17 τίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν· [17] ἵνα πλη-
18 ρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· [18] Ἰδού, ὁ *Es. 42, 1-4.
παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή
μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν
19 ἀπαγγελεῖ. [19] οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς
20 πλατείαις τὴν φωνὴν αὐτοῦ· [20] κάλαμον συντετριμμένον οὐ κατε-
άξει καὶ λίνον τυφόμενον οὐ σβέσει· ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν
21 κρίσιν. [21] καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.
22 Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφός· Lc. 11, 14-23.
23 καὶ ἐθεράπευσεν αὐτόν, ὥστε λαλεῖν καὶ βλέπειν. [23] καὶ ἐξίσταντο
24 πάντες οἱ ὄχλοι καὶ ἔλεγον· Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαυίδ; [24] οἱ Mc. 3, 22-30.
δὲ Φαρισαῖοι ἀκούσαντες εἶπον· Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια
25 εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. [25] εἰδὼς δὲ ὁ

---

10. Rc. Kn. Sz. ἄνθρωπ. ἦν τὴν χεῖρα.. ἀνθρ. ἦν ἐκεῖ τὴν etc. DLMΔ al. m. Syr. utr. It. (exc. 5.) al.

11. Om. ἔσται L al. It.[4] al... hab. ἐστίν D al. m. Ct. Syr. al. — Om. τοῦτο D. Syr. al. — Ln. κρατήσει αὐτὸ καὶ ἐγείρει;

13. Rc. Kn. et Sz. (?) ἀποκατεστάθη. — Om. ὑγιής Syr. It.[6] Hil.

15. Ln. om. ὄχλοι. — 17. Rc. Kn. Sz. ὅπως πληρωθῇ.

18. Ln. ὃν εὐδόκησεν... hab. ἐν ᾧ D al.

21. Rc. ἐν τῷ ὀνόματι... h. ἐπὶ τ. ὀν. 4. al. Eus.

22. ὥστε λαλεῖν καὶ βλέπειν cum Vg. It. (exc. 2.)... Ln. ὥστε τὸν κωφὸν λαλεῖν κ. βλ... Rc. Kn. Sz. ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λ. κ. βλ... τὸν τυφλόν sine κ. κωφ. Syr. p... τὸν κωφὸν καὶ τυφλόν LXΔ al. m. Syr. al.

25. Pro εἰδώς hab. ἰδών D al. Ct. It.[1]

Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία μερι-
σθεῖσα καθ' ἑαυτῆς ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία μερι-
σθεῖσα καθ' ἑαυτῆς οὐ σταθήσεται· 26 καὶ εἰ ὁ σατανᾶς τὸν 26
σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη. πῶς οὖν σταθήσεται ἡ
βασιλεία αὐτοῦ; 27 καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμό- 27
νια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν; διὰ τοῦτο αὐτοὶ ὑμῶν
ἔσονται κριταί. 28 εἰ δὲ ἐν πνεύματι θεοῦ ἐγὼ ἐκβάλλω ` δαι- 28
μόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. 29 ἢ πῶς δύ- 29
ναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ
διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν; καὶ τότε τὴν οἰκίαν
αὐτοῦ διαρπάσει. 30 ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστίν, καὶ ὁ μὴ 30
συνάγων μετ' ἐμοῦ σκορπίζει. 31 Διὰ τοῦτο λέγω ὑμῖν· Πᾶσα 31
ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ
Lc. 12, πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. 32 καὶ ὃς 32
10. ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ·
ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται
Mt. 7, 16-18. αὐτῷ οὔτε ἐν τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. 33 Ἢ ποιή- 33
Lc. 6, σατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε
43. 44. τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ
καρποῦ τὸ δένδρον γινώσκεται. 34 γεννήματα ἐχιδνῶν, πῶς δύ- 34
νασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; ἐκ γὰρ τοῦ περισσεύματος
Lc. 6, τῆς καρδίας τὸ στόμα λαλεῖ. 35 ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγα- 35
45. θοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ
πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. 36 λέγω δὲ ὑμῖν, ὅτι πᾶν 36
ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσιν περὶ
αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. 37 ἐκ γὰρ τῶν λόγων σου δικαιω- 37
θήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ.
Τότε ἀπεκρίθησαν αὐτῷ τινὲς τῶν γραμματέων καὶ Φαρι- 38

---

29. Hab. ἰσχυρόν, καὶ — διαρπάσῃ DGK al. pm. It.[1] Chrys.
31. Ln. ὑμῖν τοῖς ἀνθρώποις priore loco, altero loco hab. οὐκ ἀφεθήσεται omissis τ. ἀνθρ.
32. Sz. οὔτε ἐν τῷ νῦν αἰῶνι.
35. Rc. ἀγαθοῦ θησαυροῦ τῆς καρδίας et Kn. ἀγ. θησ. (τῆς καρδ.). — Rc. Kn. τὰ ἀγαθά. — Hab. τὰ πονηρά LΔ al. m.
36. Om. ἀργόν 23. 24. 32... hab. πονηρόν 120. al. — Ln. ὃ λαλήσωσιν.
37. Pro καὶ h. ἢ D. It.[3] Hil. al. — κατακριθήσῃ G L al. m. Bas. Chrys. al.
38. Rc. Kn. Sz. om. αὐτῷ.

σαίων λέγοντες· Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.
39 39 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς Lc. 11, 29-32.
σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ ση- Mt. 16, 4.
40 μεῖον Ἰωνᾶ τοῦ προφήτου. 40 ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ * Jon. 2, 1.
τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ υἱὸς τοῦ
ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.
41 41 ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς
ταύτης καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα
42 Ἰωνᾶ· καὶ ἰδού, πλεῖον Ἰωνᾶ ὧδε. 42 βασίλισσα νότου ἐγερθήσε- * 1 Reg. 10, 1.
ται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν·
ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶ-
43 νος· καὶ ἰδού, πλεῖον Σολομῶνος ὧδε. 43 Ὅταν δὲ τὸ ἀκάθαρτον Lc. 11, 24-26.
πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων
44 ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει. 44 τότε λέγει· Ἐπιστρέψω
εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα,
45 σεσαρωμένον καὶ κεκοσμημένον. 45 τότε πορεύεται καὶ παραλαμ-
βάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ
εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου
ἐκείνου χείρονα τῶν πρώτων. οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ
πονηρᾷ.
46 Ἔτι αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδού, ἡ μήτηρ καὶ οἱ Mc. 3, 31-35.
47 ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω ζητοῦντες αὐτῷ λαλῆσαι. 47 εἶπεν Lc. 8, 19-21.
δέ τις αὐτῷ· Ἰδού, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκα-
48 σιν ζητοῦντές σοι λαλῆσαι. 48 ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ λέγοντι
αὐτῷ· Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;
49 49 καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν·
50 Ἰδού, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. 50 ὅστις γὰρ ἂν ποιήσῃ
τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς
καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.

---

40. Hab. ἔσται καὶ ὁ υἱός DFL al. Ct. It.[5] al. Ign. Ir. al.
44. Ln. (καὶ) σεσαρωμένον.
46. Rc. Kn. Sz. Ἔτι δὲ αὐτοῦ. . . hab. Λαλοῦντος δὲ αὐτοῦ DLZ Or.
47. Om. totum v. BL al. It.[1]
48. Rc. Kn. Sz. pro λέγοντι hab. εἰπόντι.
50. Pro αὐτός hab. οὗτος LΔ al. *hic* It.[1] — Hab. καὶ ἀδελφός 13. al. It.[2] Or.

# XIII.

Mc. 4, Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας 1
1-20. Lc. 8, ἐκάθητο παρὰ τὴν θάλασσαν· 2 καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι 2
4-15. πολλοί, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι· καὶ πᾶς
ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. 3 καὶ ἐλάλησεν αὐτοῖς πολλὰ 3
ἐν παραβολαῖς λέγων· Ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν.
4 καὶ ἐν τῷ σπείρειν αὐτὸν ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν· καὶ ἦλ- 4
θεν τὰ πετεινὰ καὶ κατέφαγεν αὐτά. 5 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ 5
πετρώδη, ὅπου οὐκ εἶχεν γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλεν διὰ
τὸ μὴ ἔχειν βάθος γῆς· 6 ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ 6
διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. 7 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάν- 7
θας· καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν αὐτά. 8 ἄλλα δὲ 8
ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλήν· καὶ ἐδίδου καρπόν, ὃ μὲν ἑκατόν,
ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. 9 ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. 9
Καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ· Διὰ τί ἐν παρα- 10
βολαῖς λαλεῖς αὐτοῖς; 11 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὅτι ὑμῖν 11
δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις
Mt. 25, 29. δὲ οὐ δέδοται. 12 ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευ- 12
Lc. 8, 18. θήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.
13 διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέ- 13
Es. 6, 9. 10. πουσιν, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν. 14 καὶ 14
Jo. 12, 40. ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα· Ἀκοῇ ἀκού-
Act. 28, 26. 27. σετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.
15 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως 15
ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσιν
τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρδίᾳ συνῶσιν,

---

Cap. XIII. 1. Ln. om. δέ ab initio. — Om. ἀπὸ τῆς οἰκίας D Ct. It.[6].. Ln. om. ἀπό... h. ἐκ Z al. Or. 1.) Chrys.
2. Ln. εἰς πλοῖον. — 3. Hab. τοῦ σπεῖραι DLMX al. m. Chrys.
4. Ln. ἦλθον — κατέφαγεν. — 7. Hab. εἰς τ. ἀκάνθας D al. Or.
11. Om. τῶν οὐρανῶν 1. 9. It.[5] Eus. Tert... h. τοῦ θεοῦ 23. al. Or. (1.)
13. Pro ὅτι βλέποντες etc. hab. ἵνα βλ. μὴ βλέπωσιν κ. ἀκ. μὴ ἀκούσωσιν (s. ἀκούωσιν) καὶ μὴ (s. μηδὲ) συνιῶσιν (s. συνῶσιν), μήποτε ἐπιστρέψωσιν D al. Ct. It. Eus. Cyr.
14. Rc. ἐπ' αὐτοῖς. — Hab. ἀκούσητε et βλέψητε EFGMV al.
15. Ln. τοῖς ὠσὶν (αὐτῶν) βαρέως. — Rc. Sz. συνιῶσι.

15 καὶ ἐπιστρέψωσιν, καὶ ἰάσωμαι αὐτούς. 16 ὑμῶν δὲ μακάριοι οἱ L. c. 10,
ὀφθαλμοί, ὅτι βλέπουσιν· καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν. 23. 24.
17 17 ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύ-
μησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε,
18 καὶ οὐκ ἤκουσαν. 18 ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπεί-
19 ροντος. 19 παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας καὶ μὴ συν-
ιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρ-
20 δίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. 20 ὁ δὲ ἐπὶ τὰ
πετρώδη σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ
21 χαρᾶς λαμβάνων αὐτόν· 21 οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ
πρόσκαιρός ἐστιν· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον
22 εὐθὺς σκανδαλίζεται. 22 ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς, οὗτός
ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος καὶ ἡ ἀπάτη
23 τοῦ πλούτου συμπνίγει τὸν λόγον· καὶ ἄκαρπος γίνεται. 23 ὁ δὲ
ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων
καὶ συνιών· ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξή-
κοντα, ὃ δὲ τριάκοντα.

24 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· Ὡμοιώθη ἡ βα-
σιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ
25 αὐτοῦ. 25 ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν ὁ ἐχθρὸς
αὐτοῦ καὶ ἐπέσπειρεν ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν.
26 26 ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησεν, τότε ἐφάνη
27 καὶ τὰ ζιζάνια. 27 προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου
εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ;
28 πόθεν οὖν ἔχει ζιζάνια; 28 ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος
τοῦτο ἐποίησεν. λέγουσιν αὐτῷ οἱ δοῦλοι· Θέλεις οὖν ἀπελθόντες
29 συλλέξωμεν αὐτά; 29 ὁ δὲ ἔφη· Οὔ· μήποτε συλλέγοντες τὰ ζιζά-

15. Lɴ. καὶ ἰάσομαι. — Antea h. ἐπιστρέψουσιν KV al.
16. Lɴ. om. ὑμῶν post τὰ ὦτα. — 18. Lɴ. τοῦ σπείραντος.
22. Rc. Kɴ. Sz. τοῦ αἰῶνος τούτου.
23. Lɴ. τὴν καλ. γῆν; tum συνιείς. — Pro ὅς δή hab. τότε D Ct. It.[4.] et Vg. It.[2.] — 24. Rc. Kɴ. Sz. σπείροντι.
25. Rc. Kɴ. Sz. ἔσπειρε. — 27. Hab. ἔσπειρες CDEFXV al. — Om. σῷ K al. m. Chrys. al. — Rc. τὰ ζιζάνια.
28. λέγουσιν — δοῦλοι cum CD al. Syr. Ct. It.[5.] al. . . Rc. Kɴ. Sz. Lɴ. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ (Lɴ. αὐτῷ λέγουσιν). — Om. οὖν D. Syr. Vg. It. Ct. al. — h. συλλέξομεν KM al. m. — 29. Lɴ. ὁ δὲ φησίν.

νια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. ³⁰ ἄφετε συναυξάνεσθαι 30
ἀμφότερα μέχρι τοῦ θερισμοῦ· καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ
τοῖς θερισταῖς· Συλλέξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε δεσμὰς
πρὸς τὸ κατακαῦσαι· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην
Mc. 4, 31. 32. Lc. 13, 19. μου. ³¹ Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· Ὁμοία ἐστὶν 31
ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος
ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ. ³² ὃ μικρότερον μέν ἐστιν πάντων 32
τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστὶν καὶ
γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατα-
Lc. 13, 21. σκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. ³³ Ἄλλην παραβολὴν ἐλάλησεν 33
αὐτοῖς· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα
γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.
Mc. 4, 33. 34. Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις 34
καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· ³⁵ ὅπως πληρωθῇ τὸ 35
*Ps 78, 2. ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα
μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.
Τότε ἀφεὶς τοὺς ὄχλους ἦλθεν εἰς τὴν οἰκίαν. καὶ προσῆλθον 36
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Φράσον ἡμῖν τὴν παραβολὴν
τῶν ζιζανίων τοῦ ἀγροῦ. ³⁷ ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὁ σπείρων 37
τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου· ³⁸ ὁ δὲ ἀγρός ἐστιν 38
ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας·
τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ· ³⁹ ὁ δὲ ἐχθρὸς ὁ σπείρας 39
αὐτά ἐστιν ὁ διάβολος· ὁ δὲ θερισμὸς συντέλεια αἰῶνός ἐστιν· οἱ
δὲ θερισταὶ ἄγγελοί εἰσιν. ⁴⁰ ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ 40
πυρὶ καίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ⁴¹ ἀπο- 41
στελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξου-
σιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας

30. Ln. ἕως τοῦ θερ. — Rc. ἐν τῷ καιρῷ. — δήσατε δεσμὰς πρὸς τὸ κατακαῦσαι cum D Ct. It. (pauci cdd. differunt). . . Rc. Kn. Sz. Ln. δήσ. αὐτὰ εἰς δεσμὰς πρ. τὸ κατακ. αὐτά. .. Modo αὐτά prius, modo αὐτά posterius, modo utrumque, modo εἰς praep. om.
32. Hab. πάντων τ. λαχ. K al. pm. Syr. utr. Vg. It. al. m. Euth. al.
33. Hab. αὐτ. λέγων CLMX al. It.² — ἔκρυψεν GL al. pl. Cyr. al.
34. Ln. pro οὐκ hab. οὐδέν. — 35. Ln. om. κόσμου.
36. Ln. pro φράσον hab. διασάφησον. — 37. Rc. Kn. Sz. εἶπεν αὐτοῖς.
39. Rc. Kn. Sz. τοῦ αἰῶνος. .. hab. ἡ συντέλεια τοῦ αἰῶνος 131.
40. Rc. Ln. κατακαίεται. — Rc. Kn. Sz. τ. αἰῶν. τούτου.

42 *τὴν ἀνομίαν,* 42 *καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός·*
43 *ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.* 43 *τότε οἱ*
*δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν.*
44 *ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.* 44 *Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία*
*τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος*
*ἔκρυψεν, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ πωλεῖ πάντα ὅσα*
45 *ἔχει καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.* 45 *Πάλιν ὁμοία ἐστὶν ἡ βασι-*
*λεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας·*
46 46 *εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πέπρακεν πάντα*
47 *ὅσα εἶχεν καὶ ἠγόρασεν αὐτόν.* 47 *Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία*
*τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς*
48 *γένους συναγαγούσῃ·* 48 *ὅτε δὲ ἐπληρώθη, ἀνεβίβασαν αὐτήν, καὶ*
*ἐπὶ τὸν αἰγιαλὸν καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ*
49 *σαπρὰ ἔξω ἔβαλον.* 49 *οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος·*
*ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσιν τοὺς πονηροὺς ἐκ μέσου*
50 *τῶν δικαίων* 50 *καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός·*
51 *ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.* 51 *Συνήκατε*
52 *ταῦτα πάντα; λέγουσιν αὐτῷ· Ναί.* 52 *ὁ δὲ εἶπεν αὐτοῖς· Διὰ*
*τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν*
*ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυ-*
*ροῦ αὐτοῦ καινὰ καὶ παλαιά.*
53 *Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας,*
54 *μετῆρεν ἐκεῖθεν.* 54 *καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ ἐδίδασκεν* Mc. 2, 6.
*αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε ἐκπλήσσεσθαι αὐτοὺς καὶ*

---

43. Ln. om. *ἀκούειν*.
44. Ln. om. *πάλιν*. — Ln. om. *πάντα* ante *ὅσα*. — Om. *τῷ* ante *ἀγρῷ* D al. m. Chrys.
45. Ln. om. *ἀνθρώπῳ*.
46. Rc. Kn. pro *εὑρὼν δέ* hab. *ὃς εὑρών*. — Om. *ἕνα* D al. Ct. It.[4] Cypr.
48. *ὅτε δὲ — αὐτήν* cum D. Ct. It. (exc. 3.). Ambr. Aug. . . *καὶ ἐπὶ* etc. cum CL al. Vg. It.[5] Cyr. . . Rc. Kn. Sz. *ἥν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγ. καὶ καθίσ.* . . Ln. *ἣν ὅτε ἐπληρώθη, ἀναβιβάσαντες αὐτὴν καὶ ἐπὶ τ. αἰγ. καθίσ.*
51. Rc. Kn. Sz. *Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Συνήκατε* etc. — Rc. Kn. Sz. *Ναί, κύριε.*
52. Pro *τῇ βασιλ.* [c. BK al. m. Syr. al. Or. (4.) Ath. Cyr. (10.) al.] h. Rc. Sz. *εἰς τὴν βασιλείαν* . . . Ln. *ἐν τῇ βασιλείᾳ*.

λέγειν· Πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; [55] οὐχ οὗτός 55
ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία
καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας;
[56] καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσίν; πόθεν οὖν 56
Jo. 4, 44. τούτῳ πάντα ταῦτα; [57] καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ὁ δὲ Ἰησοῦς 57
εἶπεν αὐτοῖς· Οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι καὶ
ἐν τῇ οἰκίᾳ αὐτοῦ. [58] καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ 58
τὴν ἀπιστίαν αὐτῶν.

## XIV.

Mc. 6, 14-29. Lc. 9, 7-9. et 3, 19. 20.
Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης τὴν ἀκοὴν 1
Ἰησοῦ, [2] καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ· Οὗτός ἐστιν Ἰωάννης ὁ βα- 2
πτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνά-
μεις ἐνεργοῦσιν ἐν αὐτῷ. [3] ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην 3
ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα τοῦ
ἀδελφοῦ αὐτοῦ. [4] ἔλεγεν γὰρ αὐτῷ ὁ Ἰωάννης· Οὐκ ἔξεστίν σοι 4
ἔχειν αὐτήν. [5] καὶ θέλων αὐτὸν ἀποκτεῖναι ἐφοβήθη τὸν ὄχλον, 5
ὅτι ὡς προφήτην αὐτὸν εἶχον. [6] γενεσίοις δὲ γενομένοις τοῦ Ἡρῴ- 6
δου ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσεν
τῷ Ἡρῴδῃ· [7] ὅθεν μεθ᾽ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν 7
αἰτήσηται. [8] ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς εἶπεν· 8
Δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ.
[9] καὶ λυπηθεὶς ὁ βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμέ- 9

---

55. *Μαρία* cum C al. Vg. It. Chrys. .. Rc. Kn. Sz. Ln. *Μαριάμ*. — Ln. pro *Ἰωσῆς* [c. K al.] hab. *Ἰωσήφ* [cum BC al. It. Vg. al. Or. (3.) Eus.]... hab. *Ἰωάννης* DEFGMSXV al. m. Ct. Or. (1.). .. *et Johannes et Joseph* Mm. Gat... om. plane 12. 17. 236.

57. Rc. Kn. Sz. *πατρίδι αὐτοῦ*... om. *καί — αὐτοῦ* L al. It.[3] Hil. al.

Cap. XIV. 2. Hab. *Μήτι οὗτος* D Ct. It.[6] .. *ὅτι* 243. Or. (1.).

3. Ln. *καὶ ἐν τῇ φυλακῇ ἀπέθετο*... om. *καὶ ἔθετο* DZ al. Ct. Aeth. Or. (1.)... etiam *καὶ ἔθηκεν* et *καὶ ἔβαλεν* leg. — *γυναῖκα τ. ἀδελφ. αὐτ.* cum D Ct. Vg. It.[5] Aug. .. Rc. Kn. Sz. Ln. *γυναῖκα Φιλίππου τ. ἀδ. α.*

6. Pro *γεν. δ. γ.* [c. BDLZ] h. Rc. Kn. Sz. *γενεσίων δὲ ἀγομένων* [h. *γενομένων* CK al. Syr. utr. al. m. Chrs.]... *γεν. δ. ἀγομένοις* 1. al.

8. *εἶπεν· Δός μοι* cum D Ct. It.[7] Syr. al. .. Rc. Kn. Sz. Ln. *Δός μοι, φησίν.*

9. Rc. Kn. Sz. *Καὶ ἐλυπήθη ὁ βασιλεύς· διὰ δὲ τούς* etc.

10 τους ἐκέλευσεν δοθῆναι. 10 καὶ πέμψας ἀπεκεφάλισεν τὸν Ἰωάννην
11 ἐν τῇ φυλακῇ. 11 καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ
12 ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκεν τῇ μητρὶ αὐτῆς. 12 καὶ προσελ-
θόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα καὶ ἔθαψαν αὐτό· καὶ
13 ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. 13 ἀκούσας δὲ ὁ Ἰησοῦς ἀνεχώ-
ρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. καὶ ἀκούσαν-
τες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.
14 Καὶ ἐξελθὼν εἶδεν πολὺν ὄχλον· καὶ ἐσπλαγχνίσθη ἐπ' αὐ- Mc. 6, 34-44.
15 τοῖς καὶ ἐθεράπευσεν τοὺς ἀῤῥώστους αὐτῶν. 15 ὀψίας δὲ γενομένης Lc. 9,
προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Ἔρημός ἐστιν ὁ τό- 12-17. Jo. 6,
πος καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελ- 1-13.
16 θόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα. 16 ὁ δὲ Ἰησοῦς
εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς
17 φαγεῖν. 17 οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε
18 ἄρτους καὶ δύο ἰχθύας. 18 ὁ δὲ εἶπεν· Φέρετέ μοι αὐτοὺς ὧδε.
19 19 καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν
τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν
εὐλόγησεν· καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ
20 μαθηταὶ τοῖς ὄχλοις. 20 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν·
καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις.
21 21 οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναι-
κῶν καὶ παιδίων.
22 Καὶ εὐθέως ἠνάγκασεν τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον Mc. 6, 45-56.
καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. Jo. 6,
23 23 καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσ- 16-21.
24 εύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. 24 τὸ δὲ πλοῖον ἤδη
μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν
25 γὰρ ἐναντίος ὁ ἄνεμος. 25 τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθεν

---

10. Ln. om. τόν ante Ἰωάννην.
12. Ln. τὸ πτῶμα. .. Addunt αὐτοῦ D L al. Ct. Syr. Vg. It.⁹· al.
13. Rc. Kn. Sz. Καὶ ἀκούσας. — Hab. πεζοί L Z al. It.³· al.
14. Rc. ἐπ' αὐτούς. — 15. Hab. ἀπόλυσον οὖν C Z al. Copt. al. Or. (2.)
18. Om. ὧδε BD al. It. (exc. 2.) al. .. Ln. ὧδε αὐτούς.
19. Ln. ἐπὶ τοῦ χόρτου. .. ἐπὶ τὸν χόρτον D al. — Rc. καὶ λαβών.
21. Om. ὡσεί 241. al. Syr. Vg. It. (exc. 1.) al. Or. . . h. ὡς D Δ al.
22. Om. αὐτόν D al. Ct. It. (exc. 3.) Arm. . . et αὐτούς et αὐτῷ leg.
25. Rc. Kn. Sz. ἀπῆλθε.

πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης. 26 οἱ δὲ μαθηταὶ ἰδόν- 26
τες αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα ἐταράχθησαν λέγοντες·
ὅτι φάντασμά ἐστιν· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. 27 εὐθέως δὲ 27
ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων· Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖ-
σθε. 28 ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· Κύριε, εἰ σὺ εἶ, 28
κέλευσόν με ἐλθεῖν πρός σε ἐπὶ τὰ ὕδατα. 29 ὁ δὲ εἶπεν· Ἐλθέ. 29
καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα
ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. 30 βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφο- 30
βήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν λέγων· Κύριε,
σῶσόν με. 31 εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο 31
αὐτοῦ καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; 32 καὶ ἀνα- 32
βάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος. 33 οἱ δὲ ἐν τῷ 33
πλοίῳ προσεκύνησαν αὐτῷ λέγοντες· Ἀληθῶς θεοῦ υἱὸς εἶ.
Καὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ. 35 καὶ 34 35
ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην
τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς
ἔχοντας· 36 καὶ παρεκάλουν αὐτόν, ἵνα μόνον ἅψωνται τοῦ κρασ- 36
πέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν.

## XV.

Mc. 7, 1-23. Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων γραμμα- 1
τεῖς καὶ Φαρισαῖοι λέγοντες· 2 Διὰ τί οἱ μαθηταί σου παραβαί- 2
νουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς
χεῖρας αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν. 3 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐ- 3

---

25. Ln. ἐπὶ τὴν θάλασσαν.
26. Rc. Kn. Sz. καὶ ἰδόντες αὐτὸν οἱ μαθηταί... om. οἱ μαθηταὶ 1. Vg. It. (exc. 1.) Arn. Aug. — Rc. Kn. Sz. ἐπὶ τὴν θάλασσαν.
28. Om. αὐτῷ Δ al. m. It.4. Euth... Rc. Kn. Sz. ante ὁ Πέτρος pon.
29. Ln. om. ὁ ante Πέτρος. — Pro ἐλθεῖν h. καὶ ἦλθεν B.
32. Rc. Kn. Sz. ἐμβάντων.
33. Rc. Kn. Sz. Ln. ἐλθόντες προσεκ... om. c. BC al. It.1. al. Or... etiam προσελθόντες et ὄντες leg.
34. Ln. Γεννησαρέθ... Γεννήσαρ D.* Syr. Ct. It. (exc. 2.) Vg. al... al. aliter.
36. Hab. ἵνα κἂν μόνον 1. al. m. Syr. Arm. Or. (2.)... vel sine μόνον Vg. It. (exc. 2.)
Cap. XV. 1. Ln. om. οἱ ante ἀπὸ Ἱερ. [c. BC al. Or.]

τοῖς· Διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν
4 παράδοσιν ὑμῶν; [4] ὁ γὰρ θεὸς εἶπεν· Τίμα τὸν πατέρα καὶ τὴν *Ex. 20, 12. et
μητέρα· καί· Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω. 21, 17.
5 [5] ὑμεῖς δὲ λέγετε· Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί· Δῶρον, ὃ
ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς· καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ
6 τὴν μητέρα αὐτοῦ. [6] καὶ ἠκυρώσατε τὸν λόγον τοῦ θεοῦ διὰ τὴν
7 παράδοσιν ὑμῶν. [7] ὑποκριταί, καλῶς ἐπροφήτευσεν περὶ ὑμῶν
8 Ἡσαΐας λέγων· [8] Ὁ λαὸς οὗτος τοῖς χείλεσίν με τιμᾷ· ἡ δὲ καρ- *Es. 29, 13.
9 δία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. [9] μάτην δὲ σέβονταί με δι-
10 δάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. [10] καὶ προσκαλε-
11 σάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς· Ἀκούετε καὶ συνίετε· [11] οὐ τὸ
εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπο-
12 ρευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον. [12] τότε
προσελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ· Οἶδας, ὅτι οἱ Φα-
13 ρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; [13] ὁ δὲ ἀποκρι-
θεὶς εἶπεν· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐ-
14 ράνιος, ἐκριζωθήσεται. [14] ἄφετε αὐτούς· τυφλοί εἰσιν ὁδηγοὶ
τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον Lc. 6, 39.
15 πεσοῦνται. [15] ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· Φράσον ἡμῖν
16 τὴν παραβολὴν ταύτην. [16] ὁ δὲ εἶπεν· Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί
17 ἐστε; [17] οὐ νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς
18 τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; [18] τὰ δὲ ἐκπο-
ρευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα
19 κοινοῖ τὸν ἄνθρωπον. [19] ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογι-
σμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι,
20 βλασφημίαι. [20] ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ δὲ
ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον.
21 Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύ- Mc. 7, 24-30.

---

4. Rc. Kn. Sz. pro εἶπεν hab. ἐνετείλατο λέγων. — Rc. τ. πατέρα σου.
5. Ln. ὠφεληθῇς, οὐ μὴ τιμήσει (c. BCD al.) — Ln. om. ἢ τὴν μητέρα αὐτοῦ. . . om. αὐτοῦ post μητέρα 6. al. m. It.[4] al. Chrys. al.
6. Rc. Kn. Sz. pro τὸν λόγον hab. τὴν ἐντολήν. . . τὸν νόμον C al.
8. Rc. Sz. Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν καὶ τοῖς χ. etc. — Pro ἀπέχει hab. ἐστίν D Ct. Vg. It. Clem. PP. LL. pl.
11. Om. in fine τοῦτο κοινοῖ τ. ἄνθρ. 1. al. Or. (4.) Tert. Ambr.
14. Rc. Kn. Sz. ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν.
15. Ln. om. ταύτην. — 17. Rc. Kn. Sz. οὔπω . . . ἔτι οὐ Or.

ρου καὶ Σιδῶνος. 22 καὶ ἰδού, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων 22
ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν λέγουσα· Ἐλέησόν με, κύριε, υἱὸς
Δαυίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. 23 ὁ δὲ οὐκ ἀπεκρίθη 23
αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν
λέγοντες· Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. 24 ὁ δὲ 24
ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπο-
λωλότα οἴκου Ἰσραήλ. 25 ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα· 25
Κύριε, βοήθει μοι. 26 ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἔστιν καλὸν 26
λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. 27 ἡ δὲ 27
εἶπεν· Ναί, κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων
τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. 28 τότε 28
ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις·
γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς
ὥρας ἐκείνης.
Mc. 7, Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθεν παρὰ τὴν θάλασσαν 29
31-37. τῆς Γαλιλαίας· καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ. 30 καὶ προσ- 30
ῆλθον αὐτῷ ὄχλοι πολλοὶ ἔχοντες μεθ' ἑαυτῶν χωλούς, τυφλούς,
κωφούς, κυλλοὺς καὶ ἑτέρους πολλούς, καὶ ἔῤῥιψαν αὐτοὺς παρὰ
τοὺς πόδας αὐτοῦ· καὶ ἐθεράπευσεν αὐτούς· 31 ὥστε τοὺς ὄχλους 31
θαυμάσαι βλέποντας κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς
περιπατοῦντας καὶ τυφλοὺς βλέποντας· καὶ ἐδόξασαν τὸν θεὸν
Mc. 8. Ἰσραήλ. 32 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ 32
1-10. εἶπεν· Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι, ἤδη ἡμέραι τρεῖς, προσ-
μένουσίν μοι, καὶ οὐκ ἔχουσιν τί φάγωσιν· καὶ ἀπολῦσαι αὐτοὺς
νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. 33 καὶ λέγουσιν 33
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι,
ὥστε χορτάσαι ὄχλον τοσοῦτον; 34 καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· 34
Πόσους ἄρτους ἔχετε; οἱ δὲ εἶπον· Ἑπτὰ καὶ ὀλίγα ἰχθύδια.

---

22. Ln. ἔκραζεν. — Rc. Kn. Sz. ἐκραύγ. αὐτῷ... ὀπίσω αὐτοῦ D Ct... pon. αὐτῷ post λέγουσα Vg. cdd. It.
25. Kn. προσεκύνησεν.
26. Ln. οὐκ ἔξεστιν λαβεῖν etc.
31. Om. κυλλοὺς ὑγ. 1. Vg. It. (exc. 1.) al. m. Or. ap. Wetst. Aug. — Ln. καὶ χωλοὺς περιπ. — Hab. ἐδόξαζον L al. m. It. Vg. Or. al.
32. Rc. ὅτι ἤδη ἡμέρας τρ... om. ἤδη B al... h. ἰδού Syr. Copt.
33. Hab. πόθεν οὖν B D al. Vg. It. (exc. 1.) Ct. al.

35 36 [35] καὶ ἐκέλευσεν τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν. [36] καὶ λαβὼν
τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας εὐχαριστήσας ἔκλασεν καὶ ἐδω-
37 κεν τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. [37] καὶ ἔφαγον
πάντες καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμά-
38 των, ἑπτὰ σπυρίδας πλήρεις. [38] οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχί-
39 λιοι ἄνδρες χωρὶς γυναικῶν καὶ παιδίων. [39] καὶ ἀπολύσας τοὺς
ὄχλους ἀνέβη εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

## XVI.

1 Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες Mc. 8, 11-13.
2 ἐπηρώτησαν αὐτόν, σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. [2] ὁ Lc. 12,
δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὀψίας γενομένης λέγετε· Εὐδία, 54-56.
3 πυῤῥάζει γὰρ ὁ οὐρανός. [3] καὶ πρωΐ· Σήμερον χειμών, πυῤῥάζει
γὰρ στυγνάζων ὁ οὐρανός. τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε
4 διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε; [4] γενεὰ πονηρὰ Mt. 12,
καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ 39.
εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν.
5 Καὶ ἐλθόντες οἱ μαθηταὶ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους Mc. 8,
6 λαβεῖν. [6] ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ὁρᾶτε καὶ προσέχετε ἀπὸ 15-21.
7 τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. [7] οἱ δὲ διελογίζοντο Lc 12, 1.
8 ἐν ἑαυτοῖς λέγοντες· ὅτι ἄρτους οὐκ ἐλάβομεν. [8] γνοὺς δὲ ὁ Ἰη-
σοῦς εἶπεν· Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους
9 οὐκ ἐλάβετε; [9] οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους
10 τῶν πεντακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε; [10] οὐδὲ τοὺς
ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε;

---

35. 36. Ln. καὶ παραγγείλας τῷ ὄχλῳ ἀναπ. — ἔλαβεν — καὶ εὐχαριστ. — Hab. καὶ ἐδίδου BD al. Ct. Chrys. al.
38. Hab. ὡς τετρακ. B al. .. ὡσεὶ 106. al. It.[1.] al.
39. Rc. Sz. Ln. ἐνέβη. — Ln. Μαγαδάν. .. Μαγεδάν It. Vg. Hier. al. .. Μαγδαλάν CM al.
Cap. XVI. 2. et 3. Om. Ὀψίας γενομ. usque οὐ δύνασθε BXV al. m. Arm. — Rc. Kn. Sz. ὑποκριταί, τὸ μὲν πρόσωπ. .. Ln. καὶ τὸ μέν. — Pro δύνασθε hab. συνίετε S al. m. Ar. al. .. δύνασθε δοκιμάζειν s. γνῶναι s. διαγνῶναι GM al. m. Syr. Vg. It.[5.] al. .. al. aliter.
4. Rc. Kn. Sz. Ἰωνᾶ τοῦ προφήτου.
5. Hab. οἱ μαθηταί post ἐπελάθοντο D Ct. It. (exc. 4.).
8. Rc. εἶπεν αὐτοῖς. .. Kn. εἶπ. (αὐτοῖς). — Ln. οὐκ ἔχετε.

11 πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτων εἶπον ὑμῖν; προσέχετε δὲ 11
ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. 12 τότε συνῆ- 12
καν, ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ᾽
ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.
Mc. 8, 27-9, 1. Lc. 9, 18-27. Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου 13
ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· Τίνα λέγουσιν οἱ ἄνθρωποι
εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; 14 οἱ δὲ εἶπον· Οἱ μὲν Ἰωάννην 14
τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν
προφητῶν. 15 λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; 15
Jo. 6, 69. 16 ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν· Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς 16
τοῦ θεοῦ τοῦ ζῶντος. 17 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· 17
Μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ· ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκά-
λυψέν σοι, ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. 18 κἀγὼ δέ σοι 18
λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου
Mt. 18, 18. τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. 19 καὶ 19
δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς
ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς
ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. 20 τότε διεστεί- 20
λατο τοῖς μαθηταῖς, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ
Χριστός.
Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, 21
ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ
τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκτανθῆ-
ναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. 22 καὶ προσλαβόμενος αὐτὸν 22
ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων· Ἵλεώς σοι, κύριε· οὐ μὴ

---

11. Rc. Kn. περὶ ἄρτου. — Rc. Kn. Sz. εἶπ. ὑμῖν προσέχειν ἀπό etc... προσέχειν, ἀλλ᾽ ἀπό etc. 3. al. Thphyl.
12. Ln. τ. ζύμ. τῶν ἄρτων .. τῆς ζύμης, ἀλλ᾽ D al. Ct. It.[2] al. .. ἀπὸ τῶν ἄρτων 1. Or.
13. τίνα λέγουσιν cum B Syr. hr. Vg. It.[4] al. m. Ir. ms. .. Rc. Kn. Sz. τίνα με λέγ. .. Ln. τίνα (με) λέγ. .. τ. λέγ. με C.
14. Ln. pro ἄλλοι δέ h. οἱ δέ. — 17. Ln. ἀποκριθ. δέ. — Ln. Βαριωνᾶ.
19. Ln. τὰς κλεῖδας. — Hab. ὅσα ἂν — δεδεμένα — ὅσα ἂν — λελυμένα 1. It. (exc. Verc.) Or. Eus. Chrs. al.
20. Ln. pro διεστείλ. hab. ἐπετίμησεν. — Rc. Ἰησοῦς ὁ Χρ.
21. Ln. om. ὁ ante Ἰησ.
22. Hab. ἤρξ. αὐτῷ ἐπιτ. καὶ λέγειν D F al. Ct. It.[6] .. λέγει αὐτῷ ἐπιτιμῶν B al. .. al. aliter.

23 ἔσται σοι τοῦτο. [23] ὁ δὲ στραφεὶς εἶπεν τῷ Πέτρῳ· Ὕπαγε ὀπίσω
μου, σατανᾶ· σκάνδαλον εἶ ἐμοί, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ,
ἀλλὰ τὰ τῶν ἀνθρώπων.
24 Τότε ὁ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· Εἴ τις θέλει Mt. 10, 38. 39.
ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν
25 αὐτοῦ καὶ ἀκολουθείτω μοι. [25] ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ Lc. 17, 33.
σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνε- Jo. 12, 25.
26 κεν ἐμοῦ, εὑρήσει αὐτήν. [26] τί γὰρ ὠφεληθήσεται ἄνθρωπος,
ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ
27 τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; [27] μέλλει γὰρ
ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ
μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν
28 πρᾶξιν αὐτοῦ. [28] ἀμὴν λέγω ὑμῖν, εἰσίν τινες ὧδε ἑστῶτες, οἵτινες
οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου
ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

## XVII.

1 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον Mc. 9, 2-13.
καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐ- Lc. 9, 28-36.
2 τοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν. [2] καὶ μετεμορφώθη ἔμπροσθεν
αὐτῶν, καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμά-
3 τια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. [3] καὶ ἰδού, ὤφθησαν αὐτοῖς
4 Μωϋσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες. [4] ἀποκριθεὶς δὲ ὁ
Πέτρος εἶπεν τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι·
εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωϋσῇ μίαν
5 καὶ Ἠλίᾳ μίαν. [5] ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, νεφέλη φωτεινὴ Mt. 3, 17.
ἐπεσκίασεν αὐτούς· καὶ ἰδού, φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὐ- 2 Pet. 1, 17.

---

23. Hab. ἐπιστραφεὶς DKL al. — εἶ ἐμοί cum D V It. Vg. Hier. al. .. Rc. Kn. Sz. μου εἶ. .. Ln. εἶ ἐμοῦ.
26. Rc. Kn. Sz. ὠφελεῖται.
28. Rc. Kn. Ln. (ὅτι Ln.) εἰσίν τινες τῶν ὧδε ἑστώτων (ἑστηκότων Rc.). .. Cd. Mosq. f. τῶν ὧδε ἑστῶτες.
Cap. XVII. 2. Pro τὸ φῶς hab. χιών D Ct. Vg. It. Aeth. Dions. alex. al.
3. Ln. ὤφθη.
4. Ln. ποιήσω. — Ln. Μωυσεῖ. — Om. ὧδε post ποιήσ. 252.* It.4. Arm. Or.
5. Hab. νεφέλη φωτός 5. al. Ephr.

τός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.
6 καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ 6
ἐφοβήθησαν σφόδρα. 7 καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν 7
καὶ εἶπεν· Ἐγέρθητε καὶ μὴ φοβεῖσθε. 8 ἐπάραντες δὲ τοὺς 8
ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ τὸν Ἰησοῦν μόνον. 9 καὶ 9
καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς
λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ
νεκρῶν ἐγερθῇ. 10 καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ λέγοντες· 10
Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;
11 ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἠλίας μὲν ἔρχεται καὶ ἀποκαταστήσει 11
πάντα· 12 λέγω δὲ ὑμῖν, ὅτι Ἠλίας ἤδη ἦλθεν καὶ οὐκ ἐπέγνω- 12
σαν αὐτόν, ἀλλ' ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν· οὕτως καὶ ὁ
υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. 13 τότε συνῆκαν 13
οἱ μαθηταί, ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς.
Mc. 9, 14-29. Καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον προσῆλθεν αὐτῷ ἄν- 14
Lc. 9, 37-42. θρωπος γονυπετῶν αὐτὸν 15 καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν 15
υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει
εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ. 16 καὶ προσήνεγκα αὐτὸν 16
τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.
17 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμ- 17
μένη, ἕως πότε μεθ' ὑμῶν ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν;
φέρετέ μοι αὐτὸν ὧδε. 18 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ 18
ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον· καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ
τῆς ὥρας ἐκείνης. 19 Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ 19
κατ' ἰδίαν εἶπον· Διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;
20 ὁ δὲ εἶπεν αὐτοῖς· Διὰ τὴν ἀπιστίαν ὑμῶν. ἀμὴν γὰρ λέγω 20

---

7. Ln. καὶ προσῆλθεν ὁ Ἰ. καὶ ἁψάμενος αὐτῶν εἶπεν.

9. Rc. ἀπὸ τοῦ ὄρους. — Rc. Kn. Sz. ἐκ νεκρ. ἀναστῇ. .. a mortuis resurg. It. Vg.

11. Rc. Kn. Sz. ὁ δὲ Ἰησοῦς ἀποκρ. εἶπ. αὐτοῖς. — Rc. Kn. Sz. ἔρχεται πρῶτον.

12. Om. ἐν ante αὐτῷ D F al. m. Justin. .. om. ἐν αὐτῷ Δ. .. hab. εἰς αὐτόν Or. .. ἐπ' αὐτῷ 251.

14. Ln. post ἐλθόντ. om. αὐτῶν. .. hab. καὶ ἐλθὼν πρ. etc. D Ct. Vg. It. Syr. hr. al. .. κ. ἐλθόντος αὐτοῦ 253.* — Rc. γονυπ. αὐτῷ.

15. Ln. κακῶς ἔχει. — Ln. καὶ ἐνίοτε.

20. Ln. ὀλιγοπιστίαν.

ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ·
Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει
21 ὑμῖν. [21] τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ
καὶ νηστείᾳ.
22 Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ εἶπεν αὐτοῖς ὁ Mc. 9,
Ἰησοῦς· Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας 30-32. Lc. 9,
23 ἀνθρώπων, [23] καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερ- 43-45.
θήσεται. καὶ ἐλυπήθησαν σφόδρα.
24 Ἐλθόντων δὲ αὐτῶν εἰς Καφαρναοὺμ προσῆλθον οἱ τὰ δί-
δραχμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον· Ὁ διδάσκαλος ὑμῶν οὐ
25 τελεῖ τὰ δίδραχμα; [25] λέγει· Ναί. καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν,
προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· Τί σοι δοκεῖ, Σίμων; οἱ βα-
σιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον; ἀπὸ τῶν
26 υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων; [26] λέγει αὐτῷ· Ἀπὸ τῶν ἀλ-
λοτρίων. ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί.
27 [27] ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς θάλασσαν
βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοί-
ξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς
ἀντὶ ἐμοῦ καὶ σοῦ.

## XVIII.

1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγον- Mc. 9, 33-37.
2 τες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; [2] καὶ et 41-48.
3 προσκαλεσάμενος παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, [3] καὶ εἶ- Lc. 9, 46-48.
πεν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παι-
4 δία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. [4] ὅστις οὖν
ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν

---

20. Ln. μετάβα ἔνθεν ἐκεῖ .. om. ἐκεῖ 33. Syr. Vg. ms. It.[6.] al. Hier.
21. Om. h. vers. B 33. Syr. hr. It.[1.] al. .. hab. ἐξέρχεται 6. al.
22. Ln. Συστρεφομένων. .. στρεφομ. δ. α. εἰς τ. Γ. Or.
23. Ln. ἀναστήσεται. — 24. Hab. τ. δίδραγμα DEGHLX al. It.[6.]
25. Ln. καὶ εἰσελθόντα εἰς τ. οἰκ. .. εἰσελθόντος et aliter leg.
26. Rc. Kn. Sz. λέγει α. ὁ Πέτρος. .. Σίμων Syr. al. .. Ln. εἰπόντος δὲ Ἀπό etc.
27. Rc. Kn. Sz. εἰς τὴν θάλ. — Hab. ἀναβαίνοντα E** GSXZΔ al. m. Or. Cyr.

Cap. XVIII. 1. Ln. ἡμέρᾳ. — 4. Rc. Kn. ταπεινώσῃ.

τῇ βασιλείᾳ τῶν οὐρανῶν· [5] καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον 5
Lc. 17, 1. 2. ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. [6] ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν 6
μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ, ἵνα κρε-
μασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν
τῷ πελάγει τῆς θαλάσσης. [7] Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδά- 7
λων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ
Mt. 5. 29. 30. ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. [8] εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς 8
σου σκανδαλίζει σε, ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί
ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο
πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. [9] καὶ εἰ ὁ ὀφθαλ- 9
μός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν
σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς
ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. [10] Ὁρᾶτε, μὴ κατα- 10
φρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγε-
λοι αὐτῶν διὰ παντὸς βλέπουσιν τὸ πρόσωπον τοῦ πατρός μου
Lc. 15, 4-7. τοῦ ἐν οὐρανοῖς. [12] τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκα- 12
τὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν· οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα
ἐννέα ἐπὶ τὰ ὄρη πορευθεὶς ζητεῖ τὸ πλανώμενον; [13] καὶ ἐὰν 13
γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλ-
λον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. [14] οὕτως 14
οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς,
ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. [15] Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ 15

---

5. Rc. Kn. Sz. *παιδ. τοι. ἕν*, qd om. c. BSXZΔ al. m. Syr. al. Chrs. .. locum mutat in DL al. Vg. It. al. Or. al.; inde Ln. *ἓν παιδ. τοι.* .. hab. *τοιοῦτο* GLVZΔ al. Or.
6. Rc. *ἐπὶ τ. τράχ.* .. Ln. *περὶ τ. τράχ.*
7. Rc. Kn. Sz. *ἀνάγκη γ. ἐστιν.* — Ln. om. *ἐκείνῳ.*
8. Rc. Kn. Sz. *ἔκκοψ. αὐτά.*
9. Hab. *ὀφθαλμ. ἔχειν καὶ βλ.* L al. It.[6]
10. Rc. Kn. Sz. *οἱ ἄγγ. α. ἐν οὐρανοῖς.* .. Ln. (*ἐν οὐρ.*). .. om. cum 1. al. m. Syr. Vg. ms. It.[1] al. Clem. (2.) Or. (4.) Bas. al. .. B hab. *ἐν τῷ οὐρανῷ.* .. al. aliter.
11. Rc. Kn. Sz. *Ἦλθεν γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός.* [Cf. Lc. 19, 10.] .. post *ἀνθρ.* add. *ζητῆσαι καὶ* 61. al. m. It.[1] al. .. [om. c. BL* al. Syr. hr. It.[1] al. Or. Hier. Juv.]
12. Ln. *οὐχὶ ἀφήσει* etc. *καὶ πορευθεὶς ζητεῖ.*
14. Rc. Kn. Sz. *τ. πατρὸς ὑμῶν.* — Ln. *ἕν* pro *εἷς.*
15. Ln. om. *εἰς σέ.*

ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ
16 μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· [16] ἐὰν δὲ
μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος 2 Cor.
17 δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. [17] ἐὰν δὲ παρακούσῃ 13, 1. Dt.
αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, 19, 15.
18 ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. [18] Ἀμὴν λέγω ὑμῖν, Mt. 16,
ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· 19.
καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.
19 [19] Πάλιν λέγω ὑμῖν, ὅτι ἐὰν δύο συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς
γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς
20 παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. [20] οὗ γάρ εἰσιν δύο ἢ
τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.
21 Τότε προσελθὼν ὁ Πέτρος εἶπεν αὐτῷ· Κύριε, ποσάκις Lc. 17,
ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; 3. 4.
22 [22] λέγει αὐτῷ ὁ Ἰησοῦς· Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως
23 ἑβδομηκοντάκις ἑπτά. [23] διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐ-
ρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησεν συνᾶραι λόγον μετὰ τῶν
24 δούλων αὐτοῦ. [24] ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη
25 αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. [25] μὴ ἔχοντος δὲ αὐτοῦ
ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος πραθῆναι καὶ τὴν γυναῖκα
26 αὐτοῦ καὶ τὰ τέκνα καὶ πάντα ὅσα εἶχεν, καὶ ἀποδοθῆναι. [26] πε-
σὼν οὖν ὁ δοῦλος ἐκεῖνος προσεκύνει αὐτῷ λέγων· Κύριε, μακρο-
27 θύμησον ἐπ' ἐμοί, καὶ πάντα ἀποδώσω σοι. [27] σπλαγχνισθεὶς δὲ
ὁ κύριος τοῦ δούλου ἐκείνου ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆ-
28 κεν αὐτῷ. [28] ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδού-
λων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας

---

15. Rc. Sz. *ὕπαγε καί.*
18. Ln. bis hab. *ἐν οὐρανῷ.*
19. Ln. *ἀμήν* pro *πάλιν.. πάλιν ἀμήν* B (sine *πάλιν* ap. Btlj.) EGHKSV al. pl. It.[8] al. Bas. — Rc. Kn. Sz. *δύο ὑμῶν συμφ. ἐπί* etc.
24. Ln. *προσήχθη.* — Pro *μυρίων* hab. *πολλῶν* Or. Copt. Sah. .. *centum* It.[1]
25. Rc. Kn. Sz. Ln. *ὁ κύριος αὐτοῦ.* .. om. c. BDL Ct. It.[5] Hier. al... om. *ὁ κύρ. α.* 1. It.[1] Or. Chrs. — Ln. *ὅσα ἔχει.*
26. *ἐκεῖνος* cum DLΔ al. Syr. Ct. It. Vg. al. Lucf. .. om. Rc. Kn. Sz. Ln. — Ln. om. *Κύριε.*
27. Ln. om. *ἐκείνου.*

*αὐτὸν ἔπνιγεν λέγων· Ἀπόδος εἴ τι ὀφείλεις.* 29 *πεσὼν οὖν ὁ σύν-* 29
*δουλος αὐτοῦ παρεκάλει αὐτὸν λέγων· Μακροθύμησον ἐπ' ἐμοί,*
*καὶ ἀποδώσω σοι.* 30 *ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν ἔβαλεν* 30
*αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον.* 31 *ἰδόντες δὲ* 31
*οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες*
*διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα.* 32 *τότε προσ-* 32
*καλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ· Δοῦλε πονηρέ,*
*πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με·*
33 *οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγὼ σὲ* 33
*ἠλέησα;* 34 *καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς* 34
*βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον.* 35 *οὕτως καὶ ὁ* 35
*πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ*
*ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.*

## XIX.

Mc. 10, *Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετ-* 1
1-12. *ῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας*
*πέραν τοῦ Ἰορδάνου.* 2 *καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ* 2
*ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.*

*Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν καὶ* 3
*λέγοντες· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ*
*πᾶσαν αἰτίαν;* 4 *ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀνέγνωτε, ὅτι ὁ* 4
• Gn. 1, 27. *ποιήσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;* 5 *καὶ εἶπεν·* 5
• Gn. 2, 24. *Ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα*

---

28. Rc. Kn. Sz. *ἀπόδος μοι.* — Rc. *ὅ,τι ὀφείλ.*
29. Rc. Sz. *ὁ σύνδ. α. εἰς τοὺς πόδας αὐτοῦ*, qu. Kn. (—). — Ln. *ἐπ' ἐμέ.* — Rc. *καὶ πάντα ἀποδ.*, qd Kn. et Ln. (—).
30. Hab. *πᾶν τὸ ὀφειλ.* C al. It.² al. Chrys.
31. Ln. *ἰδόντες οὖν.* — Ln. *κυρίῳ ἑαυτῶν.*
34. Rc. Kn. Sz. *τὸ ὀφειλ. αὐτῷ.*
35. Rc. Kn. Sz. *ὁ ἐπουράνιος.* — Rc. Sz. in v. fine add. *τὰ παραπτώματα αὐτῶν*, qu. Kn. (—).

Cap. XIX. 3. Ln. om. *οἱ* ante *Φαρισ.* — Rc. Kn. Sz. *κ. λέγοντ. αὐτῷ.* — Ln. om. *ἀνθρώπῳ.*
4. Rc. Kn. Sz. *εἶπεν αὐτοῖς.* — Hab. *ὁ κτίσας* B al. Copt. al. Or. (2.) Ath. al.
5. Hab. *πατέρα αὐτοῦ* CEΔ al. m. Syr. utr. al.; hab. *μητέρ. αὐτοῦ* E al. Syr. utr. al. Ath. al.

καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα
6 μίαν. 6 ὥστε οὐκέτι εἰσὶν δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ θεὸς
7 συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. 7 λέγουσιν αὐτῷ· Τί οὖν · Dt. 24, 1. Mt. 5, 31.
Μωϋσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπολῦσαι;
8 8 λέγει αὐτοῖς· ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέ-
τρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέ-
9 γονεν οὕτως. 9 λέγω δὲ ὑμῖν, ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ Mt. 5, 32.
μὴ ἐπὶ πορνείᾳ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην
10 γαμήσας μοιχᾶται. 10 λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Εἰ οὕτως
ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆ-
11 σαι. 11 ὁ δὲ εἶπεν αὐτοῖς· Οὐ πάντες χωροῦσιν τὸν λόγον τοῦτον,
12 ἀλλ' οἷς δέδοται. 12 εἰσὶν γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς
ἐγεννήθησαν οὕτως, καί εἰσιν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ
τῶν ἀνθρώπων, καί εἰσιν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ
τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν χωρείτω.
13 Τότε προσηνέχθησαν αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ Mc. 10, 13-16. Lc. 18, 15-17.
14 αὐτοῖς καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. 14 ὁ
δὲ Ἰησοῦς εἶπεν· Ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν
15 πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. 15 καὶ
ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας ἐπορεύθη ἐκεῖθεν.
16 Καὶ ἰδού, εἷς προσελθὼν εἶπεν αὐτῷ· Διδάσκαλε, τί ἀγα- Mc. 10, 17-22. Lc. 18, 18-23.
17 θὸν ποιήσω, ἵνα σχῶ ζωὴν αἰώνιον; 17 ὁ δὲ εἶπεν αὐτῷ· Τί με
ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστὶν ὁ ἀγαθός. εἰ δὲ θέλεις εἰς τὴν
18 ζωὴν εἰσελθεῖν, τήρει τὰς ἐντολάς. 18 λέγει αὐτῷ· Ποίας; ὁ δὲ
Ἰησοῦς εἶπεν· Τὸ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ · Ex. 20, 12-15. et · l. v. 19, 18.
19 ψευδομαρτυρήσεις, 19 τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγα-
20 πήσεις τὸν πλησίον σου ὡς σεαυτόν. 20 λέγει αὐτῷ ὁ νεανίσκος·

---

5. Rc. Kn. Sz. προσκολληθ. — 7. Rc. Kn. Sz. ἀπολῦσ. αὐτήν.
9. Rc. Sz. εἰ μὴ ἐπὶ π. . . Ln. παρεκτὸς λόγου πορνείας. — Om. καὶ ὁ ἀπολελ. γαμ. μοιχᾶται D L S al. m. Ct. It.[3] Sah.
11. Ln. λόγ. (τοῦτον).
14. Hab. εἶπεν αὐτοῖς C D L al. Syr. Vg. Ct. It.[5] al. m. Chrs.
16. Rc. Kn. Sz. Διδάσκ. ἀγαθέ. — Rc. Kn. Sz. ἵνα ἔχω.
17. Rc. Kn. Sz. Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. — Rc. Kn. Sz. τήρησον.
19. Rc. τὸν πατέρα σου. — om. καὶ ἀγαπήσεις usque σεαυτόν Syr. hr. et omitti vult Or.

*Ταῦτα πάντα ἐφύλαξα· τί ἔτι ὑστερῶ;* [21] *ἔφη αὐτῷ ὁ Ἰησοῦς·* 21
*Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα καὶ*
*δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολού-*
*θει μοι.* [22] *ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθεν λυπούμε-* 22
*νος· ἦν γὰρ ἔχων κτήματα πολλά.*

Mc. 10, *Ὁ δὲ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· Ἀμὴν λέγω ὑμῖν,* 23
23-27. Lc. 18, *ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρα-*
24-27. *νῶν.* [24] *πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστιν κάμηλον διὰ* 24
*τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασι-*
*λείαν τῶν οὐρανῶν.* [25] *ἀκούσαντες δὲ οἱ μαθηταὶ ἐξεπλήσσοντο* 25
*σφόδρα λέγοντες· Τίς ἄρα δύναται σωθῆναι;* [26] *ἐμβλέψας δὲ ὁ* 26
*Ἰησοῦς εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν,*
*παρὰ δὲ θεῷ πάντα δυνατά.*

Mc. 10, *Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· Ἰδού, ἡμεῖς ἀφήκα-* 27
28-31. Lc. 18, *μεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;* [28] *ὁ δὲ* 28
28-31. *Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθή-*
*σαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώ-*
Lc. 22, *που ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα*
30. *θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.* [29] *καὶ πᾶς* 29
*ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ*
*τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λή-*
*ψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει.* [30] *πολλοὶ δὲ ἔσονται πρῶ-* 30
*τοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.*

---

**20.** **Rc. Kn. Sz.** *πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου.*

**21.** **Ln.** *τοῖς πτωχ.* — **22.** **Ln.** *τ. λόγον (τοῦτον).*

**24.** **Hab.** *κάμιλον* **59. al.** — *διὰ τρυμαλιᾶς* **CKM al. m. Or.** — **Rc. Ln.** *διελθεῖν, ἤ.* — **Rc. Kn. Sz.** *βασιλ. τοῦ θεοῦ. . .* **iidem** *εἰσελθεῖν* **post** *πλούσιον* **om. et pon. in v. fine . . plane om. LZ al. It.**[2] **Or. (1.) Chrys. al. . . h.** *διελθ.* **B.**

**26.** **Rc.** *δυνατά ἐστιν.*

**28.** **Hab.** *εἶπεν αὐτῷ* **D al. Ct.** — **Hab.** *καὶ αὐτοὶ* **pro** *κ. ὑμεῖς* **DLZ al. Or. al.**

**29.** **Rc. Sz.** *κ. πᾶς ὃς ἀφ.* — **Hab.** *οἰκίαν* **BK al. m. It. Vg. al. . .** *οἰκίας* **pon. post** *ἀγρούς* **CL al. Syr. hr. al. Or. al.** — **Rc. Kn. Sz. post** *μητέρα* **hab.** *ἢ γυναῖκα* **[om. c. BD al. Syr. hr. Ct. It.**[5] **Or. (dis.) Ir. al.]** — **Ln.** *πολλαπλασίονα.*

## XX.

1 Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδε-
σπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν
2 ἀμπελῶνα αὐτοῦ. 2 συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηνα-
ρίου τὴν ἡμέραν ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ.
3 3 καὶ ἐξελθὼν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ
4 ἀργούς· κἀκείνοις εἶπεν· 4 Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα,
5 καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. 5 οἱ δὲ ἀπῆλθον. πάλιν δὲ ἐξελ-
6 θὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως. 6 περὶ δὲ
τὴν ἑνδεκάτην ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας καὶ λέγει αὐτοῖς·
7 Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; 7 λέγουσιν αὐτῷ· ὅτι
οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν
8 ἀμπελῶνα. 8 ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος
τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς
9 τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. 9 καὶ
10 ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. 10 καὶ
ἐλθόντες οἱ πρῶτοι ἐνόμισαν, ὅτι πλεῖον λήψονται· καὶ ἔλαβον
11 καὶ αὐτοὶ ἀνὰ δηνάριον. 11 λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκο-
12 δεσπότου 12 λέγοντες· Οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ
ἴσους αὐτοὺς ἡμῖν ἐποίησας τοῖς βαστάσασιν τὸ βάρος τῆς ἡμέρας
13 καὶ τὸν καύσωνα; 13 ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε,
14 οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; 14 ἆρον τὸ σὸν
15 καὶ ὕπαγε. θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· 15 ἢ
οὐκ ἔξεστίν μοι ὃ θέλω ποιῆσαι ἐν τοῖς ἐμοῖς; εἰ ὁ ὀφθαλμός σου

---

**Cap. XX.** 2. Hab. *καὶ συμφων.* EFGHKMVX al. pm.
3. Rc. *τὴν τρίτην ὥραν.*
4. Hab. *ἀμπελ. μου* 13. al. m. Vg. ms. It.[8.] al. m. Chrs. al.
5. *πάλιν δέ* c. BCDL al. Syr. Ct. Vg. It.[5.] al. m. Cyr. .. Rc. Kn. Sz. Ln. om. *δέ.*
6. Rc. Kn. Sz. *ἑνδεκ. ὥραν.* — Rc. Sz. *ἑστῶτας ἀργούς,* qd Kn. (—).
7. Ln. *ἀμπελ. (μου).* .. Rc. Kn. Sz. *ἀμπελ., καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε* [qu. om. c. BDLZ al. Vg. It. (exc. 3.) Ct. al. Or. al.]. .. pro *λήψεσθε* h. *δώσω ὑμῖν* Syr. hr. Copt. al.
9. Ln. *ἐλθόντες δέ.* .. h. *ἐλθ. οὖν* D al. It. Ct. Vg.
10. Rc. Kn. Sz. *ἐλθόντες δέ.* — Rc. Kn. Sz. *πλείονα.*
13. Pro *συνεφών. μοι* h. *συνεφώνησά σοι* LZ Copt. al. Or. (1.) al.
15. Ln. om. *ἢ* ante *οὐκ.* — Rc. Sz. Ln. pro *εἰ* [c. B** (plane om. B*) HS al. pl. It. (exc. 1.) Vg. al. Chrs. al.] hab. *ἢ ὁ ὀφθ.* .. h. *ἢ εἰ* Arm.

*πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; 16 οὕτως ἔσονται οἱ ἔσχατοι* 16
*πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι.*
Mc. 10, *Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα παρέλαβεν τοὺς* 17
32-34. L. c. 18, *δώδεκα κατ' ἰδίαν ἐν τῇ ὁδῷ καὶ εἶπεν αὐτοῖς· 18 Ἰδού, ἀναβαί-* 18
31-33. *νομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται*
*τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσιν· καὶ κατακρινοῦσιν αὐτὸν θα-*
*νάτῳ, 19 καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι* 19
*καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται.*
Mc. 10, *Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ* 20
35-45. *τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα καὶ αἰτοῦσά τι παρ' αὐτοῦ. 21 ὁ* 21
*δὲ εἶπεν αὐτῇ· Τί θέλεις; λέγει αὐτῷ· Εἰπέ, ἵνα καθίσωσιν οὗτοι*
*οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ*
*βασιλείᾳ σου. 22 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Οὐκ οἴδατε τί* 22
*αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν; λέγου-*
*σιν αὐτῷ· Δυνάμεθα. 23 λέγει αὐτοῖς· Τὸ μὲν ποτήριόν μου πίε-* 23
*σθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν*
*ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. 24 καὶ* 24
*ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. 25 ὁ δὲ* 25
L. c. 22, *Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν· Οἴδατε, ὅτι οἱ ἄρχοντες*
25-27. *τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι κατεξουσιάζου-*
Mt. 23, *σιν αὐτῶν. 26 οὐχ οὕτως ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν* 26
11. Mc. 9, *μέγας γενέσθαι, ἔσται ὑμῶν διάκονος· 27 καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν* 27
35.

16. Rc. Kn. Sz. Ln. in v. fine add. *πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί*, qu. om. c. BLZ 36. Copt. Sah. [cf. Mt. 22, 14.]
17. Rc. Kn. Sz. Ln. τ. *δώδεκα μαθητάς*, qd om. c. DL al. Ct. al. Or. (4). — Ln. *καὶ ἐν τ. ὁδῷ εἰπ.* . . om. *ἐν τῇ ὁδῷ* Vg. It.[7] al. Hil.
19. *ἐγερθήσ.* c. LZ al. Or. . . Rc. Kn. Sz. Ln. *ἀναστήσεται.*
20. Ln. *ἀπ' αὐτοῦ.*
21. Ln. om. *οὗτοι.* — Ln. post *δεξιῶν* om. *σοῦ.* . . Rc. post *εὐωνύμ.* om. *σοῦ.*
22. Rc. Sz. post *πίνειν* add. *ἢ* (*καὶ* Rc.) *τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι*, qu. Kn. (—) [cf. Mc. 10, 38. 39.]
23. Rc. Kn. Sz. *Καὶ λέγει α.* — Rc. Sz. post *πίεσθε* add. *καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτ., βαπτισθήσεσθε*, qu. Kn. (—). — Hab. *ἢ ἐξ εὐων.* L al. Sah. Or. Bas. al. — Rc. Kn. Sz. *εὐωνύμ. μου.* — Ante *δοῦναι* h. *τοῦτο* CDΔ al. m. Syr. p. Sax.
24. Hab. *Ἀκούσ. δέ* BLZ al. Syr. al. Or.
26. Rc. *οὐχ οὕτ. δέ.* — Ln. *ἐστὶν ἐν ὑμῖν.* — Rc. Kn. Sz. pro *ἔσται ὑμῶν* v. 26. et 27. hab. *ἔστω ὑμ.*

28 εἶναι πρῶτος, ἔσται ὑμῶν δοῦλος· [28] ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώ-
που οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν
ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.
29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ ἠκολούθησεν αὐτῷ Mc.10,
30 ὄχλος πολύς. [30] καὶ ἰδού, δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν· 46-52. Lc.18,
ἀκούσαντες, ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες· Ἐλέησον ἡμᾶς, 35-43.
31 κύριε, υἱὸς Δαυίδ. [31] ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπή-
σωσιν. οἱ δὲ μεῖζον ἔκραζον λέγοντες· Ἐλέησον ἡμᾶς, κύριε, υἱὸς
32 Δαυίδ. [32] καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς καὶ εἶπεν· Τί θέ-
33 λετε ποιήσω ὑμῖν; [33] λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιχθῶσιν
34 ἡμῶν οἱ ὀφθαλμοί. [34] σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο τῶν
ὀφθαλμῶν αὐτῶν· καὶ εὐθέως ἀνέβλεψαν καὶ ἠκολούθησαν αὐτῷ.

## XXI.

1 Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθφαγὴ Mc.11, 1-10.
πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλεν δύο μαθη- Lc.19, 29-38.
2 τὰς [2] λέγων αὐτοῖς· Πορεύεσθε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν Jo.12,
καὶ εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ' αὐτῆς· λύσαντες 12-15.
3 ἄγετέ μοι. [3] καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε· ὅτι ὁ κύριος αὐτῶν
4 χρείαν ἔχει. εὐθέως δὲ ἀποστέλλει αὐτούς. [4] τοῦτο δὲ γέγονεν,
5 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· [5] Εἴπατε τῇ *Zch. 9, 9.
θυγατρὶ Σιών· Ἰδού, ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ ἐπι-
6 βεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον, υἱὸν ὑποζυγίου. [6] πορευθέντες δὲ οἱ

---

28. Post v. 28. add. Ὑμεῖς δὲ ζητεῖτε ἐκ μικροῦ αὐξῆσαι καὶ ἐκ μείζονος ἔλαττον εἶναι. εἰσερχόμενοι δὲ καὶ παρακληθέντες δειπνῆσαι μὴ ἀνακλίνεσθαι εἰς τοὺς ἐξέχοντας τόπους etc. etc. (fere qu. Lc. hab. 14, 8 sqq.) D Ct. It.[9] al. Hil. al. (diff. inter se).

31. LN. ἔκραξαν. — 32. LN. (ἵνα) ποιήσω.

33. LN. ἀνοιγῶσιν οἱ ὀφθ. ἡμῶν.

34. LN. τῶν ὀμμάτων α. — Rc. Kn. Sz. post ἀνέβλ. add. αὐτῶν οἱ ὀφθαλμοὶ [om. c. BDLZ al. m. Syr. hr. Vg. Ct. It. al. m. Or. al.].

Cap. XXI. 1. Hab. Βηθσφαγῆ (s. -γήν) BFKX al. pm. Just. al. .. al. aliter. — LN. εἰς τ. ὄρος.

2. Rc. Kn. Sz. πορεύθητε et ἀγάγετε. — LN. κατέναντι. — Rc. Kn. Sz. LN. κ. εὐθέως εὑρήσ. qd om. c. 64. It.[5] al. Chrs. .. εὐθὺς LZ Or.

3. Rc. LN. ἀποστελεῖ.

4. Rc. Kn. Sz. τ. δ. ὅλον γέγ. — Hab. ὑπὸ τ. πρ. LZ al.

5. Om. καί ante ἐπιβεβ. D al. Ct. cdd. It. Vg. al. — LN. κ. ἐπὶ πῶλον.

μαθηταὶ ἐποίησαν καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, [7] καὶ 7
ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπ' αὐτῶν τὰ ἱμά-
τια αὐτῶν· καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. [8] ὁ δὲ πλεῖστος ὄχλος 8
ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους
ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. [9] οἱ δὲ ὄχλοι οἱ προ- 9
°Ps.118, ἄγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες· Ὡσαννὰ τῷ υἱῷ
26. Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν
τοῖς ὑψίστοις. [10] καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη 10
πᾶσα ἡ πόλις λέγουσα· Τίς ἐστιν οὗτος; [11] οἱ δὲ ὄχλοι ἔλεγον· 11
Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.
Mc.11, 15-17. Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ καὶ ἐξέβαλεν 12
Lc.19, 45. 46. πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς
Jo. 2, 13-17. τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν
°Es.56, πωλούντων τὰς περιστεράς· [13] καὶ λέγει αὐτοῖς· Γέγραπται· Ὁ 13
7. et Jer. 7, οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ποιεῖτε
11. σπήλαιον λῃστῶν. [14] καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν 14
τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς. [15] ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ 15
οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν καὶ τοὺς παῖδας κράζοντας
ἐν τῷ ἱερῷ καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ Δαυίδ, ἠγανάκτησαν
[16] καὶ εἶπον αὐτῷ· Ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει 16
°Ps. 8, 3. αὐτοῖς· Ναί· οὐδέποτε ἀνέγνωτε· Ἐκ στόματος νηπίων καὶ θηλα-
ζόντων κατηρτίσω αἶνον; [17] καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω 17
τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ.
Mc. 11, 12-14. et 19-24. Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν ἐπείνασεν. [19] καὶ ἰδὼν 18 19

---

6. ἐποίησαν etc. καὶ ἤγαγ. c. D al. Vg. It. .. Rc. Kn. Sz. Ln. καὶ ποιήσαντες etc. ἤγαγον.

7. Rc. Kn. Sz. ἐπέθηκαν ἐπάνω αὐτ. — Ln. τ. ἱμάτ. (αὐτῶν). — Rc. ἐπεκάθισαν. — om. ultimum αὐτῶν Vg. It.[2] Or. (1.) .. hab. αὐτοῦ D Ct. Syr. hr. It. edd. m.

9. Ln. οἱ προάγ. αὐτόν.

11. Ln. ὁ προφήτ. Ἰησοῦς. — Hab. οἱ δὲ πολλοί (D) et πολλοὶ δέ et οἱ πολλοὶ δέ.

12. Ln. om. ὁ ante Ἰησ. et τοῦ θεοῦ post τὸ ἱερόν.

13. Pro ποιεῖτε [c. BL al. Or. (2.) Eus.] hab. Rc. Kn. Sz. ἐποιήσατε. .. h. πεποιήκατε 1. Or. (2.).

15. Ln. τοὺς κράζοντας.

18. Hab. παράγων D Ct. It.[6] .. ἐπαναγαγών B*.

συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν
αὐτῇ εἰ μὴ φύλλα μόνον· καὶ λέγει αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπὸς
20 γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. [20] καὶ
ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· Πῶς παραχρῆμα ἐξη-
21 ράνθη ἡ συκῆ. [21] ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν
λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς
συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· Ἄρθητι καὶ
22 βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται· [22] καὶ πάντα ὅσα ἐὰν αἰ-
τήσητε ἐν τῇ προσευχῇ πιστεύοντες λήψεσθε.
23 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερόν, προσῆλθον αὐτῷ οἱ ἀρχιερεῖς Mc.11,
καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα 27-33. Lc.20,
24 ποιεῖς; καὶ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην; [24] ἀποκριθεὶς δὲ 1-8.
ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἐρωτήσω κἀγὼ ὑμᾶς ἕνα λόγον· ὃν ἐὰν
25 εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· [25] τὸ
βάπτισμα τὸ Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; οἱ
26 δὲ διελογίζοντο παρ' ἑαυτοῖς λέγοντες· [26] Ἐὰν εἴπωμεν· Ἐξ οὐρα-
νοῦ, ἐρεῖ ἡμῖν· Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν·
Ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ὡς προφήτην
27 ἔχουσιν τὸν Ἰωάννην. [27] καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον· Οὐκ
οἴδαμεν. ἔφη αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ
28 ἐξουσίᾳ ταῦτα ποιῶ. [28] Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχεν δύο
τέκνα, καὶ προσελθὼν τῷ πρώτῳ εἶπεν· Τέκνον, ὕπαγε σήμερον
29 ἐργάζου ἐν τῷ ἀμπελῶνι. [29] ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐ θέλω·
30 ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθεν. [30] καὶ προσελθὼν τῷ ἑτέρῳ
εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἐγώ, κύριε· καὶ οὐκ
31 ἀπῆλθεν. [31] τίς ἐκ τῶν δύο ἐποίησεν τὸ θέλημα τοῦ πατρός;
λέγουσιν· Ὁ ὕστερος. λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν,

---

19. Ln. Οὐ μηκέτι. — 20. Om. in fine ἡ συκῆ 248. Vg. It.[7.] Hier.
23. Ln. καὶ ἐλθόντος αὐτοῦ [c. BCDL al. Or. (2.)]. — Rc. Kn. Sz. Ln. προσῆλθ. αὐτῷ διδάσκοντι, qd om. c. Ev. 64. It. (exc. 2.)
24. Ln. om. δέ post ἀποκριθείς.
25. Rc. Kn. Sz. om. τό ante Ἰωάνν. — Ln. ἐν ἑαυτοῖς.
26. Om. οὖν DL al. Syr. Vg. ms. Ct. It.[3.] al. Or.
28. Ln. ἄνθρωπ. τις. — Rc. Kn. Sz. Ln. post ἀμπελ. add. μου, qd om. c. DKLM al. m. Syr. utr. et hr. It. (exc. 7.) Ct. al. Or. (in textu) Chrs.
29. Ln. ὕστερ. (δέ). — 30. Ln. προσελθ. δέ. — Rc. Ln. τῷ δευτέρῳ.
31. Rc. Kn. Sz. λέγουσιν αὐτῷ. — Rc. Kn. Sz. pro ὁ ὕστερ. hab. ὁ πρῶ-

ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν
τοῦ θεοῦ. 32 ἦλθεν γὰρ Ἰωάννης πρὸς ὑμᾶς ἐν ὁδῷ δικαιοσύνης, 32
καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευ-
σαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐδὲ μετεμελήθητε ὕστερον τοῦ πι-
Mc.12, στεῦσαι αὐτῷ. 33 Ἄλλην παραβολὴν ἀκούσατε. ἄνθρωπος ἦν 33
1-12. Lc.20, οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ
9-19. περιέθηκεν καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησεν πύργον,
καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. 34 ὅτε δὲ ἤγγισεν 34
ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλεν τοὺς δούλους αὐτοῦ πρὸς τοὺς
γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. 35 καὶ λαβόντες οἱ γεωργοὶ 35
τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλι-
θοβόλησαν. 36 πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν 36
πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. 37 ὕστερον δὲ ἀπέστειλεν 37
πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· Ἐντραπήσονται τὸν υἱόν μου.
38 οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ 38
κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ σχῶμεν τὴν κληρονο-
μίαν αὐτοῦ. 39 καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος 39
καὶ ἀπέκτειναν. 40 ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί 40
ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; 41 λέγουσιν αὐτῷ· Κακοὺς κακῶς 41
ἀπολέσει αὐτοὺς καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς,
οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.
42 λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· 42
*Ps.118, 22. 23. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κε-
φαλὴν γωνίας· παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν

---

τος. . . hab. ὁ ἔσχατος D Ct. Vg. ms. It. (exc. 5.) Hi ἔσχατ. hab. non mutatis iis qu. antecd.; sed B (ὕστερος) al. Syr. hr. al. Pseud-Ath. al. inde a v. 29. sic leg.: Ὁ δὲ ἀποκρ. εἶπεν· Ἐγώ, κύριε· καὶ οὐκ ἀπῆλθεν. 30. καὶ προσελθ. τῷ ἑτέρῳ (δευτέρῳ) εἶπ. ὡσ. ὁ δὲ ἀποκρ. εἶπεν· Οὐ θέλω· ὕστερον δὲ μεταμ. ἀπῆλθεν εἰς τ. ἀμπ. 31. τίς etc. λέγ. (αὐτῷ)· Ὁ ἔσχατος (ὕστερος B).

32. Rc. Kn. Sz. pro οὐδέ h. οὐ. — Om. ὑμεῖς δέ usque αὐτῷ Δ.

33. Rc. ἄνθρωπ. τις.

35. Hab. ὃν δὲ ἐλιθοβόλουν, ὃν δὲ ἀπέκτειναν Syr. It.[5] al. Ir. Lcfr. Arn.

37. Om. πρὸς αὐτούς 28. al. Vg. ms. It.[4] Or. . . h. εἰς αὐτούς 56. al. . . αὐτοῖς D al. Ct. It.[5] Ir. al. — Hab. λέγων· ἴσως 61. Syr. Vg. It.[6] Chrs. Ir. al.

38. Rc. Kn. Sz. καὶ κατάσχωμεν.

39. Hab. ἀπέκτειναν κ. ἐξέβαλον ἔξω τ. ἀμπ. D Ct. It.[6] Lcfr. Juv.

41. Om. αὐτούς Vg. It. al. Ir. al.

43 ὀφθαλμοῖς ἡμῶν; 43 διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ᾽
ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς
45 καρποὺς αὐτῆς. 45 καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι
46 τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν, ὅτι περὶ αὐτῶν λέγει. 46 καὶ ζη-
τοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους, ἐπεὶ εἰς προφή-
την αὐτὸν εἶχον.

## XXII.

1 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς Lc. 14,
2 λέγων· 2 Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, 16-24.
3 ὅστις ἐποίησεν γάμους τῷ υἱῷ αὐτοῦ. 3 καὶ ἀπέστειλεν τοὺς δού-
λους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους· καὶ οὐκ
4 ἤθελον ἐλθεῖν. 4 πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων· Εἴπατε
τοῖς κεκλημένοις· Ἰδού, τὸ ἄριστόν μου ἡτοίμακα, οἱ ταῦροί μου
καὶ τὰ σιτιστὰ τεθυμένα καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γά-
5 μους. 5 οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὃς μὲν εἰς τὸν ἴδιον ἀγρόν,
6 ὃς δὲ ἐπὶ τὴν ἐμπορίαν αὐτοῦ· 6 οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς
7 δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. 7 ὁ δὲ βασιλεὺς ἐκεῖνος
ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσεν τοὺς φο-
8 νεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν. 8 τότε λέγει τοῖς
δούλοις αὐτοῦ· Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ
9 ἦσαν ἄξιοι. 9 πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ
10 ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τοὺς γάμους. 10 καὶ ἐξελθόντες οἱ
δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάντας ὅσους εὗρον, πονη-
11 ρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. 11 εἰσ-

---

44. Rc. Kn. Sz. *Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ, λικμήσει αὐτόν.* Ea Ln. (—)... om. cum D al. Ct. It.[4] Or. .. in Syr. p. est *καὶ πᾶς ὁ πεσ.* etc. [cf. Lc. 20, 18.].

46. Rc. Kn. Sz. *ἐπειδὴ* (*ἐπειδή* Ln. quoque) *ὡς προφήτ.* .. *ἐπεὶ* c. BDL al. Or. (3.) et *εἰς* c. BL al. Or. (6.).

Cap. XXII. 4. Rc. Kn. Sz. *ἡτοίμασα*. .. hab. *ἡτοίμασται* 57. al. Euth.

5. Rc. Kn. Sz. *ὁ μὲν* etc. *ὁ δὲ εἰς τ. ἐμπορ.*

7. *ὁ δὲ βασ.* cum BL al. Copt. al. .. Rc. Kn. *ἀκούσας δὲ ὁ βασ.* .. Ln. *ὁ δὲ βασ. ἀκούσ.* .. Sz. *καὶ ἀκούσ. ὁ βασ.* — Rc. Ln. om. *ἐκεῖνος*.

10. Om. *ἐκεῖνοι* Arm. .. h. *αὐτοῦ* D al. Ct. It. (exc. 1.) Vg. Ir. — Pro *ὁ γάμος* h. *ὁ νυμφών* B* L.., h. *τῶν ἀνακειμ.* 13. 346.

ἐλθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους εἶδεν ἐκεῖ
ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου· [12] καὶ λέγει αὐτῷ· 12
Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη.
[13] τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ πόδας 13
καὶ χεῖρας ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται
Mt. 20, ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. [14] πολλοὶ γάρ εἰσιν κλη- 14
16. τοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Mc. 12, 13-17. Lc. 20, 20-26. Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως 15
αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. [16] καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς 16
μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντας· Διδάσκαλε, οἴ-
δαμεν, ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδά-
σκεις καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον
ἀνθρώπων. [17] εἰπὸν οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστιν δοῦναι κῆν- 17
σον Καίσαρι ἢ οὔ; [18] γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν 18
εἶπεν· Τί με πειράζετε, ὑποκριταί; [19] ἐπιδείξατέ μοι τὸ νόμισμα 19
τοῦ κήνσου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. [20] καὶ λέγει αὐ- 20
τοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; [21] λέγουσιν αὐτῷ· 21
Καίσαρος. τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος Καί-
σαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. [22] καὶ ἀκούσαντες ἐθαύμασαν, 22
καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Mc. 12, 18-27. Lc. 20, 27-39. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέ- 23
γοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες·
Dt. 25, 5. [24] Διδάσκαλε, Μωϋσῆς εἶπεν· Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, 24
ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει
σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. [25] ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· 25
καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησεν, καὶ μὴ ἔχων σπέρμα ἀφῆκεν
τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. [26] ὁμοίως καὶ ὁ δεύτερος 26

---

13. Rc. Kn. Sz. post *χεῖρας* hab. *ἄρατε αὐτὸν καὶ ἐκβάλ. εἰς* etc.., h. *ἄρατε αὐτὸν ποδῶν καὶ χειρῶν καὶ βάλετε αὐτόν* D Ct. It.5· Ir. al... al. aliter.

15. Hab. *συμβ. ἔλαβ. κατ' αὐτοῦ* s. *κατὰ τ. Ἰησ.* C in m. MΔ al. Arm. al. Or.

16. Rc. Kn. Sz. *λέγοντες*. — h. *ἀνθρώπου* 1. al. It.1· Or.

17. Om. *εἰπόν* [c. LZ al... Rc. Kn. Sz. Ln. *εἰπέ*] *οὖν ἡμῖν* D Ct. It.4·

23. Ln. om. *οἱ* ante *λέγοντες* [c. BDSZ al. m. Or. (sed h. etiam *οἵτινες ἔλεγον*)].

25. Ln. *γήμας* pro *γαμήσας*.

27 καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. [27] ὕστερον δὲ πάντων ἀπέθανεν καὶ
28 ἡ γυνή. [28] ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάν-
29 τες γὰρ ἔσχον αὐτήν. [29] ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·
Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ.
30 [30] ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' ὡς
31 ἄγγελοι ἐν οὐρανῷ εἰσίν. [31] περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν
32 οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑπὸ τοῦ θεοῦ λέγοντος· [32] Ἐγώ εἰμι ὁ * Ex. 3. 6.
θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ
33 θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων. [33] καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξε-
πλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.
34 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, ὅτι ἐφίμωσεν τοὺς Σαδδου- Mc.12. 28-31.
35 καίους, συνήχθησαν ἐπὶ τὸ αὐτό· [35] καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν Lc.10. 25-27.
36 νομικὸς πειράζων αὐτόν· [36] Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν
37 τῷ νόμῳ; [37] ὁ δὲ ἔφη αὐτῷ· Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐν * Dt. 6. 5.
ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ
38 39 σου. [38] αὕτη ἐστὶν ἡ μεγάλη καὶ πρώτη ἐντολή. [39] δευτέρα δὲ ὁμοία * Lv. 19. 18.
40 αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. [40] ἐν ταύταις ταῖς
δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται.
41 Συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς Mc.12. 35-37.
42 [42] λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; λέ- Lc.20. 41-44.
43 γουσιν αὐτῷ· Τοῦ Δαυίδ. [43] λέγει αὐτοῖς· Πῶς οὖν Δαυὶδ ἐν
44 πνεύματι κύριον αὐτὸν καλεῖ λέγων· [44] Εἶπεν ὁ κύριος τῷ κυρίῳ Ps.110. 1.
μου· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο-
45 κάτω τῶν ποδῶν σου. [45] εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν κύριον, πῶς
46 υἱὸς αὐτοῦ ἐστιν; [46] καὶ οὐδεὶς ἐδύνατο ἀποκριθῆναι αὐτῷ λόγον,

---

28. Ln. ἐν τῇ ἀναστάσ. οὖν.
30. Rc. Kn. Sz. ἐκγαμίζονται... γαμίσκονται 33. al. Or. (2; γαμίζ. 2.)— Rc. Kn. Sz. ἄγγελοι τοῦ θεοῦ. — Ln. ἐν τῷ οὐρ.
32. Ln. om. θεός post ὁ θεός... om. ὁ θεός D al. Syr. Vg. It. al. Eus. Chrs. al.
35. Rc. Kn. Sz. πειράζων α. καὶ λέγων.
37. Om. τῇ ante καρδίᾳ BEFGVΔ al. m. Clem. — iidem fere (exc. B) om. τῇ ante ψυχῇ.
38. Rc. Kn. Sz. ἐστὶν πρώτη κ. μεγάλη.
39. Pro αὐτῇ h. αὕτη BGV al. pm. Bas... ταύτῃ D al. Ct. Vg. It. al. Cypr. al.
40. Rc. Kn. Sz. ὁ νόμος καὶ οἱ προφ. κρέμανται.
44. Ln. om. ὁ ante κύριος. — Rc. Kn. Sz. ὑποπόδιον τ. ποδῶν σ.
45. Post Δαυὶδ add. ἐν πνεύματι DKMΔ al. pm. It. (exc. 1.) al. Cypr. al.

οὐδὲ ἐτόλμησέν τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

## XXIII.

Τότε ὁ Ἰησοῦς ἐλάλησεν τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ 1
[2] λέγων· Ἐπὶ τῆς καθέδρας Μωϋσέως ἐκάθισαν οἱ γραμματεῖς καὶ 2
οἱ Φαρισαῖοι. [3] πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν, ποιεῖτε καὶ 3
τηρεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσιν γὰρ καὶ οὐ
Lc. 11, 46. ποιοῦσιν. [4] δεσμεύουσιν δὲ φορτία βαρέα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς 4
ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι
αὐτά. [5] πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς 5
ἀνθρώποις. πλατύνουσιν γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύ-
Mc. 12, 38. 39. νουσιν τὰ κράσπεδα· [6] φιλοῦσιν δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς 6
Lc. 11, δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς [7] καὶ τοὺς 7
43. et 20, 46. ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων
ῥαββί. [8] ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ δι- 8
δάσκαλος, πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. [9] καὶ πατέρα μὴ καλέ- 9
σητε ὑμῖν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς
οὐρανοῖς. [10] μηδὲ κληθῆτε καθηγηταί, ὅτι καθηγητὴς ὑμῶν 10
Mt. 20, 26. ἐστὶν εἷς ὁ Χριστός. [11] ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. 11

---

**Cap. XXIII.** 2. τ. καθέδρ. Μωϋσ. c. D al. It. Vg. Or. — Rc. Kn. Sz. Ln. τ. Μωϋσ. καθέδρ.

3. ποιεῖτε (ποιήσατε) κ. τηρεῖτε c. BDLZ al. Syr. hr. Ct. It.[1.] Eus. al. .. Ln. ποιήσατε κ. τηρ. .. Rc. Kn. Sz. τηρεῖν, τηρεῖτε κ. ποιεῖτε.

4. Rc. Kn. Sz. δεσμεύουσι γάρ. .. om. D** al. Arm. al. — Rc. Kn. Sz. Ln. post βαρέα add. καὶ δυσβάστακτα, qu. om. c. L al. Syr. It.[4.] al. Ir. al. — Ln. αὐτοὶ δὲ τῷ δακτ. αὐτ.

5. Rc. Kn. Sz. πλατύν. δέ. — Rc. Kn. Sz. τὰ κράσπ. τῶν ἱματίων αὐτῶν.

6. Rc. Kn. Sz. φιλοῦσί τε.

7. Rc. Kn. Sz. ῥαββὶ, ῥαββί [semel scr. cum BLΔ al. m. Syr. Vg. It. al. m. Chrs. al.].

8. Rc. Sz. pro ὁ διδάσκ. h. ὁ καθηγητὴς ὁ Χριστός. .. Kn. ὁ καθηγ. (ὁ Χρ.).

9. ὑμῖν c. D al. Syr. Vg. It. al. Clem. al. .. Rc. Kn. Sz. Ln. ὑμῶν. .. om. 32. al. It.[1.] al. — Ln. ὁ οὐράνιος.

10. Rc. Kn. Sz. εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγ. ὁ Χρ. .. om. εἷς 1. al. Ct. It.[1.] al. .. ὑμῶν et ἐστίν et om. et varie pon.

12 [12] ὅστις δὲ ὑψώσει ἑαυτόν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώ-
σει ἑαυτόν, ὑψωθήσεται.
13 Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι
κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων·
ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελ-
15 θεῖν. [15] οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι
περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον·
καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.
16 [16] οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ
ναῷ, οὐδέν ἐστιν· ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφεί-
17 λει. [17] μωροὶ καὶ τυφλοί, τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς ἢ ὁ
18 ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; [18] καί· Ὃς ἂν ὀμόσῃ ἐν τῷ θυσια-
στηρίῳ, οὐδέν ἐστιν· ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω
19 αὐτοῦ, ὀφείλει. [19] μωροὶ καὶ τυφλοί, τί γὰρ μεῖζον, τὸ δῶρον
20 ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; [20] ὁ οὖν ὀμόσας ἐν τῷ
θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσιν τοῖς ἐπάνω αὐτοῦ·
21 [21] καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοική-
22 σαντι αὐτόν· [22] καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ
23 τοῦ θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. [23] οὐαὶ ὑμῖν, γραμ- Lc. 11, 42.
ματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον
καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον· καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ
νόμου, τὴν κρίσιν καὶ τὸ ἔλεος καὶ τὴν πίστιν. ταῦτα δὲ ἔδει
24 ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι. [24] ὁδηγοὶ τυφλοί, οἱ διϋλίζοντες
25 τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες. [25] οὐαὶ ὑμῖν, γραμ- Lc. 11, 39.
ματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ

---

14. Rc. *Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.* .. Kn. Sz. hunc v. 14. pon. ante v. 13. [cf. Lc. 20, 47. Mc. 12, 40.] [om. cum BDLZ al. Vg. ms. Ct. It.[9] al. Or. (videtur) al.]

17. Ln. *τί γὰρ μεῖζον* et *ὁ ἁγιάσας*.

19. Ln. (*μωροὶ καί*)... ea om. DLZ al. Vg. Ct. It.[6] al.

21. Rc. Ln. *ἐν τ. κατοικοῦντι.* — Pro *αὐτόν* h. *ἐν αὐτῷ* G al. m. Vg. It. .. et *εἰς αὐτόν* et *αὐτῷ* leg.

23. Rc. Sz. om. *δέ* post *ταῦτα*. — Ln. *ἀφεῖναι*.

24. Ln. om. *οἱ* ante *διϋλίζοντες*.

ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ
ἀκρασίας. 26 Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ 26
ποτηρίου, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτοῦ καθαρόν. 27 οὐαὶ ὑμῖν, 27
γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις
κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ
γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. 28 οὕτως καὶ 28
ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δέ
Lc. 11, ἐστε μεστοὶ ὑποκρίσεως καὶ ἀνομίας. 29 οὐαὶ ὑμῖν, γραμματεῖς 29
47. 48. καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προ-
φητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων· 30 καὶ λέγετε· Εἰ 30
ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα αὐτῶν
κοινωνοὶ ἐν τῷ αἵματι τῶν προφητῶν. 31 ὥστε μαρτυρεῖτε ἑαυ- 31
τοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. 32 καὶ ὑμεῖς 32
πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. 33 ὄφεις, γεννήματα 33
Lc. 11, ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; 34 διὰ τοῦτο 34
49-51. ἰδού, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμ-
ματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν
μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς
πόλιν· 35 ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ 35
τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζα-
χαρίου, υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ
θυσιαστηρίου. 36 ἀμὴν λέγω ὑμῖν, ἥξει πάντα ταῦτα ἐπὶ τὴν γε- 36
Lc. 13, νεὰν ταύτην. 37 Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτέννουσα τοὺς 37
34. 35. προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσά-

---

25. Ln. om. ἐξ ante ἁρπαγῆς. — Kn. Sz. pro ἀκρασίας h. ἀδικίας... Leg. ἀκαθαρσίας et πλεονεξίας et πονηρίας.

26. Rc. Kn. Sz. Ln. post ποτηρίου hab. καὶ τῆς παροψίδος, qu. om. c. D al. Ct. Verc. Clem. Chrs. Ir. — Rc. Kn. Sz. τὸ ἐκτὸς αὐτῶν... om. 53. al. It. Vg. al. Clem. al.

27. Ln. ὁμοιάζετε. — Pro οἵτινες etc. hab. ἔξωθεν ὁ τάφος φαίνεται ὡραῖος, ἔσωθεν δὲ γέμει etc. D Ct. Clem. al.

30. Rc. bis ἦμεν hab.

32. Hab. ἐπληρώσατε DH al. Ct. implestis et impletis edd. It... πληρώσετε B al. Perss. al.

34. Ln. om. καὶ ante ἐξ αὐτῶν. — Om. καὶ ἐξ α. μαστιγώσ. DE* Ct. Verc. Lcfr. Ir., et iidem exc. E om. ἐν τ. συναγ. ὑμῶν.

37. ἀποκτέννουσα (s. ἀποκτένουσ.) c. CGK al. pm... Rc. Kn. Sz. Ln. ἀποκτείνουσα.

κις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπι-
συνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε.
38 39 38 ἰδού, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. 39 λέγω γὰρ ὑμῖν· οὐ
μή με ἴδητε ἀπάρτι ἕως ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν Ps. 118, 26.
ὀνόματι κυρίου.

## XXIV.

1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τοῦ ἱεροῦ ἐπορεύετο, καὶ προσ- Mc. 13, 1-6.
ῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ Lc. 21, 6-8.
2 ἱεροῦ. 2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Βλέπετε ταῦτα πάντα·
ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ κατα-
3 λυθήσεται. 3 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν,
προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν λέγοντες· Εἰπὲ ἡμῖν, πότε
ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντε-
4 λείας τοῦ αἰῶνος; 4 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Βλέπετε,
5 μή τις ὑμᾶς πλανήσῃ. 5 πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί
μου λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσιν.
6 6 μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε, μὴ
7 θροεῖσθε· δεῖ γὰρ γενέσθαι, ἀλλ' οὔπω ἐστὶν τὸ τέλος. 7 ἐγερ- Mc. 13, 8. 9.
θήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ Lc. 21, 10-12.
8 ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους. 8 πάντα δὲ
9 ταῦτα ἀρχὴ ὠδίνων. 9 τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ Mc. 13, 13.
ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν Lc. 21, 17.
10 διὰ τὸ ὄνομά μου. 10 καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ Mt 10, 22.

---

37. Ln. om ἑαυτῆς post νοσσία et post πτέρυγας hab. ℵ (αὐτῆς).
38. Ln. om. ἔρημος.
Cap. XXIV. 1. προσῆλθ. αὐτῷ cum 33. al. m. It.[4] al. Chrs. al. . . Rc. Kn. Sz. Ln. om. αὐτῷ.
2. Rc. Kn. Sz. ὁ δὲ Ἰησοῦς εἶπ. αὐτ. — Βλέπετε c. DL al. pm. Vg. It. al. Thphyl. al. . . Rc. Kn. Sz. Ln. Οὐ βλέπετε. . . οὐ μὴ βλ. K al. — Rc. ὃς οὐ μὴ καταλυθ.
3. Ln. om. τῆς ante συντελείας.
6. Rc. Kn. Sz. δεῖ γ. πάντα γεν. . . δ. γ. ταῦτα γεν. Ev. 47. Syr. hr. Vg. It. (exc. 2.) al. . . δ. γ. πάντα ταῦτα γ. 4. al. It.[1] al.
7. Ln. om. καὶ λοιμοί. . . om. λιμοὶ καί 17. . . hab. λοιμοὶ κ. λιμοί I. al. Vg. It.[7]
9. Hab. εἰς θλίψεις CL al. m. Ct. It.[1] — Rc. om. τῶν ante ἐθνῶν. . . om. τῶν ἐθνῶν C al. m. Chrs.

ἀλλήλους παραδώσουσιν καὶ μισήσουσιν ἀλλήλους. 11 καὶ πολλοὶ 11
ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς. 12 καὶ 12
διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολ-
Mt. 10, 22. λῶν. 13 ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. 14 καὶ κη- 13 14
Lc. 21, 19-33. ρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ
Mc. 13, 10-31. εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν· καὶ τότε ἥξει τὸ τέλος. 15 ὅταν 15
*Dan. 9, 27. οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ
προφήτου, ἑστὸς ἐν τόπῳ ἁγίῳ· — ὁ ἀναγινώσκων νοείτω· —
Lc. 17, 31. 16 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, 17 ὁ ἐπὶ τοῦ 16 17
δώματος μὴ καταβάτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, 18 καὶ ὁ ἐν 18
τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. 19 οὐαὶ 19
δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς
ἡμέραις. 20 Προσεύχεσθε δέ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χει- 20
μῶνος μηδὲ σαββάτῳ· 21 ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ 21
γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται.
22 καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη 22
πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι
ἐκεῖναι. 23 τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδού, ὧδε ὁ Χριστός, ἤ ὧδε· 23
μὴ πιστεύσητε. 24 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπρο- 24
φῆται καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι,
Lc. 17, 22-24. εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. 25 ἰδού, προείρηκα ὑμῖν. 26 ἐὰν 25 26
οὖν εἴπωσιν ὑμῖν· Ἰδού, ἐν τῇ ἐρήμῳ ἐστίν· μὴ ἐξέλθητε. Ἰδού,
ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε. 27 ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρ- 27
χεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ
παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. 28 ὅπου ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ 28
συναχθήσονται οἱ ἀετοί. 29 Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμε- 29
ρῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ
φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ

---

15. Rc. Kn. Sz. ἑστώς. — 16. Rc. Kn. Sz. ἐπὶ τ. ὄρη.
17. Rc. Kn. Sz. καταβαινέτω. — Rc. τὶ ἐκ τ. οἰκ.
18. Rc. Kn. Sz. τὰ ἱμάτια. [τὸ ἱμάτ. c. BDKLZ al. pm. Syr. Vg. Ct. It. (exc. 1.) al. Cypr. al.]
20. Rc. ἐν σαββ. . . σαββάτου DL al.
21. Om. τότε 61. al. It.5. al. Thdret. . . post μεγάλη pon. 131.
23. Ln. μὴ πιστεύετε.
24. Hab. πλανᾶσθαι LZ al. Or. . . πλανηθῆναι D Vg. It.3.
27. Rc. οὕτ. ἔσται καί. — 28. Rc. Kn. Sz. ὅπου γάρ. . . ὅπου δέ Syr.

30 δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. 30 καὶ τότε φανήσεται τὸ
σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε κόψονται
πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχό-
μενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης
31 πολλῆς. 31 καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος
μεγάλης, καὶ ἐπισυνάξουσιν τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσά-
32 ρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. 32 Ἀπὸ δὲ
τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένη-
ται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφυῇ, γινώσκετε, ὅτι ἐγγὺς τὸ θέρος.
33 33 οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε, ὅτι ἐγγύς
34 ἐστιν ἐπὶ θύραις. 34 ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ
35 αὕτη ἕως ἂν πάντα ταῦτα γένηται. 35 ὁ οὐρανὸς καὶ ἡ γῆ παρε-
36 λεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. 36 Περὶ δὲ τῆς
ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρα-
37 νῶν, εἰ μὴ ὁ πατήρ μου μόνος. 37 ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, Lc. 17,
38 οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. 38 ὥσπερ γὰρ 26. 7.
ἦσαν ἐν ταῖς ἡμέραις τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες,
γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν
39 κιβωτόν, 39 καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν
ἅπαντας· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

---

30. Ln. om. τῷ ante οὐρανῷ. — Hab. δυνάμεως πολλῆς κ. δόξης D al. It. (exc. 1.) Ct. Vg. Cypr. al.

31. Rc. Kn. Sz. Ln. σάλπιγγ. φωνῆς μεγ. qd om. c. L Δ al. Syr. al. Cyr. hr. al. .. φωνῆς σάλπιγγ. μεγ. Syr. hr. et p. .. σάλπ. καὶ φων. μεγ. D al. Vg. It. Hil. al. — Ln. ἕως τῶν ἄκρ.

32. Rc. Kn. Sz. ἐκφύῃ.

33. Hab. ταῦτα πάντα DGKL al. pm. Syr. Ct. It. Vg. Chrs. .. sic etiam v. 34. D L al. m. Syr. Vg. ms. Ct. It.[5] Chrs.

35. Rc. Sz. ὁ οὐρ. κ. ἡ γῆ παρελεύσονται.

36. Rc. καὶ τῆς ὥρας. — Ln. post οὐρανῶν hab. οὐδὲ ὁ υἱός [c. BD al. Syr. hr. Aeth. Arm. It. (exc. 5.) Vg. ms. Chrs. Or. intpr. Ambr. (dis.)... Sed om. Hier. teste cdd. gr. maxime Adamant. et Pierii; cdd. gr. ant. ap. Ambr.; cdd. ap. Paulin. aqu. In disp. nicaena c. Arium ap. Ath. ea verba soli Marco tribuuntur]. — Kn. Ln. om. μου post πατήρ.

37. Ln. ὥσπ. γάρ. — Rc. Kn. Sz. ἔσται καί.

38. ἡμέρ. τ. κατακλ. c. L al. It.[2] Or. (2.)... Rc. Kn. Sz. ἡμ. ταῖς πρὸ τ. κ... Ln. ἡμ. ἐκείναις ταῖς πρὸ τ. κ. — Ln. καὶ γαμίσκοντες... γαμίζοντες D al. Chrs.

39. Ln. om. καί post ἔσται.

40 τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· εἷς παραλαμβάνεται καὶ εἷς 40
Lc. 17, ἀφίεται. 41 δύο ἀλήθουσαι ἐν τῷ μυλῶνι· μία παραλαμβάνεται 41
35. Lc. 12, καὶ μία ἀφίεται. 42 γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε, ποίᾳ ἡμέρᾳ 42
39-46. ὁ κύριος ὑμῶν ἔρχεται. 43 Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰ- 43
κοδεσπότης, ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ
οὐκ ἂν εἴασεν διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. 44 διὰ τοῦτο καὶ ὑμεῖς 44
γίνεσθε ἕτοιμοι· ὅτι ᾗ οὐ δοκεῖτε ὥρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρ-
χεται. 45 Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέ- 45
στησεν ὁ κύριος ἐπὶ τῆς οἰκετείας αὐτοῦ τοῦ δοῦναι αὐτοῖς τὴν
τροφὴν ἐν καιρῷ; 46 μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ 46
κύριος αὐτοῦ εὑρήσει οὕτως ποιοῦντα. 47 ἀμὴν λέγω ὑμῖν, ὅτι 47
ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. 48 ἐὰν δὲ 48
εἴπῃ ὁ κακὸς δοῦλος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει μου ὁ κύριος,
49 καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίῃ δὲ καὶ πίνῃ 49
μετὰ τῶν μεθυόντων· 50 ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν 50
ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, 51 καὶ διχοτο- 51
μήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ
ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

## XXV.

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, 1
αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ
νυμφίου. 2 πέντε δὲ ἐξ αὐτῶν ἦσαν μωραὶ καὶ πέντε φρόνιμοι. 2
3 αἵτινες μωραί, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν οὐκ ἔλαβον μεθ' 3
ἑαυτῶν ἔλαιον· 4 αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις 4

40. Rc. Kn. Sz. ὁ εἷς παρ. κ. ὁ εἷς ἀφ. — Add. in fine: δύο ἐπὶ κλίνης μιᾶς (μιᾶς om. It.6. al.) εἷς παραλαμβάνεται κ. εἷς ἀφίεται D al. It. (exc. 4.) Vg. al. Or. intpr. Hil. al.

41. Ln. ἐν τ. μύλῳ. — 42. Rc. Kn. Sz. ποίᾳ ὥρᾳ.

45. Rc. Kn. Sz. ὁ κύριος αὐτοῦ. — Rc. Kn. Sz. pro οἰκ. hab. θεραπείας, postea διδόναι.

48. Rc. Kn. Sz. ὁ κύριός μου ἐλθεῖν. .. ἔρχεσθαι 1. al. Or.

49. Rc. τύπτ. τ. συνδούλους, ἐσθίειν δὲ κ. πίνειν.

Cap. XXV. 1. Ln. λαμπ. ἑαυτῶν et εἰς ὑπάντησιν.

2. Rc. Kn. Sz. πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόν. καὶ αἱ πέντε μωρ.

3. Ln. αἱ γὰρ μωρ. .. h. αἱ οὖν D Ct. It.1. .. αἱ δέ 1. al. Vg. cdd. It. — Rc. λαμπάδ. ἑαυτῶν.

4. Rc. Kn. Sz. ἀγγείοις αὐτῶν.

5 μετὰ τῶν λαμπάδων αὐτῶν. 5 χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύστα-
6 ξαν πᾶσαι καὶ ἐκάθευδον. 6 μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν·
7 Ἰδού, ὁ νυμφίος· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. 7 τότε ἠγέρθη-
σαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας
8 αὐτῶν. 8 αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ
9 ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. 9 ἀπεκρίθησαν
δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐ μὴ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν·
πορεύεσθε μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς.
10 10 ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοι-
μοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα.
11 11 ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε,
12 κύριε, ἄνοιξον ἡμῖν. 12 ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν,
13 οὐκ οἶδα ὑμᾶς. 13 γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν
14 οὐδὲ τὴν ὥραν. 14 Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν τοὺς Lc. 19.
15 ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, 15 καὶ 11-27.
ᾧ μὲν ἔδωκεν πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ
16 τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν. 16 εὐθέως δὲ πορευθεὶς ὁ τὰ
πέντε τάλαντα λαβὼν εἰργάσατο ἐν αὐτοῖς καὶ ἐκέρδησεν ἄλλα
17 18 πέντε. 17 ὡσαύτως καὶ ὁ τὰ δύο ἐκέρδησεν ἄλλα δύο. 18 ὁ δὲ τὸ
ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ καὶ ἔκρυψεν τὸ ἀργύριον τοῦ
19 κυρίου αὐτοῦ. 19 μετὰ δὲ πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δού-
20 λων ἐκείνων καὶ συναίρει λόγον μετ' αὐτῶν. 20 καὶ προσελθὼν ὁ
τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων·
Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα

---

4. Ln. λαμπάδων ἑαυτῶν.
6. Rc. Kn. Sz. ὁ νυμφ. ἔρχεται. — 7. Ln. λαμπάδ. ἑαυτῶν.
9. Rc. Kn. Μήποτε οὐκ ἀρκ. — Rc. πορεύεσθε δὲ μᾶλλ.
11. Ln. om. καί ante αἱ λοιπαί.
13. Rc. post ὥραν add. ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται, qu. Kn. (—).
16. εὐθ. δὲ πορ. cum 118. al. Syr. hr. It.$^{4.}$ .. εὐθ. πορ. B al. It.$^{3.}$ .. Rc. Kn. Sz. Ln. ἀπεδήμησεν εὐθέως. 16. πορ. δέ etc. — Rc. Kn. Sz. κ. ἐποίησεν ἄ. π. τάλαντα. [ἐκέρδ. cum A** BCDL al. m. Syr. Vg. It. al. m. . . om. κ. ἐκέρδ. 115. al. It.$^{2.}$]
17. Ln. (καὶ) ὁ τά. — Rc. Kn. Sz. ἐκέρδ. καὶ αὐτὸς ἄ. δ. — ὁ τὰ δ. λαβών 235. It. Vg. .. τάλαντα λαβών D Ct. al.
18. Ln. τὸ ἓν τάλαντον. — Rc. Kn. Sz. κ. ἀπέκρυψεν.

ἐκέρδησα. [21] ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ 21
πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε
εἰς τὴν χαρὰν τοῦ κυρίου σου. [22] προσελθὼν δὲ καὶ ὁ τὰ δύο τά- 22
λαντα λαβὼν εἶπεν· Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε,
ἄλλα δύο τάλαντα ἐκέρδησα. [23] ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, 23
δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε
καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. [24] προσελθὼν 24
δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς εἶπεν· Κύριε, ἔγνων σε, ὅτι
σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων
ὅθεν οὐ διεσκόρπισας· [25] καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τά- 25
λαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν. [26] ἀποκριθεὶς δὲ ὁ κύριος 26
αὐτοῦ εἶπεν αὐτῷ· Δοῦλε πονηρὲ καὶ ὀκνηρέ, ᾔδεις, ὅτι θερίζω
ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα; [27] ἔδει οὖν 27
σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ ἐκο-
μισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. [28] ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαν- 28
Mt. 13, 12. τον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. [29] τῷ γὰρ ἔχοντι παντὶ 29
δοθήσεται, καὶ περισσευθήσεται· τοῦ δὲ μὴ ἔχοντος, καὶ ὃ ἔχει
ἀρθήσεται ἀπ᾽ αὐτοῦ. [30] καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ 30
σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων.

Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ 31
πάντες οἱ ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης
αὐτοῦ, [32] καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη· 32
καὶ ἀφοριεῖ αὐτοὺς ἀπ᾽ ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ
πρόβατα ἀπὸ τῶν ἐρίφων, [33] καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν 33
αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. [34] τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ 34
δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομή-
σατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.
[35] ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ 35

---

20 et 22. Rc. Kn. Sz. ἐκέρδ. ἐπ᾽ αὐτοῖς. .. ἐν αὐτοῖς EG al.
21. Rc. ἔφη δέ. — 22. Ln. om. λαβών.
21 et 23. Hab. εὖγε A* Vg. It. Or. (1.).
29. Om. παντί post ἔχοντι D al. Ct. Syr. Chrs. — Rc. Kn. Sz. ἀπὸ δὲ τοῦ μὴ ἔχ. — ὃ δοκεῖ ἔχειν E** H L Δ al. pm. Vg. It.[c] Or. al.
30. Rc. ἐκβάλλετε.
31. Rc. Sz. οἱ ἅγιοι ἄγγ. .. Kn. οἱ (ἅγιοι) ἄγγ.

36 με· ξένος ἤμην, καὶ συνηγάγετέ με· [36] γυμνός, καὶ περιεβάλετέ
με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθατε
37 πρὸς μέ. [37] τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες· Κύ-
ριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα,
38 καὶ ἐποτίσαμεν; [38] πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν;
39 ἢ γυμνόν, καὶ περιεβάλομεν; [39] πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν
40 φυλακῇ, καὶ ἤλθομεν πρὸς σέ; [40] καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ
αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν
41 ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. [41] τότε ἐρεῖ καὶ τοῖς
ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ
αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.
42 [42] ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ
43 ἐποτίσατέ με· [43] ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ
οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ
44 με. [44] τότε ἀποκριθήσονται καὶ αὐτοὶ λέγοντες· Κύριε, πότε σε
εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν
45 φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; [45] τότε ἀποκριθήσεται αὐτοῖς
λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν
46 ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. [46] καὶ ἀπελεύσονται οὗτοι εἰς
κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

## XXVI.

1 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τού- Mc. 14, 1-9.
2 τους, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· [2] Οἴδατε, ὅτι μετὰ δύο ἡμέρας
τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ
σταυρωθῆναι.
3 Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ
4 εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα· [4] καὶ συνε-
βουλεύσαντο, ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσιν καὶ ἀποκτείνωσιν.

---

39. Ln. pro ἀσθενῆ hab. ἀσθενοῦντα. — 40. Ln. (τῶν ἀδελφ. μου).
41. Pro τὸ ἡτοιμ. hab. ὃ ἡτοίμασεν ὁ πατήρ μου D al. Ct. It. (exc. 3.) Clem. rom. et alex. al.
44. Rc. ἀποκριθ. αὐτῷ κ. αὐτοί.
Cap. XXVI. 1. Om. πάντας E al. m. Vg. ms. Prs. p. Chrs.
2. Om. οἴδατε D Ct.
3. Rc. Kn. Sz. post ἀρχιερεῖς add. καὶ οἱ γραμματεῖς κ. οἱ πρ.

5 ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ 5
λαῷ.
Jo. 12, Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ 6
1-8. λεπροῦ, 7 προσῆλθεν αὐτῷ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου βαρυ- 7
τίμου καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. 8 ἰδόντες 8
δὲ οἱ μαθηταὶ ἠγανάκτησαν λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη;
9 ἠδύνατο γὰρ τοῦτο πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς πτωχοῖς. 9
10 γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Τί κόπους παρέχετε τῇ γυ- 10
ναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. 11 πάντοτε γὰρ τοὺς 11
πτωχοὺς ἔχετε μεθ᾿ ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. 12 βαλοῦσα 12
γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου πρὸς τὸ ἐνταφιά-
σαι με ἐποίησεν. 13 ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγ- 13
γέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη
εἰς μνημόσυνον αὐτῆς.
Mc. 14, 10. 11. Lc. 22, 3-6. Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκα- 14
ριώτης, πρὸς τοὺς ἀρχιερεῖς 15 εἶπεν· Τί θέλετέ μοι δοῦναι; 15
κἀγὼ ὑμῖν παραδώσω αὐτόν. οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀρ-
γύρια. 16 καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. 16
Mt. 14, 12-16. Lc. 22, 7-13. Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ 17
λέγοντες· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; 18 ὁ δὲ 18
εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ·
Ὁ διδάσκαλος λέγει· Ὁ καιρός μου ἐγγύς ἐστιν, πρὸς σὲ ποιῶ τὸ
πάσχα μετὰ τῶν μαθητῶν μου. 19 καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς 19
Mc. 14, 17-25. Lc. 22, 14-23. συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα. 20 Ὀψίας 20
δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα. 21 καὶ ἐσθιόντων αὐτῶν 21
εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. 22 καὶ 22
λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ εἷς ἕκαστος· Μήτι ἐγώ
εἰμι, κύριε; 23 ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὁ ἐμβάψας μετ᾿ ἐμοῦ τὴν 23

---

7. Ln. πολυτίμου; postea ἐπὶ τῆς κεφαλῆς.

9. Rc. τοῦτο τὸ μύρον, qu. Kn. (—). — Rc. om. τοῖς ante πτ. — h. ἐδύν. KL al.

15. Hab. καὶ εἶπεν αὐτοῖς D (antec. πορευθείς) Vg. et It. *(abiit et ait illis)* al. Eus.

16. Add. in fine αὐτοῖς DK al. Syr. hr. It.[3] Eus.

17. Rc. Kn. Sz. λέγοντες αὐτῷ. — Hab. ἑτοιμάσομεν DK al. pm.

20. Ln. τῶν δώδ. μαθητῶν.

22. Rc. Kn. Sz. λέγ. αὐτῷ ἕκαστος αὐτῶν. .. ea plane om. Or.

24 χεῖρα ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει. 24 ὁ μὲν υἱὸς τοῦ ἀνθρώ-
που ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκεί-
νῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ
25 οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. 25 ἀποκριθεὶς δὲ Ἰούδας ὁ πα-
ραδιδοὺς αὐτὸν εἶπεν· Μήτι ἐγώ εἰμι, ῥαββί; λέγει αὐτῷ· Σὺ εἶ-
26 πας. 26 Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογή- 1 Cor.
σας ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν· Λάβετε, φάγετε· τοῦτό 11, 23-25.
27 ἐστιν τὸ σῶμά μου. 27 καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας
28 ἔδωκεν αὐτοῖς λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· 28 τοῦτο γάρ ἐστιν
τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμε-
29 νον εἰς ἄφεσιν ἁμαρτιῶν. 29 λέγω δὲ ὑμῖν, οὐ μὴ πίω ἀπ' ἄρτι
ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης,
ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.
30 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 31 τότε Mc. 14,
31 λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ 26-31.
ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ * Zch.
32 διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. 32 μετὰ δὲ τὸ ἐγερ- 13, 7.
33 θῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. 33 ἀποκριθεὶς δὲ ὁ
Πέτρος εἶπεν αὐτῷ· Εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ
34 οὐδέποτε σκανδαλισθήσομαι. 34 ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω Jo. 13,
σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ 38.
35 με. 35 λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ
μή σε ἀπαρνήσομαι. ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.
36 Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Mc. 14, 32-42.
Γεθσημανεῖ, καὶ λέγει τοῖς μαθηταῖς· Καθίσατε αὐτοῦ ἕως ἂν Lc. 22, 40-46.

---

24. Hab. ὁ μὲν οὖν DZ al. — καλ. ἦν τῷ ἀνθρώπῳ ἐκ. omissis in fine ὁ ἄνθ. ἐκ. Sah. cdd. It.

26. Rc. Kn. Sz. τὸν [qd om. c. BCDLZ al. m. Thphyl.] ἄρτον. — Sz. pro εὐλογ. h. εὐχαριστήσας. — Rc. Kn. Sz. καὶ ἐδίδου τ. μαθ. καὶ εἶπ. [κ. δοὺς τ. μ. εἶπ. cum BDLZ al. Ct.]

27. Ln. om. καί ante εὐχαριστ. [c. CL al.] — Om. τό ante ποτήρ. BZ al.

28. Ln. om. τό ante τῆς καινῆς δ. . . om. καινῆς BLZ al. Sah.

29. Hab. ὅταν αὐτὸ πίω D al. Clem. Ir. Chrs.

33. Rc. εἰ καὶ πάντες. — Hab. ἐγὼ δέ C**GHKM al. pm. It.[1] al.

35. Hab. ἀπαρνήσωμαι AGKV al. pm. Chrs. al. — Kn. Sz. ὁμοίως δὲ καί.

36. Rc. Kn. Γεθσημανῆ. — Rc. Kn. Sz. ἕως οὗ ἀπελθ. . . Ln. ἕως οὗ

ἀπελθὼν προσεύξωμαι ἐκεῖ. 37 καὶ παραλαβὼν τὸν Πέτρον καὶ 37
τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. 38 τότε 38
λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε
ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. 39 καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ 39
πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων· Πάτερ, εἰ δυνατόν
ἐστιν, παρελθάτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ
θέλω, ἀλλ' ὡς σύ. 40 καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει 40
αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Οὕτως οὐκ ἰσχύσατε
μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; 41 γρηγορεῖτε καὶ προσεύχεσθε, 41
ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ
σὰρξ ἀσθενής. 42 πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων· 42
Πάτερ μου, εἰ οὐ δύναται τοῦτο παρελθεῖν, ἐὰν μὴ αὐτὸ πίω,
γενηθήτω τὸ θέλημά σου. 43 καὶ ἐλθὼν πάλιν εὗρεν αὐτοὺς καθ- 43
εύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. 44 καὶ 44
ἀφεὶς αὐτοὺς πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών.
45 τότε ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ λέγει αὐτοῖς· Καθεύδετε 45
λοιπὸν καὶ ἀναπαύεσθε· ἰδού, ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. 46 ἐγείρεσθε, ἄγω- 46
μεν· ἰδού, ἤγγικεν ὁ παραδιδούς με.

Mc.14, 43-50. Lc.22, 47-53. Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, Ἰούδας, εἷς τῶν δώδεκα, 47
ἦλθεν καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ
τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. 48 ὁ δὲ παραδιδοὺς 48
αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· Ὃν ἐὰν φιλήσω, αὐτός ἐστιν·
κρατήσατε αὐτόν. 49 καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν· 49
Χαῖρε, ῥαββί· καὶ κατεφίλησεν αὐτόν. 50 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· 50

---

ἂν ἀπ. [c. A.] .. ἄν sine οὗ cum DKLΔ al.; praeterea οὗ om. CM al.

39. Sz. καὶ προσελθών. — Rc. Kn. Sz. Ln. *Πάτερ μου*, qd om. c. LΔ al. Verc. Or. (9.) Eus. Bas. Chrs. al.

42. Rc. Kn. Sz. τοῦτο τὸ ποτήριον παρ. ἀπ' ἐμοῦ. .. Ln. τοῦτο παρ. (ἀπ' ἐμοῦ). .. om. τὸ ποτήρ. c. ABCLΔ al. m. It.$^{2.}$ al. Or. (2.) al. . . om. ἀπ' ἐμοῦ c. BDL al. Syr. It. (exc. 2.) Ct. Vg. al. Or. (2.) al.

43. Rc. Kn. Sz. κ. ἐλθ. εὑρίσκει αὐτοὺς πάλιν.

44. Rc. Kn. Sz. ἀπελθὼν πάλιν προσ. ἐκ τρίτου. .. Ln. πάλ. ἀπελθ. πρ. (ἐκ τρίτ.). .. om. ἐκ τρίτου c. ADK al. Ct. It.$^{2.}$ .. et πάλιν et ἐκ τρίτ. varie pon.

45. Rc. Kn. Sz. Ln. h. τό ante λοιπόν. . . om. c. BCL al. Ath.

Ἑταῖρε, ἐφ' ὃ πάρει; τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ
51 τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. [51] καὶ ἰδού, εἷς τῶν μετὰ Ἰη- Jo. 18,
σοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ, καὶ πατά- 10. 11.
52 ξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. [52] τότε
λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὸν
τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀπο-
53 λοῦνται. [53] ἢ δοκεῖς, ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πα-
τέρα μου, καὶ παραστήσει μοι πλείους δώδεκα λεγεώνων ἀγγέλους;
54 [54] πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι οὕτως δεῖ γενέσθαι;
55 [55] ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν
ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν
ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με·
56 [56] τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προ-
φητῶν. τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.
57 Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν τὸν Mc. 14,
ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. 53-65. Lc. 22,
58 [58] ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς 54. et 63-71.
τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν
59 ἰδεῖν τὸ τέλος. [59] οἱ δὲ ἀρχιερεῖς καὶ τὸ συνέδριον ὅλον ἐζήτουν
ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσιν·
60 [60] καὶ οὐχ εὗρον πολλῶν προσελθόντων ψευδομαρτύρων. ὕστερον
61 δὲ προσελθόντες δύο [61] εἶπον· Οὗτος ἔφη· Δύναμαι κατα- Jo. 2, 19.

---

50. Rc. ἐφ' ᾧ πάρει;
52. Om. σοῦ K al. Syr. al. Chrs. .. plerumque ante τ. μάχαιρ. pon. — Hab. ἐν μαχ. ἀποθανοῦνται EHKMSVΔ al. pl. Syr. utr. al. Or. ms. al.
53. πλείους δώδ. λεγ. ἀγγ. c. KΔ al. .. Rc. Kn. Sz. πλείους ἢ δώδ. λεγεῶνας ἀγγέλων. .. Ln. πλείω (ἢ) δώδ. λεγεῶνας ἀγγέλων. .. al. aliter.
55. καθ' ἡμέραν etc. cum B al. .. eadem alio ord. L al. Sah. al. .. Rc. Kn. Sz. Ln. καθ' ἡμ. πρὸς ὑμᾶς ἐκαθεζ. ἐν τ. ἱερ. διδάσκ. .. om. διδάσκ. 1. al. Cyr.
58. Om. ἀπό ante μακρ. CFLΔ al. m.
59. Rc. Kn. Sz. post ἀρχιερεῖς hab. καὶ οἱ πρεσβύτεροι κ. τὸ σ. ὅλ.
60. καὶ οὐχ etc. cum BC*L al. Vg. It.[7] al. Or. (2.) .. eadem addito καὶ ante πολλῶν Syr. Syr. hr. al. .. al. aliter. .. Rc. Kn. Sz. καὶ οὐχ εὗρον· καὶ πολλ. ψευδ. προσ. οὐχ εὗρον. .. Ln. κ. οὐχ εὗρον πολλ. πρ. ψευδ. (οὐχ εὗρον). — Rc. Kn. Sz. Ln. add. in fine ψευδομάρτυρες .. om. c. BL al. Syr. Syr. hr. al. Or. (1.)

λῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι
αὐτόν. 62 καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Οὐδὲν ἀπο- 62
κρίνῃ, τί οὗτοί σου καταμαρτυροῦσιν; 63 ὁ δὲ Ἰησοῦς ἐσιώπα. 63
καὶ ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ
ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ.
64 λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας. πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι 64
ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνά-
μεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. 65 τότε ὁ 65
ἀρχιερεὺς διέῤῥηξεν τὰ ἱμάτια αὐτοῦ λέγων· Ἐβλασφήμησεν· τί
ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν.
66 τί ὑμῖν δοκεῖ; οἱ δὲ ἀποκριθέντες εἶπον· Ἔνοχος θανάτου 66
ἐστίν. 67 τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν 67
αὐτόν, οἱ δὲ ἐράπισαν, 68 λέγοντες· Προφήτευσον ἡμῖν, Χριστέ, 68
τίς ἐστιν ὁ παίσας σε;

Mc.14, Ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τῇ αὐλῇ. καὶ προσῆλθεν αὐτῷ 69
66-72. Lc.22, μία παιδίσκη λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου.
55-60. 70 ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων· Οὐκ οἶδα, τί λέγεις. 70
71 ἐξελθόντος δὲ αὐτοῦ εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη καὶ 71
λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. 72 καὶ 72
πάλιν ἠρνήσατο μεθ' ὅρκου· ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. 73 μετὰ 73
μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· Ἀληθῶς
καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. 74 τότε 74
ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν· ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.
καὶ εὐθὺς ἀλέκτωρ ἐφώνησεν. 75 καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥή- 75
ματος Ἰησοῦ εἰρηκότος· ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ
με. καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς.

---

61. Om. in fine αὐτόν B al. Arm. Or. (2.) .. ante οἰκοδ. pon. C L 33. Or. (1.)
63. Rc. Kn. Sz. Ln. καὶ ἀποκριθεὶς ὁ ἀρχ. εἰπ., qd om. c. B L Z al. Vg. It.[6] al. Or.
65. Rc. Kn. Sz. τὴν βλασφ. αὐτοῦ [om. c. B D L Z al. Vg. It.[6] al.]
69. ἔξω varie pon. .. om. Ev. 47. semel (sec. VIII.) .. hab. ἔξωθεν 13.
70. Kn. Sz. ἔμπρ. αὐτῶν πάντων.
71. ἐξελθόντος δ. αὐτοῦ c. D al. Vg. It.[8] al. .. Rc. Kn. Sz. ἐξελθόντα δὲ αὐτόν et Ln. ἐξ. δ. (αὐτόν). — Sz. αὐτοῖς· ἐκεῖ καί etc.
74. Rc. καταναθεματίζειν.
75. Rc. Kn. Sz. τοῦ Ἰησοῦ εἰρ. et add. αὐτῷ, qd Ln. (—), om. c. B D L al. Vg. It.[8] al.

## XXVII.

1 Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς Mc.15, 1.
καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι Lc.23,
2 αὐτόν. [2] καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν Πιλάτῳ 1.
τῷ ἡγεμόνι.
3 Τότε ἰδὼν Ἰούδας ὁ παραδοὺς αὐτόν, ὅτι κατεκρίθη, μετα-
μεληθεὶς ἀπέστρεψεν τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ
4 πρεσβυτέροις [4] λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ
5 εἶπον· Τί πρὸς ἡμᾶς; σὺ ὄψῃ. [5] καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ
6 ναῷ ἀνεχώρησεν, καὶ ἀπελθὼν ἀπήγξατο. [6] οἱ δὲ ἀρχιερεῖς λαβόν-
τες τὰ ἀργύρια εἶπον· Οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν,
7 ἐπεὶ τιμὴ αἵματός ἐστιν. [7] συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ
8 αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. [8] διὸ ἐκλήθη Act. 1,
9 ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. [9] τότε ἐπληρώθη 19.
τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα * Zch.
ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν 11, 12. 13.
10 Ἰσραήλ, [10] καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ
συνέταξέν μοι κύριος.
11 Ὁ δὲ Ἰησοῦς ἐστάθη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτη- Mc.15, 2-15.
σεν αὐτὸν ὁ ἡγεμὼν λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Lc.23,
12 Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. [12] καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν 3-5. et 17-25.
ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο.
13 [13] τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις, πόσα σου καταμαρ-
14 τυροῦσιν; [14] καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε
15 θαυμάζειν τὸν ἡγεμόνα λίαν. [15] κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν Jo.18, 39. 40.

---

Cap. XXVII. 2. Rc. Kn. Sz. *παρέδωκ. αὐτόν.* — Rc. Kn. Sz. Ln. *Ποντίῳ Πιλ.* qd om. c. BL al. Syr. al. Or. al.

3. Rc. Kn. Sz. *ὁ παραδιδούς*, postea *κ. τοῖς πρεσβ.* — Hab. *ἔστρεψεν* BL al. Or. (3.)

4. Hab. *αἷμα δίκαιον* B** in m. L Syr. It. Vg. al. Or. (4., *ἀθῷον* 1.) al. — Rc. Kn. *ὄψει.*

6. *κορβονᾶν* EKM al. m. Chrs. al. .. *κορβᾶν* B*.

9. *διὰ τοῦ προφ.* c. 33. 157. Syr. It.[2] antqss. al. .. Rc. Kn. Sz. Ln. *δ. Ἱερεμίου τ. πρ.* .. etiam *Ζαχαρίου* et **Jesaiam** leg.

11. Rc. Kn. Sz. *ἔστη* pro *ἐστάθη.*

14. Om. *πρὸς οὐδέ* D It. (exc. 2.) Ct. al.

ἀπολύειν τῷ ὄχλῳ ἕνα δέσμιον, ὃν ἤθελον. 16 εἶχον δὲ τότε δέ- 16
σμιον ἐπίσημον, λεγόμενον Ἰησοῦν Βαραββᾶν. 17 συνηγμένων οὖν 17
αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν;
Ἰησοῦν Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; 18 ᾔδει γάρ, 18
ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. 19 καθημένου δὲ αὐτοῦ ἐπὶ 19
τοῦ βήματος, ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· Μη-
δὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ'
ὄναρ δι' αὐτόν. 20 οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς 20
ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσω-
σιν. 21 ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ 21
τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπον· Βαραββᾶν. 22 λέγει αὐτοῖς 22
ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; λέ-
γουσιν πάντες· Σταυρωθήτω. 23 ὁ δὲ ἔφη· Τί γὰρ κακὸν ἐποίη- 23
σεν; οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· Σταυρωθήτω. 24 ἰδὼν δὲ 24
ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται,
λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων·
Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου· ὑμεῖς ὄψεσθε. 25 καὶ ἀπο- 25
κριθεὶς πᾶς ὁ λαὸς εἶπεν· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ
τέκνα ἡμῶν. 26 τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰη- 26
σοῦν φραγελλώσας παρέδωκεν, ἵνα σταυρωθῇ.

Mc. 15, 16-20. Jo. 19, 2 sqq. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν 27
εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. 28 καὶ 28
ἐκδύσαντες αὐτὸν χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ, 29 καὶ πλέ- 29
ξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ
κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ
ἐνέπαιζον αὐτῷ λέγοντες· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· 30 καὶ 30

---

16. et 17. *Ἰησοῦν Βαραββ.* cum 1.* al. Syr. hr. Arm. cdd. ap. Or., vetust. schol. .. Rc. Kn. Sz. Ln. utroque loco om. *Ἰησοῦν.* — 16. h. *τὸν λεγόμ.* D.

21. Hab. *τὸν Βαραββ.* B L al. — 22. Rc. Kn. Sz. *λέγ. αὐτῷ πάντες.*

23. Rc. Kn. Sz. Ln. *ὁ δὲ ἡγεμών*, qd om. c. B al. Arm. al. .. h. *Πιλάτος* Syr. It.[1]

24. Ln. *κατέναντι.* — *αἵματος τούτου* c. B D al. Ct. It.[3] Chrs. .. Rc. Kn. Sz. *αἵματ. τοῦ δικαίου τούτ.* .. Ln. *αἵμ. τούτου (τοῦ δικ.)*

26. Hab. *παρέδ. αὐτοῖς* D F L al. Vg. Ct. It. (exc. 1.)

28. Ln. *ἐνδύσαντες* [c. B D 157. Ct. It.[4]]

29. Rc. Kn. Sz. *ἐπὶ τὴν δεξιάν.* — Hab. *ἐνέπαιξαν* B D L al.

ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν
31 κεφαλὴν αὐτοῦ. [31] καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν
χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐ-
τὸν εἰς τὸ σταυρῶσαι.
32 Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σί- Mc. 15.
33 μωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. [33] καὶ 21-32. Lc 23.
ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστιν κρανίου τόπος, 26-39. Jo. 19.
34 [34] ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος 17-30.
35 οὐκ ἤθελεν πιεῖν. [35] σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ
36 ἱμάτια αὐτοῦ βαλόντες κλῆρον· [36] καὶ καθήμενοι ἐτήρουν αὐτὸν
37 ἐκεῖ. [37] καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐ-
τοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων.
38 [38] Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς
39 ἐξ εὐωνύμων. [39] οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κι-
40 νοῦντες τὰς κεφαλὰς αὐτῶν [40] καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν
καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ
41 θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. [41] ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς
42 ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων ἔλεγον· [42] Ἄλ-
λους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· βασιλεὺς Ἰσραήλ ἐστιν,
καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτόν·
43 [43] πέποιθεν ἐπὶ τὸν θεόν· ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπεν

---

33. ὅ ἐστιν cum D al. Vg. It. (exc. 1.) al. .. Rc. ὅς ἐστι λεγόμενος. .. Kn. Sz. ὅ ἐστι, λεγόμενος. .. Ln. ὅ ἐστιν κραν. τόπ. λεγόμενος. .. al. aliter.

34. Ln. οἶνον [c. BDKL al. Syr. hr. Vg. Ct. It. (exc. 3.) al. Ath. al.] pro ὄξος; postea ἠθέλησεν.

35. Pro βαλόντες (c. AD al. m.) Rc. Kn. Sz. βάλλοντες. — Rc. post κλῆρον h. ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, qu. Kn. (—). [cf. Ps. 22, 19. Jo. 19, 24.]

40. Post λέγ. h. οὐά DMΔ al. Vg. Ct. It.[7.] al. Eus. al. — Ln. σῶσ. σεαυτόν, εἰ υἱὸς θεοῦ εἶ, καὶ κατ.

41. Ln. ὁμ. (δὲ καί). — Post πρεσβ. add. καὶ φαρισαίων EFKMSVΔ al. pm. Syr. al. .. pro πρεσβ. h. φαρισ. D al. Ct. It.[6.]

42. Rc. Kn. Sz. εἰ ante βασιλ. .. Ln. (εἰ) .. om. c. BDL al. Ct. al. — Ln. κ. πιστεύομεν. — ἐπ' αὐτόν c. BL al. Cyr. .. Rc. Ln. αὐτῷ. .. Kn. Sz. ἐπ' αὐτῷ.

43. Ln. ἐπὶ τῷ θεῷ.

γάρ, ὅτι θεοῦ εἰμι υἱός. 44 τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρω- 44
Mc.15, θέντες αὐτῷ ὠνείδιζον αὐτόν. 45 Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγέ- 45
33-36. Lc.23, νετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. 46 περὶ δὲ τὴν ἐνάτην 46
44. *Ps.22, ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἠλί, ἠλί, λαμᾶ
1. σαβαχθανί; τοῦτ' ἔστιν· Θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλι-
πες; 47 τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον· ὅτι Ἠλίαν 47
φωνεῖ οὗτος. 48 καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν 48
σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν.
49 οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων 49
Mc.15, αὐτόν. 50 Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκεν τὸ 50
37-39. Lc.23, πνεῦμα. 51 καὶ ἰδού, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο 51
45-47. ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχί-
σθησαν, 52 καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν 52
κεκοιμημένων ἁγίων ἠγέρθησαν· 53 καὶ ἐξελθόντες ἐκ τῶν μνη- 53
μείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ
ἐνεφανίσθησαν πολλοῖς. 54 ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ 54
τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφο-
Mc.15, 40. 41. βήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς υἱὸς θεοῦ ἦν οὗτος. 55 Ἦσαν 55
Lc.23, δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκο-
49. λούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ. 56 ἐν 56
αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ
μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.
Mc.15, Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμα- 57
42-47. Lc.23, θαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσεν τῷ Ἰησοῦ.
50-55. Jo.19, 58 οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. 58
38-42. τότε ὁ Πιλάτος ἐκέλευσεν ἀποδοθῆναι. 59 καὶ λαβὼν τὸ σῶμα ὁ 59

---

44. Ln. οἱ συστ. σὺν αὐτῷ. — Rc. ὠνείδ. αὐτῷ.
46. Ln. λημὰ σαβακθανί. .. λιμά ΑΚΔ al. .. λειμά EFHS. .. λεμά L al. — ζαφθανεί D* Ct. It.5. al.
49. Add. in fine ἄλλος δὲ λαβὼν λόγχην ἔνυξεν αὐτοῦ τὴν πλευράν, καὶ ἐξῆλθεν ὕδωρ καὶ αἷμα BCL al. Syr. hr. It.2. Chrs. al. [cf. Jo. 19, 34.]
53. Om. μετὰ τ. ἐγερσ. αὐτ. Syr. hr. .. pro αὐτοῦ h. αὐτῶν 30. al. Arr. al. .. om. 243.
54. Ln. γενόμενα. — 55. Om. ἐκεῖ D al. Ct. .. καί D... ἐκεῖ καί FKL al. m.
56. Pro Ἰωσῆ h. Ἰωσήφ D*L al. Vg. It. al. — 57. Ln. ἐμαθητεύθη.
58. Rc. Kn. Sz. Ln. post ἀποδοθῆν. add. τὸ σῶμα, qd om. c. BL al. m. Syr. hr... αὐτό Copt.

60 Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, 60 καὶ ἔθηκεν αὐτὸ ἐν τῷ
καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλί-
61 σας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. 61 ἦν δὲ ἐκεῖ
Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι
τοῦ τάφου.
62 Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶν μετὰ τὴν παρασκευήν, συνήχθη-
63 σαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλάτον 63 λέγοντες· Κύ-
ριε, ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν· Μετὰ τρεῖς
64 ἡμέρας ἐγείρομαι. 64 κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως
τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν
αὐτὸν καὶ εἴπωσιν τῷ λαῷ· Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται
65 ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. 65 ἔφη αὐτοῖς ὁ Πιλάτος·
66 Ἔχετε κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε. 66 οἱ δὲ
πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ
τῆς κουστωδίας.

## XXVIII.

1 Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλ- Mc.16,
θεν Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. 1-8. Lc.24,
2 2 καὶ ἰδού, σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ 1-9.
οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν λίθον καὶ ἐκάθητο ἐπάνω
3 αὐτοῦ. 3 ἦν δὲ ἡ εἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ
4 λευκὸν ὡς χιών. 4 ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦν-
5 τες καὶ ἐγένοντο ὡσεὶ νεκροί. 5 ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς
γυναιξίν· Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γάρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρω-

---

59. Hab. ἐν σινδόνι BD al. Vg.
60. Ln. ἐπὶ τῇ θύρᾳ. — 61. Om. ἡ ante ἄλλη AD*.
64. Rc. νυκτὸς κλέψωσ. .. Kn. (νυκτὸς) κλέψωσ.
65. Rc. Ἔφη δέ.
Cap. XXVIII. 1. Om. δέ HL al. — Pro σαββάτων priore hab. σαββάτῳ LΔ al.
2. Hab. καὶ προσελθών BCL al. Syr. Vg. It. Or. al. — Rc. Kn. Sz. τὸν λίθον ἀπὸ τῆς θύρας. .. h. ἀπὸ τ. θύρ. τοῦ μνημείου EL al. m. Copt. al. Eus. al.
3. εἰδία c. ABCDE al. .. Rc. Kn. Sz. Ln. ἰδέα. — Om. λευκόν Vg. It.[6] Chrs. Aug. — Rc. Kn. Sz. ὡσεὶ χιών.
4. Ln. κ. ἐγενήθησαν ὡς νεκρ.

μένον ζητεῖτε. [6] οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπεν. δεῦτε, 6
ἴδετε τὸν τόπον ὅπου ἔκειτο. [7] καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς 7
μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδού, προάγει
ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε. ἰδού, εἶπον ὑμῖν.
[8] καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς 8
μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. [9] καὶ ἰδού, ὁ 9
Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων· Χαίρετε. αἱ δὲ προσελθοῦσαι
ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. [10] τότε 10
λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγγείλατε τοῖς
ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με
ὄψονται.

Πορευομένων δὲ αὐτῶν, ἰδού, τινὲς τῆς κουστωδίας ἐλθόντες 11
εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.
[12] καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων συμβούλιόν τε λαβόν- 12
τες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, [13] λέγοντες· Εἴπατε, 13
ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοι-
μωμένων. [14] καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς 14
πείσομεν αὐτόν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. [15] οἱ δὲ λαβόν- 15
τες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ διεφημίσθη ὁ λόγος
οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.

Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν εἰς τὸ 16
ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. [17] καὶ ἰδόντες αὐτὸν προσεκύ- 17
νησαν· οἱ δὲ ἐδίστασαν. [18] καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν 18
αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

---

6. Om. γάρ Δ al. m. It.[1] — Rc. Kn. Sz. Ln. in v. fine add. ὁ κύριος qd om. cum B al. Copt. al.

7. Om. ἀπὸ τ. νεκρ. D Vg. Ct. cdd. It. antqss. al. Cyr. hr. al. — Om. ἰδού ante προάγει D Ct. It.[5] Cyr. hr.

9. Rc. Kn. Sz. Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδού etc. [om. cum BD al. pm. Syr. Vg. It. (exc. 1.) al. Or. Chrs. al.] — Om. ὁ ante Ἰησοῦς AEFKMV al. m. Thphyl. — Hab. ὑπήντησ. BC al. Or. Cyr.

12. Hab. ἀργύριον ἱκανόν D Syr. pecuniam copiosam Vg. It.

14. Ln. ὑπὸ τοῦ ἡγεμόνος. — 15. Ln. τῆς σήμ. ἡμέρας.

17. Rc. Kn. Sz. προσεκύνησαν αὐτῷ [om. c. BD al. Vg. It. Ct. Chrs. Aug.]. . . αὐτόν h. 3. al. m.

18. Ln. ἐπὶ τῆς γῆς [c. BD. 90.**]

19 [19] *πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς* Mc. 16,
*εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος,* 15.
20 [20] *διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ*
*ἰδού, ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας*
*τοῦ αἰῶνος.*

# ΕΥΑΓΓΕΛΙΟΝ

# ΚΑΤΑ ΜΑΡΚΟΝ.

Mt. 3, 1-12. Lc. 3, 3-16. Jo. 1, 6-27.

1 2 *Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ θεοῦ.* [2] *ὡς γέγρα-*
*πται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδού, ἀποστέλλω τὸν ἄγγελόν* *Mal. 3, 1. Mt. 11, 10.
*μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου·* Lc. 7, 26.
3 [3] *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐ-* *Es. 40, 3.
4 *θείας ποιεῖτε τὰς τρίβους αὐτοῦ·* [4] *ἐγένετο Ἰωάννης, βαπτίζων*
*ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρ-*
5 *τιῶν.* [5] *καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ*
*Ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ποταμῷ*
6 *ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.* [6] *ἦν δὲ Ἰωάννης*

---

19. Rc. *πορευθ. οὖν* .. Ln. *πορευθ. (οὖν).* — *βαπτίσαντες* BD.

20. Rc. Sz. in fine add. *ἀμήν.* .. Kn. (*ἀμήν.*)

Cap. I. 1. Rc. Kn. Sz. *υἱ. τοῦ θεοῦ.* .. om. *υἱ. τ. θεοῦ* 28. al. Ir. gr. Or. (3.) Hier. (3.; 1. hab.)

2. Hab. *καθώς* BKLΔ al. Or. (3.) — Ln. *ἐν τῷ Ἡσ. τ. πρ.* .. Rc. *ἐν τοῖς προφήταις.* — Rc. Kn. Sz. *ἐγὼ ἀποστέλλω.*

3. Hab. *τ. τρίβ. τοῦ θεοῦ ἡμῶν* D al. Ct. It.[7] al. .. Rc. post *αὐτοῦ* h. *ἔμπροσθέν σου.*

5. Rc. Sz. *οἱ Ἱεροσολ., καὶ ἐβαπτίζ. πάντες.* — Om. *ποταμῷ* BD Ct. It.[7] Or.

6. Ln. *καὶ ἦν Ἰω.* .. hab. *ὁ* ante *Ἰω.* KLMPV al. pm. Thphyl.

ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν
αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. 7 καὶ ἐκήρυσσεν λέ- 7
γων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς
κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. 8 ἐγὼ ἐβάπτισα 8
Mt. 3, 13-17. Lc. 3, 21. 22. Jo. 1, 29-34. ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ. 9 Καὶ 9
ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς
Γαλιλαίας καὶ ἐβαπτίσθη εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου. 10 καὶ 10
εὐθὺς ἀναβαίνων ἐκ τοῦ ὕδατος εἶδεν σχιζομένους τοὺς οὐρανοὺς
καὶ τὸ πνεῦμα ὡς περιστερὰν καταβαῖνον εἰς αὐτόν. 11 καὶ φωνὴ 11
ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ
Mt. 4, 1sqq. Lc. 4, 1sqq. εὐδόκησα. 12 Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρη- 12
μον. 13 καὶ ἦν ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα πειραζόμενος 13
ὑπὸ τοῦ σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκό-
νουν αὐτῷ.

Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην ἦλθεν ὁ Ἰησοῦς εἰς 14
Mt. 4, 17. τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τοῦ θεοῦ 15 καὶ λέγων· ὅτι 15
πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· μετανοεῖτε
Mt. 4, 18-22. καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ. 16 Καὶ παράγων παρὰ τὴν θά- 16
λασσαν τῆς Γαλιλαίας εἶδεν Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν
τοῦ Σίμωνος, ἀμφιβάλλοντας ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ· ἦσαν

---

7. Om. κύψας D al. Ct. It.[6] Ambr.

8. Rc. Kn. Sz. ἐγὼ μέν. .. Ln. ἐγὼ (μέν) qd om. c. BL al. Vg. It.[7] Or. — Ln. (ἐν) πνεύμ. .. om. ἐν ante ὕδατι BΔ al. Vg. Or. Aug. ante πνεύμ. BL al. It.[1] Vg. Aug.

9. Hab. Ναζαρέθ DEKV al. m. Syr. Vg. cdd. It. al. .. Ναζαράτ AP.

10. Rc. Kn. Sz. ἀπὸ τ. ὕδατος. — Rc. ὡσεὶ περιστ. — Rc. Kn. Sz. ἐπ᾽ αὐτόν.

11. Rc. Kn. Sz. ἐν ᾧ εὐδόκ.

13. Rc. Sz. καὶ ἦν ἐκεῖ ἐν τ. ἐ. .. Kn. (ἐκεῖ). .. om. ἐν τ. ἐρήμῳ K al. m. It.[1] al.

14. Ln. Καὶ μετά. — om. τόν ante Ἰω. et ὁ ante Ἰησ. AF (τόν etiam SV; τό etiam KM) al. m. Eus. — Rc. Kn. Sz. τὸ εὐαγ. τῆς βασιλείας τ. θεοῦ.

15. Ln. (καὶ) λέγων. .. om. καί ADEFHSV al. m. Ct. It.[3] al. .. om. καὶ λέγων It.[2] Or. — Om. ἐν ante τῷ εὐαγ. Ev. 36. Vg. It.[6] Or.

16. Rc. Kn. Sz. περιπατῶν δὲ παρά etc. — Rc. Kn. τ. ἀδελφ. αὐτοῦ. .. Sz. τ. ἀδ. αὐτοῦ τ. Σίμωνος. — Rc. βάλλοντας. — Om. ἀμ-

17 γὰρ ἁλιεῖς. [17] καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ὀπίσω μου, καὶ
18 ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. [18] καὶ εὐθέως ἀφέντες
19 τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. [19] καὶ προβὰς ὀλίγον εἶδεν Ἰάκω-
βον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐ-
20 τοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα· [20] καὶ εὐθὺς ἐκάλεσεν
αὐτούς. καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ
μετὰ τῶν μισθωτῶν ἀπῆλθον ὀπίσω αὐτοῦ.
21 Καὶ εἰσπορεύονται εἰς Καφαρναούμ· καὶ εὐθέως τοῖς σάβ- Lc. 4, 31-37.
22 βασιν εἰσελθὼν εἰς τὴν συναγωγὴν ἐδίδασκεν. [22] καὶ ἐξεπλήσσοντο Mt. 7,
ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων 28. 29.
23 καὶ οὐχ ὡς οἱ γραμματεῖς. [23] καὶ εὐθὺς ἦν ἐν τῇ συναγωγῇ αὐτῶν
24 ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξεν [24] λέγων· Ἔα, τί
ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἴδαμέν
25 σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. [25] καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς
26 λέγων· Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. [26] καὶ σπαράξαν αὐτὸν
τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ κράξαν φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ
27 αὐτοῦ. [27] καὶ ἐθαμβήθησαν ἅπαντες, ὥστε συζητεῖν πρὸς ἑαυτοὺς
λέγοντας· Τί ἐστιν τοῦτο; διδαχὴ καινὴ κατ' ἐξουσίαν· καὶ τοῖς
πνεύμασιν τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ;
28 [28] καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς
Γαλιλαίας.
29 Καὶ εὐθὺς ἐκ τῆς συναγωγῆς ἐξελθὼν ἦλθεν εἰς τὴν οἰκίαν Mt. 8, 14-16. Lc. 4, 38-41.

---

φίβλ. BL 33. .. pon. ante βάλλοντ. 1. al... h. ἀμφίβληστρα 1. al. Syr. Vg. It. (exc. 1.) al. Thphyl... h. τὰ δίκτυα D al.

18. Rc. Kn. Sz. τὰ δίκτ. αὐτῶν. — v. 19. h. τὰ δίκτ. αὐτῶν CKM al. m. Syr. al. m.

19. Rc. Kn. Sz. καὶ προβ. ἐκεῖθεν. .. Ln. (ἐκεῖθ.) .. om. c. BDL al. m. Syr. Ct. It.[4] al.

21. Om. εἰσελθών CL al. Syr. It.[1] al. Or. (2.)... h. ἐλθών 16. 49.

22. Ln. οἱ γραμμ. (αὐτῶν).

23. εὐθ. c. BL al. Cpt. Or... om. Rc. Kn. Sz. Ln. — om. αὐτ. DL al. It.[4] al.

24. Ln. om. ἔα. — οἴδαμεν c. LΔ Copt. Arm. Or. (2.) Ir. Cyr. Bas. al... Rc. Kn. Sz. Ln. οἶδα.

26. Ln. ἀπ' αὐτοῦ. — h. φωνῆσαν φ. μ. BL 33. Or.

27. Rc. Kn. Sz. πρὸς αὐτοὺς λ. — Ln. interpg. sic: διδαχ. καινή· κατ' ἐξουσ. καί etc. Rc. Kn. Sz. τίς ἡ διδαχ. ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξ. καί etc. Libri antt. valde var... om. τί ἐστιν τοῦτο D Ct. It.[3] al.

28. Rc. Kn. Sz. ἐξῆλθε δέ. — 29. Rc. Kn. Sz. ἐξελθόντες ἦλθον.

*Σίμωνος καὶ Ἀνδρέου μετὰ Ἰακώβου καὶ Ἰωάννου.* 30 *ἡ δὲ πεν-* 30
*θερὰ Σίμωνος κατέκειτο πυρέσσουσα, καὶ εὐθὺς λέγουσιν αὐτῷ*
*περὶ αὐτῆς.* 31 *καὶ προσελθὼν ἤγειρεν αὐτὴν κρατήσας τῆς χειρὸς* 31
*αὐτῆς· καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει αὐτοῖς.*
32 *Ὀψίας δὲ γενομένης, ὅτε ἔδυσεν ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν* 32
*πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμονιζομένους·* 33 *καὶ ἦν* 33
*ἡ πόλις ὅλη ἐπισυνηγμένη πρὸς τὴν θύραν.* 34 *καὶ ἐθεράπευσεν* 34
*πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις, καὶ δαιμόνια πολλὰ*
*ἐξέβαλεν, καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτόν.*
L.c. 4, 35 *Καὶ πρωῒ ἔννυχα λίαν ἀναστὰς ἐξῆλθεν καὶ ἀπῆλθεν εἰς ἔρημον* 35
42-44. *τόπον κἀκεῖ προσηύχετο.* 36 *καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ* 36
*οἱ μετ' αὐτοῦ.* 37 *καὶ εὑρόντες αὐτὸν λέγουσιν αὐτῷ· ὅτι πάντες* 37
*ζητοῦσίν σε.* 38 *καὶ λέγει αὐτοῖς· Ἄγωμεν εἰς τὰς ἐχομένας κωμο-* 38
*πόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα.* 39 *καὶ ἦν* 39
*κηρύσσων εἰς τὰς συναγωγὰς αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν καὶ*
*τὰ δαιμόνια ἐκβάλλων.*

Mt. 8, *Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρός, παρακαλῶν αὐτὸν καὶ λέ-* 40
1-4. *γων αὐτῷ· ὅτι ἐὰν θέλῃς δύνασαί με καθαρίσαι.* 41 *ὁ δὲ Ἰησοῦς* 41
L.c 5, 12-16. *σπλαγχνισθεὶς ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ καὶ λέγει αὐτῷ·*
*Θέλω, καθαρίσθητι.* 42 *καὶ εὐθὺς ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα,* 42
*καὶ ἐκαθαρίσθη.* 43 *καὶ ἐμβριμησάμενος αὐτῷ εὐθὺς ἐξέβαλεν* 43
*αὐτόν,* 44 *καὶ λέγει αὐτῷ· Ὅρα, μηδενὶ μηδὲν εἴπῃς, ἀλλ' ὕπαγε,* 44
*σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου*
*ἃ προσέταξεν Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς.* 45 *ὁ δὲ ἐξελθὼν* 45

---

31. Ln. post *τ. χειρός* om. *αὐτῆς*. — Om. *εὐθέως* BCL al. Copt. Arm... h. ante *ἀφῆκ.* D Ct.
32. Rc. Kn. Sz. *ἔδυ*.
33. Ln. *ὅλη ἡ πόλις*... Rc. Kn. Sz. *καὶ ἡ πόλ. ὅλη ἐπισυν. ἦν*.
34. Add. in f. (*τὸν*) *Χριστὸν* (*αὐτὸν*) *εἶναι* BCGLM al. pl. It.[4] al.
35. Rc. Kn. Sz. *ἔννυχον*.
36. Om. *ὁ* ante *Σίμων* BL al... h. *ὅ,τε* K al. m... *τότε* D Ct.
37. Sz. Ln. *σε ζητοῦσ.*
38. Hab. *ἐξῆλθον* BCL al... *ἐλήλυθα* 4. al. pl.
39. Rc. Sz. *ἐν ταῖς συναγωγαῖς*.
40. Rc. Kn. Sz. *παρακαλ. αὐτ. καὶ γονυπετῶν αὐτὸν κ. λ. α.* — Om. *ὅτι* D al. Syr. Vg. Ct. It.[6] al... h. *κύριε* CL It.[5] al.
41. Ln. *καὶ σπλαγχν. ἐκτεῖν.*; postea *αὐτοῦ ἥψατο*.
42. Rc. Kn. Sz. *καὶ εἰπόντος αὐτοῦ εὐθέως*. — 44. Ln. om. *μηδέν*.

ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ᾽ ἔξω ἐν ἐρήμοις τόποις ἦν· καὶ ἤρχοντο πρὸς αὐτὸν πάντοθεν.

## II.

1 Καὶ εἰσῆλθεν πάλιν εἰς Καφαρναοὺμ δι᾽ ἡμερῶν. καὶ ἠκού- Mt. 9, 1-8.
2 σθη, ὅτι εἰς οἶκόν ἐστιν· 2 καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε Lc. 5, 17-26.
μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν
3 λόγον. 3 καὶ ἔρχονται πρὸς αὐτὸν φέροντες παραλυτικόν, αἰρόμε-
4 νον ὑπὸ τεσσάρων. 4 καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν
ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσιν
5 τὸν κράββατον ὅπου ὁ παραλυτικὸς κατέκειτο. 5 καὶ ἰδὼν ὁ Ἰη-
σοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· Τέκνον, ἀφέωνταί
6 σου αἱ ἁμαρτίαι. 6 ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι
7 καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· 7 Τί οὗτος οὕτως
λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ θεός;
8 8 καὶ εὐθὺς ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως
διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· Τί ταῦτα διαλογίζεσθε ἐν
9 ταῖς καρδίαις ὑμῶν; 9 τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυ-
τικῷ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειρε, ἆρον τὸν
10 κράββατόν σου καὶ περιπάτει; 10 ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας — λέγει τῷ
11 παραλυτικῷ· 11 Σοὶ λέγω, ἔγειρε, ἆρον τὸν κράββατόν σου καὶ
12 ὕπαγε εἰς τὸν οἶκόν σου. 12 καὶ ἠγέρθη καὶ εὐθὺς ἄρας τὸν

---

45. Rc. Kn. πρὸς αὐτ. πανταχόθεν.

Cap. II. 1. Om. καί ante ἠκ. et om. εὐθ. v. 2. BL al. It.[2.] al. — Ln. ἐν οἴκῳ.
4. Hab. δυνάμ. προσενέγκαι BL al. Vg. It.[1.] al. — om. αὐτῷ D al. Ct. It.[6.] .. h. αὐτόν 13. 106... ante προσεγγ. pon. K al. — Ln. semper κράβαττον c. ADΔ al. Verc. — Rc. Kn. Sz. κράββ. ἐφ᾽ ᾧ. .. ἐφ᾽ ὅ et ἐφ᾽ οὗ et ἐφ᾽ ὅν legitur.
5. καὶ ἰδών c. BCL al. Copt. .. Rc. Kn. Sz. Ln. ἰδὼν δέ. — Ln. h. v. et v. 9. ἀφίενται. — σοῦ αἱ ἁμαρτ. c. BD gr. GLΔ al. m. Pers. .. Rc. Kn. Sz. Ln. σοὶ αἱ ἁμαρτ. σου [Ln. (σου)].
7. Pro τί h. ὅτι B. — Ln. λαλεῖ; βλασφημεῖ· τίς etc.
8. Ln. om. οὕτως... Kn. Sz. ὅτι οὕτως αὐτοὶ διαλ.
9. Rc. Ln. σοὶ αἱ ἁμαρτ. — Rc. Ln. ἔγειραι .. ἐγείρου BKL al. — Rc. Ln. καὶ ἆρον. — 11. Rc. ἔγειραι καί. .. Ln. ἔγειραι (καί).
12. ἠγ. κ. εὐθ. c. BCL .. Rc. Kn. Sz. Ln. ἠγ. εὐθέως κ.

κράββατον ἐξῆλθεν ἐναντίον πάντων, ὥστε ἐξίστασθαι πάντας καὶ
δοξάζειν τὸν θεὸν λέγοντας· ὅτι οὕτως οὐδέποτε εἴδομεν.
Mt. 9, 9-13. L. c. 5, 27-32. Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος 13
ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. [14] καὶ παράγων εἶδεν 14
Λευὶν τὸν τοῦ Ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει
αὐτῷ· Ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. [15] Καὶ 15
ἐγένετο κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι
καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ·
ἦσαν γὰρ πολλοὶ καὶ ἠκολούθησαν αὐτῷ. [16] καὶ οἱ γραμματεῖς 16
καὶ οἱ Φαρισαῖοι ἰδόντες, ὅτι ἐσθίει μετὰ τῶν ἁμαρτωλῶν καὶ
τελωνῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Τί ὅτι μετὰ τῶν ἁμαρτω-
λῶν καὶ τῶν τελωνῶν ἐσθίει καὶ πίνει; [17] καὶ ἀκούσας ὁ Ἰησοῦς 17
λέγει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾿ οἱ
κακῶς ἔχοντες. οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς.
Mt. 9, 14-17. L. c. 5, 33-39. [18] Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ Φαρισαῖοι νηστεύοντες. 18
καὶ ἔρχονται καὶ λέγουσιν αὐτῷ· Διὰ τί οἱ μαθηταὶ Ἰωάννου καὶ
οἱ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσιν;
[19] καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος 19
ἐν ᾧ ὁ νυμφίος μετ᾿ αὐτῶν ἐστὶν νηστεύειν; ὅσον χρόνον ἔχουσιν
τὸν νυμφίον μεθ᾿ ἑαυτῶν, οὐ δύνανται νηστεύειν· [20] ἐλεύσονται 20
δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ᾿ αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύ-
σουσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. [21] Οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου 21
ἐπιῤῥάπτει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μή, αἴρει τὸ πλήρωμα τὸ
καινὸν ἀπὸ τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται. [22] καὶ οὐδεὶς 22

---

14. Pro *Λευὶν* h. *Ἰάκωβον* D al. cdd. ap. Or. et ap. Vict. Ct. It.[6]
15. *κ. ἐγέν. κατακ.* cum BL al. .. Rc. Kn. Sz. Ln. *κ. ἐγ. ἐν τῷ κατ.* .. hab. *κ. ἐγ. κατακειμένων αὐτῶν* D Ct. It.[4]
16. Ln. (*καὶ*) *ἰδόντες*. .. h. *καὶ ἠκολούθουν αὐτῷ καὶ* (add. *οἱ* B 124. om. *καὶ Δ*) *γραμματεῖς τῶν Φαρισαίων· καὶ ἰδόντες, ὅτι* BDLΔ al. Ct. It.[3] et pro *καὶ ἠκολ.* h. *οἱ καὶ ἠκ.* D Vg. It. Ct. — Rc. Kn. Sz. *ἰδόντες αὐτὸν ἐσθίοντα*. — Om. *τί ὅτι* 31. (s. XII.). .. h. *διὰ τί* D. .. *ὅτι* BL al. — Ln. (*καὶ πίνει*).
17. Rc. in fine v. add. *εἰς μετάνοιαν*, qu. Kn. (—).
18. Rc. *οἱ τῶν Φαρισαίων νηστεύοντες*.
20. Rc. *ἐν ἐκείναις ταῖς ἡμέραις*.
21. Rc. *καὶ οὐδείς*. .. Ln. *οὐδεὶς δέ*. — Ln. scr. *ῥάκκους*. — Rc. Kn. Sz. *ἐπὶ ἱματίῳ παλαιῷ*. — *τὸ πλήρ. τὸ καινὸν ἀπὸ τ. παλ.* cum D

βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήσσει ὁ οἶνος
τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ
οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον.
23 Καὶ ἐγένετο αὐτὸν ἐν τοῖς σάββασιν διαπορεύεσθαι διὰ τῶν Mt. 12, 1-8. Lc. 6, 1-5.
σπορίμων, καὶ οἱ μαθηταὶ αὐτοῦ ἤρξαντο ὁδοποιεῖν τίλλοντες τοὺς
24 στάχυας. [24] καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· Ἴδε, τί ποιοῦσιν τοῖς
25 σάββασιν ὃ οὐκ ἔξεστιν; [25] καὶ ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε
τί ἐποίησεν Δαυίδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ * 1 Sam. 21, 6.
26 μετ' αὐτοῦ; [26] πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιά-
θαρ ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ
ἔξεστιν φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσιν, καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ
27 οὖσιν; [27] καὶ ἔλεγεν αὐτοῖς· Τὸ σάββατον διὰ τὸν ἄνθρωπον
28 ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· [28] ὥστε κύριός ἐστιν
ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

## III.

1 Καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγήν. καὶ ἦν ἐκεῖ ἄνθρω- Mt 12, 9-14. Lc. 6, 6-11.
2 πος ἐξηραμμένην ἔχων τὴν χεῖρα· [2] καὶ παρετηροῦντο αὐτόν, εἰ
3 τοῖς σάββασιν θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. [3] καὶ
λέγει τῷ ἀνθρώπῳ τῷ ἔχοντι τὴν χεῖρα ἐξηραμμένην· Ἔγειρε εἰς
4 τὸ μέσον. [4] καὶ λέγει αὐτοῖς· Ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆσαι
5 ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. [5] καὶ
περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πω-
ρώσει τῆς καρδίας αὐτῶν λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρα·

---

al. Vg. It. Syr. al. .. Rc. Kn. Sz. τὸ πλήρ. αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ... Ln. τὸ πλήρ. ἀπ' αὐτοῦ τὸ καινὸν τοῦ παλ... h. ἀφ' ἑαυτοῦ B.
22. Ln. ῥήξει. — Rc. Kn. Sz. ῥήσσει ὁ οἶν. ὁ νεός.
23. Rc. Kn. Sz. ὁδὸν ποιεῖν... om. ὁδοπ. et h. τίλλειν D al. Ct. It.[5] al... ὁδοποιοῦντες τίλλειν It.[2] al.
24. Rc. Kn. Sz. ἐν τοῖς σάββ.
25. Rc. Kn. Sz. καὶ αὐτὸς ἔλεγεν... Ln. καὶ (αὐτὸς) λέγει.. om. αὐτός c. BCDL al. Vg. It.[9] Ct.
26. Om. πῶς BD al. Ct... h. Et Verc. — Rc. Kn. Sz. τοῦ ἀρχιερέως.
Cap. III. 2. Rc. Kn. Sz. παρετήρουν. — Ln. κατηγορήσουσιν.
3. τῷ ἔχοντι etc. cum D al. Vg. Ct. It.. Rc. Kn. Sz. τῷ ἐξηρ. ἐχ. τ. χ... Ln. τῷ τ. χ. ἐχ. ξηράν. — Rc. Ln. ἔγειραι.
4. Hab. ἢ ἀπολέσαι LΔ al. m. Syr. Vg. It. al. m. Vict. al.
5. Rc. Kn. Sz. Ln. τὴν χ. σου, qd om. c. BESV al. m.

καὶ ἐξέτεινεν, καὶ ἀπεκατεστάθη εὐθὺς ἡ χεὶρ αὐτοῦ. 6 καὶ ἐξελ- 6
θόντες οἱ Φαρισαῖοι μετὰ τῶν Ἡρῳδιανῶν εὐθὺς συμβούλιον
ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν.
Mt. 12, Καὶ ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνεχώρησεν εἰς τὴν 7
15. 16. Lc. 6, θάλασσαν, καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησεν
17-19. αὐτῷ· καὶ ἀπὸ τῆς Ἰουδαίας 8 καὶ ἀπὸ Ἱεροσολύμων καὶ ἀπὸ 8
τῆς Ἰδουμαίας καὶ πέραν τοῦ Ἰορδάνου καὶ οἱ περὶ Τύρον καὶ
Σιδῶνα, πλῆθος πολύ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐ-
τόν. 9 καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοιάριον προσκαρτερῇ 9
αὐτῷ διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν· 10 πολλοὺς γὰρ 10
ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ, ἵνα αὐτοῦ ἅψωνται, ὅσοι
εἶχον μάστιγας. 11 καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν 11
ἐθεώρουν, προσέπιπτον αὐτῷ καὶ ἔκραζον λέγοντα· ὅτι σὺ εἶ ὁ
υἱὸς τοῦ θεοῦ. 12 καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ αὐτὸν φανε- 12
ρὸν ποιήσωσιν.
Lc. 6, Καὶ ἀναβαίνει εἰς τὸ ὄρος καὶ προσκαλεῖται οὓς ἤθελεν 13
12-16. Mt. 10, αὐτός, καὶ ἀπῆλθον πρὸς αὐτόν. 14 καὶ ἐποίησεν δώδεκα, ἵνα 14
2-4. ὦσιν μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν 15 καὶ 15
ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους καὶ ἐκβάλλειν τὰ δαιμόνια.
16 καὶ ἐπέθηκεν τῷ Σίμωνι ὄνομα Πέτρον· 17 καὶ Ἰάκωβον τὸν 16 17
τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου, καὶ ἐπέ-
θηκεν αὐτοῖς ὀνόματα Βοανεργές, ὅ ἐστιν υἱοὶ βροντῆς· 18 καὶ 18
Ἀνδρέαν καὶ Φίλιππον καὶ Βαρθολομαῖον καὶ Ματθαῖον καὶ
Θωμᾶν καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Θαδδαῖον καὶ Σί-

---

5. Rc. Kn. ἀποκατεστ. — εὐθύς cum B... h. εὐθέως post αὐτοῦ D Ct. It.[4] al... om. Rc. Kn. Sz. Ln. — Rc. in fine v. add. ὑγιὴς ὡς ἡ ἄλλη, qu. Kn. (—).

6. εὐθὺς συμβ. c. BC al... Rc. Kn. Sz. Ln. οἱ Φαρ. εὐθέως μετά... om. εὐθ. DL al. Ct. It.[7] al. — συμβ. ἐδίδουν BL al.

7. Rc. Sz. πρὸς τ. θάλ. — Ln. ἠκολούθ. (αὐτῷ)... Kn. Sz. ἠκολούθησαν αὐτ... utrque om. D al. Ct. It.[5]

8. Ln. (οἱ) περί. — Ln. ἀκούοντες.

10. Hab. ἅψωνται. Καὶ ὅσοι [ὅσοι δέ Vg. ms. It.[1]] A al. Syr. It.[1] al... al. aliter.

12. Ln. ποιήσωσιν (, ὅτι ᾔδεισαν τὸν χριστὸν αὐτὸν εἶναι).

15. Om. θεραπεύειν τὰς νόσους καί BL Δ al. Copt.

17. Ln. Βοανηργές.

19 μωνα τὸν κανανίτην 19 καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδω-
κεν αὐτόν.
20 Καὶ ἔρχονται εἰς οἶκον. 20 καὶ συνέρχεται πάλιν ὁ ὄχλος,
21 ὥστε μὴ δύνασθαι αὐτοὺς μηδὲ ἄρτον φαγεῖν. 21 καὶ ἀκούσαντες
οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλεγον γάρ, ὅτι ἐξέστη.
22 22 καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον· Mt.12,
ὅτι Βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκ- 24-32. Lc.11,
23 βάλλει τὰ δαιμόνια. 23 καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παραβο- 15sqq.
λαῖς ἔλεγεν αὐτοῖς· Πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν;
24 24 καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ
25 βασιλεία ἐκείνη. 25 καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται
26 σταθῆναι ἡ οἰκία ἐκείνη. 26 καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν
27 καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει. 27 οὐ
δύναται οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν οἰκίαν αὐ-
τοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν
28 οἰκίαν αὐτοῦ διαρπάσει. 28 ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσε-
ται τοῖς υἱοῖς τῶν ἀνθρώπων τὰ ἁμαρτήματα καὶ αἱ βλασφημίαι
29 ὅσας ἂν βλασφημήσωσιν· 29 ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα
τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰω-
30 νίου ἁμαρτήματος. 30 ὅτι ἔλεγον· Πνεῦμα ἀκάθαρτον ἔχει.
31 Καὶ ἔρχονται ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἔξω Mt.12,
32 ἑστῶτες ἀπέστειλαν πρὸς αὐτόν, καλοῦντες αὐτόν. 32 καὶ ἐκά- 46-50. Lc. 8,
θητο περὶ αὐτὸν ὄχλος· καὶ λέγουσιν αὐτῷ· Ἰδού, ἡ μήτηρ σου 19-21.

18. Ln. τὸν καναναῖον.
19. Ln. Ἰσκαριώθ. [MC. 14, 10. h. Ἰσκαριώτης.]
20. Ln. ὁ ὄχλος. — Rc. Kn. Sz. μήτε.
21. Hab. καὶ ὅτε ἤκουσαν περὶ αὐτοῦ οἱ γραμματεῖς καὶ οἱ λοιποὶ D Ct. cdd. It. al.
25. Ln. οὐ δύνατ. ἡ οἰκ. ἐκ. στῆναι... δυνήσεται B L Δ It.[4]
27. Kn. Sz. Ln. οὐδεὶς δύναται τὰ etc. — Hab. εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθὼν τὰ σκ. αὐτοῦ BCLΔ al. .. om. αὐτοῦ D al. Vg. It. (exc. 3.) — h. διαρπάσῃ AEFGKV al. pl.
28. Rc. om. αἱ ante βλασφημ. — Ln. ὅσα ἐάν... om. ὅσ. ἂν βλασφ. It.[6] Cypr. al.
29. Hab. ἔνοχος ἔσται DLΔ al. — Rc. Kn. Sz. αἰωνίου κρίσεως.
31. Rc. Kn. Sz. ἔρχοντ. οὖν. — Rc. οἱ ἀδελφ. καὶ ἡ μήτηρ αὐτοῦ. — Rc. Kn. Sz. φωνοῦντες αὐτόν... ζητοῦντες αὐτ. A... om. Verc.
32. Rc. Kn. Sz. εἶπον δὲ αὐτῷ.

καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσίν σε. 33 καὶ ἀπεκρίθη αὐτοῖς λέ- 33
γων· Τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; 34 καὶ περι- 34
βλεψάμενος τοὺς περὶ αὐτὸν κύκλῳ καθημένους λέγει· Ἴδε, ἡ
μήτηρ μου καὶ οἱ ἀδελφοί μου. 35 ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα 35
τοῦ θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.

## IV.

Mt. 13, 1-23. Lc. 8, 4-15.

Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν. καὶ συν- 1
άγεται πρὸς αὐτὸν ὄχλος πλεῖστος, ὥστε αὐτὸν εἰς τὸ πλοῖον
ἐμβάντα καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν
θάλασσαν ἐπὶ τῆς γῆς ἦσαν. 2 καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς 2
πολλά, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· 3 Ἀκούετε. ἰδού, 3
ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι. 4 καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ 4
μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ ἦλθεν τὰ πετεινὰ καὶ κατέφαγεν
αὐτό. 5 καὶ ἄλλο ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχεν γῆν 5
πολλήν, καὶ εὐθὺς ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς· 6 καὶ 6
ὅτε ἀνέτειλεν ὁ ἥλιος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν
ἐξηράνθη. 7 καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας· καὶ ἀνέβησαν αἱ 7
ἄκανθαι καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ ἔδωκεν. 8 καὶ 8
ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου καρπὸν ἀναβαί-
νοντα καὶ αὐξανόμενον, καὶ ἔφερεν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα
καὶ ἓν ἑκατόν. 9 καὶ ἔλεγεν· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. 9

---

32. Sz. Ln. οἱ ἀδελφοί σ. καὶ αἱ ἀδελφαί σου.
33. Rc. Kn. Sz. ἢ οἱ ἀδ. μ.
34. Rc. Kn. Sz. καὶ περιβλ. κύκλῳ τ. π. α. καθ. — Ln. ἰδού.
35. Ln. om. γάρ. — Rc. Kn. Sz. ἀδελφή μου.

Cap. IV. 1. συνάγεται — πλεῖστος — ἦσαν cum BCL Δ al. .. Rc. Kn. Sz. Ln. συνήχθη — πολύς — ἦν.
3. Ln. om. τοῦ ante σπεῖραι.
4. Om. ἐγένετο D al. Vg. It. (exc. Verc.) al. — Rc. πετεινὰ τοῦ οὐρανοῦ qu. Kn. (—).
5. Rc. Kn. Sz. ἄλλο δέ. — Ln. (καὶ) ὅπου et βάθ. τῆς γῆς.
6. Rc. Kn. Sz. ἡλίου δὲ ἀνατείλαντος.
8. Rc. Kn. Sz. καὶ αὐξάνοντα. — Pro ἓν ter hab. εἰς s. εἷς BL Δ al. Gr. naz. .. ἐν EV al. pm. Syr. p. al. Ephr. Bas. Hier. al. [ita etiam v. 20. cum Syr. utr.]
9. Rc. καὶ ἔλ. αὐτοῖς. — Ln. ὃς ἔχει.

10 10 καὶ ὅτε ἐγένετο κατὰ μόνας, ἠρώτων αὐτὸν οἱ περὶ αὐτὸν σὺν
11 τοῖς δώδεκα τὰς παραβολάς. 11 καὶ ἔλεγεν αὐτοῖς· Ὑμῖν δέδοται
τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν
12 παραβολαῖς τὰ πάντα γίνεται, 12 ἵνα βλέποντες βλέπωσιν καὶ μὴ * Es. 6. 9. 10.
ἴδωσιν, καὶ ἀκούοντες ἀκούωσιν καὶ μὴ συνιῶσιν, μήποτε ἐπι-
13 στρέψωσιν καὶ ἀφεθῇ αὐτοῖς. 13 καὶ λέγει αὐτοῖς· Οὐκ οἴδατε τὴν
παραβολὴν ταύτην, καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε;
14 15 14 ὁ σπείρων τὸν λόγον σπείρει. 15 οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν
ὁδόν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθὺς ἔρχεται
16 ὁ σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν αὐτοῖς. 16 καὶ
οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἵ, ὅταν
ἀκούσωσιν τὸν λόγον, εὐθὺς μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν,
17 17 καὶ οὐκ ἔχουσιν ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν· εἶτα
γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθὺς σκανδαλίζον-
18 ται. 18 καὶ ἄλλοι εἰσὶν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι· οὗτοί
19 εἰσιν οἱ τὸν λόγον ἀκούσαντες, 19 καὶ αἱ μέριμναι τοῦ αἰῶνος καὶ
ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευό-
20 μεναι συμπνίγουσιν τὸν λόγον, καὶ ἄκαρπος γίνεται. 20 καὶ οὗτοί
εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσιν τὸν
λόγον καὶ παραδέχονται, καὶ καρποφοροῦσιν ἓν τριάκοντα καὶ ἓν
21 ἑξήκοντα καὶ ἓν ἑκατόν. 21 Καὶ ἔλεγεν αὐτοῖς· Μήτι ἔρχεται ὁ Mt. 5, 15.
λύχνος, ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα Lc. 11, 33.

---

10. Rc. Kn. Sz. ὅτε δέ. — Rc. Kn. Sz. ἠρώτησαν. — τὰς παραβολάς c. BCLΔ It.$^{4}$· al. . . Rc. Kn. Sz. Ln. τὴν παραβολήν.

11. Rc. Kn. Sz. δέδοται γνῶναι. [om. c. ABKL al. m. Copt. It.$^{1}$·]

12. Hab. συνῶσιν D*L al. — Hab. καὶ ἀφεθήσεται AK al. m. Or. (1.). . . κ. ἀφεθήσομαι D* Ct. It.$^{3}$· — Rc. Kn. Sz. in fine add. τὰ ἁμαρτήματα qd Ln. (—). . . om. cum BCL al. It.$^{1}$· al. Or. (2.). . . τ. ἁμ. αὐτῶν Δ. . . τὰ παραπτώμ. 36. al. Thphyl.

15. Pro καὶ ὅταν hab. οἳ ὅταν B. — ἐν αὐτοῖς c. CLΔ It.$^{1}$· al. . . εἰς αὐτούς B al. . . Rc. Kn. Sz. Ln. ἐν ταῖς καρδίαις αὐτῶν.

16. Om. ὁμοίως D al. m. Syr. Ct. It.$^{6}$· al. Or. . . pon. ante εἰσίν CLΔ al.

18. Rc. Sz. καὶ οὗτοί εἰσ. οἱ ε. τ. ἀ. σπειρόμενοι· οὗτοί εἰσιν οἱ τόν etc. . . Kn. καὶ οὗτοί εἰσ. οἱ ε. τ. ἀ. σπειρόμενοι, οἱ τόν etc. — ἀκούσαντες cum BCDLΔ al. m. . . Rc. Kn. Sz. Ln. ἀκούοντες.

19. Rc. Sz. τοῦ αἰῶν. τούτου, qd Kn. (—). — Om. καὶ αἱ περὶ τ. λ. ἐπιθυμ. D al. It. (exc. 6.) al.

20. Pro ἓν leg. ἐν. cf. qu. ad v. 8. notata sunt.

Mt. 10, 26. Lc. 12, 2. ἐπὶ τὴν λυχνίαν τεθῇ; 22 οὐ γάρ ἐστιν κρυπτόν, ἐὰν μὴ ἵνα 22
φανερωθῇ· οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα ἔλθῃ εἰς φανερόν.
Mt. 7, 2. Lc. 6, 38. 23 εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. 24 Καὶ ἔλεγεν αὐτοῖς· Βλέ- 23 24
πετε τί ἀκούετε· ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν καὶ
Mt. 25, 29. Lc. 19, 26. προστεθήσεται ὑμῖν. 25 ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς 25
οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. 26 Καὶ ἔλεγεν· Οὕ- 26
τως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν
σπόρον ἐπὶ τῆς γῆς, 27 καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ 27
ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ καὶ μηκύνηται, ὡς οὐκ οἶδεν
αὐτός· 28 αὐτομάτη ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στά- 28
χυν, εἶτα πλήρης σῖτος ἐν τῷ στάχυϊ. 29 ὅταν δὲ παραδοῖ ὁ καρ- 29
πός, εὐθὺς ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.
Lc. 13, 18. 19. 30 Καὶ ἔλεγεν· Πῶς ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ, ἢ ἐν 30
Mt. 13, 31-32. τίνι αὐτὴν παραβολῇ θῶμεν; 31 ὡς κόκκον σινάπεως, ὅς, ὅταν 31
σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων τῶν ἐπὶ
τῆς γῆς, 32 ἀναβαίνει καὶ γίνεται μείζων πάντων τῶν λαχάνων, 32
καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ

---

21. Rc. Kn. Sz. ἐπὶ τ. λυχν. ἐπιτεθῇ.
22. Rc. Kn. Sz. ἐστι τι, qd Ln. (—). .. om. cum BDKM al. pl. It. (exc. 6.) al. Thphyl. — Rc. Kn. Sz. ὃ ἐὰν μὴ φανερωθῇ. .. h. ἐὰν μή absque ἵνα ACKL al. m... al. aliter.
24. Rc. Kn. Sz. in fine add. τοῖς ἀκούουσιν. .. om. καὶ προστεθ. ὑμ. DG Ct. It.[3.] Vg. ms. Copt. .. post ἀκούετε h. καὶ προστ. ὑ. τοῖς ἀκ. Arm... eadem bis h. 13. 69.
25. Ln. ὃς γὰρ ἔχει.
26. Om. ἐάν BDLΔ al. m. Tol. .. h. ὅταν 1. al. m. .. περ 13. al. .. ὅτι 417.
27. Hab. καθεύδει κ. ἐγείρεται EFGM al. m. — Hab. βλαστάνει 122. al. m. .. βλαστᾷ BDLΔ al. — μηκύνεται BD al. m.
28. Rc. Kn. Sz. αὐτομάτη γάρ. — Rc. Kn. Sz. εἶτα πλήρη σῖτον.
29. Rc. Kn. Sz. παραδῷ.
30. πῶς cum BCLΔ al. m. It.[1.] al... Rc. Kn. Sz. Ln. τίνι. — Rc. Kn. Sz. ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμεν αὐτήν.
31. Rc. ὡς κόκκῳ. — Rc. Kn. Sz. μικρότερος πάντ. τ. σπερμ. ἐστὶ τῶν ἐ. τ. γῆς· καὶ ὅταν σπαρῇ, ἀναβαίν. κ. γίν. π. τ. λ. μείζων. .. Ln. μικρότερον ὂν πάντ. τ. σπερμ. (τῶν ἐ. τ. γῆς), καὶ ὅταν σπαρῇ, ἀναβ. κ. γίν. μείζων π. τ. λαχ. .. om. ἐστίν cum BLΔ; in A et D et al. varie pon. .. om. καὶ ὅταν σπαρῇ (leg. etiam αὐξηθῇ, σπαρεῖ, φυῇ) c. D Ct. Vind... μεῖζον leg. in ACLV al.

33 τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν. [33] Καὶ τοιαύταις παραβο-
λαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἐδύναντο ἀκούειν·
34 [34] χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατ' ἰδίαν δὲ τοῖς μα-
θηταῖς αὐτοῦ ἐπέλυεν πάντα.
35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης· Διέλ- Mt. 8,
36 θωμεν εἰς τὸ πέραν. [36] καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν 23-27.
αὐτόν, ὡς ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοῖα ἦν μετ' αὐτοῦ. Lc. 8, 22-25.
37 [37] καὶ γίνεται λαῖλαψ μεγάλη ἀνέμου, καὶ τὰ κύματα ἐπέβαλλεν
38 εἰς τὸ πλοῖον, ὥστε ἤδη γεμίζεσθαι τὸ πλοῖον. [38] καὶ αὐτὸς ἦν
ἐν τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων. καὶ διεγείρουσιν
αὐτὸν καὶ λέγουσιν αὐτῷ· Διδάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύ-
39 μεθα; [39] καὶ διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θα-
λάσσῃ· Σιώπα, πεφίμωσο, καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο
40 γαλήνη μεγάλη. [40] καὶ εἶπεν αὐτοῖς· Τί δειλοί ἐστε; οὔπω ἔχετε
41 πίστιν; [41] καὶ ἐφοβήθησαν φόβον μέγαν καὶ ἔλεγον πρὸς ἀλλή-
λους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα
ὑπακούει αὐτῷ;

## V.

1 Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Mt. 8,
2 Γερασηνῶν. [2] καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέως ὑπήν- 28-34. Lc. 8,
τησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, 26-39.
3 [3] ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασιν, καὶ οὐδὲ ἁλύσει οὐκ-

---

33. Om. πολλαῖς LΔ al. m. Syr. It.[2] al. m. . . ante παραβ. in D Ct. It.[3]
34. Hab. τοῖς ἰδίοις μαθητ. BCLΔ. . . om. αὐτοῦ 412. It.[3]
36. Ln. om. δέ post ἄλλα. — Rc. Sz. πλοιάρια.
37. Rc. Kn. Sz. τὰ δὲ κύματα. — Rc. Kn. Sz. ὥστε αὐτὸ ἤδη γεμ.
38. Rc. Kn. Sz. ἐπὶ τῇ πρ.
40. Rc. Kn. Sz. τί δειλοί ἐστε οὕτω; πῶς οὐκ ἔχ. π.
41. ὑπακούει c. BCLΔ al. . . Rc. Kn. Sz. Ln. ὑπακούουσιν.

Cap. V. 1. Hab. καὶ ἦλθεν CELMΔ al. m. Syr. utr. al. — Pro Γερασηνῶν [c. BD Vg. Ct. It. Sax. Greg. nyss.] h. Rc. Kn. Sz. Γαδαρηνῶν [id ap. MTTH. scr. c. BCM al. m. Syr. utr. Eus.; ibi Γερασηνῶν h. cdd. ap. Or. It. Vg. al. Greg. nyss. al. et Γεργεσαίων cdd. ap. Epiph. Hier. al. et Γεργεσηνῶν L al. m. Copt. al. atque sic Or. legi vult]. . . h. Γεργεσηνῶν L al. m. Copt. al. Or. al.
2. Ln. κ. ἐξελθόντος αὐτοῦ, postea om. εὐθέως. — Rc. Kn. Sz. ἀπήντησεν.
3. Rc. μνημείοις. — Rc. Kn. Sz. καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο.

ἔτι οὐδεὶς ἐδύνατο αὐτὸν δῆσαι, [4] διὰ τὸ αὐτὸν πολλάκις πέδαις 4
καὶ ἁλύσεσιν δεδέσθαι καὶ διεσπάσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις καὶ
τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι· [5] καὶ 5
διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς ὄρεσιν
ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. [6] καὶ ἰδὼν τὸν Ἰη- 6
σοῦν ἀπὸ μακρόθεν ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ, [7] καὶ κράξας 7
φωνῇ μεγάλῃ λέγει· Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ θεοῦ τοῦ
ὑψίστου; ὁρκίζω σε τὸν θεόν, μή με βασανίσῃς. [8] ἔλεγεν γὰρ 8
αὐτῷ· Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.
[9] καὶ ἐπηρώτα αὐτόν· Τί ὄνομά σοι; καὶ λέγει αὐτῷ· Λεγιὼν 9
ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. [10] καὶ παρεκάλει αὐτὸν πολλά, 10
ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας. [11] ἦν δὲ ἐκεῖ πρὸς 11
τῷ ὄρει ἀγέλη χοίρων μεγάλη βοσκομένη· [12] καὶ παρεκάλεσαν 12
αὐτὸν λέγοντες· Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς
εἰσέλθωμεν. [13] καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως. καὶ ἐξελθόντα τὰ 13
πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμη-
σεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, ὡς δισχίλιοι,
καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. [14] καὶ οἱ βόσκοντες αὐτοὺς ἔφυγον 14
καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς· καὶ ἦλθον ἰδεῖν
τί ἐστιν τὸ γεγονός. [15] καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν καὶ θεωροῦ- 15

---

6. καὶ ἰδών c. BCLΔ al. Copt. .. Rc. Kn. Sz. Ln. ἰδὼν δέ.
7. Rc. Kn. Sz. εἶπε.
9. Rc. pro λέγει αὐτῷ h. ἀπεκρίθη λέγων. — Rc. Kn. Sz. pro λεγεών [c. B*CDLΔ al. Syr. Copt.] h. v. et v. 15. h. λεγεών. — Ln. μοί ἐστιν.
10. Hab. παρεκάλουν AΔ al. m. It.[4] Vg. — Pro αὐτούς h. αὐτόν KL al. Syr. It.[1] .. αὐτά BCΔ.
11. Rc. πρὸς τὰ ὄρη. — Om. μεγάλη DL al. Ct. It.[3] Vg. ms. al. — Hab. βοσκομένων ALΔ al. Ct. It.[1]
12. h. παρεκάλουν ADKM al. m. .. Rc. αὐτὸν πάντες οἱ δαίμονες .. Kn. (πάντ. οἱ δαίμ.) .. Sz. οἱ δαίμ. .. Ln. (πάντ.) οἱ δαίμ. .. om. οἱ δαίμ. c. BCLΔ al. m. Copt. Aeth. .. h. δαιμόνια D. .. post λέγοντ. pon. 237.
13. Hab. κ. ἔπεμψεν α. H al. .. κ. ἔπεμψ. α. εἰς τοὺς χοίρους D Ct. It.[2] — Rc. Kn. Sz. εὐθέως ὁ Ἰησοῦς. .. Ln. (εὐθ. ὁ Ἰησ.). .. om. εὐθέως BCLΔ al. m. Syr. It.[1] al. .. etiam post ὁ Ἰησ. pon. .. ὁ Ἰησ. iidem fere qui εὐθ. om. — Rc. Kn. Sz. ἦσαν δὲ ὡς δισχ. .. Ln. (ἦσ. δὲ) ὡς δισχ. .. om. c. BDLΔ Syr. Ct. It.[6] Vg. al. .. ἦσ. δὲ ὡς δισχ. om. Syr. ms.
14. Rc. pro αὐτούς h. τοὺς χοίρους et post h. ἀνήγγειλ. — Rc. Kn. Sz. καὶ ἐξῆλθον.

σιν τὸν δαιμονιζόμενον καθήμενον, ἱματισμένον καὶ σωφρονοῦντα,
16 καὶ ἐφοβήθησαν. [16] καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγέ-
17 νετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων. [17] καὶ ἤρξαντο
18 παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν. [18] καὶ ἐμβαί-
νοντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς, ἵνα
19 μετ᾽ αὐτοῦ ᾖ. [19] καὶ οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ· Ὕπαγε
εἰς τὸν οἶκόν σου πρὸς τοὺς σούς, καὶ ἀνάγγειλον αὐτοῖς, ὅσα σοι
20 ὁ κύριος πεποίηκεν καὶ ἠλέησέν σε. [20] καὶ ἀπῆλθεν καὶ ἤρξατο
κηρύσσειν ἐν τῇ Δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ
πάντες ἐθαύμαζον.

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ Mt. 9, 18-26
πέραν, συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτόν· καὶ ἦν παρὰ τὴν θά- Lc. 8,
22 λασσαν. [22] καὶ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, 40-56.
23 καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ, [23] καὶ παρακαλεῖ
αὐτὸν πολλὰ λέγων· ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα
24 ἐλθὼν ἐπιθῇς τὰς χεῖρας αὐτῇ, ἵνα σωθῇ καὶ ζήσῃ. [24] καὶ ἀπ-
ῆλθεν μετ᾽ αὐτοῦ, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συν-
25 έθλιβον αὐτόν. [25] καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα,
26 [26] καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ
παρ᾽ αὐτῆς πάντα καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ
27 χεῖρον ἐλθοῦσα, [27] ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ
28 ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· [28] ἔλεγεν γάρ· ὅτι κἂν
29 τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. [29] καὶ εὐθὺς ἐξηράνθη
ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ

---

15. Rc. Kn. Sz. καθήμενον καὶ ἱματισμ. — Rc. Kn. Sz. Ln. post σωφρονοῦντα h. τὸν ἐσχηκότα τὸν λεγεῶνα (Ln. λεγιῶνα), qu. om. c. D al. Ct. Vg. It. (exc. Mart.) al.

18. Rc. Kn. Sz. καὶ ἐμβάντος. — Hab. ἤρξατο παρακαλεῖν D Ct. Vg. It. (exc. 1.)

19. Rc. ὁ δὲ Ἰησοῦς οὐκ. .. Ln. καὶ (Ἰησοῦς) οὐκ. — Ln. ἀπάγγειλον. .. h. διάγγ. D al. — Rc. ἐποίησε καί.

21. Om. καὶ ἦν παρὰ τ. θαλ. D Ct. It.[5] Aeth. Pers.

22. Rc. Kn. Sz. καὶ ἰδού. .. Ln. κ. (ἰδού), qd om. c. BDLΔ al. Syr. Ct. Vg. It. (exc. 2.) al. — Om. ὀνόμ. Ἰάειρος D Ct. It.[3]

23. παρακαλεῖ c. ACL al. .. h. παρακαλῶν D Ct. It.[4] .. Rc. Kn. Sz. Ln. παρεκάλει — Rc. Kn. Sz. pro ἵνα (c. ACDLΔ al.) h. ὅπως σωθῇ ac pro ζήσῃ [c. BCDLΔ al. Ct. It. (exc. 1.) Vg.] h. ζήσεται.

25. Rc. Kn. Sz. γυνή τις. — Rc. τὰ παρ᾽ ἑαυτῆς.

τῆς μάστιγος. 30 καὶ εὐθὺς ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ 30
αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγεν· Τίς
μου ἥψατο τῶν ἱματίων; 31 καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· 31
Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε καὶ λέγεις· Τίς μου ἥψατο;
32 καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. 33 ἡ δὲ γυνὴ 32 33
φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν αὐτῇ, ἦλθεν καὶ προσ-
έπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. 34 ὁ δὲ εἶπεν 34
αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέν σε· ὕπαγε εἰς εἰρήνην, καὶ
ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. 35 ἔτι αὐτοῦ λαλοῦντος ἔρχον- 35
ται ἀπὸ τοῦ ἀρχισυναγώγου λέγοντες· ὅτι ἡ θυγάτηρ σου ἀπέθα-
νεν, τί ἔτι σκύλλεις τὸν διδάσκαλον; 36 ὁ δὲ Ἰησοῦς εὐθέως 36
ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ· Μὴ
φοβοῦ, μόνον πίστευε. 37 καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακο- 37
λουθῆσαι εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν
Ἰακώβου. 38 καὶ ἔρχονται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ 38
θεωρεῖ θόρυβον καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά· 39 καὶ 39
εἰσελθὼν λέγει αὐτοῖς· Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον
οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. 40 καὶ κατεγέλων αὐτοῦ. ὁ δὲ 40
ἐκβαλὼν πάντας παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν
μητέρα καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παι-
δίον. 41 καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ· Ταλιθὰ 41
κοῦμι· ὅ ἐστιν μεθερμηνευόμενον· Τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε.
42 καὶ εὐθὺς ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν 42
δώδεκα. καὶ ἐξέστησαν εὐθὺς ἐκστάσει μεγάλῃ. 43 καὶ διεστεί- 43

---

33. Rc. Kn. Sz. ἐπ' αὐτῇ. .. Ln. (ἐπ') αὐτῇ. .. om. c. BCDL al. Syr. Copt. Verc. .. h. ἐν αὐτῇ FΔ.

36. Om. εὐθέως BDLΔ al. Syr. Ct. Vg. It. (exc. Verc.) al. — Hab. παρακούσας BLΔ.

37. Ln. ἀκολουθῆσαι. .. h. μετ' αὐτοῦ συνακολ. BCLΔ Copt. .. παρακολουθ. αὐτῷ D al. — Hab. τ. ἀδελφ. αὐτοῦ DGΔ al. Ct. Verc.

38. Rc. Kn. Sz. pro ἔρχονται (c. ABCDFΔ al. Syr. Vg. Ct. It.[6] al.) h. ἔρχεται. — Rc. om. καὶ ante κλαίοντας.

40. Ln. αὐτὸς δέ. — Rc. Kn. Sz. in fine add. ἀνακείμενον et Ln. (ἀνακ.) qd om. c. BDLΔ al. Ct. It.[4] al. .. leg. κείμενον, κατακείμενον et aliter.

41. Hab. θαβιτά D Ct. .. ταβιτά s. ταβηθά 157. al. It.[3] al. — Hab. κοῦμ BCL al. Suid. al. — Rc. Ln. ἔγειραι.

42. Hab. ἦν δέ D Vg. It. — εὐθύς c. BLΔ al. Copt. .. om. Rc. Kn. Sz. Ln.

λατο αὐτοῖς πολλά, ἵνα μηδεὶς γνοῖ τοῦτο, καὶ εἶπεν δοθῆναι
αὐτῇ φαγεῖν.

## VI.

1 Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἔρχεται εἰς τὴν πατρίδα αὐτοῦ, Mt. 13,
2 καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. 2 καὶ γενομένου σαβ- 53-58.
βάτου ἤρξατο διδάσκειν ἐν τῇ συναγωγῇ. καὶ πολλοὶ ἀκούοντες
ἐξεπλήσσοντο λέγοντες· Πόθεν τούτῳ ταῦτα, καὶ τίς ἡ σοφία ἡ
δοθεῖσα τούτῳ, καὶ αἱ δυνάμεις τοιαῦται αἱ διὰ τῶν χειρῶν αὐ-
3 τοῦ γινόμεναι; 3 οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας καὶ
ἀδελφὸς Ἰακώβου καὶ Ἰωσῆτος καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ
εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν
4 αὐτῷ. 4 καὶ ἔλεγεν αὐτοῖς ὁ Ἰησοῦς· ὅτι οὐκ ἔστιν προφήτης ἄτιμος Lc. 4, 24.
εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τοῖς συγγενέσιν αὐτοῦ καὶ ἐν τῇ Jo. 4,
5 οἰκίᾳ αὐτοῦ. 5 καὶ οὐκ ἠδύνατο ἐκεῖ ποιῆσαι οὐδεμίαν δύναμιν, 44.
6 εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν. 6 καὶ
ἐθαύμαζεν διὰ τὴν ἀπιστίαν αὐτῶν.
7 Καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων. 7 καὶ προσκαλεῖ- Mt. 10, 1-15.
ται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ Lc. 9,
8 ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων, 8 καὶ 1-6.
παρήγγειλεν αὐτοῖς, ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον
9 μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν· 9 ἀλλ'
10 ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας. 10 καὶ

---

43. Rc. Kn. Sz. γνῷ.

Cap. VI. 1. ἔρχεται cum BCLΔ... Rc. Kn. Sz. Ln. ἦλθεν.

2. Hab. οἱ πολλ. BL al. — h. ἀκούσαντες DFLΔ al. — δοθεῖσα τούτῳ c. BLΔ... Rc. Kn. Sz. Ln. δοθ. αὐτῷ. — Pro καὶ αἱ (c. BΔ al.) δυν. τ. αἱ (c. LΔ Vg. It.[2] al.) δ. τ. χ. αὐτ. γινόμεναι (c. BLΔ al.) hab. Rc. Kn. Sz. Ln. καὶ (Rc. ὅτι καὶ) δυν. τ. διὰ τ. χ. αὐτ. γίνονται... h. ἵνα καὶ — γίνωνται C*DK al. m. Ct. It.[3] al.

3. Hab. ὁ τοῦ (et. om. τοῦ) τέκτονος υἱὸς καὶ Μαρ. 33. al. Vg. ms. It.[9] al. Or. Chrs. .. om. ὁ τέκτων Syr. hr. — h. τῆς Μαρ. BCLΔ al. — Rc. Kn. Sz. ἀδ. δέ, iid. Ἰωσῆ [Ἰωσῆτ. c. BDLΔ al. Verc. al.] .. h. Ἰωσήφ 121. Vg. It.[6] al. .. om. It.[3]

4. Rc. Kn. Sz. ἔλεγε δέ. — Hab. συγγενεῦσιν BD**EFGLVΔ al. m. ad qd add. αὐτοῦ c. BCKL al. Vg. Ct. It.[4] Copt. .. om. Rc. Kn. Sz. Ln.

5. Hab. ἐδύν. KL al. — 6. H. καὶ ἐθαύμαζον 28. 253. Corb.

9. Pro ἐνδύσασθαι [c. B**S al. pl. ἐνδύσασθε B* al. ἐνδύσησθαι Δ ἐν-

*ἔλεγεν αὐτοῖς· Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν
ἐξέλθητε ἐκεῖθεν. ¹¹ καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς μηδὲ ἀκούσω-* 11
*σιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω
τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς. ¹² καὶ ἐξελθόντες ἐκήρυ-* 12
*ξαν, ἵνα μετανοῶσιν· ¹³ καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλει-* 13
*φον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον.*

Mt. 14, 1-12. L.c. 9, 7-9. *Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης. φανερὸν γὰρ ἐγένετο τὸ* 14
*ὄνομα αὐτοῦ, καὶ ἔλεγον, ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν
ἀνέστη καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ· ¹⁵ ἄλλοι* 15
*δὲ ἔλεγον, ὅτι Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον, ὅτι προφήτης ὡς
εἷς τῶν προφητῶν. ¹⁶ ἀκούσας δὲ ὁ Ἡρώδης ἔλεγεν· Ὃν ἐγὼ* 16
L.c. 3, 19. 20. *ἀπεκεφάλισα Ἰωάννην, οὗτος ἠγέρθη. ¹⁷ Αὐτὸς γὰρ ὁ Ἡρώδης* 17
*ἀποστείλας ἐκράτησεν τὸν Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ,
διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι
αὐτὴν ἐγάμησεν· ¹⁸ ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ· ὅτι οὐκ* 18
*ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. ¹⁹ ἡ δὲ Ἡρωδιὰς* 19
*ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο·*

---

*δεδύσθαι* L al. ne induerentur It. (exc. Verc.) Vg.] h. Kn. Sz. Ln. *ἐνδύσησθε* (c. ACDEFV al. Copt. al.).

10. Om. *εἰς οἰκίαν* D Ct. It.[3]

11. Hab. *καὶ ὃς ἂν τόπος μὴ δέξηται* BLΔ al. — Om. *τὸν ὑποκάτω* D al. Vg. cdd. It. al. — In fine v. Rc. et Sz. hab. *Ἀμὴν λέγω ὑμῖν· ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ*. . . eadem Kn. et Ln. (—). . . om. c. BCDLΔ al. Vg. It. (exc. 3.) Ct. Arm. Copt. al.

12. *ἐκήρ.* c. BCDLΔ al. . . Rc. Kn. Sz. Ln. *ἐκήρυσσον*, iid. exc. Ln. *μετανοήσωσι*. — 13. h. *ἐξέβαλον* CDΔ al.

14. Post *Ἡρώδης* h. *τὴν ἀκοὴν Ἰησοῦ* KM al. pm. Or. — Pro *καὶ ἔλεγον* c. B al. (*ἐλέγοσαν* D) Ct. It.[4] hab. Rc. Kn. Sz. *κ. ἔλεγεν*. — *ἐκ νεκρ. ἀν.* c. AK al. m. Thphyl. . . Rc. Kn. Sz. *ἐκ νεκρ. ἠγέρθη*. . . Ln. *ἐγήγερται ἐκ νεκρ.*

15. Rc. ab init. post *ἄλλοι* om. *δέ*. — Rc. Kn. Sz. Ln. *προφ. ἐστίν*, qd om. c. BLΔ al. . . venit It.[2] — Rc. *ἢ ὡς*. — Om. *προφ.* usque *ὡς* D Ct. It.[4] . . h. *ὁ προφ.* cdd. ap. Euthym.

16. Om. *Ἰωάννην* D Ct. Copt. — Rc. Kn. *οὗτός ἐστιν· αὐτὸς ἠγ.* . . Ln. (*ἐστίν· αὐτός*). — Rc. Kn. Sz. Ln. in fine add. *ἐκ νεκρῶν*, qd om. c. BLΔ al. Cpt. Syr. hr. . . ante *ἠγ.* in D al. Vg. Ct. It.[5] . . *ἀπὸ τῶν ν.* C al. Or.

17. Rc. *ἐν τῇ φυλακῇ*. — 19. Ln. pro *ἤθελεν* h. *ἐζήτει*. — h. *ἐδύν.* K 271.

20 [20] ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα
δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ πολλὰ
21 ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουεν. [21] καὶ γενομένης ἡμέρας εὐκαί-
ρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίησεν τοῖς με-
γιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας,
22 [22] καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος καὶ ὀρχησα-
μένης καὶ ἀρεσάσης τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βα-
23 σιλεὺς τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι· [23] καὶ
ὤμοσεν αὐτῇ· ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι ἕως ἡμίσους τῆς
24 βασιλείας μου. [24] ἡ δὲ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς· Τί αἰτή-
25 σωμαι; ἡ δὲ εἶπεν· Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. [25] καὶ
εἰσελθοῦσα εὐθὺς μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέ-
γουσα· Θέλω, ἵνα ἐξαυτῆς δῷς μοι ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάν-
26 νου τοῦ βαπτιστοῦ. [26] καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς διὰ
τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθε-
27 τῆσαι. [27] καὶ εὐθὺς ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτορα ἐπέτα-
28 ξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. [28] καὶ ἀπελθὼν ἀπεκεφάλισεν
αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι
καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ
29 μητρὶ αὐτῆς. [29] καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν
τὸ πτῶμα αὐτοῦ καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν καὶ ἀπήγγει- Mt. 14,
31 λαν αὐτῷ πάντα ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. [31] καὶ εἶπεν 13-21. Lc. 9,
αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον καὶ ἀνα- 10-17. Jo. 6,
παύσασθε ὀλίγον. ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, 1-13.

---

21. Rc Kn. Sz. δεῖπνον ἐποίει.

22. Pro αὐτῆς (om. αὐτῆς 1. 118. 209. It.[3] al. m. .. om. τῆς 440.) τῆς hab. αὐτοῦ BDLΔ al. — Ln. pro καὶ ἀρεσ. h. ἤρεσεν ac post h. εἶπεν δὲ ὁ β.

24. Rc. Kn. Sz. τί αἰτήσομαι. — Hab. τ. βαπτίζοντος BLΔ al. Sic etiam (exc. Δ) v. 25.

27. Rc. Kn. Sz. σπεκουλάτωρα. — Hab. ἐπέταξ. ἐνέγκαι BΔ — Ln. in fine αὐτοῦ (ἐπὶ πίνακι).

28. Rc. Kn. Sz. ὁ δὲ ἀπελθών. — Om. αὐτήν prius LΔ al. Syr. It.[2] al.; om. posterius D al. Syr. Vg. Ct. It.[4] al.

30. Rc. Kn. Sz. πάντα καὶ ὅσα.

31. Om. αὐτοί 1. al. Syr. Vg. It.[4] al. — ἀναπαύσασθε c. ABCMΔ al. m. Rc. Kn. Sz. Ln. ἀναπαύεσθε.

καὶ οὐδὲ φαγεῖν εὐκαίρουν. 32 καὶ ἀπῆλθον ἐν τῷ πλοίῳ εἰς 32
ἔρημον τόπον κατ' ἰδίαν. 33 καὶ εἶδον αὐτοὺς ὑπάγοντας καὶ 33
ἐπέγνωσαν πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον
Mt. 9, 36. ἐκεῖ καὶ προῆλθον αὐτούς. 34 καὶ ἐξελθὼν εἶδεν πολὺν ὄχλον, 34
καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτούς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα
ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. 35 καὶ ἤδη ὥρας 35
πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν·
ὅτι ἔρημός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή· 36 ἀπόλυσον αὐ- 36
τούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγορά-
σωσιν ἑαυτοῖς τί φάγωσιν. 37 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Δότε 37
αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ· Ἀπελθόντες ἀγοράσωμεν
δηναρίων διακοσίων ἄρτους, καὶ δώσομεν αὐτοῖς φαγεῖν. 38 ὁ δὲ 38
λέγει αὐτοῖς· Πόσους ἄρτους ἔχετε; ὑπάγετε, ἴδετε. καὶ γνόντες
λέγουσιν· Πέντε, καὶ δύο ἰχθύας. 39 καὶ ἐπέταξεν αὐτοῖς ἀνα- 39
κλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. 40 καὶ 40
ἀνέπεσαν πρασιαὶ πρασιαί, ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα.
41 καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας 41
εἰς τὸν οὐρανὸν εὐλόγησεν, καὶ κατέκλασεν τοὺς ἄρτους καὶ
ἐδίδου τοῖς μαθηταῖς, ἵνα παρατιθῶσιν αὐτοῖς, καὶ τοὺς δύο
ἰχθύας ἐμέρισεν πᾶσιν. 42 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν· 42

---

32. Rc. Kn. Sz. ἀπῆλθ. εἰς ἔρ. τόπ. τῷ πλοίῳ. . . h. ἀπῆλθεν EFGHV al. pm.

33. H. αὐτὸν ὑπάγοντα 108. (s. XI.) — Rc. post ὑπάγοντας h. οἱ ὄχλοι, qd Kn. (—). — Ln. ἔγνωσαν. . . Rc. Sz. ἐπέγν. αὐτόν, qd Kn. (—). . . h. αὐτούς AKLM al. pl. Syr. utr. It.[1.] al. — om. καὶ προῆλθον αὐτούς D al. m. Ct. It.[5.] al. — Rc. Kn. Sz. in fine add. καὶ συνῆλθον πρὸς αὐτόν, qu. in cdd. varie leguntur.

34. Rc. Kn. Sz. ἐπ' αὐτοῖς. [ἐπ' αὐτούς c. BDF al. Ct. It.[4.] Vg.]

36. τί φάγωσιν c. BLΔ al. Ct. It.[3.] Copt. . . h. τὶ φαγεῖν D. . . Rc. Kn. Sz. ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν. . . Ln. (ἄρτους·) τί (γὰρ) φάγωσιν (οὐκ ἔχουσιν).

37. Rc. Kn. Sz. pro δώσομεν [c. ALΔ al. It. Vg. . . δώσωμεν BD al.] h. δῶμεν. . . Ln. intrpg. ἄρτους; καὶ δώσομεν etc.

38. Rc. Kn. Sz. καὶ ἴδετε. . . Ln. (καὶ) ἴδ. . . om. c. BDL al. Syr. Ct. It.[2.] al. — Ln. λέγουσ. (αὐτῷ·)

39. Ln. ἀνακλιθῆναι. — 40. Ln. κατὰ ἑκατὸν κ. κατὰ πεντ.

41. παρατιθῶσιν c. BLMΔ al. . . Rc. Kn. Sz. Ln. παραθῶσιν.

43 ⁴³ καὶ ἦραν κλασμάτων δώδεκα κοφίνων πληρώματα καὶ ἀπὸ τῶν
44 ἰχθύων. ⁴⁴ καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι
ἄνδρες.

45 Καὶ εὐθὺς ἠνάγκασεν τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ Mt. 14, 22-33. Jo. 6, 15-21.
πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς
46 ἀπολύει τὸν ὄχλον. ⁴⁶ καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ
47 ὄρος προσεύξασθαι. ⁴⁷ καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ
48 τῆς θαλάσσης καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. ⁴⁸ καὶ εἶδεν αὐτοὺς
βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς·
καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περι-
49 πατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελεν παρελθεῖν αὐτούς. ⁴⁹ οἱ
δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἔδοξαν φάν-
50 τασμα εἶναι καὶ ἀνέκραξαν· ⁵⁰ πάντες γὰρ αὐτὸν εἶδον καὶ
ἐταράχθησαν. καὶ εὐθὺς ἐλάλησεν μετ᾽ αὐτῶν καὶ λέγει αὐτοῖς·
51 Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. ⁵¹ καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς
τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος. καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυ-
52 τοῖς ἐξίσταντο. ⁵² οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· ἦν γὰρ αὐτῶν
ἡ καρδία πεπωρωμένη.

53 Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρὲτ καὶ προσ- Mt. 14, 34-36.
54 ωρμίσθησαν. ⁵⁴ καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθὺς ἐπι-
55 γνόντες αὐτόν, ⁵⁵ περιδραμόντες ὅλην τὴν χώραν ἐκείνην ἤρξαντο

---

43. *κλασμάτων δώδ. κοφίνων πληρώματα* cum B al. .. *κλάσματα δώδ. κοφίνους πληρώματα* LΔ. .. al. aliter. .. Rc. Kn. Sz. Ln. *κλασμάτων δώδ. κοφίνους πλήρεις.*

44. Om. *τοὺς ἄρτους* D al. Ct. Vg. It. — Rc. *ὡσεὶ πεντακ.*

45. Rc. Kn. Sz. pro *ἀπολύει* [c. BDLΔ al. (*αὐτὸς δὲ ἀπολύει* D. .. *ἕως ἰδεῖν αὐτὸν ἀπολύει* Δ)] h. *ἀπολύσῃ*. .. h. *ἀπολύσει* K al. m.

48. Ln. *καὶ ἰδὼν αὐτούς* etc. omisso *καί* ante *περί*.

50. Om. *γὰρ αὐτὸν εἶδον* D Ct. It. (exc. 3.)

51. Om. *λίαν* D al. .. om. *ἐκ περισσ.* BLΔ al. Syr. al. .. h. *περισσῶς* D. — Rc. Kn. Sz. in fine add. *καὶ ἐθαύμαζον*, qd Ln. (—). .. om. c. BLΔ al. Copt. Vg. It.³ .. *ἐθαύμ. καὶ ἐξίστ. ἐν ἑαυτ.* Syr.

52. Pro *ἦν γάρ* hab. *ἀλλ᾽ ἦν* BLSΔ al. Copt.

53. Hab. *ἐπὶ τὴν γῆν ἦλθον εἰς Γ.* BLΔ al. [ap. Mtth. 14, 34. *ἦλθον ἐπὶ τ. γ. εἰς Γ.* BDΔ Syr. p.] — Sz. *Γεννησαρέτ*. .. *Γεννήσαρ* D Syr. cdd. It. al. .. *Γεννησαρέθ* SX al. .. al. aliter.

54. Ln. post *ἐπιγν. αὐτόν* h. (*οἱ ἄνδρες τοῦ τόπου ἐκεῖνοι*) c. AGΔ al. m. Syr. It.³ al.

55. *χώραν* c. BLΔ al. Vg. cdd. It. al. .. Rc. Kn. Sz. Ln. *περίχωρον*.

ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον
ὅτι ἐκεῖ ἐστιν. [56] καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ 56
ἀγρούς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας, καὶ παρεκά-
λουν αὐτόν, ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται·
καὶ ὅσοι ἂν ἥψαντο αὐτοῦ, ἐσώζοντο.

## VII.

Mt. 15, 1-20. Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν 1
γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων. [2] καὶ ἰδόντες τινὰς τῶν 2
μαθητῶν αὐτοῦ κοιναῖς χερσίν, τουτέστιν ἀνίπτοις, ἐσθίοντας τοὺς
ἄρτους· — [3] οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ 3
πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσιν, κρατοῦντες τὴν παρά-
δοσιν τῶν πρεσβυτέρων, [4] καὶ ἀπ' ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, 4
οὐκ ἐσθίουσιν· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βα-
πτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν· — [5] καὶ 5
ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· Διὰ τί οἱ
μαθηταί σου οὐ περιπατοῦσιν κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέ-
ρων, ἀλλὰ κοιναῖς χερσὶν ἐσθίουσιν τὸν ἄρτον; [6] ὁ δὲ εἶπεν αὐ- 6
*Es. 29, 13. τοῖς· Καλῶς ἐπροφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν,
ὡς γέγραπται· Οὗτος ὁ λαὸς τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία
αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· [7] μάτην δὲ σέβονταί με, διδά- 7

---

55. Ln. om. ἐκεῖ... h. τὸν Ἰησοῦν (s. eum) εἶναι D Ct. It.[6] Vg.

56. Ln. ἢ (εἰς) πόλεις ἢ (εἰς) ἀγρούς. — ἐτίθεσαν cum BLΔ al. .. Rc. Kn. Sz. Ln. ἐτίθουν. — ἥψαντο cum BDLΔ al. m... Rc. Kn. Sz. ἥπτοντο. — Hab. ἐσώθησαν Δ 33.

Cap. VII. 2. Hab. ὅτι κοιναῖς etc. ἐσθίουσιν BLΔ 33. Copt. — Rc. Kn. Sz. τούς [c. BDLΔ al.] ante ἄρτους om. .. hab. ἄρτον 34. al. Syr. Ct. It.[5] Arm. — Rc. in fine add. ἐμέμψαντο [om. c. ABEHLVΔ al. m. It.[1] .. h. κατέγνωσαν D.].

4. Pro βαπτίσωνται h. βαπτίζωνται LΔ al... ῥαντίσωνται B al. — Hab. χαλκείων AL al. Or. Chrs. — om. καὶ κλινῶν BLΔ al. Copt.

5. Rc. Kn. Sz. pro καὶ ἐπερωτ. [c. BDL al. Syr. Vg. Ct. It. (exc. 1.) Copt. .. ἔπειτα καί Δ] h. ἔπειτα ἐπερ. — Rc. Sz. pro κοιναῖς h. ἀνίπτοις.

6. Rc. Kn. Sz. ὁ δὲ ἀποκριθεὶς (ἀποκρ. etiam Ln.) e. a. ὅτι καλ. προεφήτ. — Pro ἀπέχει h. ἀφέστηκεν D. .. ἄπεστιν L. ἀπέστη Δ. ἐστιν Or. Vg. cdd. It. pl.

8 σκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων· [8] ἀφέντες τὴν ἐντολὴν
9 τοῦ θεοῦ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων. [9] καὶ ἔλεγεν
αὐτοῖς· Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδο-
10 σιν ὑμῶν στήσητε. [10] Μωϋσῆς γὰρ εἶπεν· Τίμα τὸν πατέρα σου *Ex. 20, 12. et
καὶ τὴν μητέρα σου, καί· Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ 21, 16.
11 τελευτάτω. [11] ὑμεῖς δὲ λέγετε· Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ (17.)
τῇ μητρί· Κορβᾶν — ὅ ἐστιν δῶρον — ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς·
12 [12] καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ ἢ τῇ μητρί,
13 [13] ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώ-
14 κατε. καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. [14] καὶ προσκαλεσά-
μενος πάλιν τὸν ὄχλον ἔλεγεν αὐτοῖς· Ἀκούσατέ μου πάντες καὶ
15 σύνετε. [15] οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς
αὐτόν, ὃ δύναται αὐτὸν κοινῶσαι· ἀλλὰ τὰ ἐκ τοῦ ἀνθρώπου
16 ἐκπορευόμενα, ἐκεῖνά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον. [16] εἴ τις
17 ἔχει ὦτα ἀκούειν, ἀκουέτω. [17] καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ
τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ τὴν παραβολήν.
18 [18] καὶ λέγει αὐτοῖς· Οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὐ νοεῖτε,
ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται
19 αὐτὸν κοινῶσαι, [19] ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν,
ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον

---

8. Rc. Kn. Sz. ἀφέντες γάρ [om. c. BDLΔ al. It. (exc. 2.) Ct. al.]. — Rc. Kn. Sz. in fine add. βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε, qu. Ln. (—)... om. cum BLΔ al. Copt. Arm... pon. in fronte v. D al. It. (exc. 2.)... in ultimis verbis libri antq. maxime var.

9. Om. καὶ ἔλεγ. αὐτ. B 28. — στήσητε cum D al. Syr. statuatis It... τηρῆτε B... Rc. Kn. Sz. Ln. τηρήσητε.

12. Ln. ὠφεληθῇς, [12] οὐκέτι. — Rc. Kn. Sz. et post πατρί et post μητρί h. αὐτοῦ.

14. Rc. Kn. Sz. pro πάλιν h. πάντα. — Rc. Kn. Sz. ἀκούετε et συνίετε.

15. Rc. Kn. Sz. τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ.. h. ἐξ αὐτοῦ 61. al. — Om. ἐκεῖνα BLΔ al.

16. Om. totum v. BL al. Copt.

17. Rc. Kn. Sz. pro τὴν παρ. h. περὶ τῆς παραβολῆς.

18. Hab. οὔπω νοεῖτε LΔ al. It.[1] Syr. p. in m.

19. Ln. καθαρίζων c. ABGHLSXΔ al. m. Or. Chrs... καθαρίζει D. et purgat Vind.

πάντα τὰ βρώματα; 20 ἔλεγεν δέ, ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου 20
ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. 21 ἔσωθεν γὰρ ἐκ 21
τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται,
μοιχεῖαι, πορνεῖαι, φόνοι, 22 κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος, 22
ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφρο-
σύνη· 23 πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ 23
τὸν ἄνθρωπον.

Mt. 15, 21-28. Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου. καὶ 24
εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελεν γνῶναι, καὶ οὐκ ἠδυνήθη λα-
θεῖν· 25 ἀλλ᾽ εὐθὺς ἀκούσασα γυνὴ περὶ αὐτοῦ, ἧς εἶχεν τὸ 25
θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσεν πρὸς
τοὺς πόδας αὐτοῦ· 26 ἦν δὲ ἡ γυνὴ Ἑλληνίς, Συροφοινίκισσα τῷ 26
γένει· καὶ ἠρώτα αὐτόν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγα-
τρὸς αὐτῆς. 27 καὶ ἔλεγεν αὐτῇ· Ἄφες πρῶτον χορτασθῆναι τὰ 27
τέκνα· οὐ γάρ ἐστιν καλόν, λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ
βαλεῖν τοῖς κυναρίοις. 28 ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· Ναί, 28
κύριε· καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίουσιν ἀπὸ
τῶν ψιχίων τῶν παιδίων. 29 καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν λό- 29
γον ὕπαγε· ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. 30 καὶ 30
ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ παιδίον βεβλημένον ἐπὶ
τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός.

---

20. Hab. *ἔλεγον δέ* DF al.

21. et 22. Leg. *πορνεία — φόνος — πλεονεξία — πονηρία — ἀσέλγειαι — βλασφημίαι — ὑπερηφανίας*: ea omnia (exc. *ἀσέλγειαι*) h. D; pleraque h. cdd. It. et cdd. gr. pauci.

24. Hab. *ἐξῆλθεν* LΔ. . . *εἰσῆλθεν* 245. al. . . *ἦλθεν* M al. Syr. Or. (2.) — Lɴ. *τὰ ὅρια*. — Rc. Kɴ. Sz. Lɴ. *Τύρου καὶ Σιδῶνος*, qd om. c. DLΔ al. Ct. It.⁴· Or. (bis). — Rc. Kɴ. *εἰς τὴν οἰκίαν*.

25. *ἀλλ᾽ εὐθύς* c. BLΔ al. It.¹· al. . . h. *γυνὴ δὲ εὐθέως ἀκ.* D Vg. It. Ct. . . Rc. Kɴ. Sz. Lɴ. *ἀκούσ. γὰρ γυνή*.

26. Hab. *Συραφοινίκισσα* s. *Σύρα Φ.* BEFGHSV al. pl. . . *Συραφοίνισσα* M Verc. . . Syrophoenissa Vg. Ct. It.⁶· . . *Φοίνισσα* D It.¹· — Rc. *ἐκβάλλῃ*.

27. Rc. Kɴ. Sz. *ὁ δὲ Ἰησοῦς εἶπεν*.

28. Hab. *κύριε* (om. *ναί*), *ἀλλὰ καί* D Ct. It.⁴· . . om. *γάρ* BΔ al. Syr. al.

29. Hab. *ὕπαγε, διὰ τοῦτ. τ. λόγ. ἐξελήλ.* D al. Syr. Ct. It.⁶· Pers.

30. Rc. Kɴ. Sz. *εὗρε τὸ δαιμόνιον ἐξεληλ. καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης*.

31 *Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου ἦλθεν διὰ Σιδῶνος
εἰς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπό-*
32 *λεως.* [32] *καὶ φέρουσιν αὐτῷ κωφὸν καὶ μογιλάλον, καὶ παρακα-*
33 *λοῦσιν αὐτόν, ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα.* [33] *καὶ ἀπολαβόμενος
αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν ἔβαλεν τοὺς δακτύλους αὐτοῦ εἰς*
34 *τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ,* [34] *καὶ
ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξεν, καὶ λέγει αὐτῷ· Ἐφφαθά,*
35 *ὅ ἐστιν διανοίχθητι.* [35] *καὶ εὐθέως ἠνοίγησαν αὐτοῦ αἱ ἀκοαί,
καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.*
36 [36] *καὶ διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτοῖς*
37 *διεστέλλετο, αὐτοὶ μᾶλλον περισσότερον ἐκήρυσσον.* [37] *καὶ ὑπερ-
περισσῶς ἐξεπλήσσοντο λέγοντες· Καλῶς πάντα πεποίηκεν, καὶ τοὺς
κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους λαλεῖν.*

## VIII.

1 *Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ* Mt. 15, 29-39.
*ἐχόντων τί φάγωσιν, προσκαλεσάμενος τοὺς μαθητὰς λέγει αὐτοῖς·*
2 [2] *Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι, ἤδη ἡμέραι τρεῖς, προσμέ-*
3 *νουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν.* [3] *καὶ ἐὰν ἀπολύσω αὐτοὺς
νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· καί τινες αὐτῶν*
4 *ἀπὸ μακρόθεν εἰσίν.* [4] *καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ·
Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας;*
5 [5] *καὶ ἐπηρώτα αὐτούς· Πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπον· Ἑπτά.*

---

**31.** Rc. Kn. Sz. pro *ἦλθ. δ. Σιδ.* [c. BDLΔ al. Syr. hr. Vg. It. al.] h. *καὶ Σιδῶνος ἦλθε;* pergunt iidem *πρὸς τ. θάλ.*

**32.** Rc. Kn. Sz. post *κωφόν* om. *καί* [qd hab. BDΔ Vg. It. al.] — Hab. *μογγιλάλον* BF** LΔ al. m.

**35.** Ln. (*εὐθέως*). — Rc. Kn. Sz. *διηνοίχθησαν*.

**36.** Rc. Kn. Sz. *ὅσον δὲ αὐτὸς* [om. c. ABLXΔ al. m. Vg.] *αὐτοῖς δ.*; iid. om. *αὐτοί* [qd h. BDLΔ al. Copt. Arm.].

**Cap. VIII.** **1.** Rc. Kn. Sz. pro *πάλιν πολλ.* h. *παμπόλλου.* — Rc. *ὁ Ἰησοῦς* [Kn. (*ὁ Ἰησ.*)] *τοὺς μαθ. αὐτοῦ* [*αὐτ.* etiam Kn. Sz. Ln. .. om. c. DLΔ al. m. Syr. utr. Vg. It. (exc. 2.) al.].

**2.** Rc. *ἡμέρας τρ.* .. h. *ἡμέραις τρισίν* B. — Ln. om. *μοί*.

**3.** Hab. *εἰς τὸν οἶκ.* 20. al. — *ἀπὸ μακρ.* c. DLΔ al. et *εἰσίν* c. BLΔ Copt. .. Rc. Kn. Sz. Ln. om. *ἀπό* ac pro *εἰσ.* h. *ἥκουσι* (Ln. *ἥκασιν*).

**4.** Om. *ὧδε* D al. Syr. Vg. ms. Ct. It.[4] .. in al. varie pon.

6 καὶ παραγγέλλει τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς. καὶ λαβὼν 6
τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς
αὐτοῦ, ἵνα παρατιθῶσιν· καὶ παρέθηκαν τῷ ὄχλῳ. 7 καὶ εἶχον 7
ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας αὐτὰ εἶπεν παρατιθέναι. 8 καὶ 8
ἔφαγον καὶ ἐχορτάσθησαν, καὶ ἦραν περισσεύματα κλασμάτων,
ἑπτὰ σφυρίδας. 9 ἦσαν δὲ ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν 9
αὐτούς.

Mt. 16, 1-4. Καὶ εὐθὺς ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ 10
ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. 11 καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ 11
ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ
οὐρανοῦ, πειράζοντες αὐτόν. 12 καὶ ἀναστενάξας τῷ πνεύματι 12
αὐτοῦ λέγει· Τί ἡ γενεὰ αὕτη ζητεῖ σημεῖον; ἀμὴν λέγω ὑμῖν, εἰ
δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. 13 καὶ ἀφεὶς αὐτοὺς πάλιν 13
Mt. 16, 5-12. ἐμβὰς ἀπῆλθεν εἰς τὸ πέραν. 14 Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, 14
καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. 15 καὶ 15
Lc. 12, 1. διεστέλλετο αὐτοῖς λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν
Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου. 16 καὶ διελογίζοντο πρὸς ἀλ- 16
λήλους λέγοντες· ὅτι ἄρτους οὐκ ἔχομεν. 17 καὶ γνοὺς ὁ Ἰησοῦς 17
λέγει αὐτοῖς· Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε
οὐδὲ συνίετε; πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; 18 ὀφθαλ- 18
μοὺς ἔχοντες οὐ βλέπετε καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ

---

6. Rc. Kn. Sz. παρήγγειλε. — Ln. (καὶ) εὐχαριστ. — παρατιθῶσιν c. BCLMΔ al. m. .. Rc. Kn. Sz. Ln. παραθῶσιν.

7. κ. εὐλογήσ. αὐτά c. BCLΔ al. Arr. Aeth. .. h. κ. ταῦτα s. αὐτὰ εὐλογ. AFKM al. pm. Syr. utr. Vg. It. al.; tum παρατιθέναι c. BDLΔ al. .. h. καὶ ταῦτα παράθετε C. .. Rc. Kn. Sz. κ. εὐλογ. εἰπ. παραθεῖναι καὶ αὐτά. .. Ln. καὶ ταῦτα εὐλογ. εἰπ. παρατεθῆναι.

8. Rc. Kn. Sz. ἔφαγον δέ.

9. Rc. Kn. Sz. Ln. ἦσαν δὲ οἱ φαγόντες, qd om. c. BLΔ al. Copt.

10. Ln. ἐμβὰς (αὐτός). — Leg. Δαλμανουνθά B. .. Μελάγαδα D*... Μαγαδά D**. .. Magidan s. Magedan Ct. It. cdd... Μαγδαλά s. Μαγδαλάν 1. al.

12. Om. αὐτοῦ post πνεύμ. D al. Ct. Vg. It. (exc. 5.) Arr. .. h. ἑαυτοῦ AL. — Rc. Kn. Sz. σημ. ἐπιζητεῖ.

13. Rc. Kn. Sz. ἐμβὰς εἰς τὸ πλοῖον et Ln. ἐμβ. εἰς πλοῖον, qu. om. c. BCLΔ It.[3].

15. Ln. ὁρᾶτε, (καὶ) βλέπ. — 16. Ln. om. λέγοντες et h. ἔχουσιν.

17. Rc. Kn. Sz. ἔτι πεπωρωμ. [qd om. c. BCDLΔ al. m. Verc. Copt. .. etiam ὅτι et οὔτω leg.]

19 μνημονεύετε; 19 ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισ-
χιλίους, πόσους κοφίνους κλασμάτων πλήρεις ἤρατε; λέγουσιν
20 αὐτῷ· Δώδεκα. 20 ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους,
πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; οἱ δὲ εἶπον·
21 Ἑπτά. 21 καὶ ἔλεγεν αὐτοῖς· Οὔπω συνίετε;

22 Καὶ ἔρχονται εἰς Βηθσαϊδάν. καὶ φέρουσιν αὐτῷ τυφλόν,
23 καὶ παρακαλοῦσιν αὐτόν, ἵνα αὐτοῦ ἅψηται. 23 καὶ ἐπιλαβόμενος
τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας
εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα αὐτόν·
24 Εἴ τι βλέπεις; 24 καὶ ἀναβλέψας ἔλεγεν· Βλέπω τοὺς ἀνθρώπους,
25 ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας. 25 εἶτα πάλιν ἐπέθηκεν τὰς
χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι·
26 καὶ ἀπεκατέστη, καὶ ἐνέβλεπεν τηλαυγῶς ἅπαντα. 26 καὶ ἀπέστει-
λεν αὐτὸν εἰς οἶκον αὐτοῦ λέγων· Ὕπαγε εἰς τὸν οἶκόν σου καὶ
μηδενὶ εἴπῃς εἰς τὴν κώμην.

27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Mt. 16, 13-28.
Καισαρείας τῆς Φιλίππου. καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς Lc. 9, 18-27.

---

20. Ln. ἑπτὰ (ἄρτους). — Hab. καὶ (om. B Δ It.[1]) λέγουσιν αὐτῷ B C L Δ al. Vg. It.[3] Copt.

21. Οὔπω c. C L Δ al. m. et οὔπως h. K. .. Rc. Kn. Sz. πῶς οὐ. .. Ln. πῶς οὔπω. .. h. πῶς οὖν οὔπω 13. al. Arm. Brix.

22. Rc. Kn. Sz. κ. ἔρχεται. — Hab. εἰς Βηθανίαν D al. Ct. It.[4] Goth.

23. βλέπεις c. C D* Δ Copt. et (omisso εἰ) Aeth. Arr. Pers. .. Rc. Kn. Sz. Ln. βλέπει.

24. Rc. Kn. Sz. ἀνθρώπ. ὡς δένδρα περιπατοῦντας. [ὅτι etc. c. A B C* E F K L S V X Δ al. pl.]

25. Om. καὶ ἐποίησ. α. ἀναβ. Syr. al. .. h. κ. ἤρξατο ἀναβ. D Ct. Vg. It.[7] al. .. κ. διέβλεψεν B L Δ al. .. κ. ἐνέβλεψεν C Cpt. Arr. — κ. ἀπεκ. cum C L Δ al. [κ. ἀποκατέστη B]. .. Rc. Kn. Sz. κ. ἀποκατεστάθη. .. Ln. κ. ἀπεκατεστάθη. — Rc. Kn. Sz. κ. ἐνέβλεψε. — Rc. Kn. ἅπαντας.

26. Rc. εἰς τὸν οἶκ. αὐτοῦ. — Ὕπαγε etc. cum D Ct. .. h. μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς B L al. Copt. .. ne cui diceret in castellum Colb. .. ὕπ. εἰς τ. οἶκ. σ. καὶ εἰς τ. κώμ. μὴ εἰσέλθ. καὶ μηδενὶ εἴπῃς Verc. .. ὕπ. εἰς τ. οἶκ. σ. καὶ ἐὰν εἰς τ. κ. εἰσέλθ. μηδενὶ εἴπῃς μηδὲ ἐν τ. κώμῃ 13. al. It.[1] et omissis μηδὲ ἐν τ. κώμ. Vg. It.[7] al. aliter. .. Rc. Kn. Sz. Ln. Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

αὐτοῦ λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; 28 οἱ δὲ εἶπαν 28
αὐτῷ λέγοντες· Ἰωάννην τὸν βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι
δὲ ὡς ἕνα τῶν προφητῶν. 29 καὶ αὐτὸς ἐπηρώτα αὐτούς· Ὑμεῖς 29
δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ ὁ Πέτρος λέγει αὐτῷ·
Σὺ εἶ ὁ Χριστός. 30 καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσιν 30
περὶ αὐτοῦ. 31 καὶ ἤρξατο διδάσκειν αὐτούς, ὅτι δεῖ τὸν υἱὸν τοῦ 31
ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ὑπὸ τῶν πρεσβυ-
τέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ ἀποκτανθῆναι
καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι, 32 καὶ παῤῥησίᾳ τὸν λόγον 32
ἐλάλει. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ.
33 ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ ἐπετίμησεν τῷ 33
Πέτρῳ καὶ λέγει αὐτῷ· Ὕπαγε ὀπίσω μου, σατανᾶ, ὅτι οὐ φρονεῖς
τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. 34 καὶ προσκαλεσάμενος 34
τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς· Εἴ τις θέλει
ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν
(Mt. 10, 39. Lc. 17, 33.) αὐτοῦ, καὶ ἀκολουθείτω μοι. 35 ὃς γὰρ ἐὰν θέλῃ τὴν ψυχὴν 35
αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν
ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, σώσει αὐτήν. 36 τί γὰρ ὠφελήσει 36
τὸν ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον καὶ ζημιωθῇ τὴν
ψυχὴν αὐτοῦ; 37 ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς 37
(Mt. 10, 33. Lc. 12, 9.) αὐτοῦ; 38 ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν 38

---

27. Rc. Kn. Sz. Ln. λέγων αὐτοῖς, qd om. c. DLΔ al. m. It. (exc. 3.) Ct. al.

28. εἶπαν c. BC*LΔ Cpt. Syr... Rc. Kn. Sz. Ln. ἀπεκρίθησαν atque Rc. Kn. Sz. om. αὐτ. λέγοντες. — ὡς ἕνα c. D Ct. Vg. It. (quasi unum).. Rc. Kn. Sz. om. ὡς... Ln. ὅτι εἷς.

29. Rc. Kn. Sz. κ. αὐτ. λέγει αὐτοῖς. — Ln. καὶ ἀποκριθ.

31. Rc. Kn. Sz. ἀπό pro ὑπό. — Rc. om. τῶν et ante ἀρχιερ. et ante γραμμ.

33. Ln. om. τῷ ante Πέτρῳ. — καὶ λέγ. αὐτῷ cum BCLΔ It.1. .. Rc. Kn. Sz. Ln. λέγων.

34. Rc. Kn. Sz. ὅστις pro εἴ τις. — Kn. Sz. ἀκολουθεῖν pro ἐλθεῖν.

35. Rc. Ln. pro ἑαυτοῦ ψυχ. h. ψυχ. αὐτοῦ. — Om. ἐμοῦ καί D Ct. It.3. al. Or. — Rc. οὗτος σώσει et Kn. (οὗτ.) σώσ.

36. Hab. ὠφελεῖ BL Verc. — Rc. Kn. Sz. om. τόν [qd h. ACD al. m. Or.] ante ἄνθρωπον. .. h. ἄνθρωπος EFGHLMXΔ al. m. — Hab. κερδῆσαι B. atque ζημιωθῆναι BL.

37. Hab. τί γάρ BLΔ al. Or... ἢ τί γάρ D*. — δοῖ B.

τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀν-
θρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ
1 πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. (IX.) 1 καὶ ἔλεγεν
αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσίν τινες τῶν ὧδε ἑστηκότων, οἵτι-
νες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ
θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

## IX.

2 2 Καὶ μετὰ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον Mt. 17, 1-8. Lc. 9, 28-36.
καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος
ὑψηλὸν κατ' ἰδίαν μόνους, καὶ μετεμορφώθη ἔμπροσθεν αὐ-
3 τῶν· 3 καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένοντο στίλβοντα λευκὰ λίαν,
4 οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτως λευκᾶναι. 4 καὶ
ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωϋσῇ, καὶ ἦσαν συλλαλοῦντες τῷ
5 Ἰησοῦ. καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· 5 Ῥαββί, καλόν
ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν τρεῖς σκηνάς, σοὶ μίαν
6 καὶ Μωϋσῇ μίαν καὶ Ἠλίᾳ μίαν. 6 οὐ γὰρ ᾔδει τί ἀποκριθῇ·
7 ἔκφοβοι γὰρ ἐγένοντο. 7 καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, 2 Pet. 1, 17.
καὶ ἦλθεν φωνὴ ἐκ τῆς νεφέλης· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγα-
8 πητός, αὐτοῦ ἀκούετε. 8 καὶ ἐξάπινα περιβλεψάμενοι οὐκέτι οὐ-
9 δένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν. 9 Καὶ καταβαι- Mt. 17, 9-12.
νόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ ἃ

---

Cap. IX. 2. Kn. Sz. Ln. om. *τόν* ante *Ἰωάννην*. .. om. *τόν* ante *Ἰάκωβον* XΔ al. m. — Om. *κατ' ἰδίαν* 255. Syr. al... pro eo *λίαν* 52. al. — om. *μόνους* 44. al. Syr. al. .. h. solus Ct. It.[6]

3. Rc. Kn. Sz. Ln. *λευκὰ λ. ὡς χιών*, qd om. c. BCLΔ al. Ct. al... h. *ὡς τὸ φῶς* Ev. 13. al. Or. — *οὕτως* cum BCLΔ al. m. Copt. It.[1] al. Or. .. om. Rc. Kn. Sz. Ln... Om. *οἷα* usque *λευκᾶν*. X Verc... h. *ὡς οὐ δύναταί τις λευκ. ἐπὶ τῆς γῆς* D Ct. Syr. Vind.

4. et 5. *Μωϋσῇ* c. B*CD al. m... Kn. Ln. *Μωϋσεῖ*. Rc. Sz. *Μωσεῖ*.

5. Om. *καί* ante *ποιήσ*. X Sah... h. *θέλεις* s. *εἰ θέλεις* D al. Ct. It. ac *ποιήσω* D Ct. It.[2]

6. *ἀποκριθῇ* c. BC*LΔ al. Copt. Or. (2.)... Rc. Sz. Ln. *λαλήσῃ*. .. Kn. *λαλήσει*. — Rc. Kn. Sz. *ἦσαν γὰρ ἔκφοβοι*.

7. Hab. *κ. ἐγένετο φωνή* BCLΔ Copt. al. — Rc. Ln. post *νεφέλης* h. *λέγουσα*. — Ln. *ἀκούετε αὐτοῦ*.

8. Ln. pro *ἀλλά* h. *εἰ μή*. — Om. *μεθ' ἑαυτῶν* 59. al. Syr. al.. pon. post *εἶδον* B 33. It.[1]

9. Rc. Kn. Sz. *Καταβαιν. δέ*. — Ln. *ἐκ τ. ὄρους*.

εἶδον διηγήσωνται, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν
ἀναστῇ. [10] καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες 10
τί ἐστιν· ὅταν ἐκ νεκρῶν ἀναστῇ. [11] καὶ ἐπηρώτων αὐτὸν λέ- 11
• Mal. 4, 5. γοντες· ὅτι λέγουσιν οἱ γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;
[12] ὁ δὲ ἔφη αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστάνει 12
πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ
πάθῃ καὶ ἐξουδενηθῇ; [13] ἀλλὰ λέγω ὑμῖν, ὅτι καὶ Ἠλίας ἐλήλυ- 13
θεν, καὶ ἐποίησαν αὐτῷ ὅσα ἤθελον, καθὼς γέγραπται ἐπ'
αὐτόν.

Mt. 17, 14-21. Lc. 9, 37-42. Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς εἶδεν ὄχλον πολὺν περὶ αὐ- 14
τοὺς καὶ γραμματεῖς συζητοῦντας πρὸς αὐτούς. [15] καὶ εὐθὺς πᾶς 15
ὁ ὄχλος ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν. καὶ προστρέχοντες ἠσπά-
ζοντο αὐτόν. [16] καὶ ἐπηρώτησεν αὐτούς· Τί συζητεῖτε πρὸς αὐ- 16
τούς; [17] καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ ὄχλου· Διδάσκαλε, ἤνεγκα τὸν 17
υἱόν μου πρὸς σέ, ἔχοντα πνεῦμα ἄλαλον· [18] καὶ ὅπου ἐὰν αὐτὸν 18
καταλάβῃ, ῥήσσει αὐτόν, καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας καὶ
ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου, ἵνα αὐτὸ ἐκβάλωσιν,

---

10. *τί ἐστ. ὅταν* etc. c. D 1. 13. al. Syr. Vg. It. Prss. Hier. .. Rc. Kn. Sz. Ln. *τί ἐστ. τὸ ἐκ νεκρῶν ἀναστῆναι.* .. h. *τὸ τί ἐστ.* M.

11. Om. *ὅτι* ante *λέγουσ.* 27. 60. Aeth. .. h. *τί οὖν* Vg. It.[5]. .. etiam *τί* et *πῶς* et *πῶς οὖν* et *τί ἐστι τοῦτο ὅ*· legitur. .. Ln. *Ὅ τι.* — Ln. (*οἱ Φαρισαῖοι καὶ*) *οἱ γραμμ.*

12. *ἔφη* c. BCLΔ Syr. al. .. Rc. Kn. Sz. Ln. *ἀποκριθεὶς εἶπεν.* .. Om. *μέν* DL al. Syr. Ct. Vg. It. al. — Rc. Kn. Sz. *ἀποκαθιστᾷ.* — Pro *καὶ πῶς* [etiam It.: et quomodo] h. *καθώς* AKMΔ al. m. Syr. p. in m. Euth. Vict... *πῶς οὖν* Arm. — Ln. *ἀνθρώπου; ἵνα* etc. — Pro *ἐξουδενηθῇ* [c. BDL] h. Rc. Kn. Sz. *ἐξουδενωθῇ.*

13. Hab. *ἐν αὐτῷ* KL al. Syr. — *ἤθελον* c. BDL. .. Rc. Kn. Sz. Ln. *ἠθέλησαν.*

14. Hab. *ἐλθόντες — εἶδον* BLΔ. — *πρὸς αὐτούς* c. BCLΔ al. conquirentes s. altercantes cum illis Vg. It. .. Rc. Kn. Sz. Ln. *αὐτοῖς.*

15. Rc. Kn. Sz. *ἰδὼν αὐτ. ἐξεθαμβήθη.*

16. Rc. Sz. *καὶ ἐπηρ. τοὺς γραμματεῖς.* — Rc. Kn. Sz. *πρὸς αὐτούς*... *πρ. ἑαυτούς* AGM al. m... *ἐν ὑμῖν* D Ct. al. inter vos Vg. It.

17. Ln. post *ἀπεκρίθη* h. *αὐτῷ* [c. BΔ 33.]... Rc. Kn. Sz. *καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε.*

18. Rc. Kn. Sz. *ὀδόντας αὐτοῦ,* qd Ln. (—). .. om. c. BCDLΔ al. m. Vg. Ct. It. (exc. 2.) al.

19 καὶ οὐκ ἴσχυσαν. 19 ὁ δὲ ἀποκριθεὶς λέγει· Ὦ γενεὰ ἄπιστος,
ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε
20 αὐτὸν πρὸς μέ. 20 καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐ-
τόν, τὸ πνεῦμα εὐθὺς συνεσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς
21 ἐκυλίετο ἀφρίζων. 21 καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ· Πόσος
χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; ὁ δὲ εἶπεν· Ἐκ παιδιόθεν·
22 22 καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλεν καὶ εἰς ὕδατα, ἵνα ἀπο-
λέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνῃ, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ'
23 ἡμᾶς. 23 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τό· Εἰ δύνῃ; πάντα δυνατὰ τῷ
24 πιστεύοντι. 24 καὶ εὐθὺς κράξας ὁ πατὴρ τοῦ παιδίου ἔλεγεν·
25 Πιστεύω· βοήθει μου τῇ ἀπιστίᾳ. 25 ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπι-
συντρέχει ὄχλος, ἐπετίμησεν τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων
αὐτῷ· Τὸ ἄλαλον καὶ κωφὸν πνεῦμα, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε
26 ἀπ' αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. 26 καὶ κρᾶξαν καὶ
πολλὰ σπαράξαν αὐτὸν ἐξῆλθεν· καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε
27 τοὺς πολλοὺς λέγειν, ὅτι ἀπέθανεν. 27 ὁ δὲ Ἰησοῦς κρατήσας τῆς
28 χειρὸς αὐτοῦ ἤγειρεν αὐτόν, καὶ ἀνέστη. 28 καὶ εἰσελθόντος αὐτοῦ

---

19. Rc. αὐτῷ λέγει. .. Kn. Sz. Ln. αὐτοῖς λέγ... om. cum C al. m.
20. Om. πρὸς αὐτόν D Vg. Ct. cdd. It. — Hab. καὶ ἰδόν SV al. m. Syr. utr. Perss. — Rc. Kn. Sz. εὐθέως τὸ πνεῦμα... om. εὐθύς D Ct. It.[4]· — συνεσπάρ. c. BCLΔ al... Rc. Kn. Sz. Ln. ἐσπάρ... ἐτάραξεν D Vg. It.
21. Pro ὡς h. ἕως B... ἐξ οὗ C*LΔ al... ἀφ' οὗ 13. al. .. ex quo Syr. utr. Vg. It. — Rc. Kn. Sz. om. ἐκ. [qd scr. c. BCGLΔ al. .. ἐκ παιδός D Chrs.]
22. Sz. τὸ πῦρ. — Rc. Kn. Sz. pro δύνῃ [c. BDLΔ al.] h. v. et v. sq. δύνασαι.
23. Rc. Kn. Sz. τὸ, εἰ δύνασαι πιστεῦσαι... Ln. Το εἰ δύνῃ πιστεῦσαι. ., om. πιστ. c. BC*LΔ al. Copt. al. — Antea om. τό DKM al. m. Syr. utr. al.
24. Ln. (καὶ) εὐθέως. — Rc. Kn. Sz. μετὰ δακρύων ἔλεγε [qd om. c. A*BLΔ al. Copt. al. .. ante ὁ πατήρ h. 124.]. — Rc. πιστεύω, κύριε, qd Kn. (—)
25. Hab. ὁ ὄχλος ALMXΔ al. pm. — Rc. Kn. Sz. τὸ πνεῦμα τὸ ἄλαλ. κ. κωφ.
26. Ln. κ. κράξας κ. π. σπαράξας (αὐτόν) [c. BCDL al... iid. et Ct. It.[3]· om. αὐτόν.] .. h. κράξας et σπαράξαν Δ. — Hab. ἐξῆλθ. ἀπ' αὐτοῦ D Ct. It.[6]· Vg. — Rc. Kn. Sz. ante πολλούς om. τούς.
27. Rc. Kn. Sz. αὐτὸν τῆς χειρός... h. αὐτὸν τ. χειρὸς αὐτοῦ C.
28. Rc. Kn. Sz. καὶ εἰσελθόντα αὐτόν.

εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ κατʼ ἰδίαν ἐπηρώτων αὐτόν· Διὰ
τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; 29 καὶ εἶπεν αὐτοῖς· 29
Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ
νηστείᾳ.
Mt. 17, Κἀκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ 30
22. 23. Lc. 9, οὐκ ἤθελεν, ἵνα τις γνοῖ· 31 ἐδίδασκεν γὰρ τοὺς μαθητὰς αὐτοῦ 31
43-45. καὶ ἔλεγεν αὐτοῖς· ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖ-
ρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς μετὰ
τρεῖς ἡμέρας ἀναστήσεται. 32 οἱ δὲ ἠγνόουν τὸ ῥῆμα καὶ ἐφοβοῦντο 32
αὐτὸν ἐπερωτῆσαι.
Mt. 18, Καὶ ἦλθον εἰς Καφαρναούμ. καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπη- 33
1-9. Lc. 9, ρώτα αὐτούς· Τί ἐν τῇ ὁδῷ διελογίζεσθε; 34 οἱ δὲ ἐσιώπων· 34
46-50. πρὸς ἀλλήλους γὰρ διελέχθησαν, τίς μείζων. 35 καὶ καθίσας ἐφώ- 35
νησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς· Εἴ τις θέλει πρῶτος εἶναι,
ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος. 36 καὶ λαβὼν παιδίον 36
ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν
αὐτοῖς· 37 Ὃς ἂν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνό- 37
ματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἂν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται,
ἀλλὰ τὸν ἀποστείλαντά με. 38 Ἔφη αὐτῷ ὁ Ἰωάννης· Διδάσκαλε, 38
εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ
ἀκολουθεῖ ἡμῖν, καὶ ἐκωλύομεν αὐτόν. 39 ὁ δὲ Ἰησοῦς εἶπεν· Μὴ 39

---

28. Rc. Kn. Sz. pro *διὰ τί* [c. ACDK al. m. Syr. al. quare s. cur Ct. Vg. It.] h. *ὅτι*.. h. *ὅτι διὰ τί* 131. (sec. XI.) 238. (sec. XI.) Ev. 49. (sec. X.) al... *τί ὅτι* 38. al. Thphyl.

29. Om. *καὶ νηστείᾳ* B... ante *προσευχ.* pon. Syr. al.

30. Ln. *ἐπορεύοντο*. — Rc. Kn. Sz. pro *γνοῖ* [c. BDL] h. *γνῷ*.

31. Om. *ἀποκτανθείς* D Ct. It.³ al. — Rc. Kn. Sz. *τῇ τρίτῃ ἡμέρᾳ*.

33. Pro *ἦλθον* [s. *ἦλθοσαν* c. BD al. Ct. Vg. It. (exc. 1.) al.] Rc. Kn. Sz. *ἦλθεν*. — Rc. Kn. Sz. *πρὸς ἑαυτοὺς διελογ.*

34. Rc. Kn. Sz. *διελέχθ. ἐν τῇ ὁδῷ* qu. Ln. (—)... om. cum ADΔ Ct. It.⁴ Goth.

35. Pro *διάκονος* h. *δοῦλος* M al. Chrs.

36. Om. *αὐτό* post *ἔστησ.* 1. al. Or. Arm.

38. *ἔφη αὐτῷ ὁ Ἰωάνν.* c. BLΔ Syr. Copt... al. aliter... Rc. Kn. Sz. *ἀπεκρίθη δὲ αὐτῷ Ἰωάνν.* (Rc. *ὁ Ἰ.*) *λέγων*... Ln. *ἀπεκρ.* (*δὲ*) *αὐτῷ Ἰωάνν. λέγ.* — Sz. Kn. om. *ἐν* ante *τῷ ὀνόμ.* — Om. *ὃς οὐκ ἀκολουθ. ἡμῖν* BCLΔ al. Syr. It.¹ al. eaque Kn. (—)... *ἐκωλύομεν* c. BDLΔ al... Rc. Kn. Sz. Ln. *ἐκωλύσαμεν αὐτόν* et add. *ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν*, qu. om. c. DX al. m. Vg. Ct. It. (exc. 1.) Arm.

κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνό-
40 ματί μου καὶ δυνήσεται ταχὺ κακολογῆσαί με· [40] ὃς γὰρ οὐκ
41 ἔστιν καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστίν. [41] ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς Mt. 10. 42.
ποτήριον ὕδατος ἐν ὀνόματι ὅτι Χριστοῦ ἐστέ, ἀμὴν λέγω ὑμῖν,
42 ὅτι οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ. [42] Καὶ ὃς ἐὰν σκανδαλίσῃ Lc. 17. 2.
ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, καλόν ἐστιν
αὐτῷ μᾶλλον, εἰ περίκειται μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ
43 καὶ βέβληται εἰς τὴν θάλασσαν. [43] καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ Mt. 5. 30.
σου, ἀπόκοψον αὐτήν· καλόν ἐστίν σε κυλλὸν εἰσελθεῖν εἰς τὴν
ζωήν, ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ
45 πῦρ τὸ ἄσβεστον. [45] καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκο-
ψον αὐτόν· καλόν ἐστίν σε εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ τοὺς
47 δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν. [47] καὶ ἐὰν ὁ ὀφθαλ-
μός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν ἐστίν σε μονόφθαλ-
μον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα

---

39. Om. *αὐτόν* D al. Ct. It. (exc. 2.) eos It.[1.] — Hab. *ποιεῖ* Δ. — Om. *ταχύ* 1. al. It. (exc. 1.) Ct. Arm.

40. Kn. Sz. Ln. (c. ADKSV al. pm. Vg. It. Syr. utr. al.) h. *ὑμῶν, ὑπὲρ ὑμῶν ἐστίν.*

41. Rc. *ἐν τῷ ὀνόματί μου, ὅτι* etc. — Rc. Kn. Sz. *οὐ μὴ ἀπολέσῃ*.. Ln. (*ὅτι*).

42. Rc. Kn. Sz. om. *τούτων*... om. *εἰς ἐμέ* D Ct. It.[4.] — Pro *μύλος ὀνικός* [c. BCDLΔ al. Syr. Vg. It. al.] Rc. Kn. Sz. h. *λίθος μυλικός*.

43. Hab. *σκανδαλίσῃ* BLΔ al. — Rc. Kn. Sz. *καλόν σοί ἐστι κυλλὸν* etc. — Om. *εἰς τ. γέενναν* 1. al. .. pro *ἀπελθ.* h. *βληθῆναι* D al. Ct. It.[3.] — Om. *εἰς τ. πῦρ τ. ἀ.* LΔ al. Syr. Prs. p... h. *ὅπου ἐστὶν τ. π. τ. ἀ.* D Ct. It.[4.] .. *τοῦ πυρὸς* F.

44. Rc. Kn. Sz. Ln. *Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.* .. Om. cum BCLΔ 1. 28. 118. 251. Copt. Arm. *Es. 66. 24.

45. Ln. *καλὸν (γάρ) ἐστ.* — Rc. Kn. *ἐστί σοι.* — Rc. Kn. Sz. in fine add. *εἰς τὸ πῦρ τὸ ἄσβεστον*, qu. Ln. (—)... Om. cum BCLΔ 1. 28. 118. 251. al. Syr. Copt. Arm. It.[1.] Prs. p. .. h. *τοῦ πυρός* F Aeth. .. *τοῦ π. τοῦ ἀσβέστ.* Vg. It.[3.] al.

46. Rc. Kn. Sz. Ln. *Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.* .. Om. cum BCLΔ 1. 28. 118. 251. al. Copt. Arm.

47. *καλόν ἐστίν σε* cum BLΔ... Rc. Kn. Sz. Ln. *καλόν σοί ἐστιν.*

βληθῆναι εἰς τὴν γέενναν, ⁴⁸ ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ 48
*Lv. 2, 13. Mt. 5, 13. Lc. 14, 34.* καὶ τὸ πῦρ οὐ σβέννυται. ⁴⁹ πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα 49
θυσία ἁλὶ ἁλισθήσεται. ⁵⁰ καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄνα- 50
λον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλα, καὶ
εἰρηνεύετε ἐν ἀλλήλοις.

## X.

*Mt. 19, 1-9.* Καὶ ἐκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν 1
τοῦ Ἰορδάνου, καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ
ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς. ² καὶ προσελθόντες Φαρισαῖοι 2
ἐπηρώτων αὐτόν, εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες
αὐτόν. ³ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Τί ὑμῖν ἐνετείλατο Μωϋ- 3
*Dt. 24, 1. Mt. 5, 31.* σῆς; ⁴ οἱ δὲ εἶπαν· Ἐπέτρεψεν Μωϋσῆς βιβλίον ἀποστασίου γρά- 4
ψαι καὶ ἀπολῦσαι. ⁵ ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Πρὸς τὴν σκλη- 5
*Gn. 1, 27. et 2, 24.* ροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην· ⁶ ἀπὸ δὲ 6
ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ⁷ ἕνεκεν τούτου 7
καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ
προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· ⁸ καὶ ἔσονται οἱ δύο εἰς 8

---

47. Pro *βληθῆναι* h. *ἀπελθεῖν* D al. Ct. It.[2] — Rc. Kn. Sz. in fine add. *τοῦ πυρός* [om. c. BDLΔ 1. 28. 118. al. Copt. Arm. Ct. It.[4] al.] .. h. pro *τὴν γέενν.* etc. *τὸ πῦρ τὸ ἄσβεστον* F.
48. Hic v. nusquam om. — Om. *αὐτῶν* GSVX al.
49. Om. *πᾶς γὰρ π. ἁλισθήσ.* D al. Ct. It.[6] al. .. pro *πᾶς* h. *πᾶν* Arr. .. h. *γὰρ ἄρτος* 11. al. .. pro *ἁλισθ.* h. *δοκιμασθήσ.* 46. 52. It.[1] — Om. *καὶ πᾶσα θ. ἁ. ἁλισθ.* BLΔ al. m Copt. Arm. .. om. *ἁλὶ* 47. al. m. Vg. ms. It.[8]
50. Hab. *ἀρτύσεται* ADLΔ (*Δ -σηται*) al. .. al. aliter. — Pro *ἅλα* [c. A*BDLΔ al.] h. Rc. Kn. Sz. *ἅλας*.

Cap. X. 1. Rc. Kn. Sz. ante *πέραν* h. *διὰ τοῦ* et Ln. (c. B ap. Btlj. I.) *καί* . . . om. c. BC**DΔ al. pm. Syr. Vg. It. al.
2. Rc. *οἱ Φαρ.* — Rc. Kn. Sz. *ἐπηρώτησαν.* .. Om. *προσελθ. Φαρ.* D Ct. It.[2]
5. *ὁ δέ* c. BCLΔ Cpt. It.[1] .. Rc. Kn. Sz. Ln. *καὶ ἀποκριθεὶς ὁ Ἰ.* — Om. *ὑμῖν* D al. Ct. It.[3] al.
6. Om. *κτίσεως* D al. Syr. Ct. It.[2] al. — om. *αὐτούς* D al. Ct. It.[3] al. — Rc. Kn. Sz. post *αὐτούς* h. *ὁ θεός*, qd Ln. (—) .. om. c. BCLΔ It.[2] al.
7. H. *καὶ εἶπεν· ἕνεκεν* D al. m. Ct. It.[7] al. — Om. *καὶ προσκ.* usque *αὐτοῦ* B Ev. 48. Goth. .. Rc. Kn. Sz. *πρὸς τὴν γυναῖκα.*

9 σάρκα μίαν. ὥστε οὐκέτι εἰσὶν δύο, ἀλλὰ μία σάρξ. [9] ὃ οὖν ὁ
10 θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. [10] καὶ εἰς τὴν οἰκίαν
11 πάλιν οἱ μαθηταὶ περὶ τούτου ἐπηρώτων αὐτόν. [11] καὶ λέγει Mt. 5, 32.
αὐτοῖς· Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, Lc. 16,
12 μοιχᾶται ἐπ' αὐτήν· [12] καὶ γυνὴ ἐὰν ἐξέλθῃ ἀπὸ τοῦ ἀνδρὸς καὶ 18.
γαμήσῃ ἄλλον, μοιχᾶται.

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα αὐτῶν ἅψηται· οἱ δὲ Mt. 19,
14 μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν. [14] ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγα- 13-15. Lc. 18,
νάκτησεν καὶ εἶπεν αὐτοῖς· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με 15-17.
καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ
15 θεοῦ. [15] ἀμὴν λέγω ὑμῖν, ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ
16 θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. [16] καὶ ἐναγκαλισάμε-
νος αὐτὰ κατηυλόγει, τιθεὶς τὰς χεῖρας ἐπ' αὐτά.

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν, προσδραμὼν εἷς καὶ γο- Mt. 19,
νυπετήσας αὐτὸν ἐπηρώτα αὐτόν· Διδάσκαλε ἀγαθέ, τί ποιήσω, 16-26. Lc. 18,
18 ἵνα ζωὴν αἰώνιον κληρονομήσω; [18] ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Τί 18-27.
19 με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. [19] τὰς ἐν-

---

8. Hab. σὰρξ μία ACFK al. m.

10. Rc. Sz. ἐν τῇ οἰκίᾳ. — Pro περὶ τούτου [c. ABCLXΔ al. m. Verc. al.] Rc. Kn. Sz. περὶ τοῦ αὐτοῦ... h. περὶ αὐτοῦ 77. al... π. τοῦ αὐτοῦ λόγου D Ct. It.[4]... om. K al. It.[1] — ἐπηρώτων c. BC (C ἐπηρώτουν) LΔ al... Rc. Kn. Sz. Ln. ἐπηρώτησαν.

11. Pro ὃς ἂν h. ἐὰν ἀνὴρ 1. al. Arm. Verc. — om. ἐπ' αὐτήν 1. al. Syr. al.

12. κ. γυνὴ ἐάν usque ἀνδρός c. D al. Arm. It. (exc. 2.).. Rc. Kn. Sz. Ln. κ. ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς... h. κ. ἐὰν αὕτη (s. γυνή) ἀπολύσασα τὸν ἄνδρα αὐτῆς BCLΔ (Δ αὐτῆς καί). — Pro γαμήσῃ ἄλλ. [c. BCDLΔ al.] Rc. Kn. Sz. γαμηθῇ ἄλλῳ. — In fine add. super illum It[6].

13. Hab. ἐπετίμησαν αὐτοῖς BCLΔ.

14. Sz. Kn. post πρός μέ om. καί.

16. Hab. προσκαλεσάμενος D Ct. It.[4] — κατηυλόγει c. BLΔ (κατευλ.) al... Rc. Kn. Sz. Ln. post ἐπ' αὐτά h. ηὐλόγει (Sz. Ln. εὐλ.) αὐτά... hoc αὐτά om. c. BCLΔ al. m. Copt.

17. Hab. ἰδού τις πλούσιος προσδραμ. AK al. m... προδραμ. εἷς 142. al. procurrens s. praec. Vg. It. (exc. 1.).. al. aliter. — om. αὐτόν prius Syr. Ct. It.[3] al... h. αὐτῷ 40. al... ἔμπροσθεν αὐτοῦ 7. Vg. It.[2]

*Ex. 20, 12-16. τολὰς οἶδας· Μὴ φονεύσῃς, μὴ μοιχεύσῃς, μὴ κλέψῃς, μὴ ψευ-
δομαρτυρήσῃς, μὴ ἀποστερήσῃς, τίμα τὸν πατέρα σου καὶ τὴν
μητέρα. 20 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Διδάσκαλε, πάντα 20
ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου. 21 ὁ δὲ Ἰησοῦς ἐμβλέψας 21
αὐτῷ ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· Ἕν σε ὑστερεῖ· ὕπαγε,
ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐ-
ρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι. 22 ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ 22
ἀπῆλθεν λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. 23 καὶ περι- 23
βλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ· Πῶς δυσκόλως
οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται.
24 οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς 24
πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς· Τέκνα, πῶς δύσκολόν ἐστιν, εἰς
τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. 25 εὐκοπώτερόν ἐστιν, κάμη- 25
λον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν
βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. 26 οἱ δὲ περισσῶς ἐξεπλήσσοντο 26
λέγοντες πρὸς ἑαυτούς· Καὶ τίς δύναται σωθῆναι; 27 ἐμβλέ- 27
ψας δὲ αὐτοῖς ὁ Ἰησοῦς λέγει· Παρὰ ἀνθρώποις ἀδύνατον,

---

19. Rc. Kn. Sz. *μὴ φονεύσῃς* post *μὴ μοιχ.* pon. .. om. 1. al. It.[1.] .. post *κλέψ.* pon. Syr. Pers. .. h. *μὴ πορνεύσῃς* D. — Om. *μὴ ἀποστερ.* B* (h. in m.) KΔ al. m. — Ln. *μητέρα σου.*

20. Ln. *ἐφύλαξα.* — In fine add. *τί ἔτι ὑστερῶ;* KM al. m. It.[2.] al.

21. Ante *ἕν* h. *εἰ θέλεις τέλειος εἶναι* KM al. m. Copt. al. .. ead. post *ὑστερ.* h. 4. al. Arm. Clem. — *σέ* c. BLMΔ al. .. Rc. Kn. Sz. Ln. *σοί.* — Rc. Kn. Sz. *τοῖς πτωχ.* et in fine h. *ἄρας τὸν σταυρόν,* qu. Ln. (—) .. om. c. BCDΔ al. Vg. It. (exc. Verc.) al. Clem. al. .. post *οὐραν.* p. G al. Syr. Verc. al. .. h. *σταυρόν σου* 7. al. m. Syr. Pers.

23. Add. in fine *Τάχιον κάμηλος διὰ τρυμαλ ῥαφίδος διελεύσεται ἢ πλ. εἰς τ. βασ. τ. θ.* et om. v. 25. D (sic plane) Ct. It.[3.]

24. Om. *πάλιν* A al. It.[1.] — om. *τέκνα* EGK al. m. .. h. *τεκνία* A al. Clem. — Rc. Kn. Sz. Ln. post *ἐστίν* h. *τοὺς πεποιθότας ἐπὶ τοῖς* (Ln. om. *τοῖς*) *χρήμασιν.* .. om. c. BΔ Copt. ms. .. qui pecunias habent vel confidentes in eis Verc.

25. Ln. *τῆς* bis om. — Hab. *ῥαφίδ. εἰσελθεῖν* AEFMSVXΔ al. pl. Syr. Verc. al. Clem.

26. Hab. *πρὸς αὐτόν* BCΔ Copt. al. .. *πρ. ἀλλήλους* M* .. *ἐν ἑαυτοῖς* 68. .: om. Ar. Clem.

27. Ln. (*τοῦτο*) *ἀδύνατον.*

*ἀλλ' οὐ παρὰ τῷ θεῷ· πάντα γὰρ δυνατά ἐστιν παρὰ τῷ θεῷ.*
28 [28] *Ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα* Mt.19,
29 *καὶ ἠκολουθήκαμέν σοι.* [29] *ἔφη ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, οὐ-* 27-30. Lc.18,
*δείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ μητέρα ἢ* 28-30.
*πατέρα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου,*
30 [30] *ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα, νῦν ἐν τῷ καιρῷ τούτῳ οἰκίας*
*καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς μετὰ*
31 *διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.* [31] *πολλοὶ*
*δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.*
32 *Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα, καὶ ἦν* Mt.20,
*προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο. καὶ παραλαβὼν πάλιν* 17-19. Lc.18,
*τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν·* 31-33.
33 [33] *ὅτι ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου*
*παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ τοῖς γραμματεῦσιν, καὶ κατα-*
*κρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν,*
34 [34] *καὶ ἐμπαίξουσιν αὐτῷ καὶ ἐμπτύσουσιν αὐτῷ καὶ μαστιγώσουσιν*
*αὐτὸν καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστήσεται.*

---

27. Om. *τῷ* ante *θεῷ* prius CFMVXΔ al. pm. Clem.; et om. ante *θεῷ* poster. B. — Om. *πάντα* usque *θεῷ* DΔ al. m. Ct. It.[4] Arm.

28. Rc. *Καὶ ἤρξατο*. .. et *ἤρξ. δέ* K al. m. It.[1] al. et *ἤρξ. οὖν* et *τότε ἤρξ.* leg. — Rc. Kn. Sz. pro *ἠκολουθήκαμ.* [c. BD] h. *ἠκολουθήσαμεν*.

29. *ἔφη* c. BΔ... Rc. *ἀποκριθεὶς δὲ ὁ Ἰ. εἶπεν*... Sz. *καὶ ἀποκρ. ὁ Ἰ. εἶπ.* .. Kn. Ln. *ἀποκρ. ὁ Ἰ. εἶπ.* — h. *οἰκίας* M al. Syr. Copt. .. om. D Ct. It.[1] — Rc. Kn. Sz. *ἢ πατέρα ἢ μητέρα* [*ἢ μητ. ἢ πατ.* c. BΔ al. It.[2] Goth.] .. om. *ἢ πατέρ.* D Ct. It.[3] — Post *μητέρα* Rc. Kn. Sz. h. *ἢ γυναῖκα* [om. c. BDΔ al. Vg. It. (exc. 1.) al. Or. (dis.)]. — Ln. *καὶ* (*ἕνεκεν*) qd Rc. om.

30. Hab. *ὃς ἂν μή* D. .. *ὃς μή* Vg. It. al. — om. *νῦν* D gr. al. Verc. .. post *λάβῃ* p. 28. — Post *ἀδελφάς* h. *καὶ πατέρα* KMX al. pm. Goth. al. .. *καὶ πατέρας* 51. al. Arr. .. etiam post *μητ.* pon. — Ln. *κ. μητέρα* .. add. *κ. γυναῖκα* 218. 220.

31. Rc. Sz. *καὶ οἱ ἔσχατοι*.

32. Rc. Kn. Sz. Ln. post *ἐθαμβ.* h. *καὶ ἀκολουθοῦντες ἐφοβοῦντο*, qu. om. c. DK al. Ct. Verc. Ver. Chrs. .. h. *ἐθαμβ. οἱ ἀκολουθοῦντες* It.[2] .. *καὶ οἱ ἀκολ. ἐφ.* C. .. *οἱ δὲ ἀκ. ἐφ.* BLΔ.

33. Ln. om. *τοῖς* ante *γραμμ.*

34. Rc. Kn. Sz. *κ. ἐμπτύσ. α.* post *κ. μαστιγ. α.* pon. .. om. *κ. μαστιγ. α.* D al. Ct. It.[2] — om. *καὶ ἀποκτ. α.* A**D al. Ct. It.[1] .. om. *αὐτόν* BLΔ al. It.[3] Cpt. — Rc. Kn. Sz. *καὶ τῇ τρίτῃ ἡμέρᾳ*.

Mt. 20, 20-28. Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, οἱ υἱοὶ 35
Ζεβεδαίου, λέγοντες αὐτῷ· Διδάσκαλε, θέλομεν, ἵνα ὃ ἐὰν αἰτή-
σωμέν σε ποιήσῃς ἡμῖν. [36] ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε ποιήσω 36
ὑμῖν; [37] οἱ δὲ εἶπαν αὐτῷ· Δὸς ἡμῖν, ἵνα εἷς σου ἐκ δεξιῶν καὶ 37
εἷς ἐξ εὐωνύμων καθίσωμεν ἐν τῇ δόξῃ σου. [38] ὁ δὲ Ἰησοῦς εἶπεν 38
αὐτοῖς· Οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ
πίνω, ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; [39] οἱ δὲ 39
εἶπαν αὐτῷ· Δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Τὸ ποτήριον
ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτι-
σθήσεσθε· [40] τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων οὐκ 40
ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. [41] καὶ ἀκούσαντες οἱ 41
Lc. 22, 25-27. δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. [42] καὶ προσ- 42
καλεσάμενος αὐτοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς· Οἴδατε, ὅτι οἱ δο-
κοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι
αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. [43] οὐχ οὕτως δέ ἐστιν ἐν ὑμῖν· 43
ἀλλ' ὃς ἂν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος,
[44] καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος. 44
[45] καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ 45
διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.
Mt. 20, 29-34. Lc. 18, 35-43. Καὶ ἔρχεται εἰς Ἱεριχώ. καὶ ἐκπορευομένου αὐτοῦ ἐκεῖθεν 46
καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ, ὁ υἱὸς Τιμαίου Βαρ-

---

35. Om. οἱ AMX al. m... h. οἱ δύο BC Cpt. — Rc. Kn. Sz. post λέγ. om. αὐτῷ, Ln. (αὐτ.) .. scr. c. BCDLΔ Syr. Ct. Vrc. al. Or. — Rc. Kn. Sz. om. σέ.
36. Rc. Kn. Sz. ποιῆσαί με ὑμῖν.
37. Rc. Kn. Sz. Ln. ἐκ δεξ. σου κ. ε. ἐ. εὐ. σου [Ln. (σου)]... σοῦ ἐκ δεξ. c. BC*LΔ et om. σοῦ alterum c. BDΔ. — h. ἀριστερῶν BLΔ.
38. Rc. Kn. Sz. καὶ τὸ βάπτ.
39. Rc. Kn. Sz. Ln. τὸ μὲν ποτ... om. c. BC*LΔ.
40. Rc. Kn. Sz. καὶ ἐξ εὐων. et Rc. add. μοῦ. [ἢ c. BDLΔ al. Vg. It. al.]
42. Rc. Kn. Sz. ὁ δὲ Ἰησ. προσκ. αὐτ.
43. Pro ἐστίν [c. BC*DLΔ Vg. It.] Rc. Kn. Sz. ἔσται. — h. μέγας γενέσθ. ABLΔ al. — h. ἔστω CXΔ al. — Rc. διάκ. ὑμῶν.
44. Ln. ἐν ὑμῖν εἶναι πρ. [c. BCLΔ (πρ. εἶναι) al. Vg. It.].
46. Rc. Kn. Sz. pro ἔρχεται [c. D al. Ct. It.$^{5}$· Or.] h. ἔρχονται. — ἐκεῖθεν c. D It. (exc. 2.) Goth. Or. (2.) .. Rc. Kn. Sz. Ln. ἀπὸ Ἱεριχώ. — h. μετά pro καί τῶν μαθ. D Ct. It.$^{6}$· [καί etiam Or.] — h. ἰδού, ὁ υἱός 13. al. It.$^{3}$· Or. — Rc. Sz. om. ὁ ante υἱός.

47 τίμαιος, τυφλὸς προσαίτης, ἐκάθητο παρὰ τὴν ὁδόν. 47 καὶ ἀκού-
σας, ὅτι Ἰησοῦς ὁ Ναζαρηνός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν·
48 Υἱὲ Δαυΐδ, ἐλέησόν με. 48 καὶ ἐπετίμων αὐτῷ πολλοί, ἵνα σιω-
πήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαυΐδ, ἐλέησόν με.
49 49 καὶ στὰς ὁ Ἰησοῦς εἶπεν· Φωνήσατε αὐτόν. καὶ φωνοῦσιν τὸν
50 τυφλὸν λέγοντες αὐτῷ· Θάρσει, ἔγειρε, φωνεῖ σε· 50 ὁ δὲ ἀπο-
βαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναπηδήσας ἦλθεν πρὸς τὸν Ἰησοῦν.
51 51 καὶ ἀποκριθεὶς αὐτῷ ὁ Ἰησοῦς εἶπεν· Τί σοι θέλεις ποιήσω;
52 ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· Ῥαββουνί, ἵνα ἀναβλέψω. 52 ὁ δὲ Ἰη-
σοῦς εἶπεν αὐτῷ· Ὕπαγε, ἡ πίστις σου σέσωκέν σε. καὶ εὐθὺς
ἀνέβλεψεν καὶ ἠκολούθει αὐτῷ ἐν τῇ ὁδῷ.

## XI.

1 Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱεροσόλυμα καὶ εἰς Βηθανίαν πρὸς τὸ Mt. 21, 1-11.
2 ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ 2 καὶ λέγει Lc. 19, 29-38.
αὐτοῖς· Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐ- Jo. 12,
θὺς εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν 12-15.

---

46. Rc. Kn. Sz. ante τυφλ. h. ὁ [om. c. BDLΔ al. Or.]. — προσαίτης c. BLΔ Copt. .. Rc. Kn. Sz. Ln. om. et in fine v. h. προσαιτῶν. .. pro eo h. ἐπαιτῶν D Or.

47. Rc. Kn. Sz. Ναζωραῖος. [Ναζαρην. c. BLΔ al. Vg. It. (exc. 2.) Or. .. h. Ναζορηνός D Ct. It.[1.]] .. h. Ναζαραῖος 4. al. It.[1.] — Rc. Kn. Sz. ὁ υἱὸς Δ. Ἰησοῦ .. etiam Ln. h. Ἰησοῦ, qd om. c. L al. Syr. It.[2.] Prs. Or. .. pon. etiam ante ὁ υἱός.

49. εἶπεν· Φων. α. c. BCLΔ al. m. Cpt. .. Rc. Kn. Sz. Ln. εἶπ. αὐτὸν φωνηθῆναι. .. leg. etiam εἶπ. α. φωνῆσαι et ἐκέλευσεν φωνηθῆναι (It. Vg.). — h. οἱ δὲ λέγουσιν τῷ τυφλῷ D Ct. It.[4.] Sax. — Rc. Sz. Ln. ἔγειραι.

50. Rc. Kn. Sz. pro ἀναπηδ. [c. BDLΔ al. Vg. It. al. Or. (h. etiam ἀνεπήδησεν κ. ἀνέστη)] h. ἀναστάς.

51. τί σοι θ. π. c. BCKLΔ al. m. Vg. It.[2.] .. Rc. Kn. Sz. Ln. τί θέλ. π. σοι. .. h. ἵνα ποιήσω 106. al. It.[3.] — Rc. ῥαββονί.

52. Rc. Sz. ἠκολουθ. τῷ Ἰησοῦ.

Cap. XI. 1. Leg. ἤγγιζεν (D), ἤγγισεν, ἤγγισαν (M). — Rc. Kn. Sz. Ἱερουσαλήμ et perg. εἰς Βηθφαγὴ [et. Βηθφαγήν, Βηθσφαγή (B**), Βηδφ. (B*), Βησθφ. cdd. h.] καὶ Βηθαν. [illa om. c. D Vg. It. (exc. 2.) Or.] .. h. καὶ ἦλθον εἰς Βηθφ. κ. Βηθ. 3. al. — Ln. ἀπέστειλεν.

οὐδεὶς ἀνθρώπων κεκάθικεν· λύσατε αὐτὸν καὶ φέρετε. [3] καὶ ἐάν 3
τις ὑμῖν εἴπῃ· Τί ποιεῖτε τοῦτο; εἴπατε· Ὁ κύριος αὐτοῦ χρείαν
ἔχει· καὶ εὐθὺς αὐτὸν ἀποστέλλει ὧδε. [4] καὶ ἀπῆλθον καὶ εὗρον 4
πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύου-
σιν αὐτόν. [5] καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· Τί 5
ποιεῖτε λύοντες τὸν πῶλον; [6] οἱ δὲ εἶπον αὐτοῖς καθὼς εἶπεν 6
ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. [7] καὶ φέρουσιν τὸν πῶλον πρὸς 7
τὸν Ἰησοῦν, καὶ ἐπιβάλλουσιν αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ
ἐκάθισεν ἐπ᾽ αὐτόν. [8] καὶ πολλοὶ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν 8
εἰς τὴν ὁδόν, ἄλλοι δὲ στιβάδας, κόψαντες ἐκ τῶν ἀγρῶν. [9] καὶ 9
οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον· Ὡσαννά, εὐλο-
γημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· [10] εὐλογημένη ἡ ἐρχο- 10
μένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαυΐδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

---

2. Ln. οὐδεὶς οὔπω .. id ante οὐδ., post οὐδ., post ἀνθρ. pon. BCKLΔ al. m. Vg. It. cdd. al. .. h. οὐδ. πώποτε A al. .. οὐδέπω οὐδ. 68. 238. — λύσ. α. κ. φέρ. c. BCLΔ Vg. It. al. Or. .. Rc. Kn. Sz. Ln. λύσαντες αὐτὸν ἀγάγετε.

3. Om. ποιεῖτε τοῦτο 91. al. .. h. ποιεῖτε; τοῦτο L al. .. ποιεῖτε; τούτῳ 1. al. .. λύετε τὸν πῶλον D al. It.[5]· al. Or. (1.) .. om. τοῦτο 245. Vg. It.[1]· — Rc. Kn. Sz. ὅτι ὁ κύρ. — Rc. ἀποστελεῖ. — Ln. ἀποστ. (πάλιν) ὧδε.

4. Rc. Kn. Sz. ἀπῆλθ. δέ .. h. καὶ ἀπελθόντες D Syr. Vg. It. al. Or. (1.)— Rc. τὸν πῶλον. — om. τήν BΔ Or. (2.)

6. Rc. Sz. καθ. ἐνετείλατο .. h. εἰρήκει D It.[4]·; add. αὐτοῖς D al. m. Syr. Vg. It. al. m.

7. φέρουσ. c. BLΔ Or.; h. ἄγουσιν C al. .. Rc. Kn. Sz. Ln. ἤγαγον. — Rc. Kn. Sz. ἐπέβαλον. — h. τὰ ἱμάτ. ἑαυτῶν B. — h. καθίζει D al. — Rc. Kn. Sz. ἐπ᾽ αὐτῷ .. et. ἐπ᾽ αὐτῶν, ἐπ᾽ αὐτήν, ἐπ᾽ αὐτά leg.; om. It.[1]·

8. καὶ πολλ. c. BΔ .. Rc. Kn. Sz. Ln. πολλ. δέ. — h. ἐστρώννυον D al. et ἐν τῇ ὁδῷ AKM al. m. It.[4]· Vg. — Rc. Kn. Sz. στοιβάδας. — κόψαντες c. BΔ Or. et ἐκ τ. ἀγρ. c. BLΔ Or. (2.) Sah.; iid. exc. Or. (is om. prius ἔστρωσ. et alia) sic finiunt v. .. Rc. Kn. Sz. Ln. ἔκοπτον ἐκ τ. δένδρων καὶ ἐστρώννυον εἰς τὴν ὁδόν .. h. ἐν τῇ ὁδ. KM al. m. It.[4]· Vg.

9. Rc. Kn. Sz. ἔκραζ. λέγοντες, qd Ln. (—) .. om. c. BCLΔ al. It.[2]· al. Or.

10. Hab. καὶ εὐλογ. AD*K al. Syr. Ct. al. — om. ἐρχομένη ΔX al. Verc. — Rc. βασιλ. ἐν ὀνόματι κυρίου, qu. Kn. (—)

11 [11] *Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος* Mt. 21,
*πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ* 17.
*τῶν δώδεκα.*
12 *Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνα-* Mt. 21,
13 *σεν.* [13] *καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ* 18. 19.
*ἄρα τι εὑρήσει ἐν αὐτῇ, καὶ ἐλθὼν ἐπ' αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ*
14 *φύλλα· οὐ γὰρ ἦν καιρὸς σύκων.* [14] *καὶ ἀποκριθεὶς εἶπεν αὐτῇ·*
*Μηκέτι εἰς τὸν αἰῶνα ἐκ σοῦ μηδεὶς καρπὸν φάγῃ. καὶ ἤκουον οἱ*
*μαθηταὶ αὐτοῦ.*
15 *Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρ-* Mt. 21, 12-16.
*ξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ τοὺς ἀγοράζοντας ἐν τῷ ἱερῷ,* Lc. 19, 45-48.
*καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πω-* Jo. 2,
16 *λούντων τὰς περιστερὰς κατέστρεψεν,* [16] *καὶ οὐκ ἤφιεν ἵνα τις* 13-17.
17 *διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ·* [17] *καὶ ἐδίδασκεν καὶ ἔλεγεν·*
*Οὐ γέγραπται· ὅτι ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται* * Jer.
*πᾶσιν τοῖς ἔθνεσιν; ὑμεῖς δὲ πεποιήκατε αὐτὸν σπήλαιον λῃστῶν.* 7, 11. * Es.
18 [18] *καὶ ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ ἐζήτουν πῶς* 56, 7.
*αὐτὸν ἀπολέσωσιν· ἐφοβοῦντο γὰρ αὐτόν· πᾶς γὰρ ὁ ὄχλος ἐξε-*
*πλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.*
19 20 *Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύοντο ἔξω τῆς πόλεως.* [20] *καὶ* Mt. 21, 20-22.
*παραπορευόμενοι πρωῒ εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν.*
21 [21] *καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ· Ῥαββί, ἴδε, ἡ συκῆ*

---

11. Rc. Kn. Sz. *ὁ Ἰησοῦς καὶ εἰς τ. ἱερ.* — om. *τῆς ὥρ.* B .. h. *τ. ἡμέρας* 13. al.

13. Rc. Kn. om. *ἀπό.* — h. *ἦλθεν ἰδεῖν ἐάν τί ἐστιν* D Ct. It.[5] .. *ὡς εὑρήσων τι* Or. (2.) It.[2] — om. *ἐλθ. ἐπ' α.* D It. (exc. 3.) — Ln. *φύλλα* (*μόνα*)· atque *ὁ καιρ. σύκων.*

14. Rc. *οὐδείς.* — *φάγῃ* c. D al. m. Or. (2.). . . Rc. Kn. Sz. Ln. *φάγοι.*

15. Rc. Kn. Sz. *τούς* [c. AB (ap. Btlj.) CKLM al.] ante *ἀγοράζ.* om. — om. *κατέστρεψ.* D Or. et aliter Syr. aliter Colb. pon.

17. *καὶ ἔλεγεν* c. BLΔ al. Cpt. Or. .. Rc. Kn. Sz. Ln. *λέγων αὐτοῖς*, Ln. (*αὐτ.*). — om. *οὐ* D al. Ct. It.[4] al. — *πεποιήκ.* c. BLΔ Or. .. Rc. Kn. Sz. Ln. *ἐποιήσατε.*

18. Rc. Kn. Sz. *ἀπολέσουσιν.* — Ln. *γὰρ* (*αὐτόν*). — *πᾶς γάρ* c. BCΔ al. Cpt. .. Rc. Kn. Sz. Ln. *ὅτι πᾶς.*

19. Hab. *καὶ ὅταν* BCKLΔ al. m. — h. *ἐγίνετο* AE**GHV**X al. Rc. Kn. Sz. *ἐξεπορεύετο.*

ἣν κατηράσω ἐξήρανται. 22 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς λέγει αὐ- 22
τοῖς· Ἔχετε πίστιν θεοῦ. 23 ἀμὴν λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ 23
ὄρει τούτῳ· Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ
διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται,
ἔσται αὐτῷ. 24 διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα προσεύχεσθε 24
Mt. 6, 14. 15. καὶ αἰτεῖσθε, πιστεύετε ὅτι ἐλάβετε, καὶ ἔσται ὑμῖν. 25 καὶ ὅταν 25
στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ
ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα
ὑμῶν.

Mt. 21, 23-27 Lc. 20, 1-8. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. καὶ ἐν τῷ ἱερῷ περι- 27
πατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμμα-
τεῖς καὶ οἱ πρεσβύτεροι, 28 καὶ ἔλεγον αὐτῷ· Ἐν ποίᾳ ἐξουσίᾳ 28
ταῦτα ποιεῖς; ἢ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην, ἵνα ταῦτα
ποιῇς; 29 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἐπερωτήσω ὑμᾶς ἕνα λόγον, 29
καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.
30 τὸ βάπτισμα τὸ Ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων; 30

---

21. Hab. ἐξηράνθη DLΔ al. Or.
22. Rc. om. ὁ ante Ἰησ. — h. εἰ ἔχετε D al. Ct. It.[3] Arm.
23. Rc. Kn. Sz. ἀμὴν γάρ [om. c. BD al. m. Syr. Vg. It. al.]. — leg. πιστεύσει X al. m. πιστεύῃ BL. πιστεύει Δ. — Ln. ἃ λαλεῖ. .. h. ὅλα L. .. h. πιστεύσῃ τὸ μέλλον ὃ ἐὰν εἴπῃ, γενήσεται αὐτῷ D Ct. It.[4] — Rc. Kn. Sz. Ln. in fine add. ὃ ἐὰν εἴπῃ. .. om. c. BCDLΔ al. Vg. cdd. It. Cpt.
24. Rc. Kn. Sz. ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε [h. αἰτῆσθε 1 al. m. Thphyl.]; deinde λαμβάνετε [ἐλάβετε c. BCLΔ Cpt.] .. h. λήμψησθε D al. Vg. It.
25. Ln. στήκετε.
26. Rc. Kn. Sz. Ln. εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει [add. ὑμῖν D al. Syr. utr. Vg. It. (exc. 2.) al. m.] τὰ παραπτώματα ὑμῶν. .. om. c. BLSΔ al. It.[2] Cpt. Arm. Thphyl. .. Post illum v. 26. add. λέγω δὲ ὑμῖν· αἰτεῖτε, καὶ δοθήσεται usque ἀνοιγήσεται e MT. 7, 7. 8. M al. m.
27. Hab. ἔρχεται DX al. It.[4] al.
28. κ. ἔλεγ. c. BCLΔ al. It.[4] .. Rc. Kn. Sz. Ln. κ. λέγουσιν. — ἤ c. BLΔ al. .. Rc. Kn. Sz. Ln. καί. .. om. ἢ τίς — ποιῇς D al. Ct.
29. Rc. Kn. Sz. Ln. ἀποκριθεὶς εἶπ. .. om. c. BCLΔ al. Syr. It.[1] Cpt. — Rc. Kn. Sz. ὑμᾶς κἀγώ et Ln. κἀγὼ ὑμ. .. om. c. BLΔ. .. etiam καὶ ἐγώ (VX) et ἐγώ leg. — om. κ. ἀποκρ. μοι D al. It. (exc. 2.) Arm.
30. Rc. Sz. om. τό ante Ἰωάννου. — h. εἰ τὸ βάπτ. Δ.

31 ἀποκρίθητέ μοι. [31] καὶ διελογίζοντο πρὸς ἑαυτοὺς λέγοντες· Ἐὰν
εἴπωμεν· Ἐξ οὐρανοῦ, ἐρεῖ· Διὰ τί οὐκ ἐπιστεύσατε αὐτῷ;
32 [32] ἀλλὰ εἴπωμεν· Ἐξ ἀνθρώπων; ἐφοβοῦντο τὸν λαόν· ἅπαντες
33 γὰρ εἶχον τὸν Ἰωάννην ὅτι ὄντως προφήτης ἦν. [33] καὶ ἀποκριθέντες
θέντες τῷ Ἰησοῦ λέγουσιν· Οὐκ οἴδαμεν. καὶ ὁ Ἰησοῦς λέγει
αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

## XII.

1 Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λαλεῖν. Ἀμπελῶνα ἐφύ- Mt.21,
τευσεν ἄνθρωπος, καὶ περιέθηκεν φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον 33-46. Lc.20,
καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδή- 9-19.
2 μησεν. [2] καὶ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον,
ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τῶν καρπῶν τοῦ ἀμπελῶνος·
3 [3] καὶ λαβόντες αὐτὸν ἔδειραν καὶ ἀπέστειλαν κενόν. [4] καὶ πάλιν
4 ἀπέστειλεν πρὸς αὐτοὺς ἄλλον δοῦλον· κἀκεῖνον ἐκεφαλαίωσαν καὶ
5 ἠτίμησαν. [5] καὶ ἄλλον ἀπέστειλεν· κἀκεῖνον ἀπέκτειναν, καὶ πολ-
6 λοὺς ἄλλους, οὓς μὲν δέροντες, οὓς δὲ ἀποκτέννοντες. [6] ἔτι ἕνα
εἶχεν υἱὸν ἀγαπητόν· ἀπέστειλεν αὐτὸν ἔσχατον πρὸς αὐτοὺς λέ-

---

31. Rc. Kn. Sz. κ. ἐλογίζ. [διελογ. c. BCDKLMΔ al. pm.] — h. λέγοντες· τί εἴπωμεν; ἐάν etc. D al. It. (exc. 2.). .. h. ἐρεῖ ἡμῖν DM al. Syr. Vg. cdd. It. al. — Rc. Kn. Sz. ante οὐκ h. οὖν [om. c. ALMXΔ al. m. Vg. ms. It. (exc. 1.) al. m.].

32. Rc. ἀλλ' ἐάν. .. om. ἀλλά D al. Vg. It.[2.] — h. φοβούμεθα D** al. Vg. It. (iid. antea ἐάν retinent.) — pro εἶχ. h. ἤδεισαν D It. (exc. 2.) Arm. — h. τ. Ἰω. ὄντως ὡς προφ. Δ... ὄντως ὅτι BCL al... om. ὄντως 1. al. It.[1.] al... h. ἀληθῶς D.

33. Hab. λέγουσ. αὐτῷ 59. 73. Gth. — Rc. Kn. Sz. ὁ Ἰησ. ἀποκριθεὶς et Ln. ἀποκρ. ὁ Ἰησ... om. c. BCLΔ al. It.[2.] al.

Cap. XII. 1. Rc. Kn. Sz. λέγειν.

2. Hab. ἵνα ἀπὸ τ. καρπ. τ. ἀμπ. δώσουσιν αὐτῷ D It. (exc. 3.) — τῶν καρπῶν c. BCLΔ al. Syr. Ct. It.[1.] .. Rc. Kn. Sz. Ln. τοῦ καρποῦ.

3. Rc. Kn. Sz. οἱ δὲ λαβόντες.

4. Rc. Kn. Sz. pro ἐκεφ. κ. ἠτίμ. [c. BDLΔ al. Vg. It. Cpt.] h. λιθοβολήσαντες ἐκεφαλ. καὶ ἀπέστειλαν ἠτιμωμένον.

5. Rc. Sz. κ. πάλιν et Kn. κ. (πάλιν). — Rc. Kn. Sz. τοὺς μέν et τοὺς δέ, iid. ἀποκτείνοντες.

6. ἔτι usque λέγων c. BLΔ al. (singula c. plurib.). .. Rc. Kn. Sz. ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστ. καὶ αὐτὸν πρ. αὐτοὺς ἔσχατ. λέγ. .. Ln. ἔτι (οὖν) ἕνα ἔχων υἱὸν ἀγαπητ. ἀπέστ. καὶ αὐτ. πρ. αὐτ. ἔσχ. λέγ.

γων· ὅτι ἐντραπήσονται τὸν υἱόν μου. [7] ἐκεῖνοι δὲ οἱ γεωργοὶ πρὸς 7
ἑαυτοὺς εἶπαν· ὅτι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνω-
μεν αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία. [8] καὶ λαβόντες αὐτὸν 8
ἀπέκτειναν, καὶ ἐξέβαλον αὐτὸν ἔξω τοῦ ἀμπελῶνος. [9] τί οὖν 9
ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ ἀπολέσει τοὺς
γεωργούς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. [10] οὐδὲ τὴν γραφὴν 10
Ps. 118, 22. 23. ταύτην ἀνέγνωτε· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗ-
τος ἐγενήθη εἰς κεφαλὴν γωνίας· [11] παρὰ κυρίου ἐγένετο αὕτη καί 11
ἐστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; [12] καὶ ἐζήτουν αὐτὸν κρα- 12
τῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον· ἔγνωσαν γάρ, ὅτι πρὸς αὐτοὺς
τὴν παραβολὴν εἶπεν. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Mt. 22, 16-22. Lc. 20, 20-26. Καὶ ἀποστέλλουσιν πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ 13
τῶν Ἡρωδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσιν λόγῳ. [14] καὶ ἐλθόντες 14
λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν, ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει
σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ'
ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις· ἔξεστιν κῆνσον Και-
σαρι δοῦναι ἢ οὔ; δῶμεν ἢ μὴ δῶμεν; [15] ὁ δὲ εἰδὼς αὐτῶν τὴν 15
ὑπόκρισιν εἶπεν αὐτοῖς· Τί με πειράζετε; φέρετέ μοι δηνάριον,
ἵνα ἴδω. [16] οἱ δὲ ἤνεγκαν. καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη 16
καὶ ἡ ἐπιγραφή; οἱ δὲ εἶπαν αὐτῷ· Καίσαρος. [17] ὁ δὲ Ἰησοῦς 17
εἶπεν αὐτοῖς· Τὰ Καίσαρος ἀπόδοτε Καίσαρι καὶ τὰ τοῦ θεοῦ
τῷ θεῷ. καὶ ἐθαύμαζον ἐπ' αὐτῷ.

Mt. 22, 23-33. Lc. 20, 27-38. Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες λέγουσιν ἀνά- 18
στασιν μὴ εἶναι, καὶ ἐπηρώτων αὐτὸν λέγοντες· [19] Διδάσκαλε, 19
Dt. 25, 5. Μωϋσῆς ἔγραψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ κατα-

7. Post γεωργοί add. θεασάμενοι αὐτὸν ἐρχόμενον 13. al... Similia alii.
8. Rc. Kn. Sz. post ἐξέβ. om. αὐτόν [scr. c. ABCDM al. m. Syr. It.[8] al.].
14. Rc. Kn. Sz. οἱ δὲ ἐλθόντες. — h. ἀνθρώπου GK al. m. Vg. ms. It.[1] — Ln. ante ἔξεστ. h. εἰπὲ οὖν ἡμῖν (add. εἰ D al. It.[4] al.). — om. δῶμ. ἢ μὴ δῶμ. D Ct. It.[6] al.
15. Hab. ὁ δὲ Ἰησοῦς DG al. It. Arm. et ἰδών D al. It.[4] Gth. et post πειράζ. h. ὑποκριταί G al. m. Arm. al.
16. Ln. (οἱ δὲ) εἶπαν. — om. αὐτῷ B al.
17. Rc. Kn. Sz. καὶ ἀποκριθεὶς ὁ Ἰ. εἶπ. α... om. αὐτοῖς BD Ct. — τὰ Καίσ. ἀπ. K. c. BCLΔ al. Syr. Cpt... Rc. Kn. Sz. Ln. ἀπ. τὰ Καίσ. K... h. ἀπόδ. οὖν M al. Vg. It. — Rc. Kn. Sz. κ. ἐθαύμασαν.
18. Rc. Kn. Sz. ἐπηρώτησαν.

λίπῃ γυναῖκα καὶ μὴ ἀφῇ τέκνον, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν
20 γυναῖκα καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. [20] ἑπτὰ ἀδελ-
φοὶ ἦσαν. καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα, καὶ ἀποθνήσκων οὐκ
21 ἀφῆκεν σπέρμα. [21] καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανεν,
22 καὶ οὐδὲ αὐτὸς ἀφῆκεν σπέρμα· καὶ ὡσαύτως [22] ἔλαβον αὐτὴν οἱ
ἑπτὰ καὶ οὐκ ἀφῆκαν σπέρμα. ἔσχατον πάντων καὶ ἡ γυνὴ ἀπέ-
23 θανεν. [23] ἐν τῇ ἀναστάσει τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ
24 ἔσχον αὐτὴν γυναῖκα. [24] ἔφη αὐτοῖς ὁ Ἰησοῦς· Οὐ διὰ τοῦτο
πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ;
25 [25] ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίζονται,
26 ἀλλ' εἰσὶν ὡς ἄγγελοι ἐν τοῖς οὐρανοῖς. [26] περὶ δὲ τῶν νεκρῶν,
ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋσέως ἐπὶ τοῦ βάτου * Ex. 3, 6.
πῶς εἶπεν αὐτῷ ὁ θεὸς λέγων· Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς
27 Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; [27] οὐκ ἔστιν θεὸς νεκρῶν, ἀλλὰ ζών-
των· ὑμεῖς οὖν πολὺ πλανᾶσθε.

---

19. Hab. κ. ἔχῃ γυναῖκα D al. It. — κ. μὴ ἀφῇ τέκνον (τέκνα C al. Cpt.) c. BLΔ al. .. Rc. Kn. Sz. Ln. κ. τέκνα μὴ ἀφ. iid. τ. γυναῖκα αὐτοῦ, qd om. c. BCLΔ al. Cpt.

20. Rc. ἑπτὰ οὖν. — h. ἦσ. παρ' ἡμῖν D al. It. (exc. 1.) al. — h. κ. ἀπέθανεν καὶ D al.

21. et 22. Hab. κ. ἀπέθ. μὴ καταλιπὼν σπ. BCL 33. — κ. ὡσαύτως ἔλαβ. α. οἱ ἑ. καὶ οὐκ c. D Ct. Vind. (et. Corb. om. καὶ ὁ τρίτος ὡσ.) .. Rc. Kn. Sz. Ln. καὶ ὁ τρίτος ὡσαύτως. 22. καὶ ἔλαβον etc. .. h. καὶ ὁ τρίτος ὡσαύτως καὶ οἱ ἑπτὰ οὐκ CLΔ 33. Cpt. .. καὶ ὁ τρ. ὡσαύτως, καὶ οἱ ἑπτά, καὶ οὐκ BM al. It.[1.] .. καὶ ὁ τρ. ὡσ. καὶ ἔλαβον αὐτὴν ὡσαύτως καὶ οἱ ἑπτά, καὶ οὐκ A al. .. al. aliter.

22. Rc. Kn. Sz. ἐσχάτη π. ἀπέθ. κ. ἡ γ. .. h. ἔσχατον δὲ 1. al. .. om. ἔσχ. πάντ. D al. It.[1.]

23. Rc. Kn. Sz. Ln. ἐν τῇ οὖν (om. c. BEFHLSVXΔ al. pm. Vg. ms. al. .. post ἀναστ. h. DG al. It. edd.) ἀναστ., ὅταν ἀναστῶσιν [Ln. (ὅτ. ἀν.)] .. om. c. BCDLΔ al. Syr. It.[1.] al. .. h. ὅταν οὖν ἀναστῶσ. ἐν τ. ἀ. 13. 346. .. om. ἐν τ. ἀν. Aeth. — h. ἡ γυνή AD* 13.

24. ἔφη etc. c. BCLΔ 33. .. Rc. Kn. Sz. Ln. καὶ ἀποκριθεὶς (h. ἀπ. δὲ D al. Verc.) ὁ Ἰ. εἶπεν α. — om. οὐ Δ It.[2.] Thphyl.

25. Rc. Kn. Sz. γαμίσκονται .. h. ἐκγαμίσκ. AFH al. — h. οἱ ἄγγ. B Or. .. Rc. ἄγγ. οἱ ἐν etc.

26. Rc. ἐ. τῆς βάτου. — πῶς c. BCLΔ al. m. .. Rc. Kn. Sz. Ln. ὡς. — Ln. καὶ θεὸς Ἰσ. καὶ θ. Ἰακ.

27. Rc. Kn. Sz. ὁ θεός. — Rc. ἀλλὰ θεὸς ζ. et Kn. ἀ. (θεὸς) ζ. .. et. ante νεκρ. add. θεός M al. m. — om. ὑμεῖς οὖν BLΔ Cpt.

Mt. 22, 35-40. Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζη- 28
τούντων, ἰδὼν ὅτι καλῶς ἀπεκρίθη αὐτοῖς, ἐπηρώτησεν αὐτόν·
Ποία ἐστὶν πρώτη πάντων ἐντολή; 29 ἀπεκρίθη ὁ Ἰησοῦς· ὅτι 29
* Dt. 6, 4. 5. πρώτη ἐστίν· Ἄκουε Ἰσραήλ, κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς
Lc. 10, 27. ἐστιν, 30 καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας 30
σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.
* Lv. 19, 18. 31 δευτέρα δὲ αὕτη· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. 31
Lc. 20, 39. μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστιν. 32 καὶ εἶπεν αὐτῷ ὁ γραμ- 32
ματεύς· Καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπας, ὅτι εἷς ἐστιν
καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. 33 καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ 33
ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ἰσχύος
καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν πλεῖόν ἐστιν πάντων τῶν
ὁλοκαυτωμάτων καὶ θυσιῶν. 34 καὶ ὁ Ἰησοῦς, ἰδὼν αὐτὸν ὅτι 34
νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασι-
(Mt. 22, 46. Lc. 20, 40.) λείας τοῦ θεοῦ. καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.
Mt. 22, 41-46. Lc. 20, 41-44. 35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγεν, διδάσκων ἐν τῷ ἱερῷ· Πῶς 35
λέγουσιν οἱ γραμματεῖς, ὅτι ὁ Χριστὸς υἱὸς Δαυείδ ἐστιν;

---

28. Rc. Kn. Sz. pro ἰδὼν h. εἰδώς. — Rc. πασῶν ἐντ. .. om. πάντων D al. It. (exc. 3.) .. h. ἐντ. πρ. πάντ. BΔ al.

29. ἀπ. ὁ Ἰ. c. BLΔ al. Cpt. .. Rc. Kn. Sz. Ln. ὁ δὲ Ἰ. ἀπ. αὐτῷ. — ὅτι πρ. ἐ. c. BLΔ Cpt. .. Rc. Kn. Sz. ὅτι πρ. πάντων (Rc. πασῶν) τῶν ἐντολῶν· .. Ln. ὅτι πρ. πάντων (ἐντολή ἐστιν·) .. h. πάντων πρώτη D al. It.[2] al. .. ὅτι πρ. πάντ. ἐντολή ἐστιν αὕτη C It.[1] .. al. aliter.

30. Om. τῆς per totum v. B. — om. κ. ἐξ ὅλ. τ. ψυχῆς σ. K al. — Rc. Kn. Sz. Ln. post ψυχ. σ. hab. καὶ ἐξ ὅλης τῆς διανοίας σου. .. om. c. D al. Syr. hr. Ct. It.[3] Arm. .. post καρδ. σ. pon. A ac post ἰσχύος σ. 218. — Rc. Kn. Sz. Ln. in fine add. αὕτη πρώτη ἐντολή. .. om. c. BELΔ Cpt. Verc.

31. δευτ. δέ c. BDL (om. δέ) Δ (ἡ δευτ. sine δέ) al. Ct. It.[3] Vg. Aug. et αὕτη c. BLΔ Cpt. .. Rc. Kn. Sz. Ln. καὶ [Ln. (καὶ)] δευτ. ὁμοία αὐτῇ [Rc. Sz. αὕτη].

32. Rc. εἷς ἐστι θεός. — om. ἄλλος D Ct. Verc.

33. Pro συνέσεως h. δυνάμεως D Ct. It.[2] et ἰσχύος (iid. postea h. συνέσεως) 1. al. Cpt. — Rc. Kn. Sz. Ln. post συνέσ. add. καὶ ἐξ ὅλης τῆς ψυχῆς. .. om. c. BLΔ al. m. Cpt. Verc. Mcell. ap. Eus. — om. κ. ἐ. ὅλ. τ. ἰσχύος D Ct. Arm. — h. περισσότερον BLΔ 33. — Rc. τῶν θυσ.

34. Om. αὐτόν DLΔ al. Vg. It.[6] al.

36 [36] αὐτὸς Δαυὶδ εἶπεν ἐν τῷ πνεύματι τῷ ἁγίῳ· Εἶπεν ὁ κύριος τῷ *Ps.110,
κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου 1.
37 ὑποπόδιον τῶν ποδῶν σου. [37] αὐτὸς Δαυὶδ λέγει αὐτὸν κύριον,
καὶ πόθεν υἱὸς αὐτοῦ ἐστιν; καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ
38 ἡδέως. [38] Καὶ ἐν τῇ διδαχῇ αὐτοῦ ἔλεγεν· Βλέπετε ἀπὸ τῶν Mt.23,
γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς 6.7.14. Lc.11,
39 ἐν ταῖς ἀγοραῖς [39] καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ 43. 20, 46 sq.
40 πρωτοκλισίας ἐν τοῖς δείπνοις· [40] οἱ κατεσθίοντες τὰς οἰκίας τῶν
χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι, οὗτοι λήψονται περισ-
σότερον κρῖμα.

41 Καὶ καθίσας κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει, πῶς ὁ Lc. 21,
ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον. καὶ πολλοὶ πλούσιοι 1-4.
42 ἔβαλλον πολλά· [42] καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ
43 δύο, ὅ ἐστιν κοδράντης. [43] καὶ προσκαλεσάμενος τοὺς μαθη-
τὰς αὐτοῦ εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ
πτωχὴ πλεῖον πάντων ἔβαλεν τῶν βαλλόντων εἰς τὸ γαζοφυλάκιον.
44 [44] πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ
τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον
αὐτῆς.

## XIII.

1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν Mt.24, 1-8.
μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ Lc.21, 5-11.

---

36. Rc. Kn. Sz. αὐτὸς γάρ, qd Ln. (—). .. om. c. BLΔ al. Cpt. Verc. .. h. καὶ οὗτος D Arm. .. et ipse Ct. .. autem It.[2] .. h. Δαυ. λέγει 282. al. Vg. It. cdd. — Kn. Sz. ἐν πνεύματι ἁγίῳ· λέγει. — Ln. om. ὁ ante κύριος. — h. κάθισον B. — h. ὑποκάτω BD al. Cpt. al.

37. Rc. Kn. Sz. αὐτὸς οὖν et Ln. α. (οὖν). .. om. c. BDLΔ al. Syr. cdd. It.

38. καί usq. ἔλεγ. c. BLΔ al. .. Rc. Kn. Sz. Ln. κ. ἔλεγ. αὐτοῖς ἐν τ. δ. αὐτ. — h. καὶ φιλούντων ἀσπ. 11. al. Syr. It.[1] al.

40. Hab. χηρ. καὶ ὀρφανῶν D al. Syr. hr. It. — om. καί ante προφ. D (ante h. κατεσθίουσιν) Syr. Vg. It. al.

41. Hab. καὶ ἑστώς 1. al. m. Arm. Or. (2.). — h. ἔβαλον FV al. m. Thphyl.

42. Om. πτωχή D Ct. It.[5] Arm.

43. Rc. Kn. Sz. λέγει αὐτοῖς. — Rc. Kn. Sz. βέβληκε τῶν βαλόντων. .. om. τ. βαλλόντ. [c. ABDELVXΔ al. pm. Or. (2.)] M al. It. al.

Cap. XIII. 1. Hab. ἐκ τῶν μ. ADFX al.

οἰκοδομαί. 2 καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Βλέπεις ταύτας τὰς μεγάλας 2
οἰκοδομάς; οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ κατα-
λυθῇ. 3 καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι 3
τοῦ ἱεροῦ, ἐπηρώτα αὐτὸν κατ᾽ ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ
Ἰωάννης καὶ Ἀνδρέας· 4 Εἰπὸν ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί 4
τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα συντελεῖσθαι πάντα; 5 ὁ δὲ Ἰησοῦς 5
ἤρξατο λέγειν αὐτοῖς· Βλέπετε, μή τις ὑμᾶς πλανήσῃ· 6 πολλοὶ 6
γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ὅτι ἐγώ εἰμι, καὶ
πολλοὺς πλανήσουσιν. 7 ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς 7
πολέμων, μὴ θροεῖσθε· δεῖ γὰρ γενέσθαι· ἀλλ᾽ οὔπω τὸ τέλος.
8 ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν· 8
ἔσονται σεισμοὶ κατὰ τόπους, ἔσονται λιμοί. 9 ἀρχὴ ὠδίνων 9
Mt.10, 17-22. Lc.21, 12-19. ταῦτα. Βλέπετε δὲ ὑμεῖς ἑαυτούς· παραδώσουσιν ὑμᾶς εἰς συνέ-
δρια καὶ εἰς συναγωγὰς δαρήσεσθε καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων
σταθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς. 10 καὶ εἰς πάντα 10
Lc. 12, 11 sq. τὰ ἔθνη πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον. 11 καὶ ὅταν ἄγω- 11
σιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε, ἀλλ᾽ ὃ
ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε
ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. 12 καὶ παραδώσει 12
ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστή-

---

2. Rc. Kn. Sz. καὶ ὁ Ἰ. ἀποκριθεὶς et Ln. καὶ ἀποκρ. ὁ Ἰησ. .. pon. ante βλέπ. D Ct. .. om. c. BL al. Syr. al. — Rc. Kn. Sz. om. ὧδε et h. (et. Ln.) λίθῳ. .. λίθον c. BGLMXΔ al. m. .. ὃς οὐ καταλυθήσεται 106.

3. ἐπηρώτα c. BL al. .. Rc. Kn. Sz. Ln. ἐπηρώτων.

4. Hab. ὅτε μέλλει MXΔ al. (μέλλει etiam DF al.) — συντελ. πάντα c. B. .. Ln. ταῦτα πάντ. et Rc. Kn. Sz. πάντα ταῦτ. .. om. π. Δ al.

5 Rc. Kn. Sz. ὁ δὲ Ἰ. ἀποκριθεὶς (Ln. quoq. ἀποκρ. .. om. c. BL al. Syr. al.) αὐτ. ἤρξ. λ.

8. Rc. Kn. Sz. Ln. καὶ (om. c. BDL al. Ct. Cpt.) ἔσονται σ. κ. τ. καὶ (om. c. BL al. Cpt. Arm.) ἔσοντ. λ. .. add. Rc. Kn. Sz. καὶ ταραχαί [om. c. BDL al. Cpt. Vg. It. al.] .. om. ἔσονται ante λιμοί D Arm. It. Vg.

9. Rc. Kn. ἀρχαί. — om. βλέπετε usq. ἑαυτ. D al. It.[3] al. — Rc. Kn. Sz. Ln. παραδώσ. γάρ, qd om. c. BL Cpt. .. h. εἶτα ὑμ. αὐτοὺς παραδ. D Ct. It.[3] .. καὶ παραδ. 1. al. — h. κ. ἐν ταῖς συναγωγ. αὐτῶν Evv. m. Syr. utr. It.[1]

11. Rc. Kn. Sz. ὅταν δέ. — Rc. ἀγάγωσιν. — Rc. Kn. Sz. post λαλήσ. h. μηδὲ μελετᾶτε, qu. Ln. (—). .. om. c. BDL al. Vg. It. (exc. 1.) al. — 12. Rc. Kn. Sz. παραδ. δέ.

13 σονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. 13 καὶ ἔσεσθε
μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς
14 τέλος, οὗτος σωθήσεται. 14 Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρη- Mt.24,
μώσεως ἑστὸς ὅπου οὐ δεῖ — ὁ ἀναγινώσκων νοείτω· — τότε οἱ 15-25. Lc.21,
15 ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· 15 ὁ ἐπὶ τοῦ δώματος μὴ 20-24. * Dn. 9,
16 καταβάτω μηδὲ εἰσελθάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, 16 καὶ ὁ 27.
εἰς τὸν ἀγρὸν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐ-
17 τοῦ. 17 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν
18 ἐκείναις ταῖς ἡμέραις. 18 προσεύχεσθε δέ, ἵνα μὴ γένηται χειμῶ-
19 νος. 19 ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις, οἵα οὐ γέγονεν
τοιαύτη ἀπ' ἀρχῆς κτίσεως, ἣς ἔκτισεν ὁ θεός, ἕως τοῦ νῦν καὶ
20 οὐ μὴ γένηται. 20 καὶ εἰ μὴ κύριος ἐκολόβωσεν τὰς ἡμέρας, οὐκ
ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο
21 ἐκολόβωσεν τὰς ἡμέρας. 21 καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἴδε, ὧδε
22 ὁ Χριστός· ἴδε, ἐκεῖ· μὴ πιστεύετε. 22 ἐγερθήσονται γὰρ ψευδό-
χριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς
23 τὸ ἀποπλανᾶν, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. 23 ὑμεῖς δὲ βλέ-
24 πετε· προείρηκα ὑμῖν πάντα. 24 Ἀλλὰ ἐν ἐκείναις ταῖς ἡμέραις Mt.24,
μετὰ τὴν θλῖψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ 29-31. Lc.21,
25 δώσει τὸ φέγγος αὐτῆς, 25 καὶ οἱ ἀστέρες ἔσονται ἐκ τοῦ οὐρανοῦ 25-28.
ἐκπίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται.

---

14. Rc. Sz. post ἐρημώσ. h. τὸ ῥηθὲν ὑπὸ (h. διά 1. al.) Δανιὴλ τοῦ προφήτου, qu. Kn. et Ln. (—). .. om. c. BDL Vg. It. (exc. 1.) al. Aug. (dis.) — ἑστός c. AEFVΔ al. .. Rc. Kn. Sz. ἑστώς... Ln. ἑστηκός (h. ἑστηκότα BL).

15. Rc. Kn. Sz. ὁ δὲ ἐπί. — Rc. Kn. Sz. post καταβ. h. εἰς τὴν οἰκίαν, qu. Ln. (—)... om. BL al. Syr. Colb. al.

16. Rc. Kn. Sz. ὁ εἰς τ. ἀγρ. ὤν [om. c. BDLΔ al.].

18. Rc. Kn. Sz. γέν. ἡ φυγὴ ὑμῶν χειμ. [om. c. BD (χειμ. γένωνται, sic etiam Vg. It.) L (h. ταῦτα) al. Vg. It. (exc. 2.)] .. add. ἢ σαββάτου (L), μηδὲ σαββάτου et similia.

19. Ln. ἣν (c. BL 28.) ἔκτισ. ὁ θ... ea omnia om. D 27. It.[4] Arm.

20. Hab. ἐκολόβ. ὁ κύρ. B.

21. Rc. Kn. Sz. Ln. ἰδού, ὧδε ὁ Χρ. ἢ ἰδού (Ln. ἴδε), ἐκεῖ. .. ἴδε prius c. BCDL al.; ἢ om. c. L al. pm. Vg. It.[1] Thphyl. (h. καί B Syr. It.[1]); ἴδε poster. c. BL al. — Rc. μὴ πιστεύσητε.

22. Om. καί ante τοὺς ἐκλ. BD.

23. Rc. Kn. Sz. βλέπετε· ἰδού... Ln. βλ. (ἰδού)... om. c. BL al. Verc.

25. ἔσ. ἐκ τ. οὐρ. ἐκπίπτ. c. ABC al. .. Ln. ἔσ. ἐκ τ. οὐρ. πίπτοντες..

26 *καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέ-* 26
*λαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης.* 27 *καὶ τότε ἀποστελεῖ τοὺς* 27
*ἀγγέλους καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς ἐκ τῶν τεσσάρων ἀνέμων*
Mt. 24, *ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ.* 28 *Ἀπὸ δὲ τῆς συκῆς μάθετε* 28
32-35. Lc. 21, *τὴν παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται καὶ*
29-33. *ἐκφυῇ τὰ φύλλα, γινώσκεται, ὅτι ἐγγὺς τὸ θέρος ἐστίν·* 29 *οὕ-* 29
*τως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε, ὅτι ἐγγύς*
*ἐστιν ἐπὶ θύραις.* 30 *ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ* 30
*αὕτη μέχρις οὗ ταῦτα πάντα γένηται.* 31 *ὁ οὐρανὸς καὶ ἡ γῆ* 31
Mt. 24, *παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται.* 32 *Περὶ* 32
36. 42. et 25, *δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι*
13. 14. Lc. 21, *οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ.* 33 *βλέπετε, ἀγρυ-* 33
31-36. *πνεῖτε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν.* 34 *ὡς ἄνθρωπος* 34
*ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ*
*τὴν ἐξουσίαν, ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο*
*ἵνα γρηγορῇ.* 35 *γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ κύριος* 35
*τῆς οἰκίας ἔρχεται, ὀψὲ ἢ μεσονυκτίου ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ·*
36 *μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας.* 37 *ὃ δὲ ὑμῖν λέγω,* 36 37
*πᾶσιν λέγω· γρηγορεῖτε.*

## XIV.

Mt. 26, 3-5. *Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας, καὶ ἐζή-* 1

---

Rc. Kn. Sz. *τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες.* — h. *αἱ δυν. τῶν οὐρανῶν σαλ.* D K al. Syr. It.[6] al.

26. Ln. *δυνάμ. κ. δόξης πολλῆς* (c. A M Δ al. Arr. al.).

27. Rc. Kn. Sz. *ἀγγέλ. αὐτοῦ*, qd Ln. (—)... om. c. B D L Cpt. It.[2] — h. *ἐπισυνάξουσιν* F L M al. It.[1] Aeth. — Rc. Kn. Sz. Ln. *ἐκλεκτ. αὐτοῦ*, qd om. c. D L al. Cpt. It.[3]

28. Rc. Kn. Sz. *ἐκφύῃ.* — *γινώσκεται* c. B D Δ al. .. Rc. Kn. Sz. Ln. *γινώσκετε.*

31. Kn. Sz. *ὁ ο. κ. ἡ γῆ παρελεύσεται.* — *μὴ παρελ.* c. B K L al. .. Rc. Kn. Sz. Ln. *μὴ παρέλθωσιν.*

32. Rc. *καὶ τ. ὥρ.* .. om. *τῆς* ante *ὥρ.* A E M S V X al. pm. Eus. al. — h. *οὐδὲ ἄγγελος ἐν οὐρ.* B. — om. *οὐδὲ ὁ υἱός* X Prag. Bas.

33. Rc. Kn. Sz. *ἀγρυπν. καὶ προσεύχεσθε* [om. c. B D al. Ct. It.[3]].

34. Rc. Kn. Sz. *καὶ ἑκάστῳ.* — 35. Hab. *ἢ ὀψέ* B Δ.

37. Rc. Kn. Sz. *ἃ δέ.* .. h. *ἐγὼ δὲ λέγω ὑμῖν, γρ.* D Ct. It.[3]

Cap. XIV. 1. Om. *κ. τ. ἄζυμα* D Ct. It.[2] Sx.

τον οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς αὐτὸν ἐν δόλῳ κρατή-
2 σαντες ἀποκτείνωσιν· ² ἔλεγον γάρ· Μὴ ἐν τῇ ἑορτῇ, μήποτε
ἔσται θόρυβος τοῦ λαοῦ.
3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λε- Mt. 26, 6-13. Jo. 12, 1-8.
προῦ, κατακειμένου αὐτοῦ ἦλθεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου
νάρδου πιστικῆς πολυτελοῦς, καὶ συντρίψασα τὸν ἀλάβαστρον
4 κατέχεεν αὐτοῦ τῆς κεφαλῆς. ⁴ ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς
ἑαυτοὺς καὶ λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν;
5 ⁵ ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι ἐπάνω τριακοσίων δηνα-
6 ρίων καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ. ⁶ ὁ δὲ
Ἰησοῦς εἶπεν· Ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν
7 ἔργον εἰργάσατο ἐν ἐμοί. ⁷ πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽
ἑαυτῶν, καὶ ὅταν θέλητε δύνασθε αὐτοῖς εὖ ποιῆσαι, ἐμὲ δὲ οὐ
8 πάντοτε ἔχετε. ⁸ ὃ ἔσχεν, ἐποίησεν· προέλαβεν μυρίσαι τὸ σῶμά
9 μου εἰς τὸν ἐνταφιασμόν. ⁹ ἀμὴν δὲ λέγω ὑμῖν, ὅπου ἂν κηρυχθῇ
τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθή-
σεται εἰς μνημόσυνον αὐτῆς.
10 Καὶ Ἰούδας Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθεν πρὸς Mt. 26, 14-16. Lc. 22, 3-6.
11 τοὺς ἀρχιερεῖς, ἵνα αὐτὸν παραδοῖ αὐτοῖς. ¹¹ οἱ δὲ ἀκούσαντες
ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς
αὐτὸν εὐκαίρως παραδοῖ.

---

1. Om. ἐν δόλῳ D Vg. ms. It.[2]
2. Rc. Kn. Sz. ἔλεγ. δέ [γάρ c. BDL Cpt. Vg. ms. It.].
3. Om. νάρδ. πιστ. πολ. D gr. .. om. μύρου Ct. — om. καί ante συντρ. BL. — Rc. Kn. Sz. τὸ ἀλάβ. .. h. τὴν ἀλ. BLΔ [τὸν ἀλ. c. ACDEFKSV al.]. — Rc. Kn. Sz. κατὰ [om. c. BLΔ al. .. h. ἐπὶ D al. .. τῇ κεφαλῇ 435.] τῆς κεφ.
4. Om. γέγονεν D al. Ct. It.[3]
5. Rc. om. τὸ μύρον. — h. δηναρ. διακοσίων C.
6. Rc. εἰργ. εἰς ἐμέ. — 7. Rc. Kn. Sz. αὐτοὺς εὖ π.
8. Rc. εἶχεν et Rc. Kn. Sz. add. αὕτη, qd Ln. (—). .. om. c. BL al. .. h. hoc It.[1] .. ἐποίησ. αὕτη Δ.
9. δέ c. BDKLVΔ al. m. Verc. .. om. Rc. Kn. Sz. et Ln. (—). — Rc. Kn. Sz. τὸ εὐ. τοῦτο, Ln. τ. ε. (τοῦτο). .. om. c. BDL al. Ct. It.[3]
10. Rc. Kn. Sz. ὁ Ἰούδ. ὁ Ἰσκ. [prius om. c. ABCDLΔ al. pm. Or. Eus. .. poster. c. BDL al. Or.] — h. ὁ εἷς B. — Rc. Kn. Sz. παραδῷ (sic et. v. 11.) αὐτὸν αὐτοῖς.
11. Om. ἀκούσ. D Ct. It.[4] — h. ἀργύρια AK al. m. Eus.

Mt. 26, 17-19. Lc. 22, 7-13. *Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον,* 12
*λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ἀπελθόντες ἑτοι-*
*μάσωμεν, ἵνα φάγῃς τὸ πάσχα;* 13 *καὶ ἀποστέλλει δύο τῶν* 13
*μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· Ὑπάγετε εἰς τὴν πόλιν, καὶ*
*ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, ἀκολουθή-*
*σατε αὐτῷ·* 14 *καὶ ὅπου ἂν εἰσέλθῃ εἴπατε τῷ οἰκοδεσπότῃ,* 14
*ὅτι ὁ διδάσκαλος λέγει· Ποῦ ἐστιν τὸ κατάλυμά μου, ὅπου τὸ*
*πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;* 15 *καὶ αὐτὸς ὑμῖν δείξει* 15
*ἀνάγαιον μέγα ἐστρωμένον ἕτοιμον· καὶ ἐκεῖ ἑτοιμάσατε ἡμῖν.*
16 *καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἦλθον εἰς τὴν πόλιν καὶ* 16
Mt. 26, 20-25. Lc. 22, 14. et 21-23. *εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα.* 17 *Καὶ ὀψίας* 17
*γενομένης ἔρχεται μετὰ τῶν δώδεκα.* 18 *καὶ ἀνακειμένων αὐτῶν* 18
*καὶ ἐσθιόντων ὁ Ἰησοῦς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν*
*παραδώσει με, ὁ ἐσθίων μετ᾽ ἐμοῦ.* 19 *οἱ δὲ ἤρξαντο λυπεῖσθαι* 19
*καὶ λέγειν αὐτῷ εἷς κατὰ εἷς· Μήτι ἐγώ;* 20 *ὁ δὲ εἶπεν αὐτοῖς·* 20
*Εἷς τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ᾽ ἐμοῦ εἰς τὸ τρυβλίον·*
21 *ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ* 21
*αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώ-*
*που παραδίδοται· καλὸν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος*
Mt. 26, 26-29. Lc. 22, 19. 20. 1 Cor. 11, 24. 25. *ἐκεῖνος.* 22 *Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ἄρτον εὐλογήσας ἔκλα-* 22

---

**12.** Hab. *ἑτοιμάσομεν* 1. al. m.

**14.** *τὸ κατάλ. μου* c. BCDLΔ al. m. Vg. It. (exc. 4.)... om. Rc. Kn. Sz. et (—) Ln.

**15.** Rc. *ἀνώγεον.* — Ln. *ἐστρ.* (*ἕτοιμ.*)... om. AΔ al. m. Vg. It.[5] Arm. Vict. al. .. *καί* ante *ἐκεῖ* c. BCDL al. Syr. Vg. It.[3] al. .. om. Rc. Kn. Sz. Ln.

**16.** Hab. *ἐποίησαν καθὼς* D Ct. It.[4]

**18.** Hab. *τῶν ἐσθιόντ. μετ᾽ ἐμοῦ* B Sah.

**19.** Om. *οἱ δέ* BL... h. *καί* C. — *εἷς κατὰ εἷς* c. BLΔ... Rc. Sz. Ln. *εἷς καθ᾽ εἷς* et Kn. *εἷς καθεῖς.* — Rc. Kn. Sz. Ln. in fine add. *καὶ ἄλλος· Μήτι ἐγώ;* om. c. BCLPΔ al. Syr. utr. Vg. It.[4] al. (hab. Or.)

**20.** Rc. Kn. Sz. *ὁ δὲ ἀποκριθεὶς εἶπ.* — Rc. Kn. Sz. Ln. *εἷς ἐκ*, qd om. c. BCL al. — Ln. *τὴν χεῖρα εἰς.*

**21.** *ὅτι* c. BL Cpt. Sah... om. Rc. Kn. Sz. Ln. — pro *ὑπάγ.* h. *παραδίδοται* D Ct. It.[3] — post *δι᾽ οὗ* om. *ὁ υἱ. τ. ἀ.* D Ct. Verc. — Rc. Kn. Sz. *καλὸν ἦν*, Ln. *καλ.* (*ἦν*)... om. c. BD It.[4]

**22.** Rc. Kn. Sz. *λαβὼν ὁ Ἰησοῦς*, qd Ln. (—)... om. c. BD Ct. Sah. It.[3] .. pon. et. post *ἄρτον.*

σεν καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν· Λάβετε· τοῦτό ἐστιν τὸ σῶμά
23 μου. 23 καὶ λαβὼν ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ
24 ἔπιον ἐξ αὐτοῦ πάντες. 24 καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστιν τὸ αἷμά
25 μου, τῆς διαθήκης, τὸ ἐκχυνόμενον ὑπὲρ πολλῶν. 25 ἀμὴν λέγω Lc. 22,
ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως 18.
τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ
θεοῦ.
26 27 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 27 καὶ λέ- Mt. 26, 30-35.
γει αὐτοῖς ὁ Ἰησοῦς· ὅτι πάντες σκανδαλισθήσεσθε, ὅτι γέγρα- Lc. 22, 39.
πται· Πατάξω τὸν ποιμένα, καὶ τὰ πρόβατα διασκορπισθήσονται. * Zach.
28 28 ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. 13, 7.
29 29 ὁ δὲ Πέτρος ἔφη αὐτῷ· Εἰ καὶ πάντες σκανδαλισθήσονται, Jo. 13,
30 ἀλλ' οὐκ ἐγώ. 30 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι 36-38.
σὺ σήμερον ταύτῃ τῇ νυκτὶ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρίς με
31 ἀπαρνήσῃ. 31 ὁ δὲ ἐκπερισσῶς ἐλάλει· Ἐάν με δέῃ συναποθανεῖν
σοι, οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.
32 Καὶ ἔρχονται εἰς χωρίον, οὗ τὸ ὄνομα Γεθσημανεῖ, καὶ Mt. 26, 36-46. Lc. 22, 40-46.

---

22. Rc. λάβετε, φάγετε, qd Kn. (—) [om. c. ABCDKLP al. m. Syr. utr. Cpt. Sah. Vg. It. (exc. 1.) al.].

23. Rc. Kn. Sz. τὸ [om. c. BCDLΔ al.] ποτήρ.

24. Rc. Kn. Sz. Ln. τὸ (om. c. CD**ELVX al.) τῆς καινῆς (om. c. BCDL al. Cpt. Ct.) διαθ..— Rc. Kn. Sz. τὸ περὶ (ὑπέρ c. BCDLΔ al.) π. ἐκχ... ἐκχ. ὑ. π. c. BCL Cpt.

25. Om. οὐκέτι DL Ct. It.[5] — h. προσθῶ πιεῖν D Ct. It.[2]

27. Rc. Kn. Sz. Ln. post σκανδ. h. ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ [Ln. (ἐν τῇ ν. τ.)]... om. c. BCDGHLSVΔ al. pm. Ct. It.[1].. om. tantum ἐν ἐμοί 45. al. Vg. ms. It.[5] ... om. tantum ἐν τ. ν. τ. 13. al. It.[3] — h. τ. πρόβ. τῆς ποίμνης EFKM al. m. It.[2]

29. εἰ καί c. BGL al. Syr. Arm. .. Rc. Kn. Sz. Ln. καὶ εἰ. .. leg. καὶ ἐάν (D) et εἰ et καὶ οἱ.

30. Rc. om. σύ. — om. σήμερον DS Ct. It.[4] Arm... h. post ταύτῃ It.[1] — Rc. Kn. Sz. ἐν τῇ νυκτὶ ταύτῃ. — om. ἢ δίς D al. Ct. It.[6] .. h. post ἀλέκτ. 13. al.

31. Hab. ὁ δὲ Πέτρος ACGMS al. m. Arm. al. — Rc. Kn. Sz. ἐκ περισσοῦ (h. περισσῶς L al.) ἔλεγε μᾶλλον. — h. ἀπαρνήσωμαι FGKVX al. m.

32. Ln. ᾧ ὄνομα. — Rc. Kn. Sz. pro Γεθσημανεῖ [c. ACFLMSVΔ al. Vg. al.] h. Γεθσημανῆ.

λέγει τοῖς μαθηταῖς αὐτοῦ· Καθίσατε ὧδε ἕως προσεύξωμαι.
32 καὶ παραλαμβάνει Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ' ἑαυ- 33
τοῦ, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν, 34 καὶ λέγει αὐτοῖς· 34
Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρη-
γορεῖτε. 35 καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ τῆς γῆς καὶ προσηύ- 35
χετο, ἵνα, εἰ δυνατόν ἐστιν, παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα· 36 καὶ 36
ἔλεγεν· Ἀββᾶ ὁ πατήρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτή-
ριον τοῦτο ἀπ' ἐμοῦ. ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. 37 καὶ 37
ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ·
Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; 38 γρη- 38
γορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν
πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. 39 καὶ πάλιν ἀπελθὼν 39
προσηύξατο τὸν αὐτὸν λόγον εἰπών. 40 καὶ πάλιν ἐλθὼν εὗρεν 40
αὐτοὺς καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ καταβα-
ρυνόμενοι, καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν αὐτῷ. 41 καὶ ἔρχε- 41
ται τὸ τρίτον καὶ λέγει αὐτοῖς· Καθεύδετε λοιπὸν καὶ ἀνα-
παύεσθε. ἀπέχει. ἦλθεν ἡ ὥρα· ἰδού, παραδίδοται ὁ υἱὸς τοῦ
ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. 42 ἐγείρεσθε, ἄγωμεν· 42
Mt. 26, ἰδού, ὁ παραδιδούς με ἤγγικεν. 43 Καὶ εὐθὺς ἔτι αὐτοῦ λαλοῦν- 43
47-56. Lc. 22, τος παραγίνεται ὁ Ἰούδας, εἷς τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος
47-53.
Jo. 18, 1-12.

---

32. Leg. ἕως ἀπελθών (B), ἕως ἂν ἀπελθών (M) et προσεύξομαι (D X).

33. Rc. Kn. Sz. Ln. τὸν (om. c. CDEFGHSV al. pm.) Πέτρ. et Rc. τὸν (hab. BKM al.) Ἰάκ. — Ln. μετ' αὐτοῦ. .. h. τὸν μετ' αὐτοῦ Ἰωάνν. B.

35. Hab. προσελθών ACDEGHLSVXΔ al. pm. Syr. utr. It.[1] — h. ἔπιπτεν BL. .. h. ἔπεσ. ἐπὶ πρόσωπον ἐπί etc. DG al. m. It.[5] al. iid. fere ἵνα post ἐστίν pon.

37. Hab. ἰσχύσατε D al. Ct. It.[1] Prs.

39. Om. τὸν αὐτ. λόγ. εἰπ. D Ct. It.[3]

40. Rc. Kn. Sz. καὶ ὑποστρέψας εὗρ. αὐτ. πάλιν; deinde βεβαρημένοι.

41. Rc. Kn. Sz. τὸ [om. c. ACDELSV**X al. m.] λοιπόν. — h. ἀπέχει τὸ τέλος D al. Syr. utr. al.; iid. fere pro ἦλθ. h. καί. .. ἐπέχει 106. .. consummatus est finis s. adest consummatio cdd. It. .. om. 50. Aeth. — h. εἰς χεῖρας AK al. m.

43. Rc. Kn. Sz. om. ὁ ante Ἰούδας. .. h. Ἰούδ. ὁ Ἰσκαρ. s. Ἰσκαρ. s. Σκαριώτης ADKM al. m. Syr. utr. Vg. It. al. Or. — Rc. Kn. Sz. εἷς ὤν. .. h. εἷς ἐκ Δ al. — Rc. Kn. Sz. ὄχλ. πολύς, qd Ln. (—). . om. c. BL al. Syr. utr. It.[4] al.

μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμμα-
44 τέων καὶ τῶν πρεσβυτέρων. 44 δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν
σύσσημον αὐτοῖς λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστιν· κρατήσατε
45 αὐτὸν καὶ ἀπαγάγετε ἀσφαλῶς. 45 καὶ ἐλθὼν εὐθὺς προσελθὼν
46 αὐτῷ λέγει· Ῥαββί, καὶ κατεφίλησεν αὐτόν· 46 οἱ δὲ ἐπέβαλον
47 τὰς χεῖρας αὐτῷ καὶ ἐκράτησαν αὐτόν. 47 εἷς δὲ τῶν παρεστηκό-
των σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως
48 καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτάριον. 48 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν
αὐτοῖς· Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλ-
49 λαβεῖν με· 49 καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων,
50 καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ᾽ ἵνα πληρωθῶσιν αἱ γραφαί. 50 καὶ
51 ἀφέντες αὐτὸν ἔφυγον πάντες. 51 καὶ νεανίσκος τις συνηκολούθει
αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν·
52 52 ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν.
53 Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα, καὶ συνέρ- Mt. 26, 57-68. l.c.
χονται πάντες οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτε- 22, 54. et
54 ροι. 54 καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως 63-71. Jo. 18, 13.
ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, καὶ ἦν συγκαθήμενος μετὰ τῶν
55 ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς. 55 Οἱ δὲ ἀρχιερεῖς καὶ
ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θα-
56 νατῶσαι αὐτόν, καὶ οὐχ ηὕρισκον· 56 πολλοὶ γὰρ ἐψευδομαρτύ-

---

44. Ln. κ. ἀπάγετε (c. BDL al.)... h. ἀγάγετε F al.

45. Om. ἐλθών D al. Syr. It.[3]·; iid. fere om. εὐθύς. .. post λέγει add. αὐτῷ (pauci omisso αὐτῷ priore) EFGHSV al. m. Syr. It.[3]· Ct. Arm. — Rc. Kn. Sz. ῥαββί, ῥαββί [om. c. BDLMΔ al. Vg. ms. It.[8]· al.] .. h. χαῖρε, ῥαββί C** al. m. Vg. It.[3]· al.

46. Rc. Kn. Sz. ἐπέβ. ἐπὶ αὐτὸν τ. χ. αὐτῶν... Ln. ἐπέβ. τ. χ. ἐπ᾽ αὐτόν... ἐπέβ. τ. χ. αὐτῷ c. BCDL al. It.[1]· al.

47. Rc. Kn. Sz. εἷς δέ τις [om. c. ABLM al. m. Syr. It.[3]· al. .. h. καί τις D Verc.]. — Rc. Kn. Sz. ὠτίον (ὠτάριον c. BD 1.).

51. Rc. Kn. Sz. κ. εἷς [om. c. BCL Cpt. It. Vg.] τις ν. — Rc. Kn. ἠκολούθει... Sz. ἠκολούθησεν. — Rc. Kn. Sz. in fine add. οἱ νεανίσκοι [om. c. BC*DLΔ Syr. It. Vg. al.].

52. Rc. Kn. Sz. in fine add. ἀπ᾽ αὐτῶν, qu. Ln. (—) .. om. c. BCL al. Syr. It.[1]· al. m.

53. Hab. ἀρχ. Καϊάφαν AKM al. m. Syr. utr. al. Or. — Rc. Kn. Sz. Ln. συνέρχ. αὐτῷ, qd om. c. DLΔ al. Vg. Ct. It.[6]· al. Or. .. h. πρὸς αὐτόν C Syr... αὐτοῦ 1. 209. Prs.

54. Om. ἔσω D al. Syr. Ct. It.[5]· Prs.

ρουν κατ᾽ αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. 57 καί τινες 57
Jo. 2, 19. ἀναστάντες ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ λέγοντες· 58 ὅτι ἡμεῖς 58
ἠκούσαμεν αὐτοῦ λέγοντος· ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον
τὸν χειροποίητον καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκο-
δομήσω. 59 καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. 60 καὶ 59 60
ἀναστὰς ὁ ἀρχιερεὺς εἰς μέσον ἐπηρώτησεν τὸν Ἰησοῦν λέγων·
Οὐκ ἀποκρίνῃ οὐδέν, τί οὗτοί σου καταμαρτυροῦσιν; 61 ὁ δὲ 61
ἐσιώπα καὶ οὐκ ἀπεκρίνατο οὐδέν. πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα
αὐτὸν καὶ λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ;
62 ὁ δὲ Ἰησοῦς εἶπεν· Ἐγώ εἰμι, καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀν- 62
θρώπου ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως καὶ ἐρχόμενον μετὰ
τῶν νεφελῶν τοῦ οὐρανοῦ. 63 ὁ δὲ ἀρχιερεὺς διαῤῥήξας τοὺς χιτῶ- 63
νας αὐτοῦ λέγει· Τί ἔτι χρείαν ἔχομεν μαρτύρων; 64 ἠκούσατε τῆς 64
βλασφημίας· τί ὑμῖν φαίνεται; οἱ δὲ πάντες κατέκριναν αὐτὸν
ἔνοχον εἶναι θανάτου. 65 καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ καὶ 65
περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ καὶ κολαφίζειν αὐτὸν καὶ λέ-
γειν αὐτῷ· Προφήτευσον, καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν
Mt. 26, 69-75. Lc. 22, 54-62. Jo. 18, 15-18. et 25-27. ἔλαβον. 66 Καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται μία 66
τῶν παιδισκῶν τοῦ ἀρχιερέως, 67 καὶ ἰδοῦσα τὸν Πέτρον θερ- 67
μαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει· Καὶ σὺ μετὰ τοῦ Ναζα-
ρηνοῦ ἦσθα, τοῦ Ἰησοῦ. 68 ὁ δὲ ἠρνήσατο λέγων· Οὐκ οἶδα 68
οὐδὲ ἐπίσταμαι σὺ τί λέγεις. καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον,

---

58. Hab. ἀνοικοδομ. Or. . . ἀναστήσω D It. (suscitabo).

60. Rc. εἰς τὸ μέσον. — h. ἐπηρώτα 38. al. et v. 61. h. ἐπηρώτησεν F al. — h. ὅτι οὗτοι B.

61. οὐκ ἀπεκρ. οὐδ. c. BL al. Cpt. Or. . . Rc. Kn. Sz. Ln. οὐδὲν ἀπεκρ. — h. θεοῦ τ. εὐλογ. A K al. m. It.[1.] Vg.

64. Ln. τὴν βλασφ. . . add. αὐτοῦ D G al. Ct. It.[2.] Gth. et al. τοῦ στόματος αὐτοῦ. — om. εἶναι D Ct. It.[1.] . . Rc. Kn. Sz. Ln. εἶναι ἔνοχ. . . ἔν. εἶναι c. BL Δ al. It.[1.]

65. Rc. Kn. Sz. pro ἔλαβον [c. ABKLSVΔ al. . . ἐλάμβανον D al. m. Cpt. Syr. p.] h. ἔβαλλον. . . h. ἔβαλον MX al.

66. κάτω ante ἐν τ. α. c. ABX al. . . Rc. Kn. Sz. Ln. post ἐν τ. α. pon. . , om. D al. Ct. It.[3.] al. Eus.

67. Rc. Kn. Sz. τοῦ Ναζαρ. Ἰησ. ἦσθ. . . h. τ. Ἰησ. τ. Ναζ. DΔ al. Vg. It.[6.] al. Eus. . . om. τ. Ἰησοῦ 61. al.

68. Ln. οὔτε οἶδα, οὔτε ἐπ. . . Rc. Kn. Sz. τί σὺ λ.

69 καὶ ἀλέκτωρ ἐφώνησεν. 69 καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν εἶπεν τοῖς
70 παρεστῶσιν· ὅτι οὗτος ἐξ αὐτῶν ἐστίν. 70 ὁ δὲ πάλιν ἠρνεῖτο.
καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ· Ἀληθῶς
71 ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ. 71 ὁ δὲ ἤρξατο ἀναθεματίζειν
72 καὶ ὀμνύναι· ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. 72 καὶ
εὐθὺς ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησεν, καὶ ἀνεμνήσθη ὁ Πέτρος
τὸ ῥῆμα, ὡς εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ὅτι πρὶν ἀλέκτορα δὶς φωνῆ-
σαι τρίς με ἀπαρνήσῃ. καὶ ἐπιβαλὼν ἔκλαιεν.

## XV.

1 Καὶ εὐθὺς ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς Mt.27,
μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ συνέδριον, 1.2. et 11-14.
2 δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν Πιλάτῳ. 2 καὶ Lc.23,
ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; 1-5. et 13-16.
3 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Σὺ λέγεις. 3 καὶ κατηγόρουν αὐτοῦ Jo. 18, 28 sqq.
4 οἱ ἀρχιερεῖς πολλά. 4 ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτὸν λέ-
5 γων· Οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε, πόσα σου κατηγοροῦσιν. 5 ὁ δὲ
Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλάτον.
6 6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. Mt.27, 15-26. Lc.23, 17-25. Jo. 18, 39 sqq.

---

68. Ln. (καὶ ἀλέκτ. ἐφών.) .. ea om. BL Ev. 17. Cpt. It.[1]·; ante ἐξῆλθ. pon. Sah. ... κ. εὐθέως ἀλ. ἐ. 218. al.

69. Rc. Kn. Sz. Ln. αὐτὸν πάλιν (om. c. BM al. Cpt. al. ... et ante αὐτόν et post ἤρξατο et post λέγειν pon.) ἤρξατο λέγειν... εἶπεν c. B Cpt. al. — παρεστῶσιν c. BKLΔ al. Eus. .. Rc. Kn. Sz. Ln. παρεστηκόσιν. — h. ὅτι καί DL al. Syr. It.[3]· Arm.

70. Hab. ἠρνήσατο FGMX al. m. Eus. — h. παρεστηκότες D. — om. καὶ γ. Γ. εἶ 73. al. Gth. Verc. .. Rc. Kn. Sz. in fine add. καὶ ἡ λαλιά σου ὁμοιάζει (h. δῆλόν σε ποιεῖ Aeth.). [om. c. BCDL al. Vg. Ct. It.[6]· al. Eus. Aug. .. ante καὶ γάρ etc. pon. 116.]

71. Rc. Kn. Sz. ὀμνύειν. — om. τοῦτον DK al. Gth.

72. Rc. om. εὐθύς. .. om. ἐκ δευτέρ. L It.[1]· — Pro τὸ ῥ. ὡς [c. AB (pergit: αὐτῷ λέγει ὁ Ἰ.) LΔ al. m.] h. Kn. Sz. τὸ ῥ. ὃ et Rc. τοῦ ῥήματος οὗ. — om. ὅτι usq. τρίς D al. Ct. Verc. Prs. — h. ἐπιλαβών Δ 247. Cpt.

Cap. XV. 1. Ln. om. ἐπὶ τό (c. BDL al. It. cdd. Or.). — h. ἐποίησαν — καὶ δήσαντες D al. It. cdd. pl. Or. .. h. ἑτοιμάσαντες L. — h. ὅλου τοῦ συνεδρίου Syr. Vg. It.[6]· al. — h. ἀπήγαγον DG al. Or. — Rc. Kn. Sz. τῷ [om. c. BDLΔ al. Or.] Πιλ.

3. Add. in fine αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο 13. al. m. It.[2]· al. Or.

4. Hab. ἐπηρώτα B al. m. — Rc. Kn. Sz. pro κατηγορ. [c. BD al. It. Vg. al.] h. καταμαρτυροῦσιν.

7 ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν στασιαστῶν δεδεμένος, 7
οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. 8 καὶ ἀναβοήσας ὁ ὄχλος 8
ἤρξατο αἰτεῖσθαι καθὼς ἀεὶ ἐποίει αὐτοῖς. 9 ὁ δὲ Πιλάτος ἀπε- 9
κρίθη αὐτοῖς λέγων· Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰου-
δαίων; 10 ἐγίνωσκεν γάρ, ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν 10
οἱ ἀρχιερεῖς. 11 οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον 11
τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. 12 ὁ δὲ Πιλάτος πάλιν ἀποκρι- 12
θεὶς εἶπεν αὐτοῖς· Τί οὖν θέλετε ποιήσω τὸν βασιλέα τῶν Ἰου-
δαίων; 13 οἱ δὲ πάλιν ἔκραξαν· Σταύρωσον αὐτόν. 14 ὁ δὲ Πι- 13 14
λάτος ἔλεγεν αὐτοῖς· Τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσῶς
ἔκραζον· Σταύρωσον αὐτόν. 15 ὁ δὲ Πιλάτος βουλόμενος τῷ ὄχλῳ 15
τὸ ἱκανὸν ποιῆσαι ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδω-
Mt. 27, κεν τὸν Ἰησοῦν φραγελλώσας, ἵνα σταυρωθῇ. 16 Οἱ δὲ στρατιῶ- 16
27-31. ται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστιν πραιτώριον, καὶ
συγκαλοῦσιν ὅλην τὴν σπεῖραν· 17 καὶ ἐνδιδύσκουσιν αὐτὸν πορ- 17
φύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον·
18 καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰου- 18
δαίων· 19 καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον 19
αὐτῷ καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. 20 καὶ ὅτε ἐνέ- 20
παιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν
τὰ ἱμάτια τὰ ἴδια.

---

7. Rc. Kn. Sz. pro στασιαστ. [c. B (ap. Btlj.) CDK al.] h. συστασιαστῶν. — Leg. ἐπεποιήκεισαν (F) et πεποιήκασιν et aliter.

8. Ln. καὶ ἀναβάς (c. BD Vg. It.7 al.).

10. Hab. ἐπεγίνωσκεν AK al. — h. παρέδωκαν DHL al. et παρεδώκεισαν AVΔ al. — om. οἱ ἀρχιερ. B al. Cpt.

11. Leg. et ἀνέπεισαν et ἔπεισαν (D) et ἀνέστησαν.

12. Om. πάλιν D al. Syr. Ct. It.2 Cpt... Rc. Kn. Sz. post ἀποκρ. pon. — om. θέλετε BΔ 1. 13. al. Cpt. Sah. .. Rc. Kn. Sz. ποιήσ. ὃν λέγετε [om. c. AD 13. al. Vg. It. Sah. Arm... h. λέγετε sine ὃν B.] βασιλ. [τὸν βασ. c. ABC (τῷ βασ. D) Δ 13. al.].

13. Ln. ἔκραξαν λέγοντες (c. ADKM al. It.4 Sah.).

14. Rc. περισσοτέρως [περισσῶς h. ABCDGHKMΔ al. pm.] .. Rc. Kn. Sz. ἔκραξαν [ἔκραζον c. ADGKM al. m. et. B ap. Sz.].

17. Rc. Kn. Sz. καὶ ἐνδύουσιν. [ἐνδιδύσκ. c. BCDFΔ al.]

18. Hab. αὐτὸν καὶ λέγειν C al. m. Arm... αὐτ. λέγοντες M al.

20. Ln. τ. ἱμάτ. αὐτοῦ, postea ἄγουσιν.

21 *Καὶ ἐξάγουσιν αὐτόν, ἵνα σταυρώσουσιν αὐτόν·* [21] *καὶ ἀγ-* Mt. 27,
*γαρεύουσιν παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπὸ* 31-37. Lc. 23,
*ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυ-* 26-31. Jo. 19,
22 *ρὸν αὐτοῦ.* [22] *καὶ φέρουσιν αὐτὸν ἐπὶ τὸν Γολγοθᾶν τόπον,* 17 sqq.
23 *ὅ ἐστιν μεθερμηνευόμενον κρανίου τόπος.* [23] *καὶ ἐδίδουν αὐτῷ*
24 *ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβεν.* [24] *καὶ σταυρώσαντες αὐτὸν*
*διαμερίζονται τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτά, τίς*
25 26 *τί ἄρῃ.* [25] *ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν.* [26] *καὶ ἦν ἡ*
*ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ βασιλεὺς τῶν Ἰου-*
27 *δαίων.* [27] *Καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς, ἕνα ἐκ δεξιῶν* Mt. 27,
29 *καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ.* [29] *καὶ οἱ παραπορευόμενοι ἐβλασφή-* 38-44. Lc. 23,
*μουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Οὐά, ὁ* 32-43. Jo. 19,
30 *καταλύων τὸν ναὸν καὶ οἰκοδομῶν τρισὶν ἡμέραις,* [30] *σῶσον σεαυ-* 18.
31 *τὸν καταβὰς ἀπὸ τοῦ σταυροῦ.* [31] *ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαί-*
*ζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· Ἄλλους*
32 *ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι·* [32] *ὁ Χριστὸς ὁ βασιλεὺς*
*Ἰσραήλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύ-*
33 *σωμεν. καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν.* [33] *Καὶ* Mt. 27,
*γενομένης ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας* 45-54. Lc. 23, 44-47.

---

20. Rc. Kn. Sz. *ἵνα σταυρώσωσιν.* [*ἵ. σταυρώσουσ.* c. ACDLPΔ al. .. om. *ἵ. σταυρ. α.* B.]

22. Rc. Kn. Sz. Ln. *ἐπὶ Γολγοθᾶ τόπ.* .. *τόν* c. BFLΔ al. m. et *Γολγοθᾶν* c. FKLVΔ al. pm.

23. Rc. Kn. Sz. Ln. *αὐτῷ πιεῖν*... om. c. BLΔ Cpt. Arm.

24. Hab. *σταυροῦσιν α. καὶ δ.* B. — Rc. *διεμέριζον.* — h. *βαλόντες* KLMV al. — om. *τίς τί ἀ.* D 157. Ct. It.¹· .. om. *τί* 300. al.

25. Hab. *καὶ ἐφύλασσον* D Ct. It.¹·

26. Hab. *Οὗτός ἐστιν ὁ* etc. D Syr.

28. Rc. Kn. Sz. Ln. *Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· Καὶ μετὰ ἀνόμων ἐλογίσθη* [cf. Lc. 22, 37.] .. om. c. ABCDX al. pm. Ct. [hab. LP al. vv. omn. Or. Eus.] Es. 53, 12.

29. Rc. Kn. Sz. *καὶ ἐν* [om. c. ACDPV al. It.¹·] *τρ. ἡμ. οἰκοδ.*

30. Rc. Kn. Sz. *καὶ κατάβα* [*καταβάς* c. BDΔ. .. h. *κατάβα* sine *καί* L]. .. *κ. κατάβηθι* 1. al. Eus.

31. Rc. *ὁμοίως δὲ καί.* — om. *πρὸς ἀλλήλ.* 13. al. Colb. .. h. *εἰς ἀλλ.* D.

32. Rc. Kn. Sz. *τοῦ* [om. c. BDKLΔ al.] *Ἰσρ.* — Ln. *πιστεύσ. αὐτῷ* .. etiam *ἐν* s. *ἐπ' αὐτῷ* s. *εἰς αὐτόν* C**M al. — Ln. *συνεσταυρ. σὺν αὐτῷ*... om. *αὐτῷ* D.

33. Rc. Kn. Sz. *Γενομ. δέ.* — h. *ἐφ' ὅλης τῆς γῆς* D al. Eus.

ἐνάτης. [34] καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ· 34
Ἐλωΐ, ἐλωΐ, λαμᾶ σαβαχθανί; ὅ ἐστιν μεθερμηνευόμενον· Ὁ
θεός μου, ὁ θεός μου, εἰς τί ἐγκατέλιπές με; [35] καί τινες τῶν 35
Jo. 19, 29. 30. παρεστώτων ἀκούσαντες ἔλεγον· Ἴδε, Ἠλίαν φωνεῖ· [36] δραμὼν 36
δέ τις γεμίσας σπόγγον ὄξους, περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν,
λέγων· Ἄφετε, ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. [37] ὁ δὲ 37
Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσεν. [38] καὶ τὸ καταπέτασμα 38
τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ' ἄνωθεν ἕως κάτω. [39] ἰδὼν δὲ ὁ 39
κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτως ἐξέπνευσεν,
εἶπεν· Ἀληθῶς οὗτος ὁ ἄνθρωπος υἱὸς ἦν θεοῦ.

Mt. 27, 55. 56. Lc. 23, 49. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς καὶ 40
Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰω-
σῆτος μήτηρ καὶ Σαλώμη, [41] αἵ, ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκο- 41
λούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συνανα-
βᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

Mt. 27, 57-61. Lc 23, 50-55. Jo. 19, 38-42. Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστιν 42
προσάββατον, [43] ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων 43

---

34. Rc. Kn. Sz. κ. τῇ ὥρᾳ τῇ ἐννάτῃ. — h. ἀνεβόησ. M al. .. ἐφώνησεν D. — Rc. Kn. Sz. Ln. φ. μεγ. λέγων, qd om. c. BDL al. Cpt. Ct. It.[1] — h. ἠλεί, ἠλεί (ἠλί, ἠλί 131.) D Syr. Ct. It.[2] al. Eus. — λαμᾶ c. BDX al... Rc. Kn. Sz. λαμμᾶ... Ln. λεμά c. CL al. Syr. It.[4] al... h. λιμᾶ (λειμά SV al.) AEFGHKMP al. pm. Gth. al. Ath. al. — h. ζαφθανεί D... σαβαφθανεί B. — om. semel ὁ θεός μου B... om. prius μοῦ AEFKΔ al. m. Vg. ms. Eus. — h. ὠνείδισάς με D It.[2]

35. παρεστώτων c. BD al. .. Rc. Kn. Sz. Ln. παρεστηκότων. — ἴδε c. BFΔ al. m... h. ὅτι C al. Arm... ὅτι ἰδού K al... om. D Syr. Ct. It.[2].. Rc. Kn. Sz. Ln. ἰδού.

36. τίς c. BLΔ... Rc. Kn. Sz. εἷς καί... Ln. εἷς. — Rc. Kn. Sz. περιθείς τε. — h. ἄφες D V al. m. It.[2] al.

39. Rc. Kn. Sz. Ln. ὅτι οὕτ. κράξας. .. om. c. BKL. .. h. tantum ὅτι Ar. Cpt... ὅτι κράξας Arm.

40. Rc. Kn. Sz. Ln. ἐν αἷς ἦν καί. .. id om. c. BL It.[2].. om. καί D al. pm. Syr. utr. Vg. It. cdd. pl. al... om. ἐν αἷς καί Syr. Prs. p. — Rc. Kn. Sz. ἡ τοῦ Ἰακ. [om. c. BCK al. m. .. om. ἡ τοῦ DF**L al. m.]; iid. h. Ἰωσῆ. [Ἰωσῆτος c. BDL al. Cpt. Hier... h. Joseph Vg. It. al.].

41. Rc. Kn. Sz. αἳ καί [om. c. B al. Arm. Ct. It.[2]]... om. αἵ ACLΔ al. Gth. Vg. It.[2] — om. καὶ διηκ. αὐτ. CDΔ al. Ct. Thphyl... h. διακονῆσαι αὐτῷ 28.

42. Ln. πρὸς σάββατον.

43. Rc. Kn. Sz. pro ἐλθών [c. ABCKLΔ al. pm. Cpt. al.] h. ἦλθεν.

βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ
θεοῦ, τολμήσας εἰσῆλθεν πρὸς Πιλάτον καὶ ᾐτήσατο τὸ σῶμα
44 τοῦ Ἰησοῦ. 44 ὁ δὲ Πιλάτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκεν· καὶ
προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτόν, εἰ πάλαι
45 ἀπέθανεν· 45 καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ πτῶμα
46 τῷ Ἰωσήφ. 46 καὶ ἀγοράσας σινδόνα, καθελὼν αὐτὸν ἐνείλησεν
τῇ σινδόνι καὶ ἔθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ
πέτρας, καὶ προσεκύλισεν λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.
47 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰωσῆτος ἐθεώρουν
ποῦ τέθειται.

## XVI.

1 Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ Mt. 28, 1-10. Lc. 24, 1-10.
Μαρία ἡ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι
2 ἀλείψωσιν αὐτόν. 2 καὶ λίαν πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔρχονται
3 ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. 3 καὶ ἔλεγον πρὸς ἑαυ-
τάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;
4 4 καὶ ἀναβλέψασαι θεωροῦσιν, ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν
5 γὰρ μέγας σφόδρα. 5 καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεα-
νίσκον καθήμενον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν λευκήν,
6 καὶ ἐξεθαμβήθησαν. 6 ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε. Ἰη-

---

43. H. τὸν Πιλ. BΔ. — 44. Ln. εἰ ἤδη ἀπέθανεν.
45. Rc. Kn. Sz. τὸ σῶμα [πτ. c. BDL].
46. Rc. Kn. Sz. καὶ [om. c. BD (h. λαβών) L Cpt.] καθελών atque καὶ κατέθηκεν.
47. Rc. Kn. Sz. pro ἡ Ἰωσῆτος [c. BΔ (sine ἡ L al. Cpt.)] h. Ἰωσῆ. .. ἡ Ἰωσήφ A al. Vg. It.[3] .. Ἰακώβου D Ct. It.[1] .. Ἰακώβου καὶ Ἰωσῆτος 13. al. Syr. hr. Arm. .. al. aliter. — Rc. Kn. Sz. τίθεται [τέθειτ. c. ABCDL al.].
Cap. XVI. 1. Rc. Kn. Sz. Ln. ἡ τοῦ Ἰακώβ... om. c. CGLMV al... om. ἡ τοῦ E al. m... h. καὶ πορευθεῖσαι ἠγόρ. etc. D Ct.
2. τῇ μιᾷ τῶν σαββ. c. B (om. τῇ) LΔ al. Eus. .. Ln. μιᾷ σαββάτων... Rc. Kn. Sz. τῆς μιᾶς σαββάτων. .. h. ἔρχ. πρωῒ μιᾶς σαββάτου D Ct... τῆς μιᾶς τῶν σ. K al.
3. Ln. ἀπὸ τῆς θύρας.
4. Hab. ἦν γὰρ μέγ. σφ. καὶ ἀναβλ. θεωρ. ὅτι ἀποκ. ὁ λ. Syr. hr. .. ἦν γὰρ μ. σφ. καὶ ἔρχονται καὶ εὑρίσκουσιν ἀποκεκυλισμένον τὸν λίθ. D Ct. It.[2] Eus.

σοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν
ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. [7] ἀλλὰ ὑπάγετε, εἴπατε 7
τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ· ὅτι προάγει ὑμᾶς εἰς τὴν
Mt. 14, 28. Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. [8] καὶ ἐξελθοῦ- 8
σαι ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχεν γὰρ αὐτὰς τρόμος καὶ ἔκστα-
σις. καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Jo. 20, 1. et 9-18. [Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ 9
τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. [10] ἐκείνη πο- 10
ρευθεῖσα ἀπήγγειλεν τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσιν καὶ
κλαίουσιν. [11] κἀκεῖνοι ἀκούσαντες, ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς, 11
Lc. 24, 13 sqq. ἠπίστησαν. [12] μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανε- 12
ρώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. [13] κἀκεῖνοι ἀπελ- 13
θόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. [14] ὕστε- 14
ρον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισεν τὴν
ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν

---

8. Rc. ταχὺ ἔφυγον. — Rc. Kn. Sz. pro εἶχεν γάρ [c. BD Syr. Cpt. Ct. It.[4.] Vg.] h. εἶχε δέ.

9. V. 9. usque ad fin. capitis om. c. B Arm. mss. Ar. vat. .. L post ἐφοβοῦντο γάρ haec notat: Φέρεταί που καὶ ταῦτα· πάντα δὲ τὰ παρηγγελμένα τοῖς περὶ τὸν Πέτρον συντόμως ἐξήγγειλαν. μετὰ δὲ ταῦτα καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ ἀνατολῆς καὶ ἄχρι δύσεως ἐξαπέστειλεν δι' αὐτῶν τὸ ἱερὸν καὶ ἄφθαρτον κήρυγμα τῆς αἰωνίου σωτηρίας. ἔστιν δὲ καὶ ταῦτα φερόμενα μετὰ τὸ ἐφοβοῦντο γάρ· Ἀναστὰς δέ etc. 23. post ἐφοβοῦντο γάρ add. τέλος; deinde atramento rubro scr. haec hab.: ἔν τισιν τῶν ἀντιγράφων ἕως ὧδε πληροῦται ὁ εὐαγγελιστής· ἐν πολλοῖς δὲ καὶ ταῦτα φέρεται· Ἀναστάς etc. Similia leguntur in scholiis edd. permult. Notantur asteriscis in 137. 138. In A al. m. ultra v. 8. non adscripti sunt numeri sectionum Euseb. s. Ammon. In catenis ss. Patrum ad Marc. non refertur ulla huj. pericopae explicatio. Eos versus defecisse olim in mss. multis testantur Dion. alex. Eus. Sever. ant. Vict. ant. Greg. nyss. Hier. Euthym. — Textum exhibent eo quo refero modo Rc. Kn. Sz. Ln.

9. Hab. ὁ Ἰησοῦς πρωΐ F al. m. It.[7.] Vg. ms. al. — h. πρώτῃ σαββάτων K al. pm. — Ln. παρ' ἧς.

10. Ln. ἐκείνη (δέ). — h. ἀπελθοῦσα K al.

11. Hab. ἐκεῖνοι C*L 127. Cpt.

14. Ln. ὕστερ. δέ (c. AD al. Syr. It.[3.] Vg.). — om. αὐτοῖς L al. Syr. utr. et hr.

15 ἐγηγερμένον οὐκ ἐπίστευσαν. [15] καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς Mt. 28.
16 τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. [16] ὁ 19. 20. Lc. 24.
πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακρι- 47-49.
17 θήσεται. [17] σημεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακολουθήσει·
ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν· γλώσσαις λαλήσουσιν
18 καιναῖς· [18] ὄφεις ἀροῦσιν· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ
αὐτοὺς βλάψῃ· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν, καὶ καλῶς
ἕξουσιν.

19 Ὁ μὲν οὖν κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν Lc. 24.
20 οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ· [20] ἐκεῖνοι δὲ ἐξελθόν- 50. 51. Act. 1.
τες ἐκήρυξαν πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον 9.
βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.]

---

14. Ln. *ἐγηγερμ. ἐκ νεκρῶν* (c. ACX al. m. Arm. al.).

15. h. l. exemplaria quaed. maxime gr. ap. Hier. hab.: Et illi satisfaciebant dicentes: seculum istud iniquitatis et incredulitatis substantia est, quae non sinit per immundos spiritus veram Dei apprehendi virtutem. Idcirco jam nunc revela justitiam tuam.

16. Hab. *ὅτι ὁ π.* D.

17. et 18. Ln. *παρακολ. ταῦτα* c. AC* al. .. h. *ἀκολουθήσει* L. — Pro *καιναῖς* h. *καὶ ἐν ταῖς χερσίν* LΔ Cpt. Arm... h. *καιναῖς· καὶ ἐν ταῖς χερσίν* C*X al. — Rc. *βλάψει*.

19. Om. *οὖν* C*L 90*. Arm. Slav. ms. — Ln. *κύρ. Ἰησοῦς* (c. CKL al. Syr. utr. Vg. $It.^{2}$ al. Ir.).

20. Om. hunc v. It. cd. Rdg. .. plane alium ev. finem h. Sah. — add. in fine *ἀμήν* C*D (inde a v. 15 in D omnia recentiori manu scr. s.) EFLVΔ al. m. $It.^{3}$ al.

# ΕΥΑΓΓΕΛΙΟΝ

# ΚΑΤΑ ΛΟΥΚΑΝ.

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν 1
πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, [2] καθὼς παρέδοσαν ἡμῖν 2
οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου· [3] ἔδο- 3
ξεν κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι
γράψαι, κράτιστε Θεόφιλε, [4] ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λό- 4
γων τὴν ἀσφάλειαν.

Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας 5
ἱερεύς τις ὀνόματι Ζαχαρίας ἐξ ἐφημερίας Ἀβιά, καὶ γυνὴ αὐτῷ
ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. [6] ἦσαν 6
δὲ δίκαιοι ἀμφότεροι ἐναντίον τοῦ θεοῦ, πορευόμενοι ἐν πάσαις
ταῖς ἐντολαῖς καὶ δικαιώμασιν τοῦ κυρίου ἄμεμπτοι. [7] καὶ οὐκ ἦν 7
αὐτοῖς τέκνον, καθότι ἦν ἡ Ἐλισάβετ στεῖρα, καὶ ἀμφότεροι προ-
βεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. [8] ἐγένετο δὲ ἐν τῷ ἱερα- 8
τεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ,
[9] κατὰ τὸ ἔθος τῆς ἱερατείας ἔλαχεν τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς 9
τὸν ναὸν τοῦ κυρίου, [10] καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσ- 10
ευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. [11] ὤφθη δὲ αὐτῷ ἄγγε- 11

Cap. I. 1. Om. v. 1 usq. 4. cd. 130 gr. et lat. (sec. XIII.)
3. Hab. post κἀμοί et spiritui sancto Gth. It.[3]
5. Om. τοῦ ante βασιλ. BL. — Rc. Kn. Sz. καὶ ἡ γυνὴ αὐτοῦ.
6. ἐναντίον c. ABC al. Cyr. . . Rc. Kn. Sz. Ln. ἐνώπιον.
7. Ln. om. ἡ ante Ἐλ. (c. B ap. Btlj.)
8. Hab. ἐναντίον ACMXΔ al. pm. . . ἐνώπιον K.
9. H. τοῦ θεοῦ C* D al. Prs.
10. Rc. τοῦ λαοῦ ἦν. . . om. τοῦ λαοῦ 235. It.[3] . . h. ἦν τοῦ ὄχλου Ev. 17. (sec. VIII.).

λος κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.
12 [12] καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν.
13 [13] εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία, διότι
εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν
14 σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· [14] καὶ ἔσται χαρά
σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γενέσει αὐτοῦ χαρήσονται.
15 [15] ἔσται γὰρ μέγας ἐνώπιον κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ
πίῃ, καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς
16 αὐτοῦ, [16] καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον
17 τὸν θεὸν αὐτῶν· [17] καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν * Mal. 4, 5. 6.
πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ
τέκνα καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων ἑτοιμάσαι κυρίῳ λαὸν
18 κατεσκευασμένον. [18] καὶ εἶπεν Ζαχαρίας πρὸς τὸν ἄγγελον· Κατὰ
τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προ-
19 βεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. [19] καὶ ἀποκριθεὶς ὁ ἄγγελος
εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ,
καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ καὶ εὐαγγελίσασθαί σοι ταῦτα·
20 [20] καὶ ἰδού, ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας
γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες
21 πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. [21] καὶ ἦν ὁ λαὸς προσδο-
κῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ
22 ναῷ. [22] ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς. καὶ ἐπέγνωσαν
ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς,
23 καὶ διέμενεν κωφός. [23] καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς
24 λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. [24] μετὰ δὲ ταύ-
τας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυ-
25 βεν ἑαυτὴν μῆνας πέντε λέγουσα· [25] ὅτι οὕτως μοι πεποίηκεν
κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀν-
θρώποις.

---

13. Om. σοί D 1. Sah. Ambr. al. . . ante υἱόν pon. Δ Vg. It. al.
14. Rc. γεννήσει.
15. Rc. Sz. Ln. τοῦ [om. c. ACL al. pm. Cyr. al.] κυρίου.
17. Hab. προσελεύσ. CLV al.
20. Hab. πλησθήσονται D Or. — 21. Hab. ἐπὶ τῷ χρ. D.
22. Ln. ἐδύνατο c. B* 33. al. — h. διέμεινεν D al. Ct.
25. Rc. Kn. Sz. ὁ [om. c. CDL 33.] κύριος.

Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ 26
Mt. 1, 18. τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέτ, [27] πρὸς 27
παρθένον ἐμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαυίδ,
καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. [28] καὶ εἰσελθὼν πρὸς αὐτὴν 28
εἶπεν· Χαῖρε, κεχαριτωμένη· ὁ κύριος μετὰ σοῦ. [29] ἡ δὲ ἐπὶ τῷ 29
λόγῳ διεταράχθη καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.
[30] καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ 30
Mt. 1, 21. χάριν παρὰ τῷ θεῷ. [31] καὶ ἰδού, συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ 31
υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. [32] οὗτος ἔσται μέγας 32
καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν
Mich. 4, 7. θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· [33] καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον 33
Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.
[34] εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· Πῶς ἔσται τοῦτο, ἐπεὶ 34
ἄνδρα οὐ γινώσκω; [35] καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· 35
Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιά-
σει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς
θεοῦ. [36] καὶ ἰδού, Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειλη- 36
φυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ

---

26. *ἀπό* c. BL al. Cyr. hr. .. Rc. Kn. Sz. Ln. *ὑπό*. — Ln. *Ναζαρέθ* (c. CV al. pm. Syr. Vg. It. al. Eus. al. .. h. *Ναζαράθ* AΔ Cyr. .. h. *εἰς πόλ. Γαλιλαῖαν* (om. *ᾗ ὄν. Ν.*) D Ct.

27. Rc. Kn. Sz. *μεμνηστ.* [*ἐμνηστ.* c. ABL]. .. h. *μεμνησμένην* D. — post *οἴκ.* add. *καὶ πατριᾶς* CFL al. m. Eus. al.

28. Rc. Kn. Sz. Ln. *εἰσελθ. ὁ ἄγγελος*, qd om. c. BL al. Cpt. .. post *αὐτ.* pon. FΔ al. It.³ al. — Rc. Kn. Sz. Ln. in fine add. *εὐλογημένη σὺ ἐν γυναιξίν*. [cf. Lc. 1, 42.]. .. om. c. BL al. Cpt. Syr. hr. al. Damasc. .. add. etiam *καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου* 47. It.¹ Andr. cr.

29. Rc. Kn. Sz. Ln. *ἡ δὲ ἰδοῦσα* (om. c. BDLX al. Arm. Sah. Ct. Damasc. .. h. cum audisset Vg. It.² Prs.) *διεταρ. ἐπὶ τ. λ. αὐτοῦ* (om. c. iisdem). .. h. *ἐταράχθη* D al. .. om. *ἐπὶ τ. λόγ. αὐτ.* C*.

30. Hab. *αὐτῇ ὁ ἄγγ.* D al. m. .. *ὁ ἄγγ. πρὸς αὐτήν* C al.

34. Hab. *ἔσται μοί* B**FM al. pl. Cpt. al. Cyr. hr. al. m.

35. *ἐκ σοῦ* c. C 1. 22. al. m. Syr. Vg. It.⁴ al. Ath. (dis.) Dial. c. Mrc. (dis.) Justin. Or. int. Ir. int. al. pm. .. om. Rc. Kn. Sz. et (*ἐκ σ.*) Ln.

36. Ln. *ἡ συγγενίς* (c. AEΔ al. m.). — h. *συνείληφεν* BL et omnes fere lat. — Rc. *γήρᾳ*.

37 καλουμένῃ στείρᾳ· 37 ὅτι οὐκ ἀδυνατήσει παρὰ τοῦ θεοῦ πᾶν
38 ῥῆμα. 38 εἶπεν δὲ Μαριάμ· Ἰδού, ἡ δούλη κυρίου· γένοιτό μοι
κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.
39 Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς
40 τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, 40 καὶ εἰσῆλθεν εἰς
41 τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. 41 καὶ ἐγένετο
ὡς ἤκουσεν τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησεν τὸ
βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλι-
42 σάβετ 42 καὶ ἀνεφώνησεν φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ
43 ἐν γυναιξίν, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. 43 καὶ
πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρὸς μέ;
44 44 ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά
45 μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. 45 καὶ
μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ
46 παρὰ κυρίου. 46 καὶ εἶπεν Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν
47 κύριον, 47 καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί
48 μου, 48 ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ
49 γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί, 49 ὅτι ἐποίη-
50 σέν μοι μεγαλεῖα ὁ δυνατός. καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ 50 καὶ
τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεὰς τοῖς φοβουμένοις αὐτόν.
51 51 ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους
52 διανοίᾳ καρδίας αὐτῶν. 52 καθεῖλεν δυνάστας ἀπὸ θρόνων καὶ
53 ὕψωσεν ταπεινούς, 53 πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦν-
54 τας ἐξαπέστειλεν κενούς. 54 ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, a Es. 41, 8. 9.
55 μνησθῆναι ἐλέους, 55 καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν, b Gn. 22, 16.
56 τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα. 56 Ἔμεινεν

---

37. παρὰ τοῦ θ. c. BD (pon. post ῥῆμ.) L. .. Rc. Kn. Sz. Ln. παρὰ τῷ θεῷ. .. h. τῷ θεῷ (sine παρά) 8. al. It.[3] al.

38. H. ἀπέστη D.

42. Hab. ἀνεβόησεν CF al. m. Thphyl. — h. κραυγῇ pro φωνῇ BL Or. (3.).

47. Hab. σωτηρίῳ L, salutari meo Vg. It.

49. Ln. μεγάλα (c. BD*L 130 lat. .. magna Vg. It.).

50. εἰς γεν. καὶ γενεάς c. BC**L Syr. Ct. It.[4] Cpt. .. Rc. Kn. Sz. Ln. εἰς γενεὰς γενεῶν. .. h. εἰς γενεὰν κ. γενεάν FM al. pm. Vg. ms. It.[4] al. .. εἰς γενεὰν κ. γενεάς C* It.[1] al. aliter.

55. Kn. Sz. ἕως αἰῶνος.

δὲ Μαριὰμ σὺν αὐτῇ ὡς μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν
οἶκον αὐτῆς. [57] τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐ- 57
τήν, καὶ ἐγέννησεν υἱόν. [58] καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγ- 58
γενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνεν κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς,
καὶ συνέχαιρον αὐτῇ. [59] καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἦλθον 59
περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πα-
τρὸς αὐτοῦ Ζαχαρίαν. [60] καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν· 60
Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. [61] καὶ εἶπον πρὸς αὐτήν· ὅτι 61
οὐδείς ἐστιν ἐκ τῆς συγγενείας σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.
[62] ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό. 62
[63] καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων· Ἰωάννης ἐστὶν τὸ ὄνομα 63
αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. [64] ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ 64
παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν.
[65] καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς, καὶ 65
ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα·
[66] καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες· 66
Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ γὰρ χεὶρ κυρίου ἦν μετ' αὐ-
τοῦ. [67] καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου 67
καὶ ἐπροφήτευσεν λέγων· [68] Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, 68
ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ, [69] καὶ 69
ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαυὶδ παιδὸς αὐτοῦ, 70
[70] καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων ἀπ' αἰῶνος προφητῶν

---

56. Rc. Kn. Sz. ὡσεί. .. om. D al. Ct. It.[4] al.
59. Rc. Kn. Sz. ἐν τῇ ὀγδόῃ ἡμέρᾳ. [ἐν τ. ἡ. τ. ὀ. c. BCD (om. ἐν) L al. m.]
60. Hab. κληθήσ. τὸ ὄνομα αὐτοῦ CD Ct. al.
61. Rc. Kn. Sz. ἐν τῇ συγγενείᾳ σ. [ἐκ etc. c. ABCLΔ al.]
62. Rc. Kn. Sz. pro αὐτό [c. BDFG al.] h. αὐτόν.
63. Hab. ἔσται C al. m. Or. (1.) — post αὐτοῦ add. (omissis v. 64. παραχρ. usq. αὐτοῦ) καὶ παραχρῆμα ἐλύθη ἡ γλῶσσα αὐτοῦ D Ct. It.[3] [cf. Mc. 7, 35.]
65. Hab. ἐγένετο δέ AK al. — om. πάντα L al. Syr. Slav. ms.
66. Hab. ἀκούοντες CD al. — h. ταῖς καρδίαις DL al. Ct. Arm. — h. quia Vg. — Rc. Kn. Sz. om. γάρ [hab. BCDL Vg. It. al.]. — om. ἦν D al. Ct. Aeth. .. pon. ante χείρ 1. 131. .. h. est It.[1]
69. Rc. Kn. Sz. ἐν τῷ [om. c. BCDLM al. m. Eus.] οἴκῳ τοῦ [om. c. BDL] παιδ.
70. Rc. Kn. Sz. Ln. τ. ἁγίων τῶν (om. c. BLΔ al. Or. Eus.) ἀπ' αἰῶν. .. post αὐτοῦ pon. τῶν ἁ. αἰ. et om. τῶν prius D Ct.

71 αὐτοῦ, 71 σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν
72 μισούντων ἡμᾶς, 72 ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν καὶ
73 μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, 73 ὅρκον ὃν ὤμοσεν πρὸς * Gn. 22, 16.
74 Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν 74 ἀφόβως ἐκ χειρὸς
75 ἐχθρῶν ῥυσθέντας λατρεύειν αὐτῷ 75 ἐν ὁσιότητι καὶ δικαιοσύνῃ
76 ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας ἡμῶν. 76 καὶ σὺ δέ, παιδίον,
προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου κυ-
77 ρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, 77 τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ
78 λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν 78 διὰ σπλάγχνα ἐλέους
79 θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους 79 ἐπι-
φᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦ-
80 ναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. 80 Τὸ δὲ παιδίον ηὔξανεν
καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας
ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

## II.

1 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ
Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην.
2 2 αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυ-
3 ρηνίου. 3 καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν
4 ἑαυτοῦ πόλιν. 4 ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ
πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυΐδ, ἥτις καλεῖ-
ται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυΐδ,

---

71. Hab. ἐκ χειρὸς ἐχθρῶν ἡ. καὶ πάντων τ. etc. D Ct.
74. Rc. Kn. Sz. ἐκ χειρ. τῶν [om. c. BDL 13. 69.] ἐχθ. ἡμῶν, qd Ln. (—) . . om. c. BL 13. 69. Ir. int.
75. Rc. ἡμέρας τῆς ζωῆς ἡμ. . . Kn. (τῆς ζωῆς).
76. καὶ σὺ δέ c. ACDL 33. Cpt. Ct. (h. σὺ δέ B) . . Rc. Kn. Sz. Ln. om. δέ.
77. Pro αὐτῶν h. ἡμῶν A (in fine psalm.) CM al. m. It. cdd. al. . . h. αὐτοῦ 130. gr. . . om. 122. al. Cpt. It. cdd.
78. Hab. ἀνατολὴ ἐξ ὕψ. ἐπέφανεν L 86.

Cap. II. 1. Hab. ἀπογράψασθαι 1. al. Eus.
2. Ln. om. ἡ post αὕτη [c. BD (hab. αὕτη ἐγέν. ἀπογρ. πρ.) 131. Eus.] et hab. Κυρίνου [c. B (hab. Κυρείνου) Syr. Vg. It. al.].
3. Rc. Kn. Sz. ἰδίαν πόλ. [ἑαυτοῦ c. BD (h. ἑαυτ. πατρίδα) L Eus.]
4. Ln. Ναζαράθ (c. AΔ) . . h. Ναζαρέθ D al. m. Eus.

5 ἀπογράψασθαι σὺν Μαριὰμ τῇ ἐμνηστευμένῃ αὐτῷ, οὔσῃ 5
Mt. 1, 25. et 2, 1. ἐγκύῳ. 6 Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέ- 6
ραι τοῦ τεκεῖν αὐτήν, 7 καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότο- 7
κον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν φάτνῃ, διότι
οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. 8 καὶ ποιμένες ἦσαν ἐν 8
τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς
νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. 9 καὶ ἰδού, ἄγγελος κυρίου ἐπέστη 9
αὐτοῖς καὶ δόξα κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν
φόβον μέγαν. 10 καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· Μὴ φοβεῖσθε· 10
ἰδοὺ γάρ, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ
τῷ λαῷ, 11 ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτήρ, ὅς ἐστιν Χριστὸς 11
κύριος, ἐν πόλει Δαυίδ. 12 καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε 12
βρέφος ἐσπαργανωμένον ἐν φάτνῃ. 13 καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ 13
ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λε-
γόντων· 14 Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώ- 14
ποις εὐδοκία. 15 καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν 15
οὐρανὸν οἱ ἄγγελοι, οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν
δὴ ἕως Βηθλεὲμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς ὃ ὁ κύριος
ἐγνώρισεν ἡμῖν. 16 καὶ ἦλθον σπεύσαντες καὶ ἀνεῦρον τήν τε 16

---

5. Ln. *ἀπογράφεσθαι* (c. AD al. Chrs.). — Rc. Kn. Sz. *μεμνηστ.* [*ἐμνηστ.* c. AB*D*L] et add. *γυναικί* [om. c. BDL al. Syr. It.[2] Cpt. al. Eus. al. . . om. *ἐμνηστευμ.* It.[3].].
7. Rc. Kn. Sz. *ἐν τῇ* [om. c. ABDL al. Just.] *φάτνῃ*.
9. Om. *ἰδού* BL Syr. hr. It.[1] al. Eus. — post *δόξα* om. *κυρίου* D al. Ct. It.[3] . . h. *θεοῦ* Vg. It.[4] al. Eus.
11. Om. *ὅς ἐστιν* 118. (sec. XIII.) et pro *κύριος* h. *κυρίου* Syr. hr. . . Jesus Ct. Cypr. . . om. 71. (sec. XII.)
12. Om. *τό* ante *σημ.* B 130. — Rc. Kn. Sz. Ln. *ἐσπαργ.* [Ln. (*καί*)] *κείμενον*. . . om. c. D 68. Ct. Eus. . . add. *καὶ κείμ.* BLPS al. Vg. It.[9] Gth. Eus. — Rc. *ἐν τῇ φάτνῃ*.
13. Hab. *οὐρανοῦ* D* Ct.
14. Ln. *εἰρήνη ἐν ἀνθρώποις εὐδοκίας* [c. AD Vg. It. (hab. hominibus; Ct. It.[3] in homin.) al.] . . om. *ἐν* ante *ἀνθρ.* cd. ap. Erasm. Aeth. Ir. int. Aug. al. . . h. *καί* Syr. al. . . *καὶ ἐν* Cpt. Arr. . . *εὐδοκία* h. e PP. Or. (3.) Eus. Ath. Epiph. Bas. al. m.
15. Rc. Kn. Sz. post *ἄγγελ.* h. *καὶ οἱ ἄνθρωποι*, qu. Ln. (—) . . om. c. BL al. Syr. Vg. It. al. m. Eus. Aug. . . om. *εἰς τ. οὐρ.* 71. al. . . h. *οἱ ἄγγ. ἀπ' α. εἰς τ. οὐρ.* D Ct. et *ἀπ' α. οἱ ἄγγ. εἰς τ. οὐρ.* 13. al. m. Vg. It.[4] Arm.

Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ·
17 17 ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐ-
18 τοῖς περὶ τοῦ παιδίου τούτου. 18 καὶ πάντες οἱ ἀκούσαντες ἐθαύ-
μασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς·
19 19 ἡ δὲ Μαρία πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα
20 ἐν τῇ καρδίᾳ αὐτῆς. 20 καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες
καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς
ἐλαλήθη πρὸς αὐτούς.
21 Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτόν, • Lv. 12.
καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου 3. 4.
πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.
22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν,
κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παρα-
23 στῆσαι τῷ κυρίῳ, 23 καθὼς γέγραπται ἐν τῷ νόμῳ κυρίου· ὅτι • Ex. 13.
24 πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται, 24 καὶ 2.
τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ κυρίου, ζεῦγος • Lv. 12.
25 τρυγόνων ἢ δύο νοσσοὺς περιστερῶν. 25 καὶ ἰδού, ἄνθρωπος ἦν 8.
ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος
καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ πνεῦμα
26 ἦν ἅγιον ἐπ' αὐτόν· 26 καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ
πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν
27 κυρίου. 27 καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ

---

17. Ln. ἐγνώρισαν (c. BDL al. Eus.). — om. τούτου D al. It.[2] Cpt. al.
19. Rc. Kn. Sz. ἡ δὲ Μαριάμ [Μαρία c. BD]. — om. ταῦτα B al.
20. Rc. κ. ἐπέστρεψαν.
21. Hab. αἱ ἡμέραι D al. pm. et pergit αἱ ὀκτώ D. — Rc. περιτ. τὸ παιδίον. — om. καί ante ἐκληθ. D al. Vg. It. — h. ἐν κοιλίᾳ μητρός D Ct.
22. Om. αἱ B 242. et om. τοῦ B*. — Pro αὐτῶν h. αὐτοῦ D al. .. ejus Vg. It. Prs. .. αὐτῆς 76. Arr. .. om. 435. Cpt. Ar. p. Ir.
23. Rc. Kn. Sz. hoc v. et v. seq. ἐν νόμῳ κυρ.
24. Rc. Sz. Ln. νεοσσούς. [νοσσ. c. BEGHSV al.]
25. Om. ἰδού D Syr. al. — ἄνθρ. ἦν c. B It.[3] .. Rc. Kn. Sz. Ln. ἦν ἄνθρ. .. om. ἦν FM al. — h. δίκ. καὶ εὐσεβής K al. m. — h. τῷ Ἰορ. L 1. 22. al. Did. — Rc. (c. D al. Vg. It. Gth.) πν. ἅγιον ἦν.
26. Hab. κεχρηματισμένος δὲ ἦν D .. responsum autem acceperat cdd. It. — h. πρὶν ἂν B al. πρὶν ἢ ἂν X al. — h. πρὶν ἢ ἰδεῖν K al. m. Cyr. hr.

εἰσάγειν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ
τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, 28 καὶ αὐτὸς ἐδέξατο αὐτὸ 28
εἰς τὰς ἀγκάλας καὶ εὐλόγησεν τὸν θεὸν καὶ εἶπεν· 29 Νῦν ἀπο- 29
λύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ,
30 ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, 31 ὃ ἡτοίμασας 30 31
κατὰ πρόσωπον πάντων τῶν λαῶν, 32 φῶς εἰς ἀποκάλυψιν ἐθνῶν 32
καὶ δόξαν λαοῦ σου Ἰσραήλ. 33 καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μή- 33
τηρ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. 34 καὶ εὐλό- 34
γησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ·
Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ
καὶ εἰς σημεῖον ἀντιλεγόμενον· 35 καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν 35
διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρ-
διῶν διαλογισμοί. 36 καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, 36
ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα
μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, 37 καὶ αὐτὴ 37
χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ,
νηστείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα καὶ ἡμέραν. 38 καὶ 38
αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ θεῷ καὶ ἐλάλει περὶ
Mt. 2, αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν Ἱερουσαλήμ. 39 καὶ 39
22. 23. ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον κυρίου, ὑπέστρεψαν

---

28. Hab. ἐδέξ. αὐτόν M al. pm. Cyr. hr. — Rc. Kn. Sz. ἀγκάλ. αὐτοῦ, Ln. (αὐτοῦ) .. om. c. BL al. It.[3] Did.

31. Om. ἐθνῶν D Ct.

33. ὁ πατὴρ α. κ. ἡ μητ. (αὐτοῦ s. sic s. post μητ. s. bis pon.) c. BDL al. Vg. It.[5] al. Or. int. (dis.) Cyr. hr. al. .. Rc. Kn. Sz. Ln. Ἰωσὴφ (Ln. ὁ Ἰ.) καὶ ἡ μήτηρ αὐτοῦ.

35. Ln. (δέ) .. om. BL Vg. It.[3] — om. ἐκ D Syr. It.[6] al.

36. Om. ἦν D Ct. Syr. Ver. — h. καὶ αὕτη D al. Ct. Syr. Prs. — h. αὐτῆς pro πολλαῖς Syr. al.

37. Rc. Kn. Sz. Ln. καὶ αὕτη χήρα. — Rc. Kn. Sz. ὡς ἐτῶν [ἕως c. ABL al Vg. It.[7] al.] .. om. D Ct. It.[4] al. — Rc. Kn. Sz. ἀπὸ τοῦ ἱερ. et Ln. (ἀπό) .. om. c. BDFL.

38. Rc. Kn. Sz. καὶ αὕτη [om. c. ABDLΔ al. Cpt. al. Thphyl.] αὐτῇ τ. ὥρ. — Rc. Kn. Sz. pro θεῷ [c. BDL Verc. Cpt. al. Gr. nyss. Ir.] h. κυρίῳ. — Rc. Kn. Sz. ἐν [om. c. B al. Syr. Cpt. Vg. ms. It.[11] al. Ir. al.] Ἱερουσ. .. leg. etiam τοῦ Ἰσραήλ et ἐν τῷ Ἰσ.

39. Om. τά DLΔ al. Syr. Vg. It. al.

40 εἰς τὴν Γαλιλαίαν εἰς πόλιν ἑαυτῶν Ναζαρέτ. [40] τὸ δὲ παιδίον
ηὔξανεν καὶ ἐκραταιοῦτο πληρούμενον σοφίας, καὶ χάρις θεοῦ
ἦν ἐπ' αὐτό.
41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ
42 ἑορτῇ τοῦ πάσχα. [42] καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβαινόντων
43 αὐτῶν κατὰ τὸ ἔθος τῆς ἑορτῆς [43] καὶ τελειωσάντων τὰς ἡμέρας,
ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσα-
44 λήμ, καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. [44] νομίσαντες δὲ αὐτὸν
εἶναι ἐν τῇ συνοδίᾳ ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν αὐτὸν ἐν
45 τοῖς συγγενέσιν καὶ τοῖς γνωστοῖς· [45] καὶ μὴ εὑρόντες ὑπέστρεψαν
46 εἰς Ἱερουσαλὴμ ἀναζητοῦντες αὐτόν. [46] καὶ ἐγένετο μετὰ ἡμέρας
τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκά-
47 λων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· [47] ἐξίσταντο δὲ
πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν
48 αὐτοῦ. [48] καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ εἶπεν πρὸς αὐτὸν
ἡ μήτηρ αὐτοῦ· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδού, ὁ πατήρ
49 σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. [49] καὶ εἶπεν πρὸς αὐτούς·
Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ
50 εἶναί με; [50] καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.
51 [51] καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑπο-

---

39. Rc. Kn. Sz. *εἰς τὴν* [om. c. BD* 1.] *πόλ. αὐτῶν* [*ἑαυτ.* c. ABDG KLVXΔ al. pm.]. — h. *Ναζαρέθ* B al. m. . . *Ναζαράθ* Δ.

40. Hab. *Ἰησοῦς ἐκραταιοῦτο κ. ηὐξάνετο* D Ct. et (om. *Ἰησ.*) It.[2] — Rc. Kn. Sz. ante *πληρ.* h. *πνεύματι.* [om. c. BDL al. Vg. It. (exc. 1.) al. Tit. bostr. Or. int. al.] — h. *σοφίᾳ* BL al. — Leg. *ἐπ' αὐτῷ* (K), *ἐπ' αὐτόν* (M), *ἐν αὐτῷ* (D).

41. Hab. Joseph et Maria It.[6]

42. Rc. Kn. Sz. *ἀναβάντων.* [*ἀναβαιν.* c. ABKL al. Vg. It.[3]] iid. et Ln. post *αὐτῶν* h. *εἰς Ἱεροσόλυμα*, qd. om. c. BDL al. Syr. al. . . post *ἑορτῆς* pon. 218.

43. Rc. Kn. Sz. *κ. οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ* [*κ. ο. ἔγν. οἱ γ. α.* c. BDL al. m. Syr. hr. Vg. It.[3] al.].

44. Rc. Kn. Sz. *καὶ ἐν τοῖς γνωστ.*

45. Rc. Kn. Sz. *μὴ εὑρ. αὐτὸν* [Ln. (*αὐτὸν*)] et *ζητοῦντες* . . . om. *αὐτόν* c. BCDL al. Vg. It.[8] al.

46. Om. *καί* ante *ἀκούοντα* D al. Vg. It. al.

47. Om. *οἱ ἀκ. αὐτοῦ* B.

51. Om. *καὶ ἦλθεν* C*DF al. Cpt. al. . . h. ante *κ. κατέβη* Aeth.

ταπσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα
ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. 52 καὶ Ἰησοῦς προέκοπτεν ἡλικίᾳ καὶ 52
σοφίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις.

## III.

Mt. 3, Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, 1
1-12. Mc. 1, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος
1-8. Jo. 1, τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρ-
6-8. et χοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου
15 28. τῆς Ἀβιληνῆς τετραρχοῦντος, 2 ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, 2
ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ·
3 καὶ ἦλθεν εἰς πᾶσαν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα 3
μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, 4 ὡς γέγραπται ἐν βίβλῳ λόγων 4
Es. 40, Ἡσαΐου τοῦ προφήτου· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε
3-5. τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· 5 πᾶσα φά- 5
ραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται,
καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείας καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας·
6 καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. 7 ἔλεγεν οὖν τοῖς 6 7
ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν,
τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; 8 ποιήσατε 8
οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυ-
τοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται
ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. 9 ἤδη δὲ 9
καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον

---

51. Hab. ἡ δὲ μήτ. C** D E G H M al. pm. Cpt. — Ln. τὰ ῥήμ. πάντα (ταῦτα). .. h. τὰ ῥ. τὰ ἄπαντα ταῦτα (A), τὰ ῥ. πάντα (D), πάντα τὰ ῥ. (B), πάντα ταῦτα (S) .. al. aliter.

52. ἡλικ. κ. σοφ. c. D L Syr. et hr. It.[4] al. Greg. nyss. Cyr. al. .. Rc. Kn. Sz. Ln. σοφ. κ. ἡλικ... om. ἡλικίᾳ καὶ 24* al. Arm.

Cap. III. 1. Hab. Ἀβηληνῆς B al. .. Ἀβιλινῆς C V Δ al. m... al. aliter.

2. Rc. ἐπ' ἀρχιερέων. — Ln. Καΐφα c. C D Vg. It. (D al. Vg. It. eodem modo ap. MT. et ap. JO.) — Rc. τοῦ Ζαχαρ.

3. Rc. Kn. Sz. πᾶσ. τὴν [om. c. A B L al. Or. (3.)] περίχ.

4. Rc. Kn. Sz. τοῦ προφ. λέγοντος. — h. τοῦ κυρ. A C al.

5. Rc. Kn. Sz. εἰς εὐθεῖαν. [εὐθείας c. B D al. Vg. It. (exc. 1.) Or. (bis dis.) al.]

8. Hab. καρπὸν ἄξιον D Ct. al. Did... ἀξίους καρπ. B Or. (plural. dis.)

9. Om. καί D Syr. Vg. It. (exc. 1.) al. m. Did.

10 μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. [10] καὶ
11 ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· Τί οὖν ποιήσωμεν; [11] ἀπο-
κριθεὶς δὲ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ
12 ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω. [12] ἦλθον δὲ καὶ
τελῶναι βαπτισθῆναι καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε, τί ποι-
13 ήσωμεν; [13] ὁ δὲ εἶπεν πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ δια-
14 τεταγμένον ὑμῖν πράσσετε. [14] ἐπηρώτων δὲ αὐτὸν καὶ στρα-
τευόμενοι λέγοντες· Τί ποιήσωμεν καὶ ἡμεῖς; καὶ εἶπεν αὐτοῖς·
Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψω-
15 νίοις ὑμῶν. [15] προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων
πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς
16 εἴη ὁ Χριστός, [16] ἀπεκρίνατο πᾶσιν λέγων ὁ Ἰωάννης· Ἐγὼ μὲν
ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ
ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς
17 βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· [17] οὗ τὸ πτύον ἐν τῇ χειρὶ
αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον
εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.
18 [18] Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν·
19 [19] ὁ δὲ Ἡρώδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρω- Mt. 4, 12.
διάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν et 14, 1-12. Mc. 1, 14.
20 ἐποίησεν πονηρῶν ὁ Ἡρώδης, [20] προσέθηκεν καὶ τοῦτο ἐπὶ πᾶ- et 6, 14-29.
21 σιν καὶ κατέκλεισεν τὸν Ἰωάννην ἐν φυλακῇ. [21] Ἐγένετο δὲ ἐν Mt. 3, 13-17.
τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ Mc. 1, 9-11. Jo. 1, 29-34.
22 προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν [22] καὶ καταβῆναι τὸ

---

9. Om. καλόν Or. (dis.) It.[3]; inde Ln. (καλ.).
10. Rc. Kn. ποιήσομεν [ποιήσωμεν c. ABDFHKLSVXΔ al. pl. et c. iisd. fere v. 12. et v. 14.].
11. Rc, Kn. Sz. λέγει.
12. Hab. βαπτισθ. ὑπ' αὐτοῦ CKX al. pm. — Rc. Kn. Sz. ποιήσομεν... cf. ad v. 10.
14. Rc. Kn. Sz. καὶ ἡμεῖς τί ποιήσομεν... cf. ad v. 10... καὶ ἡμ. D Ct. — Rc. Kn. Sz. εἶπ. πρὸς αὐτούς.
16. Ln. ὑμᾶς εἰς μετάνοιαν c. CD It. (exc. 3.) [Or. dis. om.]
17. Pro καὶ διακαθ. h. διακαθᾶραι ac postea συναγαγεῖν B.
19. Rc. post γυναικός add. Φιλίππου, qd Kn. (—). — om. in fine ὁ Ἡρ. Syr. Prs. It.[1].. pon. ante πονηρ. B (ap. Sz.) al.
20. Ln. (καὶ) τοῦτο, — Rc. Kn. Sz. ἐν τῇ φυλακῇ.

πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡς περιστερὰν ἐπ' αὐτὸν καὶ
φωνὴν ἐξ οὐρανοῦ γενέσθαι· Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν
σοὶ εὐδόκησα.
Mt. 1, Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα, 23
1-17. ὢν υἱός, ὡς ἐνομίζετο, τοῦ Ἰωσήφ, τοῦ Ἡλί, 24 τοῦ Ματθάτ, 24
1 Chr. 2, 1-15. τοῦ Λευΐ, τοῦ Μελχί, τοῦ Ἰαννά, τοῦ Ἰωσήφ, 25 τοῦ Ματτα- 25
2 Chr. 3, 1-19. θίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλί, τοῦ Ναγγαί, 26 τοῦ 26
Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ, τοῦ Ἰωσήχ, τοῦ Ἰούδα,
27 τοῦ Ἰωαννᾶ, τοῦ Ῥησᾶ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ 27
Νηρί, 28 τοῦ Μελχί, τοῦ Ἀδδί, τοῦ Κωσάμ, τοῦ Ἐλμωδάμ, 28
τοῦ Ἤρ, 29 τοῦ Ἰησοῦ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ, τοῦ Ματθάτ, 29
τοῦ Λευΐ, 30 τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάν, 30
τοῦ Ἐλιακείμ, 31 τοῦ Μελεᾶ, τοῦ Μεννᾶ, τοῦ Ματταθά, τοῦ 31
Ναθάν, τοῦ Δαυΐδ, 32 τοῦ Ἰεσσαί, τοῦ Ἰωβήδ, τοῦ Βοός, τοῦ 32
Σαλμών, τοῦ Ναασσών, 33 τοῦ Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ Ἐσ- 33
ρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, 34 τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ 34
Ἀβραάμ, τοῦ Θάρα, τοῦ Ναχώρ, 35 τοῦ Σερούχ, τοῦ Ῥαγαῦ, 35
τοῦ Φάλεκ, τοῦ Ἔβερ, τοῦ Σάλα, 36 τοῦ Καϊνάμ, τοῦ Ἀρφαξάδ, 36
τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ, 37 τοῦ Μαθουσάλα, τοῦ Ἑνώχ, 37

---

22. Rc. Kn. Sz. ὡσεὶ περιστ. — h. εἰς αὐτόν D Vg. It. (exc. 2.) — Rc. Kn. Sz. post γενέσθ. h. λέγουσαν. — pro σὺ εἶ etc. h. υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε D Ct. It.[5] Just. Clem. al.

23. Καὶ αὐτός usq. Ἰωσήφ c. BL 1. 33. al. Or. .. h. ἦν δὲ Ἰησ. ὡς ἐτῶν τρ. ἀρχόμενος ὡς ἐνομίζ. εἶναι υἱὸς Ἰωσ. D Ct. .. al. aliter. .. Rc. Kn. Sz. Ln. Καὶ αὐτ. ἦν ὁ Ἰησ. ὡσεὶ ἐτ. τρ. ἀρχόμενος, ὤν, ὡς ἐνομ., υἱὸς Ἰωσ.

24. Pro Ματθάτ h. Ματθάν s. Μαθάν KLMX al. m. Bas. al. .. om. Eus, al. — Ln. Ἰανναί c. B al.

26. Ἰωσήχ c. BLX al. m. It. cdd. al. Gr. naz. .. Rc. Kn. Sz. Ln. Ἰωσήφ.

27. Ln. Ἰωανάν c. B al. Syr. Ar. et v. 28. Ἐλμαδάμ c. B al.

29. Rc. Kn. Sz. pro Ἰησοῦ [c. BL al. Vg. It. al.] h. Ἰωσῆ.

31. Rc. Kn. Sz. pro Μεννᾶ [c. BX al.] h. Μαϊνάν .. om. A al.

32. Rc. Kn. Sz. pro Ἰωβήδ [c. AB (h. Ἰωβέδ) FMX al. Cpt.] h. Ὠβήδ ac pro Βοός [s. Βοώς c. ABDLM*X al.] h. Βοόζ.

33. Post Ἀράμ add. τοῦ Ἰωράμ s. Ἰωαράμ EKMSVΔ al. pm. It.[1] al. — Ln. Ἐσρών c. B.

35. Rc. Σαρούχ. — h. Ῥαγάβ LV al. Gr. naz. — h. Φάλεγ AEHKS al. m. Vg. It.[1]

36. Καϊνάμ c. BL al. .. Rc. Kn. Sz. Ln. Καϊνάν. .. om. D Ct.

38 τοῦ Ἰάρεδ, τοῦ Μαλελεήλ, τοῦ Καϊνάν, 38 τοῦ Ἐνώς, τοῦ Σήθ,
τοῦ Ἀδάμ, τοῦ θεοῦ.

## IV.

1 Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορ- Mt. 4,
2 δάνου, καὶ ἤγετο ἐν τῷ πνεύματι ἐν τῇ ἐρήμῳ 2 ἡμέρας τεσσα- 1-11. Mc. 1,
ράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου. καὶ οὐκ ἔφαγεν οὐδὲν 12. 13.
ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συντελεσθεισῶν αὐτῶν ἐπείνασεν.
3 3 εἶπεν δὲ αὐτῷ ὁ διάβολος· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ
4 τούτῳ, ἵνα γένηται ἄρτος. 4 καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἰησοῦς·
Γέγραπται· ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' • Dt. 8,
5 ἐπὶ παντὶ ῥήματι θεοῦ. 5 καὶ ἀναγαγὼν αὐτὸν ἔδειξεν αὐτῷ πάσας 3.
6 τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου. 6 καὶ εἶπεν αὐτῷ
ὁ διάβολος· Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν
7 αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται καὶ ᾧ ἂν θέλω δίδωμι αὐτήν· 7 σὺ
8 οὖν ἐὰν προσκυνήσῃς ἐνώπιον ἐμοῦ, ἔσται σοῦ πᾶσα. 8 καὶ ἀπο-
κριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Γέγραπται· Προσκυνήσεις κύριον • Dt. 6,
9 τὸν θεόν σου καὶ αὐτῷ μόνῳ λατρεύσεις. 9 ἤγαγεν δὲ αὐτὸν 13.
εἰς Ἱερουσαλὴμ καὶ ἔστησεν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ
εἶπεν αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω·

---

37. Ln. Ἰάρεθ.

Cap. IV. 1. Rc. Kn. Sz. εἰς τὴν ἔρημον... om. ἐν τῷ (om. 11. 225. Did.) πνεύμ. 107. Ver.

2. et 3. Rc. Kn. Sz. ὕστερον ἐπείνασε. 3. Καὶ εἶπεν αὐτ. etc.

4. Rc. Kn. Sz. (hi hab. Καὶ ἀπεκρ. Ἰησοῦς πρ. αὐτ.) Ln. λέγων· Γέγρ... om. c. BL al. Vg. It.[2] al. — om. ὁ ante ἄνθρ. FKMS al. pl. Or. — om. ἀλλ' ἐ. π. ῥ. θεοῦ BL Sah. .. h. ῥ. ἐκπορευομένῳ διὰ τοῦ στόματος θ. 64. al. m. Cpt. al.

5. V. 5 usq. 8. post v. 12. pon. It.[5] Ambr. al.

5. Rc. Kn. Sz. Ln. αὐτὸν ὁ διάβολος [om. c. BDL al. Cpt. Sah. Arm... h. ὁ σατανᾶς Syr. p. ms.] εἰς ὄρος ὑψηλόν [Ln. (εἰς ὄρ. ὑψ.) .. om. c. BL Cpt. Sah. Vg. ms. It.[8] Sax... add. λίαν D al.].

7. Pro σοῦ h. σοὶ 18. al. m. Cyr. — Rc. pro πᾶσα h. πάντα.

8. Rc. Kn. Sz. post ὁ Ἰησ. h. ὕπαγε ὀπίσω μου σατανᾶ, qu. Ln. (—) .. om. c. BDL al. m. Syr. Vg. It. (exc. 2.) al. m. Or. al. — Rc. γέγρ. γάρ. — Ln. Κύριον τ. θ. σ. προσκ. c. BDFL al. m. It. Vg.

9. ἤγαγ. δέ c. BL Cpt. al. .. Rc. Kn. Sz. Ln. καὶ ἤγαγ.; iid. ἔστησ. αὐτόν... om. c. BL. — Rc. εἰ ὁ υἱός. — om. ἐντεῦθεν EGH al. m. Vg. ms... etiam post κάτω pon.

* Ps. 91, 10 γέγραπται γάρ· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ 10
11. 12. διαφυλάξαι σε, 11 καὶ ὅτι ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσ- 11
κόψῃς πρὸς λίθον τὸν πόδα σου. 12 καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ 12
* Dt. 6. ὁ Ἰησοῦς· ὅτι εἴρηται· Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου.
16. 13 καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ᾽ αὐ- 13
τοῦ ἄχρι καιροῦ.
Mt. 4, Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς 14
12-17. Mc. 1, τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθεν καθ᾽ ὅλης τῆς περιχώρου περὶ
14. 15. αὐτοῦ. 15 καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζό- 15
μενος ὑπὸ πάντων.
Mt. 13, Καὶ ἦλθεν εἰς Ναζαρέτ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθεν 16
53 sqq. Mc. 6, κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγω-
1 sqq. γήν, καὶ ἀνέστη ἀναγνῶναι. 17 καὶ ἐπεδόθη αὐτῷ βιβλίον τοῦ 17
προφήτου Ἠσαΐου, καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ
* Es. 61, ἦν γεγραμμένον· 18 Πνεῦμα κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με 18
1. 2. εὐαγγελίσασθαι πτωχοῖς, ἀπέσταλκέν με 19 κηρῦξαι αἰχμαλώτοις 19
ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέ-
σει, κηρῦξαι ἐνιαυτὸν κυρίου δεκτόν. 20 καὶ πτύξας τὸ βιβλίον 20
ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν, καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ
συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ. 21 ἤρξατο δὲ λέγειν πρὸς αὐ- 21
τούς· ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.
22 καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις 22
τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἔλε-

---

11. Om. ὅτι DEFGHSVΔ al. pl. Syr. It.[2.] al. m. Eus.

16. Rc. Kn. Sz. εἰς τὴν Ναζ. .. h. Ναζαρέθ B al. m. — h. ἀνατεθραμμ. FL al. Eus. Cyr. — καὶ ἀν. ἀναγν. post Ἠσ. προφ. v. 17. pon. 1. al. Syr. hr. Arm. .. om. 416. al.

17. Pro βιβλ. τ. πρ. Ἠσ. h. ὁ προφήτης Ἠσαΐας et om. postea τὸ βιβλίον D Ct. — Ln. καὶ ἀνοίξας.

18. Rc. οὗ ἕνεκεν et εὐαγγελίζεσθαι. — Rc. Sz. post ἀπέσταλ. με add. ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, qu. Kn. et Ln. (—). .. om. c. BDL al. Vg. ms. It. (exc. 1.) al. Or. (gr. 2. et lat.) Eus Ath. Petr. alex. al.

19. Add. in fine καὶ ἡμέραν ἀνταποδόσεως 229*. Vg. It. al. Petr. alex. al.

20. πάντ. οἱ ὀφθ. usq. ἦσαν c. BFL al. Colb. Eus. .. h. πάντ. ἐν τ. σ. ἦσ. οἱ ὀφθ. A al. .. al. aliter. .. Rc. Kn. Sz. Ln. πάντ. ἐν τ. σ. οἱ ὀφθ. ἦσ.

23 γον· Οὐχὶ ὁ υἱός ἐστιν Ἰωσὴφ οὗτος; [23] καὶ εἶπεν πρὸς αὐτούς·
Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρέ, θεράπευσον
σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα εἰς Καφαρναούμ, ποίησον καὶ
24 ὧδε ἐν τῇ πατρίδι σου. [24] εἶπεν δέ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς Jo. 4,
25 προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. [25] ἐπ' ἀληθείας δὲ 44. * 1 Rg.
λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ 17, 1. 9. Jac. 5,
Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἔτη τρία καὶ μῆνας ἕξ, ὡς 17.
26 ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· [26] καὶ πρὸς οὐδεμίαν
αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεφθα τῆς Σιδωνίας πρὸς
27 γυναῖκα χήραν. [27] καὶ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλι- * 2 Rg. 5, 14.
σαίου τοῦ προφήτου· καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν
28 ὁ Σύρος. [28] καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ
29 ἀκούοντες ταῦτα, [29] καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς
πόλεως καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις
30 αὐτῶν ᾠκοδόμητο, ὥστε κατακρημνίσαι αὐτόν· [30] αὐτὸς δὲ διελ-
θὼν διὰ μέσου αὐτῶν ἐπορεύετο.

31 Καὶ κατῆλθεν εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας, καὶ Mc. 1, 21-28.
32 ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν· [32] καὶ ἐξεπλήσσοντο ἐπὶ Mt. 7,
33 τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. [33] Καὶ ἐν τῇ 28. 29.
συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ
34 ἀνέκραξεν φωνῇ μεγάλῃ· [34] Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζα-
ρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ.

---

22. Rc. Kn. Sz. Ln. *οὐχ* (Ln. *οὐχί*) *οὗτ. ἐστ. ὁ υἱ. Ἰωσ.* .. *οὐχὶ* (L al. *οὐχ*) *ὁ υἱ.* (DL *υἱ.*) *ἐστ. Ἰωσ.* (D *Ἰωσ. ἐστ.*) *οὗτ.* c. BDL al.

23. Rc. Kn. Sz. *ἐν τῇ Καπερναούμ.*

25. Om. *δέ* DK al. Vg. It. (exc. 1.) al. .. *γάρ* Syr. — Rc. Kn. Sz. *ἐπὶ* [om. c. BD al. Vg. It. (exc. Verc.)] *ἔτη.* — h. *λιμ. μεγάλη* 13. 69.

26. *Σάρεφθα* c. BKL (h. *Ἄρεφθα*) MS al. m. Or. Thphyl. .. Rc. Kn. Sz. Ln. *Σάρεπτα.* .. Rc. Kn. Sz. *τῆς Σιδῶνος* [*Σιδωνίας* c. ABCDV al. m. Vg. It. Or.].

27. Rc. Kn. Sz. *ἐν τῷ Ἰσρ.* post *προφήτ.* pon. .. om. 56. 58*. Mcion. Or. .. Rc. Kn. Sz. *Ἐλισσαίου.* — Ln. *Ναιμάν* c. AD**KL al.

29. Rc. Ln. *ἕως τῆς* [om. c. ACGHKLSVΔ al. pl. Mcion. Or.] *ὀφρύος.* — Rc. Sz. *εἰς τὸ κατακρ.*

33. Hab. *πνεῦμα δαιμόνιον ἀκάθαρτον* D .. *δαιμόνιον ἀκάθαρτον* 29. Vg. It. Aeth.

34. Rc. Kn. Sz. Ln. ab init. add. *λέγων* .. om. c. BLV* Cpt. Or. — om. *ἔα* D al. Syr. hr. It. (exc. 4.) al. .. om. *Ναζαρ.* Mcion.

35 *καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων· Φιμώθητι καὶ ἔξελθε* 35
*ἀπ' αὐτοῦ. καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν*
*ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν.* 36 *καὶ ἐγένετο θάμβος ἐπὶ* 36
*πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες· Τίς ὁ λόγος*
*οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύ-*
*μασιν καὶ ἐξέρχονται;* 37 *καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς* 37
*πάντα τόπον τῆς περιχώρου.*
Mt. 8, *Ἀναστὰς δὲ ἀπὸ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν Σί-* 38
14. 15. Mc. 1, *μωνος. πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ,*
29-31. *καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς.* 39 *καὶ ἐπιστὰς ἐπάνω αὐτῆς* 39
*ἐπετίμησεν τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀνα-*
Mt. 8, *στᾶσα διηκόνει αὐτοῖς.* 40 *Δύνοντος δὲ τοῦ ἡλίου πάντες ὅσοι* 40
16. Mc. 1, *εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν·*
32-34. *ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς ἐθεράπευσεν αὐτούς.*
41 *ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κράζοντα καὶ λέγοντα·* 41
*ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν,*
Mc. 1, *ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι.* 42 *Γενομένης δὲ ἡμέρας* 42
35-39. *ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐ-*
*τόν· καὶ ἦλθον ἕως αὐτοῦ καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι*
*ἀπ' αὐτῶν.* 43 *ὁ δὲ εἶπεν πρὸς αὐτούς· ὅτι καὶ ταῖς ἑτέραις πό-* 43
*λεσιν εὐαγγελίσασθαί δεῖ με τὴν βασιλείαν τοῦ θεοῦ, ὅτι ἐπὶ*
*τοῦτο ἀπεστάλην.* 44 *καὶ ἦν κηρύσσων εἰς τὰς συναγωγὰς τῆς* 44
*Γαλιλαίας.*

---

35. Rc. Kn. Sz. *ἔξελθε ἐξ* [*ἀπ'* c. BDLMV al. pm. Vg. It. Or.] *αὐτ.* — Kn. *εἰς μέσον* c. DEFGHKSV al. pl. Mcion. Or... om. 131. Ev. 47. It.[4]

38. Rc. Kn. Sz. Ln. *ἐκ τῆς συν...* *ἀπό* c. BCDLQ al. m. Or. de Vg. It. a Ct. — Rc. *ἡ πενθερά.*

40. Hab. *Δύναντος* 25. al. m... *Δύντος* Or... *Δύσαντος* D. — Rc. Kn. Sz. *ἐπιθείς.*

41. Ln. *κραυγάζοντα* c. ADEVΔ al. pm. Or. — Rc. Sz. et Kn. (—) *ὁ Χριστὸς* [om. c. BCDFLX al. Vg. It. (exc. 1.) al. Or. al.] *ὁ υἱός* etc. — om. *τόν* ante *Χρ.* D Or.

42. Rc. *ἐζήτουν.*

43. Hab. *εἰς τὰς ἄλλας πόλεις* D Ct. — Rc. Kn. Sz. *εἰς* [*ἐπί* c. BL al. It. cdd.] *τοῦτο ἀπέσταλμαι.* [*ἀπεστάλ.* c. BDLX al.]

44. *εἰς τ. συν.* c. BDQ al. m... Rc. Kn. Sz. Ln. *ἐν ταῖς συναγωγαῖς.* — h. *τῆς Ἰουδαίας* CLQ al. m. Cpt.

# V.

1 Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν Mt. 4,
τὸν λόγον τοῦ θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννη- 18-22. Mc. 1,
2 σαρέτ, 2 καὶ εἶδεν δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλι- 16-20.
3 εῖς ἀπ' αὐτῶν ἀποβάντες ἀπέπλυναν τὰ δίκτυα. 3 ἐμβὰς δὲ εἰς ἓν
τῶν πλοίων ὃ ἦν Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπανα-
γαγεῖν ὀλίγον· καθίσας δὲ ἐκ τοῦ πλοίου ἐδίδασκεν τοὺς ὄχλους.
4 4 ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπεν πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε
5 εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. 5 καὶ
ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ· Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς
κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ
6 δίκτυον. 6 καὶ τοῦτο ποιήσαντες συνέκλεισαν ἰχθύων πλῆθος πολύ·
7 διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. 7 καὶ κατένευσαν τοῖς μετόχοις
τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ
ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.
8 8 ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν τοῖς γόνασιν Ἰησοῦ λέγων·
9 Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε. 9 θάμβος γὰρ
περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν
10 ἰχθύων ᾗ συνέλαβον, 10 ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην
υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. καὶ εἶπεν πρὸς τὸν
Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζω-

---

Cap. V. 1. Hab. *καὶ ἀκούειν* ABX al.

2. Hab. *πλοιάρια* ACL al. It.[2] — *ἀπ' αὐτ. ἀποβ.* c. CDL al. .. Rc. Kn. Sz. Ln. *ἀποβ. ἀπ' αὐτ.* .. om. *ἀπ' αὐτ.* Vg. It.[5] — Ln. *ἔπλυνον* c. B (ap. Btlj.) D 91. .. h. *ἔπλυναν* B (ap. Birch.) C* LX al.

3. Hab. *ἓν πλοῖον* D Ct. Vg. It. — Rc. Kn. Sz. *τοῦ Σίμωνος*. — h. *ἐπαναγ. ὅσον ὅσον* D. — *καθ. δέ* c. BL Cpt. Verc. .. Rc. Kn. Sz. Ln. *καὶ καθ.*

5. Om. *ὁ* et *αὐτῷ* B. — Ln. om. *τῆς* c. ABL 131. — h. *χαλάσομεν* s. *χαλάσωμεν* K al. m. Cpt. al. m. et *τὰ δίκτυα* B al. It.[1] al.

6. Hab. *διεῤῥήσσεν* (et *τὰ δίκτυα*) B .. *διεῤῥήσσετο* L .. *ὥστε τὰ δίκτυα ῥήσσεσθαι* D Ct. al. .. *ὥστε μὴ δύνασθαι ἀναγαγεῖν αὐτό* S.

7. Ln. *τ. μετόχ.* (*τοῖς*) .. om. *τοῖς* BDL. — h. *ὥστε παρά τι* C (videtur) D Syr. Vg. It.[2] al.

8. Rc. Kn. Sz. *τοῦ* [om. c. BHKSVΔ al. pm.] *Ἰησοῦ*. .. h. *αὐτοῦ* (*τοῖς ποσὶν* pro *τ. γόνασ.*) D Ct.

9. Hab. *ὧν συνέλαβ.* D (et B ap. Sz.) It.[1] Thphyl.

10. Om. *ὁ* ante *Ἰησ.* B.

γρῶν. [11] καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες πάντα 11
ἠκολούθησαν αὐτῷ.
Mt. 8, 1-4. Mc. 1, 40-45. Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδού, 12
ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον
ἐδεήθη αὐτοῦ λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.
[13] καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ εἰπών· Θέλω, καθαρί- 13
σθητι. καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ. [14] καὶ αὐτὸς 14
παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν
τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσ-
·l. v. 14, 2. ἔταξεν Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς. [15] διήρχετο δὲ μᾶλλον ὁ 15
λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θερα-
πεύεσθαι ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν· [16] αὐτὸς δὲ ἦν ὑποχωρῶν 16
ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.
Mt. 9, 1-8. Mc. 2, 1-12. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων, 17
καὶ ἦσαν καθήμενοι οἱ Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν
συνεληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ
Ἱερουσαλήμ· καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. [18] καὶ 18
ἰδού, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος,
καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ. [19] καὶ 19
μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες
ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ
εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. [20] καὶ ἰδὼν τὴν πίστιν αὐτῶν 20
εἶπεν· Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. [21] καὶ ἤρξαντο 21
διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι λέγοντες· Τίς ἐστιν
οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἁμαρτίας ἀφεῖναι εἰ μὴ

---

12. Hab. ἰδὼν δέ B .. om. καί 19. 124. Arm. .. om. ἰδὼν τ. Ἰησ. It.[5] Ambr. et hab. καὶ αὐτός.
13. LN. pro εἰπ. hab. λέγων c. BCDLX al. Cyr.
15. Rc. KN. Sz. post θεραπεύεσθ. add. ὑπ' αὐτοῦ. [om. c. BDL al. Vg. It. al... etiam post ἀκούειν (M), etiam bis pon... h. ἀπ' αὐτ. A.]
17. Rc. KN. Sz. om. οἱ ante Φαρισ. et h. ἐληλυθότες. — h. ἰᾶσθ. αὐτόν BL.
18. Post θεῖναι add. αὐτόν BL.
19. Rc. διὰ ποίας. — h. ἔμπροσθ. πάντων B.
20. Post ἰδών h. ὁ Ἰησοῦς CDS al. Syr. It.[1] — Rc. KN. Sz. εἶπ. αὐτῷ. — h. σοῦ αἱ ἁμαρτ. DF al.; etiam v. 23. D.
21. Hab. τί οὗτος λαλ. βλ. D Ct. Cpt. — Rc. KN. Sz. ἀφιέναι ἁμαρτ. [ἀφεῖναι certe c. BD].

22 μόνος ὁ θεός; [22] ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν
ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις
23 ὑμῶν; [23] τί ἐστιν εὐκοπώτερον, εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι
24 σου, ἢ εἰπεῖν· Ἔγειρε καὶ περιπάτει; [24] ἵνα δὲ εἰδῆτε, ὅτι ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπεν
τῷ παραλελυμένῳ· Σοὶ λέγω, ἔγειρε καὶ ἄρας τὸ κλινίδιόν σου
25 πορεύου εἰς τὸν οἶκόν σου. [25] καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον
αὐτῶν, ἄρας ἐφ' ὃ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξά-
26 ζων τὸν θεόν. [26] καὶ ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν
θεὸν καὶ ἐπλήσθησαν φόβου λέγοντες· ὅτι εἴδομεν παράδοξα
σήμερον.

27 Καὶ μετὰ ταῦτα ἐξῆλθεν καὶ ἐθεάσατο τελώνην ὀνόματι Mt. 9, 9-15.
Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· Ἀκολού- Mc. 2, 13-20.
28 θει μοι. [28] καὶ καταλιπὼν ἅπαντα ἀναστὰς ἠκολούθει αὐτῷ.
29 [29] καὶ ἐποίησεν δοχὴν μεγάλην Λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ·
καὶ ἦν ὄχλος πολὺς τελωνῶν καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κα-
30 τακείμενοι. [30] καὶ ἐγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς
αὐτῶν πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες· Διὰ τί μετὰ τῶν
31 τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; [31] καὶ ἀποκριθεὶς
ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες
32 ἰατροῦ, ἀλλὰ οἱ κακῶς ἔχοντες. [32] οὐκ ἐλήλυθα καλέσαι δικαίους,
33 ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. [33] Οἱ δὲ εἶπαν πρὸς αὐτόν· Οἱ
μαθηταὶ Ἰωάννου νηστεύουσιν πυκνὰ καὶ δεήσεις ποιοῦνται, ὁμοίως
34 καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσιν καὶ πίνουσιν. [34] ὁ δὲ
εἶπεν πρὸς αὐτούς· Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν
35 ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστίν, ποιῆσαι νηστεύειν; [35] ἐλεύσονται

22. Ln. om. ἀποκριθ. c. CD al. Syr. It.[6] Aeth.
23. et 24. Rc. Ln. bis ἔγειραι. — Ln. τ. παραλυτικῷ c. CDFLMX al. pm. Cyr.
25. Rc. Sz. Ln. ἐφ' ᾧ.
26. Om. καὶ ἔκστασις usq. θεόν DMSV al. m.
28. Rc. Kn. Sz. ἠκολούθησεν. — 29. Rc. ὁ Λευΐς.
30. Rc. om. τῶν ante τελωνῶν.
31. Om. ὁ ante Ἰησ. B.
33. Rc. Kn. Sz. Ln. Διὰ τί οἱ μαθητ... om. c. BL al. Cpt.
34. Hab. μὴ δύνανται οἱ υἱοὶ τ. ν. ἐφ' ὅσον ἔχουσιν τὸν νυμφίον μεθ' ἑαυτῶν νηστεύειν D Ct.

δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύ-
Mt. 9, 16. 17. Mc. 2, 21. 22. σουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. 36 Ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς 36
αὐτούς· ὅτι οὐδεὶς ἐπίβλημα ἀπὸ ἱματίου καινοῦ σχίσας ἐπιβάλλει
ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίσει καὶ τῷ
παλαιῷ οὐ συμφωνήσει τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ. 37 καὶ 37
οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήξει
ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ
ἀπολοῦνται· 38 ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον. 38
39 καὶ οὐδεὶς πιὼν παλαιὸν θέλει νέον· λέγει γάρ· Ὁ παλαιὸς 39
χρηστός ἐστιν.

## VI.

Mt. 12, 1-8. Mc. 2, 23-28. Ἐγένετο δὲ ἐν σαββάτῳ διαπορεύεσθαι αὐτὸν διὰ σπορίμων, 1
καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας καὶ ἤσθιον ψώχοντες
ταῖς χερσίν. 2 τινὲς δὲ τῶν Φαρισαίων εἶπον· Τί ποιεῖτε ὃ οὐκ 2
ἔξεστιν τοῖς σάββασιν; 3 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐ- 3

---

35. Ln. (καὶ) ὅταν. .. om. καί CFLM al. m. Syr. Vg. It.[7] al. — h. καὶ τότε MΔ al. It.[7] al.

36. Rc. Kn. Sz. post ἐπίβλημα om. ἀπό et Ln. (ἀπό) .. scr. c. BDL 1. 22. 33. 157*. al. Syr. Vg. It.[7] al. — Rc. Kn. Sz. Ln. om. σχίσας... scr. c. BDL 1. 22. 33. 157. al. Syr. al. — Rc. Kn. Sz. σχίζει et συμφωνεῖ. [σχίσει et συμφ. c. BCDL al. m.] — Kn. post συμφων. om. τὸ ἐπίβλ. c. AEFKMSVΔ al. pl. .. Rc. Sz. Ln. ante ἐπίβλ. om. τό. .. scr. c. B (ap. Sz.) CL 1. 22. 33. 157. al. m.

37. Rc. Kn. Sz. ὁ νέος οἶνος [ὁ οἶν. ὁ. ν. c. BDLM al. pm.].

38. Hab. βάλλουσιν D It. (exc. 1.) Dial. c. Mcion. — Rc. Kn. Sz. Ln. in fine add. καὶ ἀμφότεροι συντηροῦνται. .. om. c. BL 1. 33. 157. al. Cpt.

39. Om. v. totum D Ct. It.[5] — Rc. Kn. Sz. Ln. παλαιὸν εὐθέως (om. c. BL 1. 157. al. Cpt. Arm.). iid. χρηστότερος .. χρηστός c. BL 157. al. Cpt.

Cap. VI. 1. Rc. Kn. Sz. σαββάτ. δευτεροπρώτῳ, qd Ln. (—) .. om. c. BL 1. 22. 33. 157. al. Syr. Cpt. Aeth. Ar. p. Prss. It.[3] (Syr. p. in m. notat, id non in omnibus exemplaribus esse) .. etiam δευτέρῳ πρώτῳ et secundo leg. — Rc. Kn. Sz. διὰ τῶν σπ. — pon. τοὺς στάχ. post ἤσθ. BCL et pon. ἤσθ. post χερσ. D It.[2] Arm. — Ln. in fine add. (αὐτῶν).

2. Rc. Kn. Sz. εἰπ. αὐτοῖς, qd Ln. (—) .. om. c. BC*LX al. It.[2] Cpt. — Rc. Kn. Sz. ἔξεστ. ποιεῖν ἐν τ. σ.

3. Om. ὁ ante Ἰησ. B (ap. Btlj.).

τοὺς· Οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησεν Δαυίδ, ὁπότε ἐπείνασεν αὐ- *1 Sam. 21, 6.
4 τὸς καὶ οἱ μετ' αὐτοῦ; [4] εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ
τοὺς ἄρτους τῆς προθέσεως λαβὼν ἔφαγεν καὶ ἔδωκεν τοῖς μετ'
5 αὐτοῦ, οὓς οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς. [5] καὶ
ἔλεγεν αὐτοῖς· ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ
σαββάτου.

6 Ἐγένετο δὲ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συνα- Mt. 12, 9-14. Mc. 3, 1-6.
γωγὴν καὶ διδάσκειν. καὶ ἦν ἄνθρωπος ἐκεῖ καὶ ἡ χεὶρ αὐτοῦ ἡ
7 δεξιὰ ἦν ξηρά· [7] παρετηροῦντο δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ
Φαρισαῖοι, εἰ ἐν τῷ σαββάτῳ θεραπεύει, ἵνα εὕρωσιν κατηγορεῖν
8 αὐτοῦ. [8] αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν· εἶπεν δὲ τῷ
ἀνδρὶ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· Ἔγειρε καὶ στῆθι εἰς τὸ μέσον.
9 καὶ ἀναστὰς ἔστη. [9] εἶπεν δὲ ὁ Ἰησοῦς πρὸς αὐτούς· Ἐπερωτῶ
ὑμᾶς, εἰ ἔξεστιν τῷ σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν
10 σῶσαι ἢ ἀπολέσαι; [10] καὶ περιβλεψάμενος πάντας αὐτοὺς εἶπεν
αὐτῷ· Ἔκτεινον τὴν χεῖρά σου. ὁ δὲ ἐποίησεν οὕτως, καὶ ἀπεκατ-

---

3. Ln. pro ὁπότε h. ὅτε c. BCDLΔ al. m. — Rc. Kn. Sz. in fine add. ὄντες [om. c. BDLX al. m.].

4. Rc. Kn. Sz. ab init. h. ὡς et Ln. πῶς. .. om. c. BD Ct. Mcion. ap. Epiph. — Rc. Kn. Sz. ἔλαβε καὶ ἔφ. (om. λαβὼν DK al. pm. Syr. hr. al. Ir.); iid. καὶ τοῖς μ. α.

6. Rc. Kn. Sz. ἐγέν. δ. καί; iid. et Ln. ἐκεῖ ἄνθρ. .. ἄ. ἐ. cum BL 1. 33. 157. al.

7. Rc. Kn. Sz. παρετήρουν et Kn. Sz. Ln. om. αὐτόν. — Rc. Kn. Sz. θεραπεύσει. — κατηγορεῖν c. B ap. Sz. (D κατηγορῆσαι) SX al. m. Syr. utr. Vg. It. .. Rc. Kn. Sz. Ln. κατηγορίαν .. h. κατ' αὐτ. FKL al. m. Cpt. al.

8. εἶπ. δέ c. BLX 1. 33. al. Verc. .. Rc. Kn. Sz. Ln. καὶ εἶπ. — τῷ ἀνδρί c. BL 1. 33. al. Cyr. .. Rc. Kn. Sz. Ln. τ. ἀνθρώπῳ. .. om. D Ct. — Rc. Sz. Ln. ἔγειραι. .. h. ἐγείρου D. — Rc. Kn. Sz. ὁ δὲ ἀναστ.

9. Rc. Kn. Sz. εἶπ. οὖν. — ἐπερωτῶ c. BL al. Cpt. Vg. It.[3] .. Rc. Kn. Sz. Ln. ἐπερωτήσω, et Rc. Kn. Sz. τί ἔξ. τοῖς σάββασιν; ἀγαθ. ἢ κακ.; ψ. σ. ἢ ἀποκτεῖναι; (Rc. ἀπολέσαι;)

10. Rc. εἶπ. τῷ ἀνθρώπῳ. — Kn. ἐποίησ. (οὕτω) .. om. οὕτ. AEFL MSVΔ al. pl. .. h. ὁ δὲ ἐξέτεινεν DX al. m. Syr. Vg. It. al. m. — Rc. Kn. Sz. ἀποκατεστ.

εστάθη ἡ χεὶρ αὐτοῦ. 11 αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας καὶ διελά- 11
λουν πρὸς ἀλλήλους, τί ἂν ποιήσαιεν τῷ Ἰησοῦ.
Mc. 3, 13-19. Mt. 10, 2-4. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξελθεῖν αὐτὸν εἰς τὸ 12
ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ
θεοῦ. 13 καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησεν τοὺς μαθητὰς αὐ- 13
τοῦ, καὶ ἐκλεξάμενος ἀπ᾿ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους
ὠνόμασεν, 14 Σίμωνα, ὃν καὶ ὠνόμασεν Πέτρον, καὶ Ἀνδρέαν 14
τὸν ἀδελφὸν αὐτοῦ, καὶ Ἰάκωβον καὶ Ἰωάννην καὶ Φίλιππον καὶ
Βαρθολομαῖον 15 καὶ Ματθαῖον καὶ Θωμᾶν καὶ Ἰάκωβον Ἀλ- 15
φαίου, καὶ Σίμωνα τὸν καλούμενον ζηλωτήν, 16 καὶ Ἰούδαν Ἰα- 16
Mc. 3, 7 sqq. Mt. 5, 1. κώβου, καὶ Ἰούδαν Ἰσκαριὼθ ὃς ἐγένετο προδότης, 17 καὶ καταβὰς 17
μετ᾿ αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ,
καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερου-
σαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι
αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν. 18 καὶ οἱ ἐνοχλούμενοι 18
ἀπὸ πνευμάτων ἀκαθάρτων ἐθεραπεύοντο, 19 καὶ πᾶς ὁ ὄχλος 19
ἐζήτουν ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾿ αὐτοῦ ἐξήρχετο, καὶ
ἰᾶτο πάντας. 20 καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς 20
Mt. 5, 3 sqq. τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν· Μακάριοι, οἱ πτωχοί· ὅτι ὑμετέρα
ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. 21 μακάριοι, οἱ πεινῶντες νῦν· ὅτι 21
χορτασθήσεσθε. μακάριοι, οἱ κλαίοντες νῦν· ὅτι γελάσετε.

---

10. Rc. in fine: ὑγιὴς ὡς ἡ ἄλλη... Kn. (ὑγ.) ὡς ἡ ἄ... Sz. ὡς ἡ ἄ... Ln. (ὡς ἡ ἄ.) .. om. ὑγιὴς c. ABDKLQΔ 1. 33. al. m. Syr. utr. Cpt. Vg. It. al. et om. ὡς ἡ ἄ. c. BL 33. al. Cpt. Vg. It.4. al.
11. Rc. Kn. Sz. ποιήσειαν.
12. ἐξελθ. αὐτ. c. ABDLX al... Rc. Kn. Sz. Ln. ἐξῆλθεν.
14. 15. 16. Rc. Kn. Sz. om. καὶ ante Ἰάκωβ. et Φίλιππ. et Ματθ. et Ἰάκωβ. et Ἰούδ... post Θωμᾶν om. etiam Ln. .. scr. c. D* KL al. Syr. Ct. It.4. al... Rc. Kn. Sz. Ln. τὸν τοῦ Ἀλφαίου... om. c. BL 1. 33. al... Rc. Kn. Sz. Ἰσκαριώτην [Ἰσκαριὼθ c. BL 33. Mcion. Epiph... Σκαριὼθ D Syr. It.] et ὃς καὶ ἐγέν.
17. Hab. ἐπὶ τοῦ πεδιν. ESVΔ al. .. ἐ. τόπου τοῦ π. 251. — h. ὄχλος πολὺς BL 1. 118. et om. τοῦ λαοῦ 1. 18. al. It.1.
18. ἐνοχλ. c. ABL al. .. Rc. Kn. Sz. Ln. ὀχλούμενοι. — Rc. ὑπό. — Rc. Kn. Sz. καὶ ἐθεραπ.
19. ἐζήτουν c. BL It.2. .. Rc. Kn. Sz. Ln. ἐζήτει.
20. Hab. οἱ πτ. τῷ πνεύματι X al. m. Syr. hr. It.4. al.
21. Om. μακ. οἱ κλαίοντες etc. D Ct. .. ea ante μακ. οἱ πειν. etc. pon. Syr. hr.

22 22 μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν Mt. 5, 11. 12.
ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν
23 ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. 23 χάρητε ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γάρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ
οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες
24 αὐτῶν. 24 Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παρά-
25 κλησιν ὑμῶν. 25 οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι νῦν· ὅτι πεινάσετε.
26 οὐαί, οἱ γελῶντες νῦν· ὅτι πενθήσετε καὶ κλαύσετε. 26 οὐαί,
ὅταν καλῶς ὑμᾶς εἴπωσιν πάντες οἱ ἄνθρωποι· κατὰ τὰ αὐτὰ
27 γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. 27 Ἀλλὰ Mt. 5, 44.
ὑμῖν λέγω τοῖς ἀκούουσιν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς
28 ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, 28 εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν,
29 προσεύχεσθε περὶ τῶν ἐπηρεαζόντων ὑμᾶς. 29 τῷ τύπτοντί σε ἐπὶ Mt. 5, 39. 40.
τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ
30 ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. 30 παντὶ τῷ αἰτοῦντί σε δί- Mt. 5, 42.
31 δου καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. 31 καὶ καθὼς θέλετε Mt. 7, 12.
ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.
32 32 καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; Mt. 5, 46-48.
33 καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν. 33 καὶ
ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις
34 ἐστίν; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν. 34 καὶ ἐὰν δανεί-
ζητε παρ' ὧν ἐλπίζετε λαβεῖν, ποία ὑμῖν χάρις ἐστίν; καὶ ἁμαρ-
35 τωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσιν τὰ ἴσα. 35 Πλὴν

---

23. Rc. χαίρετε. — Rc. Sz. κατὰ ταῦτα et Kn. κ. ταὐτά.

25. ἐμπεπλησμ. νῦν c. BLXΔ al. m. It.[1] al. m. Thphyl. .. om. Rc. Kn. Sz. Ln.; iid. h. ὑμῖν ante οἱ γελ. .. om. c. BKLSX al.

26. Rc. ὑμῖν ante ὅταν. — Kn. Sz. om. πάντες. — Rc. Sz. κατὰ ταῦτα, Kn. κ. ταὐτά.

28. Sz. Ln. τ. καταρ. ὑμᾶς. — Rc. καὶ προσευχ. — περί c. BL. .. Rc. Kn. Sz. Ln. ὑπέρ.

30. Rc. Kn. Sz. παντὶ δέ, Ln. π. (δὲ τῷ) .. om. δέ c. BKL al. ℘. Syr. It.[4] Arm. .. om. τῷ B.

31. Ln. (καὶ ὑμεῖς) .. om. B It.[3] Ir. .. om. ὁμοίως D 248. Clem. al. .. h. ante αὐτοῖς 52. 258.

34. Ln. δανείσητε c. B 157. .. h. δανείζετε ADEFHKPXΔ al. m. — λαβεῖν c. BL al. Just. .. Rc. Kn. Sz. Ln. ἀπολαβ. — Ln. om. ἐστίν. — Rc. Kn. Sz. καὶ γὰρ [etiam Ln. γάρ .. om. c. BL 157. Cpt.] οἱ ἁμαρτ. — om. τὰ ἴσα D Ct. It.[5]

ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν
Mt. 5, ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς καὶ ἔσεσθε υἱοὶ
45. ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονη-
ρούς. 36 γίνεσθε οἰκτίρμονες, καθὼς ὁ πατὴρ ὑμῶν οἰκτίρμων 36
Mt. 7, ἐστίν. 37 καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· καὶ μὴ καταδικά- 37
1. 2. ζετε, καὶ οὐ μὴ καταδικασθῆτε. ἀπολύετε, καὶ ἀπολυθήσεσθε·
38 δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλόν, πεπιεσμένον, σεσα- 38
λευμένον, ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· ᾧ γὰρ
Mt. 15, μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. 39 Εἶπεν δὲ καὶ παραβο- 39
14. λὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι
Mt. 10, εἰς βόθυνον ἐμπεσοῦνται; 40 οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν δι- 40
24. Jo. 13, 16. δάσκαλον· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ.
Mt. 7, 41 τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, 41
3-5. τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; 42 ἢ πῶς 42
δύνασαι λέγειν τῷ ἀδελφῷ σου· Ἀδελφέ, ἄφες, ἐκβάλω τὸ κάρ-
φος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σοῦ δοκὸν
οὐ βλέπων; ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλ-
μοῦ σοῦ, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ
Mt. 7, ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. 43 Οὐ γάρ ἐστιν δένδρον καλὸν ποι- 43
16. 17. et 12, οῦν καρπὸν σαπρόν, οὐδὲ δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν.
33. 44 ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ 44
ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα, οὐδὲ ἐκ βάτου σταφυλὴν τρυγῶσιν.
Mt. 12, 45 ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας 45
35. αὐτοῦ προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἐκ τοῦ πονηροῦ προ-

---

35. Ln. ἀφελπίζ. et πολὺς (ἐν τοῖς οὐρανοῖς). — Rc. τοῦ ὑψίστ.
36. Rc. Kn. Sz. γίν. οὖν et καθ. καί [Ln. (καί) .. om. c. B L al. Cpt. Clem. (2.) Chrs.].
37. Om. καί ab init. D al. Syr. Vg. It. al. Mcion. al. — Ln. ἵνα μὴ κριθ. — Rc. Kn. Sz. Ln. om. καί ante μὴ καταδ. . . scr. c. B L S X al. m.
38. Hab. καί ante πεπιεσμ. V al. Syr. Vg. al. et Rc. Kn. Sz. καὶ σεσαλ. καὶ ὑπερεκχ.; tum τῷ γὰρ αὐτῷ μέτρῳ, ᾧ μετρ.
39. Rc. Kn. Sz. post δέ om. καί et h. πεσοῦνται.
40. Rc. Kn. Sz. διδάσκαλον αὐτοῦ. — hab. πᾶς ἔστω F al. Or. Thphyl.
42. Om. ἤ B It.[1]. . h. καί 251. It.[6] — om. ἀδελφέ D 157. It.[5] al.
43. Hab. οὐκ ἔστιν D Syr. Verc. al. — Ln. οὐδὲ (πάλιν).
45. Rc. Kn. Sz. κ. ὁ πονηρ. ἄνθρωπος [Ln. (ἄνθρ.) . . om. c. B D L 1.

φέρει τὸ πονηρόν· ἐκ γὰρ περισσεύματος καρδίας λαλεῖ τὸ στόμα
46 αὐτοῦ. 46 Τί δέ με καλεῖτε· Κύριε κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; Mt. 7, 21.
47 47 πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν Mt. 7, 24-27.
48 αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος. 48 ὅμοιός ἐστιν ἀν-
θρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψεν καὶ ἐβάθυνεν καὶ ἔθηκεν
θεμέλιον ἐπὶ τὴν πέτραν· πλημμύρας δὲ γενομένης προσέῤῥηξεν ὁ
ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσεν σαλεῦσαι αὐτὴν διὰ τὸ
49 καλῶς οἰκοδομεῖσθαι αὐτήν. 49 ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας
ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς
θεμελίου, ᾗ προσέῤῥηξεν ὁ ποταμός, καὶ εὐθὺς συνέπεσεν, καὶ
ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

## VII.

1 Ἐπειδὴ ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς
τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καφαρναούμ.
2 Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἤμελλεν τελευτᾶν, Mt. 8, 5-13.
3 ὃς ἦν αὐτῷ ἔντιμος. 3 ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ ἀπέστειλεν πρὸς
αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτόν, ὅπως ἐλθὼν
4 διασώσῃ τὸν δοῦλον αὐτοῦ. 4 οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰη-
σοῦν παρεκάλουν αὐτὸν σπουδαίως λέγοντες· ὅτι ἄξιός ἐστιν ᾧ
5 παρέξῃ τοῦτο· 5 ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν καὶ τὴν συναγωγὴν
6 αὐτὸς ᾠκοδόμησεν ἡμῖν. 6 ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. ἤδη
δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψεν πρὸς
αὐτὸν φίλους ὁ ἑκατόνταρχος λέγων αὐτῷ· Κύριε, μὴ σκύλλου·

---

131. al. It.[4.] al.] ἐκ τ. π. θησαυροῦ τῆς καρδίας αὐτοῦ [Ln. (θησ. τ. καρδ. α.) .. om. c. BDL 1. 131. al. It.[4.] al.]; iid. τοῦ περισσ. et τῆς καρδ. — om. αὐτοῦ in fine CF al. m. Syr. Vg. It.[2.] al.

47. Hab. μοῦ τοὺς λόγους CFMX al.

48. διὰ τὸ κ. οἰκ. α. c. BL 33. 157. Syr. p. in m. .. h. τεθεμελίωτο γὰρ καλῶς Cpt. .. Rc. Kn. Sz. Ln. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. .. utrumque cjgit Aeth.

49. Ln. οἰκοδομοῦντι. — Rc. Kn. Sz. Ln. κ. εὐθέως (εὐθύς c. BL 33. al. .. om. D Ct. It.[2.]) ἔπεσεν ... συνέπεσ. c. DL 1. 33. al. m. Ct. It.[3.]

Cap. VII. 1. Rc. Kn. Sz. ἐπεὶ δέ [ἐπειδή c. AB (K add. δέ) al.].

2. Hab. ἔμελλ. FKS al. m.

4. Hab. ἠρώτων αὐτ. DL al. .. παρεκάλεσαν α. A. — Rc. Sz. παρέξει.

6. Om. πρὸς αὐτόν B.

οὐ γὰρ ἱκανός εἰμι ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς· 7 διὸ οὐδὲ 7
ἐμαυτὸν ἠξίωσα πρὸς σὲ ἐλθεῖν· ἀλλ' εἰπὲ λόγῳ, καὶ ἰαθήτω
ὁ παῖς μου. 8 καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσό- 8
μενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ· Πορεύ-
θητι, καὶ πορεύεται, καὶ ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται, καὶ τῷ
δούλῳ μου· Ποίησον τοῦτο, καὶ ποιεῖ. 9 ἀκούσας δὲ ταῦτα ὁ 9
Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ
ὄχλῳ εἶπεν· Λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗ-
ρον. 10 καὶ ὑποστρέψαντες εἰς τὸν οἶκον οἱ πεμφθέντες εὗρον τὸν 10
δοῦλον ὑγιαίνοντα.

Καὶ ἐγένετο ἐν τῇ ἑξῆς ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν, 11
καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ καὶ ὄχλος πολύς.
12 ὡς δὲ ἤγγισεν τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδού, ἐξεκομίζετο 12
τεθνηκώς, μονογενὴς υἱὸς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη χήρα, καὶ
ὄχλος τῆς πόλεως ἱκανὸς ἦν σὺν αὐτῇ. 13 καὶ ἰδὼν αὐτὴν ὁ κύ- 13
ριος ἐσπλαγχνίσθη ἐπ' αὐτῇ καὶ εἶπεν αὐτῇ· Μὴ κλαῖε. 14 καὶ 14
προσελθὼν ἥψατο τῆς σοροῦ, οἱ δὲ βαστάζοντες ἔστησαν, καὶ
εἶπεν· Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. 15 καὶ ἀνεκάθισεν ὁ νεκρὸς 15
καὶ ἤρξατο λαλεῖν, καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. 16 ἔλαβεν 16
δὲ φόβος ἅπαντας, καὶ ἐδόξαζον τὸν θεὸν λέγοντες· ὅτι προφή-
της μέγας ἠγέρθη ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο ὁ θεὸς τὸν λαὸν
αὐτοῦ. 17 καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ 17
αὐτοῦ καὶ ἐν πάσῃ τῇ περιχώρῳ.

---

7. Om. διό usque ἐλθεῖν D al. It. (exc. 3.) — ἰαθήτω c. BL. .. Rc. Kn. Sz. Ln. ἰαθήσεται.
8. Hab. πορεύου DX al.
9. Om. αὐτόν DX al. Vg. It. Arm.; iid. fere h. ἀμὴν λέγω ὑ. — h. οὔτε EGHSVΔ al. m. .. οὐδέποτε D .. in nullo tantam fidem inveni in Israel It.[6] Ambr.
10. Rc. Kn. Sz. τὸν ἀσθενοῦντα δοῦλ.
11. Hab. ἐν τῷ ἑξῆς AEGHLVXΔ al. pl. Vg. It.[7] — Rc. Kn. Sz. οἱ μαθ. α. ἱκανοί, qd Ln. (—) .. om. c. BDFL al. Syr. et hr. Vg. It.[7] al.
12. Ln. (τεθνηκώς) .. om. A 54. It.[1] .. h. νεκρός 122. — Ln. ἦν h. ante χήρα (c. CLV al. Syr. Vg. It. al.) et om. post ἱκανός (c. AEGHMVXΔ al. pm. Syr. utr. Vg. It. al.) .. Kn. ἱκαν. (ἦν).
16. Rc. Kn. Sz. ἐγήγερται [ἠγ. c. ABD (h. ἐξηγέρθη) L al.].
17. Ln. καὶ (ἐν) πάσῃ.

18 Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τού- Mt. 11, 2-6.
19 των. [19] καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ
Ἰωάννης ἔπεμψεν πρὸς τὸν κύριον λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ
20 ἄλλον προσδοκῶμεν; [20] παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες
εἶπαν· Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ λέγων·
21 Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν; [21] ἐν αὐτῇ δὲ τῇ ὥρᾳ
ἐθεράπευσεν πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων
22 πονηρῶν καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο βλέπειν. [22] καὶ ἀπο-
κριθεὶς εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε
καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσιν, λεπροὶ
καθαρίζονται, κωφοὶ ἀκούουσιν, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγ-
23 γελίζονται· [23] καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν
24 ἐμοί. [24] Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου ἤρξατο λέγειν Mt. 11, 7-19.
πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου· Τί ἐξήλθατε εἰς τὴν ἔρημον
25 θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; [25] ἀλλὰ τί ἐξήλ-
θατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδού,
οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις
26 εἰσίν. [26] ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; προφήτην; ναί, λέγω ὑμῖν, καὶ
27 περισσότερον προφήτου. [27] οὗτός ἐστιν περὶ οὗ γέγραπται· *Ἰδού, *Mal. 3, 1.
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει
28 τὴν ὁδόν σου ἔμπροσθέν σου. [28] λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννη-
τοῖς γυναικῶν Ἰωάννου οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασι-

---

19. Om. τινάς D Vg. It. (exc. Verc.) Gth. — κύριον c. BL al. It.[4.] al. .. Rc. Kn. Sz. Ln. Ἰησοῦν. — h. ἢ ἕτερον BLX al.

20. Hab. ἀπέστειλεν B al. Cyr. — h. ἢ ἕτερον DLX al. Cyr.

21. Hab. ἐν ἐκείνῃ δὲ (om. δέ B 33. 157. al. It.[3.]) τ. ὥρᾳ (h. ἡμέρᾳ L 69. Cyr.) BL 1. 33. 69. 157. al. Cpt. Cyr. Bas. sel. — Rc. Kn. Sz. τὸ βλέπ. [om. c. ABEGHKSVΔ al. pl. .. h. καὶ τυφλοὺς ἐποίει βλ. D Ct. It.[1.]]

22. Rc. Kn. Sz. ὅτι [om. c. BLX al. m. It.[5.] Or. Did.] τυφλοὶ ἀν.

24. Hab. τοῖς ὄχλοις DEFGHVΔ al. pl. Thphyl.

24. 25. 26. Rc. Sz. ἐξεληλύθατε [ἐξήλθατε s. ἐξήλθετε c. ABDKLM al. pm.].

25. Hab. τρυφῇ διάγοντες DK al. m. Clem.

27. Rc. Kn. Sz. ἰδού, ἐγώ. — om. ἔμπρ. σου D Ct. It.[2.] Tert.

28. Om. γάρ B al. Syr. al. .. h. λέγ. δέ D al. It.[6.] al. .. ἀμὴν λέγ. LX al. Syr. hr. al. — Rc. Kn. Sz. προφήτης Ἰωάνν. τοῦ βαπτιστοῦ (etiam Ln. h.) .. πρ. om. c. BKLMX al. m. Syr. hr. It.[5.] al. Or. (3.) al. .. τ. βαπτ. om. c. BL al. m. Syr. hr. al. Or. (1.)

λεία τοῦ θεοῦ μείζων αὐτοῦ ἐστιν. — 29 καὶ πᾶς ὁ λαὸς ἀκούσας 29
καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν θεόν, βαπτισθέντες τὸ βάπτισμα
Ἰωάννου· 30 οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ θεοῦ 30
ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ. — 31 τίνι οὖν 31
ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης, καὶ τίνι εἰσὶν ὅμοιοι;
32 ὅμοιοί εἰσιν παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦ- 32
σιν ἀλλήλοις καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε,
ἐθρηνήσαμεν ὑμῖν καὶ οὐκ ἐκλαύσατε. 33 ἐλήλυθεν γὰρ Ἰωάννης 33
ὁ βαπτιστὴς μήτε ἔσθων ἄρτον μήτε πίνων οἶνον, καὶ λέγετε·
Δαιμόνιον ἔχει. 34 ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἔσθων καὶ πί- 34
νων, καὶ λέγετε· Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος
τελωνῶν καὶ ἁμαρτωλῶν. 35 καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ πάντων 35
τῶν τέκνων αὐτῆς.

Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ· 36
καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη. 37 καὶ ἰδού, 37
γυνὴ ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλός, ἐπιγνοῦσα ὅτι κατάκειται
ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου 38 καὶ 38
στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, τοῖς δάκρυσιν
ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ καὶ ταῖς θριξὶν τῆς κεφαλῆς
αὐτῆς ἐξέμασσεν καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ
μύρῳ. 39 ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ 39
λέγων· Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ
γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν. 40 καὶ ἀποκρι- 40

---

31. Rc. *Εἶπε δὲ ὁ κύριος· τίνι οὖν.*
32. Hab. *προσφ. ἀλλ. λέγοντες* DL al. It.⁴· al. — post *ἐθρην.* om. *ὑμῖν* DL al. Vg. It.⁶· al.
33. Rc. Kn. Sz. *ἐσθίων* h. v. et v. sq. (Ln. h. v. *ἔσθων* et v. sq. *ἐσθίων*) .. *ἔσθων* utroq. loco c. BD. — Rc. Kn. Sz. *ἄρτ. ἐσθ.* et *οἶν. πίν.* .. om. *ἄρτον* et *οἶνον* D al. It.⁵· Aeth. Or.
35. Rc. Kn. Sz. *ἀ. τῶν τ. α. πάντων.* .. om. *πάντων* DFLMX al. m. Arm. Ir.
36. Rc. Kn. Sz. *τὴν οἰκίαν* et *ἀνεκλίθη.*
37. Rc. Kn. Sz. *γυνὴ ἐν τ. πόλ. ἥτις ἦν ἁμ.* .. [*ἥτ. ἦν ἐν τ. π. ἁ.* c. B (et L al. Arr. Prs. h. *γυνή τις ἦν* etc.) al. Vg. It.⁵· Prs.] h. *ἥτις ἦν ἁμ. ἐν τ. π.* 1. al. et omisso *ἥτις* Syr. al. .. om. plane *ἥτις ἦν* D Ct. — h. *καὶ ἐπιγν.* ABMPSVX Δ al. m. Syr. al. — Rc. Kn. Sz. *ἀνάκειται.*
38. Om. *κλαίουσα* F 157. al. Vg. It.⁶· — h. *ἐξέμαξεν* A (B ap. Sz.) DL al.
39. Om. *ὁ καλέσ. αὐτ.* Syr. hr. .. h. *παρ' ᾧ κατέκειτο* D Ct. — h. *ἡ ἁπτομένη αὐτοῦ* D Ct.

*θεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ*
41 *φησιν· Διδάσκαλε, εἰπέ.* [41] *Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινί·*
42 *ὁ εἷς ὤφειλεν δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.* [42] *μὴ*
*ἐχόντων αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐτῶν*
43 *πλεῖον ἀγαπήσει αὐτόν;* [43] *ἀποκριθεὶς ὁ Σίμων εἶπεν· Ὑπολαμ-*
*βάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρι-*
44 *νας.* [44] *καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· Βλέπεις*
*ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς*
*πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς*
45 *πόδας καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξεν.* [45] *φίλημά μοι οὐκ ἔδωκας·*
*αὕτη δὲ ἀφ᾽ ἧς εἰσῆλθον οὐ διέλιπεν καταφιλοῦσά μου τοὺς πό-*
46 *δας.* [46] *ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ*
47 *ἤλειψεν τοὺς πόδας μου.* [47] *οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ*
*ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίε-*
48 *ται, ὀλίγον ἀγαπᾷ.* [48] *εἶπεν δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι.*
49 [49] *καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς οὗτός*
50 *ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν;* [50] *εἶπεν δὲ πρὸς τὴν γυναῖκα·*
*Ἡ πίστις σου σέσωκέν σε, πορεύου εἰς εἰρήνην.*

## VIII.

1 *Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευεν κατὰ πόλιν*
*καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ,*
2 *καὶ οἱ δώδεκα σὺν αὐτῷ,* [2] *καὶ γυναῖκές τινες, αἳ ἦσαν τεθερα-*
*πευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ κα-*
3 *λουμένη Μαγδαληνή, ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,* [3] *καὶ*

---

41. Ln. *χρεοφειλέται*, sic etiam XVI, 5. c. ADKSVΔ al.
42. Rc. Kn. Sz. *μὴ ἐχ. δέ*, Ln. (*δέ*) .. om. c. BDLP al. Vg. It.[5] Or. — Rc. Kn. Sz. post *αὐτῶν* h. *εἰπέ* [om. c. BDL al. Syr. Vg. It. al. m... h. *ἐπί* A].
43. Rc. Kn. Sz. *ἀποκρ. δέ*, Ln. (*δέ*) .. om. c. BDL** al. Syr. Vg. It.[7] al... pon. post *ὁ* 131.
44. Hab. *μοί ἐπὶ πόδας οὐκ ἔδ.* B. — Rc. *θριξὶ τῆς κεφαλῆς αὐτ.* et Kn. (*τῆς κεφ.*)
45. Hab. *εἰσῆλθεν* L* al. m. Vg. It.[7] al.
47. Om. *ὅτι ἠγάπ.* usq. *ἀγαπᾷ* D. — h. *ᾧ δὲ ὀλίγον, ὀλίγον* Arm... post *ἀφίεται* add. *καί* B al. aliter.
50. Hab. *ἐν εἰρήνῃ* D.

Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρώδου, καὶ Σουσάννα, καὶ ἕτε-
ραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἐκ τῶν ὑπαρχόντων αὐταῖς.
Mt. 13, 3-8. 4 Συνιόντος δὲ ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων 4
Mc. 4, 3-9. πρὸς αὐτὸν εἶπεν διὰ παραβολῆς· 5 Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖ- 5
ραι τὸν σπόρον αὐτοῦ. καὶ ἐν τῷ σπείρειν αὐτὸν ὃ μὲν ἔπεσεν
παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
κατέφαγεν αὐτό· 6 καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν 6
ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα· 7 καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ 7
τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό· 8 καὶ 8
ἕτερον ἔπεσεν εἰς τὴν γῆν τὴν ἀγαθήν, καὶ φυὲν ἐποίησεν καρπὸν
ἑκατονταπλασίονα. ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν
Mt. 13, 10. 11. ἀκουέτω. 9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, τίς εἴη ἡ 9
Mc. 4, 10-12. παραβολὴ αὕτη. 10 ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια 10
Es. 6, 9. τῆς βασιλείας τοῦ θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέ-
Mt. 13, 18-23. ποντες μὴ βλέπωσιν καὶ ἀκούοντες μὴ συνιῶσιν. 11 ἔστιν δὲ αὕτη 11
Mc. 4, 14-20. ἡ παραβολή. ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ. 12 οἱ δὲ παρὰ 12
τὴν ὁδὸν εἰσὶν οἱ ἀκούοντες, εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει
τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.
13 οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσιν μετὰ χαρᾶς δέχονται 13
τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύου-
σιν καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. 14 τὸ δὲ εἰς τὰς ἀκάνθας 14
πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου
καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται καὶ οὐ τελεσφο-

---

Cap. VIII. 3. Sz. διηκόν. αὐτοῖς c. (B ap. Sz.) DEFGHKSVΔ al. pl. Syr. Vg. ms. It.[7] al. — Rc. Kn. Sz. ἀπὸ τῶν ὑπ. [ἐκ c. ABDKL al. m. Or.] .. ea om. E* 229*.

5. Hab. ἃ μέν et αὐτά B. — om. τοῦ οὐραν. D Syr. It.[3] Prs.

6. Hab. κατέπεσεν BL.

7. Hab. ἔπεσεν μέσον D. id. ter pro ἕτερον h. ἄλλο.

8. Rc. ἐπὶ τὴν γῆν. — om. ταῦτα usq. ἀκουέτω 60. al. .. 13. al. et Evv. post v. 15. pon.

9. Rc. Kn. Sz. λέγοντες, τίς [om. c. BDL al. Syr. Vg. It. (exc. 1.) al.] .. om. εἴη L al. It.[1] al.

12. Hab. ἀκούσαντες L al. et v. 14. h. ἀκούοντες 13. al. idem v. 15. h. 124. al.

13. Hab. ἐπὶ τὴν πέτραν DFX al. Or. — om. οὗτοι D Ct. Syr. al.

14. Hab. μεριμνῶν πλούτου D al. It.[2] — h. ὑπὸ ἡδονῶν A al.

15 ῥοῦσιν. [15] τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ
καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσιν καὶ καρποφο-
16 ροῦσιν ἐν ὑπομονῇ. [16] Οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν Mc. 4, 21.
σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνίας τίθησιν, ἵνα Mt. 5, 15. Lc. 11, 33.
17 οἱ εἰσπορευόμενοι βλέπωσιν τὸ φῶς. [17] οὐ γάρ ἐστιν κρυπτὸν ὃ Mc. 4, 22.
οὐ φανερὸν γενήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ μὴ γνωσθῇ καὶ εἰς Mt. 10, 26. Lc. 12, 2.
18 φανερὸν ἔλθῃ. [18] βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, Mt. 25, 29.
δοθήσεται αὐτῷ, καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσε- Lc. 19, 26.
ται ἀπ' αὐτοῦ.

19 Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Mt. 12,
20 καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. [20] ἀπηγγέλη δὲ 46-50. Mc. 3,
αὐτῷ· ὅτι ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν 31-35.
21 σε θέλοντες. [21] ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· Μήτηρ μου
καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ
ποιοῦντες.

22 Ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἀνέβη εἰς πλοῖον Mt. 8,
καὶ οἱ μαθηταὶ αὐτοῦ. καὶ εἶπεν πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ 23-27. Mc. 4,
23 πέραν τῆς λίμνης. καὶ ἀνήχθησαν. [23] πλεόντων δὲ αὐτῶν ἀφύ- 35-41.
πνωσεν· καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην, καὶ συνε-
24 πληροῦντο καὶ ἐκινδύνευον. [24] προσελθόντες δὲ διήγειραν αὐτὸν
λέγοντες· Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα. ὁ δὲ ἐγερθεὶς ἐπε-

---

15. Hab. εἰς τὴν καλὴν γῆν D 157 Vg. It. Or. — om. καλῇ καί D It.[4] Ambr. — h. καὶ τελεσφοροῦσιν L. — add. in fine ταῦτα λέγων ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω FHMX al. pm.

16. Hab. ἐπὶ τὴν λυχνίαν DKMX al. m. — Rc. Kn. Sz. ἐπὶ λυχν. ἐπιτίθησιν. [τίθησ. c. BD (h. τίθει) FKL al. m.] — om. ἵνα οἱ usq. φῶς B.

17. Hab. ὃ οὐ φαν. ἔσται CD... φανερωθήσεται 1. 157. al. — Rc. Kn. Sz. ὃ οὐ γνωσθήσεται καί [ὃ οὐ μὴ γν. c. BL 33. .. ἀλλὰ ἵνα γνωσθῇ D... εἰ μὴ ἵνα γν. 157. It.[4]].

20. Rc. Kn. Sz. καὶ ἀπηγγ. αὐτῷ, λεγόντων· ἡ. .. Ln. om. ὅτι. .. scr. c. DLX al. It.[7] Gth. [om. λεγ. c. BDL al. It. Vg. Syr. Gth. al.]

21. Ln. εἶπ. αὐτοῖς. — h. ἡ μήτ. et οἱ ἀδελφ. DX al. — Rc. Sz. in fine add. αὐτόν.

22. Rc. Kn. Sz. καὶ ἐγένετο. [δέ c. ABDKLM al. m. Vg. It. Gth.] — ἀνέβη c. FLMD (h. ἀναβῆναι αὐτόν) 157. al. pm. Thphyl. .. Rc. Kn. Sz. Ln. ἐνέβη. — h. ἐ. τὸ πλοῖον MV al. m.

24 Hab. διεγερθεὶς BL al.

τίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο,
καὶ ἐγένετο γαλήνη. [25] εἶπεν δὲ αὐτοῖς· Ποῦ ἡ πίστις ὑμῶν; 25
φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα
οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ
ὑπακούουσιν αὐτῷ;
Mt. 8, Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γερασηνῶν, ἥτις ἐστὶν 26
28-9,1. Mc. 5, ἀντιπέρα τῆς Γαλιλαίας. [27] ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήν- 27
1-20. τησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχεν δαιμόνια ἐκ χρόνων
ἱκανῶν καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν,
ἀλλ' ἐν τοῖς μνήμασιν. [28] ἰδὼν δὲ τὸν Ἰησοῦν ἀνακράξας προσ- 28
έπεσεν αὐτῷ καὶ φωνῇ μεγάλῃ εἶπεν· Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ,
υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου; δέομαί σου, μή με βασανίσῃς. [29] παρ- 29
ήγγελλεν γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀν-
θρώπου· πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν, καὶ ἐδεσμεύετο
ἁλύσεσιν καὶ πέδαις φυλασσόμενος, καὶ διαῤῥήσσων τὰ δεσμὰ
ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. [30] ἐπηρώτησεν δὲ 30
αὐτὸν ὁ Ἰησοῦς λέγων· Τί σοι ὄνομά ἐστιν; ὁ δὲ εἶπεν· Λεγεών,
ὅτι εἰσῆλθεν δαιμόνια πολλὰ εἰς αὐτόν. [31] καὶ παρεκάλουν αὐτόν, 31
ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. [32] ἦν δὲ ἐκεῖ 32
ἀγέλη χοίρων ἱκανῶν βοσκομένη ἐν τῷ ὄρει, καὶ παρεκάλεσαν

---

24. Hab. ἐπαύσατο FG al. m. Vg. It.[8.] Cyr. — h. γαλήν. μεγάλη K al. m. It.[4.] Cpt. al.

25. Rc. Kn. Sz. ποῦ ἐστιν. [om. c. ABLX al. m.] — om. καὶ ὑπακ. αὐτῷ B.

26. Rc. Kn. Sz. Γαδαρηνῶν. [Γερασην. c. BD al. Vg. Syr. p. in m.] .. h. Γεργεσηνῶν LX 1. 33. 157. al. Syr. hr. al. — Rc. Kn. Sz. ἀντιπέραν [ἀντιπέρα c. ADGHKVXΔ 1. 33. 157. al. pm. Hesych. Thphyl.

27. Om. αὐτῷ ante ἀνήρ B. — om. ἐκ τ. πόλ. 130. lat. Vg. It.[6.] — h. ἀπὸ χρόνων... h. καὶ χρόνῳ ἱκανῷ οὐκ ἐνεδ. ἱμάτ. BL al.

28. Rc. Kn. Sz. καὶ ἀνακράξ. — om. Ἰησοῦ et τοῦ θεοῦ D 1. al. Vg. ms. (Ἰησ. etiam Cpt... τ. θεοῦ etiam It.[2.])

29. Rc. Kn. Sz. παρήγγειλε. [παρήγγελλ. c. AGKLVXΔ al. m. .. ἔλεγεν D Ct.] — ἐδεσμεύετο c. BLX al... Rc. Kn. Sz. Ln. ἐδεσμεῖτο. — h. ἀπὸ τοῦ δ. B. — Ln. δαιμονίου c. C*D It. Vg.

30. Ln. om. λέγων. — h. λεγιών D*L.

31. Rc. Kn. Sz. καὶ παρεκάλει [παρεκάλουν c. CDFLS al. pm. Syr. Vg. It. al. Cyr.].

32. Om. ἱκανῶν D al. Ct. It.[1.] .. h. πολλῶν X... μεγάλη Verc. — Rc. Kn. Sz. βοσκομένων [βοσκομένη c. BDK al. m. Syr. Verc. Aeth.]. iid. καὶ παρεκάλουν. [παρεκάλεσ. c. BC*L al.]

αὐτόν, ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν
33 αὐτοῖς. 33 ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλ-
θον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς
34 τὴν λίμνην καὶ ἀπεπνίγη. 34 ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγονὸς
35 ἔφυγον καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. 35 ἐξ-
ῆλθον δὲ ἰδεῖν τὸ γεγονὸς καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν καὶ εὗρον
καθήμενον τὸν ἄνθρωπον, ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱμα-
τισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐφο-
36 βήθησαν. 36 ἀπήγγειλαν δὲ αὐτοῖς οἱ ἰδόντες, πῶς ἐσώθη ὁ δαι-
37 μονισθείς. 37 καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου
τῶν Γερασηνῶν ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνεί-
38 χοντο· αὐτὸς δὲ ἐμβὰς εἰς πλοῖον ὑπέστρεψεν. 38 ἐδεῖτο δὲ αὐτοῦ
ὁ ἀνὴρ ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ. ἀπέλυσεν
39 δὲ αὐτὸν λέγων· 39 Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ
ὅσα σοι ἐποίησεν ὁ θεός. καὶ ἀπῆλθεν, καθ' ὅλην τὴν πόλιν
κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.
40 Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν ἀπεδέξατο αὐτὸν Mt. 9,
41 ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν. 41 καὶ ἰδού, 18-26.
ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ οὗτος ἄρχων τῆς συναγωγῆς Mc. 5,
ὑπῆρχεν· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν 21-43.
42 εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, 42 ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ

---

32. Hab. ἵνα εἰς τοὺς χοίρους εἰσέλθωσιν D Ct. It.5.
34. Rc. Kn. τὸ γεγεννημένον .. etiam τὸ γενόμενον et τὰ γενόμενα leg.; post ἀπήγγ. pon. Verc. .. om. Ev. 47. (sec. VIII.) — Rc. καὶ ἀπελθόντες ἀπήγγ.
35. Om. καθήμενον 243. (sec. XIV.) It. cd. Mm. (sec. IX.) .. in aliis loc. mutat. — h. ἐξῆλθεν et om. τοῦ ante Ἰησ. B.
36. Rc. Kn. Sz. καὶ οἱ ἰδόντες.
37. Ln. ἠρώτησεν c. ABKMPX al. Verc. — Rc. Kn. Sz. Γαδαρην. [Γερασην. c. BD Vg. It.] .. h. Γεργεσηνῶν CLPX al. m. Cpt. al. — Rc. Kn. Sz. εἰς τὸ [om. c. BCLX al. m.] πλ.
38. ἐδεῖτο c. BLX Cyr. .. Ln. ἐδεεῖτο c. AP. .. Rc. Kn. Sz. ἐδέετο .. h. ἠρώτα δὲ αὐτόν D. — Rc. Kn. Sz. ὁ Ἰησοῦς λέγων et Ln. (ὁ Ἰησ.) .. om. c. BDL al. It.3. al. Cyr.
40. Hab. Ἐν δὲ τῷ ὑπ. BL al. Syr. al. m. Mcion. Epiph. — h. ὑποστρέφειν B al.
41. Rc. Kn. Sz. καὶ αὐτός. [κ. οὗτ. c. BD al. It.2.] — om. ὑπῆρχεν καί D Ct. Syr. It.1. Sah. — om. τοῦ ante Ἰησ. BP.

ὡς ἐτῶν δώδεκα καὶ αὕτη ἀπέθνησκεν. καὶ ἐγένετο ἐν τῷ πορεύε-
σθαι αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. 43 καὶ γυνὴ οὖσα ἐν ῥύσει 43
αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν
βίον οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι, 44 προσελθοῦσα 44
ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ παρα-
χρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. 45 καὶ εἶπεν ὁ Ἰησοῦς· 45
Τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος καὶ
οἱ σὺν αὐτῷ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβου-
σιν, καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου; 46 ὁ δὲ Ἰησοῦς εἶπεν· 46
Ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξεληλυθυῖαν ἀπ' ἐμοῦ.
47 ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθεν, τρέμουσα ἦλθεν καὶ προσ- 47
πεσοῦσα αὐτῷ δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν ἐνώπιον
παντὸς τοῦ λαοῦ καὶ ὡς ἰάθη παραχρῆμα. 48 ὁ δὲ εἶπεν αὐτῇ· 48
Θύγατερ, ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην. 49 Ἔτι 49
αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων· ὅτι
τέθνηκεν ἡ θυγάτηρ σου, μὴ σκύλλε τὸν διδάσκαλον. 50 ὁ δὲ Ἰη- 50
σοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ· Μὴ φοβοῦ· μόνον πίστευσον, καὶ
σωθήσεται. 51 ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν τινὰ 51
σὺν αὐτῷ εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον καὶ τὸν πατέρα

---

42. Hab. ὡσεὶ KLX al. — h. δώδ. ἀποθνήσκουσα D Syr. et hr.** — Rc. Kn. Sz. ἐν δὲ τῷ ὑπάγειν αὐτόν. — h. συνέθλιβον CL al. m. Cpt. It.[2]
43. Rc. εἰς ἰατρούς. .. om. ἰατροῖς πρ. ὅ. τ. βίον BD Sah. Arm. Ct. et h. ἣν οὐδὲ εἰς ἴσχυεν θεραπεῦσαι D Ct. Sah. — Ln. ἀπ' οὐδ. c. AB 254. et βίον αὐτῆς c. CX al. Vg. It. (exc. 1.) al.
44. Om. ὄπισθεν D Ct. 258... pon. post ἥψατο K.
45. Rc. Sz. καὶ οἱ μετ' αὐτοῦ... ea om. B al. Syr. hr. Sah. — om. καὶ λέγεις usq. μοῦ B ap. Sz. L al. Cpt. Sah. Arm. .. κ. λ. τίς μου ἥψατο D al. Or. Mcion. ap. Epiph.
46. Om. Ἰησοῦς DL al. Syr. Verc. al. — ἐξεληλυθ. c. BL al. Or. .. Rc. Kn. Sz. Ln. ἐξελθοῦσαν.
47. Rc. Kn. Sz. ἀπήγγειλ. αὐτῷ. [om. c. ABC*DLX al. m. Syr. Cpt. Arm.]
48. Rc. Kn. Sz. θάρσει [om. c. BDL al. m. Syr. hr. Vg. It. al.], θύγ.
49. Ln. ἀπὸ τοῦ ἀρχ. c. AD al. Damasc. — Rc. Kn. Sz. Ln. λέγων αὐτῷ... om. c. BLX al. Cpt. al. — Ln. μηκέτι σκ. .. h. in fine αὐτόν 1. 131. Vg. It. (exc. 1.) Arm.
50. Rc. Kn. Sz. ἀπ. αὐτῷ λέγων et (etiam Ln.) πίστευε. .. πίστευσον c. BL.
51. Rc. εἰσελθὼν δέ. — Rc. Kn. Sz. εἰσελθ. οὐδένα εἰ μή.

52 τῆς παιδὸς καὶ τὴν μητέρα. 52 ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο
αὐτήν. ὁ δὲ εἶπεν· Μὴ κλαίετε· οὐ γὰρ ἀπέθανεν, ἀλλὰ καθεύ-
53 54 δει. 53 καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. 54 αὐτὸς δὲ
κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησεν λέγων· Ἡ παῖς, ἔγειρε.
55 55 καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ
56 διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. 56 καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς·
ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

## IX.

1 Συγκαλεσάμενος δὲ τοὺς δώδεκα ἔδωκεν αὐτοῖς δύναμιν καὶ Mt. 10,
2 ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν. 2 καὶ 1. 5-14.
ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ καὶ ἰᾶσθαι Mc. 6, 7-13.
3 τοὺς ἀσθενεῖς, 3 καὶ εἶπεν πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν
ὁδόν, μήτε ῥάβδον μήτε πήραν μήτε ἄρτον μήτε ἀργύριον μήτε
4 ἀνὰ δύο χιτῶνας ἔχειν. 4 καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μέ-
5 νετε καὶ ἐκεῖθεν ἐξέρχεσθε. 5 καὶ ὅσοι ἐὰν μὴ δέχωνται ὑμᾶς,
ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν
6 ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ' αὐτούς. 6 ἐξερχόμενοι δὲ διήρ-
χοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.
7 Ἤκουσεν δὲ Ἡρώδης ὁ τετράρχης τὰ γινόμενα πάντα καὶ Mc. 6, 14-16.
διηπόρει διὰ τὸ λέγεσθαι ὑπό τινων· ὅτι Ἰωάννης ἠγέρθη ἐκ Mt. 14, 1 sqq.

---

52. Rc. Kn. Sz. οὐκ ἀπεθ. [οὐ γάρ c. BCDLXΔ al. pm. It.[8] al.] .. ad ἀπέθ. add. τὸ κοράσιον FLMX al. m. Syr. hr. Vg. It.[4]

54. Rc. Kn. Sz. αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατ. — ἔγειρε c. BDX al. . . Ln. ἔγειραι. . . Rc. Kn. Sz. ἐγείρου.

Cap. IX. 1. Rc. Sz. Ln. τ. δώδ. μαθητὰς αὐτοῦ et Kn. (μαθ. α.) .. h. ἀποστόλους LX al. m. Vg. It. (exc. 2.) al. m. .. om. c. ADKMSVΔ al. pl. Syr. al. Dial. c. Mcion. al.

2. Rc. Kn. Sz. τοὺς ἀσθενοῦντας. [τ. ἀσθενεῖς c. ADL al. .. om. B. . . etiam τοὺς νοσοῦντας et infirmitates leg.]

3. Rc. ῥάβδους. — om. ἀνά BFL al. Syr. Vg. It. al. et h. ἔχετε FL al. Syr. Vg. It. al.

4. Hab. καὶ ἐκ. μὴ ἐξ. 38. Vg. It.[2] Prss. Aug. Bed. . . h. donec ex. It.[3] al.

5. Rc. Sz. δέξωνται. — Rc. Kn. Sz. καὶ τὸν κονιορτ. et Ln. (καί) . . om. c. BDLX al. It.[3] al. — om. ἀπό D al. m. Vg. It.[1] — om. ἐπ' αὐτ. Syr. hr. Tert. . . etiam ἐπ' αὐτῆς et ἐπ' αὐτοῖς et αὐτοῖς leg.

7. Rc. Kn. Sz. γινόμ. ὑπ' αὐτοῦ π. et Ln. (ὑπ' α.) .. om. c. BC*DL al. It.[4] al. — Rc. Kn. Sz. ἐγήγερται.

νεκρῶν, [8] ὑπό τινων δέ· ὅτι Ἠλίας ἐφάνη, ἄλλων δέ· ὅτι προ- 8
φήτης τις τῶν ἀρχαίων ἀνέστη. [9] εἶπεν δὲ Ἡρώδης· Ἰωάννην ἐγὼ 9
ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἀκούω τοιαῦτα; καὶ
ἐζήτει ἰδεῖν αὐτόν.
Mt. 14, 13-21. Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποί- 10
Mc. 6, ησαν. καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ' ἰδίαν εἰς πόλιν
30-44. Jo. 6, καλουμένην Βηθσαϊδά. [11] οἱ δὲ ὄχλοι γνόντες ἠκολούθησαν αὐτῷ, 11
1-13. καὶ ἀποδεξάμενος αὐτοὺς ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ
θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο. [12] ἡ δὲ ἡμέρα 12
ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα εἶπον αὐτῷ· Ἀπόλυ-
σον τὸν ὄχλον, ἵνα πορευθέντες εἰς τὰς κύκλῳ κώμας καὶ ἀγροὺς
καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμόν, ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ
ἐσμέν. [13] εἶπεν δὲ πρὸς αὐτούς· Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ 13
εἶπαν· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ ἰχθύες δύο, εἰ
μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον
βρώματα. [14] ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι. εἶπεν δὲ πρὸς 14
τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντή-
κοντα. [15] καὶ ἐποίησαν οὕτως καὶ ἀνέκλιναν ἅπαντας. [16] λαβὼν 15 16
δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν
οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν, καὶ ἐδίδου τοῖς μα-
θηταῖς παρατιθέναι τῷ ὄχλῳ. [17] καὶ ἔφαγον καὶ ἐχορτάσθησαν 17

8. πρ. τις c. BCLX al. m... om. D al. Syr. Cpt. Verc... Rc. Kn. Sz. Ln. πρ. εἷς.
9. Rc. Kn. Sz. καὶ εἶπ. — Rc. ὁ Ἡρώδ. — post Ἰωάνν. om. ἐγώ B al. — Rc. Kn. Sz. Ln. ἐγὼ ἀκούω... om. c. BL al. It.[2] Arm.
10. εἰς πόλ. καλ. Βηθσ. c. BD (h. κώμην) L al. Cpt. al... Rc. Kn. Sz. Ln. εἰς τόπον ἔρημον πόλεως καλουμένης Βηθσ. .. h. εἰς τόπον πόλ. καλ. Β. 1. al... εἰς τόπ. ἔρημ. Β. Syr. Vg. It. (exc. 2.) Prss. .. εἰς ἔρημ. Β. Ar. p... εἰς τόπ. ἔρημ. (omisso Βηθσ.) 13. al.
11. Rc. Kn. Sz. δεξάμενος. — h. ἰάσατο L al. m.
12. Rc. Kn. Sz. ἵνα ἀπελθόντες. [πορ. c: ABCDKL al. m. euntes Vg. It.] — Rc. Kn. Sz. Ln. κ. τοὺς ἀγρ... om. c. BX al.
13. Hab. ἀγοράσομεν 1. 22. 157. al. m.
14. Ln. (ὡσεὶ) ἀνὰ π... h. ὡσεὶ BDL al. Ct. Or.
15. Om. καὶ ἀνέκλ. ἅπ. DX Ct... om. καὶ ἐπ. οὕτ. 240. 244... h. κατέκλ. L al.
16. Hab. εἰς τ. οὐρ. προσηύξατο καὶ εὐλόγησεν ἐπ' αὐτοὺς [ἐπ' αὐτ. etiam It.[5] Mcion. ap. Epiph. .. om. αὐτούς X Syr. al.] καὶ ἐδίδου etc. D Ct. — h. παραθεῖναι BX 1. al.

πάντες, καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς, κλασμάτων κόφινοι
δώδεκα.
18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας Mt.16, 13-28. Mc. 8, 27.-9, 1.
συνῆσαν αὐτῷ οἱ μαθηταί, καὶ ἐπηρώτησεν αὐτοὺς λέγων· Τίνα
19 με οἱ ὄχλοι λέγουσιν εἶναι; [19] οἱ δὲ ἀποκριθέντες εἶπαν· Ἰωάννην
τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν
20 ἀρχαίων ἀνέστη. [20] εἶπεν δὲ αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε
21 εἶναι; Πέτρος δὲ ἀποκριθεὶς εἶπεν· Τὸν Χριστὸν τοῦ θεοῦ. [21] ὁ
22 δὲ ἐπιτιμήσας αὐτοῖς παρήγγειλεν μηδενὶ λέγειν τοῦτο, [22] εἰπών·
ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι
ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκταν-
23 θῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. [23] ἔλεγεν δὲ πρὸς πάντας·
Εἴ τις θέλει ὀπίσω μου ἔρχεσθαι, ἀρνησάσθω ἑαυτὸν καὶ ἀράτω
24 τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν καὶ ἀκολουθείτω μοι. [24] ὃς γὰρ Mt 10, 39. Jo. 12, 25. Lc.17, 33.
ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπο-
25 λέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. [25] τί
γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ
26 ἀπολέσας ἢ ζημιωθείς; [26] ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς
ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται,
ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων ἀγγέ-
27 λων. [27] λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσίν τινες τῶν αὐτοῦ ἑστώτων, οἳ
οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ.

---

17. Hab. πάντες καὶ ἐχορτ. 13. al. Syr. It.[3] al. . . om. πάντες It.[5] Tert.

18. Rc. Kn. Sz. Ln. συνῆσαν . . . h. occurrerunt Brix.

19. Pro ἄλλοι δ. ὅτι h. ἢ ἕνα τῶν προφητῶν D Ct.

20. Πέτρ. δ. ἀποκρ. c. BCL 1. Cpt. Sah. . . Rc. Kn. Sz. Ln. ἀποκρ. δὲ ὁ Πέτρ. . . om. ὁ GHSV al. pm.

21. Rc. Sz. μηδενὶ εἰπεῖν τ. — 22. Rc. Kn. Sz. ἐγερθῆναι.

23. Rc. Sz. ἐλθεῖν et ἀπαρνησάσθω. — om. καὶ ἀράτω τ. στ. αὐτ. κ. ἡ. D Ct. It.[2] — Sz. Ln. om. καθ' ἡμέρ. c. CDEFGHSVXΔ al. pl. Vg. ms. It.[4] al. Or. al. [scr. c. ABKL al. m. Syr. al. m. Ptol. Cyr. al.]

24. Hab. αὐτὸς σώσ. α. K al. . . om. It.[6] Vg. al. Ir. Tert.

25. Hab. ὠφελεῖ C et ὠφελεῖ ἄνθρωπον κερδῆσαι ac tum ἀπολέσαι ἢ ζημιωθῆναι D* Ct. Colb. Cypr. . . al. aliter.

26. Om. λόγους D Ct. It.[2] Or. (1.) — om. αὐτοῦ κ. τ. πατρ. Prs. p. . . h. tantum τοῦ πατρ. αὐτοῦ Syr. . . al. aliter. — h. μετὰ τ. ἁγ. Syr. al.

27. Jgunt sqtibus ἀληθῶς DLS al. Ct. Or. — αὐτοῦ c. BL 1. . . Rc. Kn. Sz. Ln. ὧδε. — Rc. ἑστηκότων et γεύσονται. — h. οἵτινες AK al. Or.

Mt.17, Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους, ὡσεὶ ἡμέραι ὀκτώ, 28
1-9. Mc. 9, καὶ παραλαβὼν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην ἀνέβη εἰς τὸ
2-9. ὄρος προσεύξασθαι. 29 καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ 29
εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς
ἐξαστράπτων. 30 καὶ ἰδού, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες 30
ἦσαν Μωϋσῆς καὶ Ἠλίας, 31 οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξο- 31
δον αὐτοῦ ἣν ἤμελλεν πληροῦν ἐν Ἰερουσαλήμ. 32 ὁ δὲ Πέτρος 32
καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ
εἶδον τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας
αὐτῷ. 33 καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ 33
εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς
ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ καὶ μίαν Μωϋσεῖ
καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. 34 ταῦτα δὲ αὐτοῦ λέγοντος 34
ἐγένετο νεφέλη καὶ ἐπεσκίαζεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσ-
ελθεῖν αὐτοὺς εἰς τὴν νεφέλην. 35 καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης 35
λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἐκλελεγμένος, αὐτοῦ ἀκούετε.
36 καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν εὑρέθη Ἰησοῦς μόνος. καὶ αὐ- 36
τοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν
ὧν ἑώρακαν.

Mt.17, Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν ἀπὸ τοῦ 37
14-23. Mc. 9, ὄρους συνήντησεν αὐτῷ ὄχλος πολύς. 38 καὶ ἰδού, ἀνὴρ ἀπὸ τοῦ 38
14-33.

---

28. Ln. (καὶ) παραλαβ. .. om. καὶ BH 28. It.[2] al. — Rc. τὸν Πέτρον.
29. Hab. ἡ ἰδέα τοῦ πρ. α. ἠλλοιώθη καί (Or. ἑτέρα καὶ ἠλλοιώθη) D Or.
30. Pro οἵτ. ἦσ. h. ἦν δέ D Ct. Verc. et ἦσαν δέ Vg. It. .. om. Mcion. ap. Epiph.
31. Om. οἵ D Vg. It. Arm. Or. (2.) et om. οἳ ὀφθ. Mcion. ap. Ep. — h. ἔλεγον δέ C*D al. Syr. utr. It.[1]; inde Ln. ἔλ. (δέ) .. h. καὶ ἔλ. M al. Vg. It.[4] Arm. — ἤμελλ. c. AC. .. Rc. Kn. Sz. Ln. ἔμελλ. .. h. μέλλει D.
33. Om. ὁ ante Πέτρ. APSV al. pm. — om. καί ante ποιήσ. M al. et h. θέλεις ποιήσ. D Cpt. It.[1]
34. ἐπεσκίαζ. c. BL al.; εἰσελθ. αὐτ. c. iisd. .. Rc. Kn. Sz. Ln. ἐπεσκίασεν et ἐκείνους εἰσελθεῖν.
35. ὁ ἐκλελ. c. BL al. .. h. ἐκλεκτός 1. .. electus It.[3] al. .. Rc. Kn. Sz. Ln. ὁ ἀγαπητός. — add. ἐν ᾧ ηὐδόκησα C in m. DM al.
36. Rc. Kn. Sz. ὁ Ἰησ. μ. [om. ὁ c. ABCDHSVW al. pm.] — ἑώρακαν c. BLX al. (ἐθεάσαντο D. ἐθέασαν D*) .. Rc. Kn. Sz. Ln. ἑωράκασιν.
37. Rc. Kn. Sz. Ln. ἐν τῇ ἑ. ἡ. .. om. c. BLS al.

ὄχλου ἐβόησεν λέγων· Διδάσκαλε, δέομαί σου, ἐπίβλεψαι ἐπὶ τὸν
39 υἱόν μου, ὅτι μονογενής μοί ἐστιν, [39] καὶ ἰδού, πνεῦμα λαμβάνει
αὐτὸν καὶ ἐξαίφνης κράζει καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ
40 μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ συντρῖβον αὐτόν. [40] καὶ ἐδεήθην τῶν
41 μαθητῶν σου, ἵνα ἐκβάλωσιν αὐτό, καὶ οὐκ ἠδυνήθησαν. [41] ἀπο-
κριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη,
ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε ὧδε
42 τὸν υἱόν σου. [42] ἔτι δὲ προσερχομένου αὐτοῦ ἔῤῥηξεν αὐτὸν τὸ
δαιμόνιον καὶ συνεσπάραξεν· ἐπετίμησεν δὲ ὁ Ἰησοῦς τῷ πνεύματι
τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν αὐτὸν τῷ
43 πατρὶ αὐτοῦ. [43] ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ
θεοῦ. Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίει, εἶπεν πρὸς
44 τοὺς μαθητὰς αὐτοῦ· [44] Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λό-
γους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς
45 χεῖρας ἀνθρώπων. [45] οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρα-
κεκαλυμμένον ἀπ' αὐτῶν ἵνα μὴ αἴσθωνται αὐτό, καὶ ἐφοβοῦντο
ἐπερωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.
46 Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν εἴη μείζων Mc. 9.
47 αὐτῶν. [47] ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, 33-37. Mt. 18.
48 ἐπιλαβόμενος παιδίου ἔστησεν αὐτὸ παρ' ἑαυτῷ [48] καὶ εἶπεν αὐ- 1-5.
τοῖς· Ὃς ἂν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ
δέχεται, καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με.
ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστιν μέγας.
49 [49] Ἀποκριθεὶς δὲ Ἰωάννης εἶπεν· Ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ Mc. 9.
ὀνόματί σου ἐκβάλλοντα δαιμόνια καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ 38-40.
50 ἀκολουθεῖ μεθ' ἡμῶν. [50] εἶπεν δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κω-
λύετε· ὃς γὰρ οὐκ ἔστιν καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστίν.

---

38. Rc. Kn. Sz. ἀνεβόησ. [ἐβ. c. BCDL al.] — Rc. Ln. ἐπίβλεψον.
40. Rc. ἐκβάλλωσιν. — h. ἐδυνήθησ. K.
43. Rc. Kn. Sz. ἐποίησεν [ἐποίει c. ABCDLW al. m.] et (Ln. quoque) add. ὁ Ἰησοῦς, qd om. c. DL al. Vg. It.[6] al.
45. Rc. Kn. Sz. ἐρωτῆσαι. [ἐπερ. c. CDKM al.]
48. Rc. Kn. Sz. οὗτος ἔσται. [ἐστίν c. BCLX al. m. Vg. It. al.]
49. Rc. Kn. Sz. ὁ Ἰωάνν. [om. ὁ c. BD al.] — h. ἐν τ. ὀνόμ. BLX al. cdd. It. — Rc. Kn. τὰ δαιμόν. — h. ἐκωλύομεν BL.
50. Rc. Kn. Sz. καὶ εἶπε. — om. ὁ ante Ἰησ. B. — h. μὴ κωλ. αὐτόν CDLM al. It.[2] al. . h. αὐτούς X. — Rc. καθ' ἡμῶν, ὑπ. ἡμῶν ἐ.

Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλή- 51
ψεως αὐτοῦ, καὶ αὐτὸς ἐστήρισεν τὸ πρόσωπον αὐτοῦ τοῦ πορεύε-
σθαι εἰς Ἰερουσαλήμ, 52 καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου 52
αὐτοῦ. καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε
ἑτοιμάσαι αὐτῷ. 53 καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον 53
αὐτοῦ ἦν πορευόμενον εἰς Ἰερουσαλήμ. 54 ἰδόντες δὲ οἱ μαθηταὶ 54
αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης εἶπαν· Κύριε, θέλεις εἴπωμεν πῦρ
καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς; 55 στραφεὶς 55
δὲ ἐπετίμησεν αὐτοῖς. 56 καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. 56
Mt. 8, Ἐγένετο δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς 57
18-22. αὐτόν· Ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ. 58 καὶ εἶπεν αὐτῷ ὁ 58
Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρα-
νοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν
κεφαλὴν κλίνῃ. 59 εἶπεν δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι. ὁ δὲ 59
εἶπεν· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθόντι θάψαι τὸν πα-
τέρα μου. 60 εἶπεν δὲ αὐτῷ· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς 60
ἑαυτῶν νεκρούς, σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ
θεοῦ. 61 εἶπεν δὲ καὶ ἕτερος· Ἀκολουθήσω σοι, κύριε· πρῶτον 61

---

51. *ἐστήρισεν* (sic B dis. ap. Birch. et Btlj.) *τ. πρ. αὐτ.* c. BLVX al. .. Rc. Kn. Sz. Ln. *τὸ πρ. αὐτοῦ* [Ln. (*αὐτοῦ*)] *ἐστηριξεν*.

52. Pro *ὥστε* h. *ὡς* B, tanquam Verc. quasi It.[2]

54. Ln. *ἐκ τοῦ οὐρ.* c. CD al. Bas. Chrs. — Rc. Kn. Sz. Ln. in f. add. *ὡς καὶ Ἠλίας ἐποίησεν.* [cf. *2 Reg. 1, 10. 12.] .. om. c. BL 157. al. Cpt. Arm. Prs. w. Sax. Vg. It. cdd. Rd. et For.

55. Rc. Kn. Sz. add. in fine *καὶ εἶπεν· οὐκ οἴδατε, οἵου* (h. *ποίου* D al. m. Clem. al.) *πνεύματός ἐστε ὑμεῖς;* [om. c. ABCEGHL SVXΔ al. pm. Cpt. Aeth. Sax. It.[3] Eus. (videtur) Bas. Cyr. al.]

56. Rc. Kn. ab init. add. *Ὁ γὰρ* (*γάρ* om. 1. al. m. Cpt. Vg. It.[2]) *υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων* (*ἀνθρ.* om. Syr. Vg. It.[2] al.) *ἀπολέσαι ἀλλὰ σῶσαι.* [om. c. iisd. fere modo laudatis et c. D al. Ct. It.[1]]

57. Hab. *καὶ πορευομ.* BCLX al. Syr. al. — Rc. Kn. Sz. in f. add. *κύριε* [om. c. BDL al. Vg. It.[3] al. .. etiam varie pon.].

58. Om. *ὁ* ante *Ἰησ.* B.

59. Ln. *πρῶτον ἀπελθεῖν θάψαι* c. AK al. addito *καί* ante *θάψ.* Or. Vg. It. .. Rc. Kn. Sz. *ἀπελθ. πρ.* sed *πρ. ἀπ.* c. B al. .. h. *πρ. ἀπελθόντα* D.

60. Rc. Sz. *αὐτῷ ὁ Ἰησοῦς*, qd Kn. et Ln. (—) .. om. c. BDL al. Cpt. Verc. .. h. *ὁ κύριος* Ev. 47. — h. *σὺ δὲ πορευθεὶς* D Ir. ap. Epiph.

62 δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. [62] εἶπεν
δὲ ὁ Ἰησοῦς· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ᾽ ἄροτρον καὶ βλέπων
εἰς τὰ ὀπίσω εὔθετός ἐστιν τῇ βασιλείᾳ τοῦ θεοῦ.

## X.

1 Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος ἑτέρους ἑβδομήκοντα δύο
καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν
2 πόλιν καὶ τόπον οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι. [2] ἔλεγεν δὲ πρὸς
αὐτούς· Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε Mt. 9,
οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐργάτας ἐκβάλλῃ εἰς τὸν θε- 37. 38.
3 ρισμὸν αὐτοῦ. [3] ὑπάγετε· ἰδού, ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν Mt. 10,
4 μέσῳ λύκων. [4] μὴ βαστάζετε βαλλάντιον, μη πήραν μηδὲ ὑπο- 16. et
5 δήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. [5] εἰς ἣν δ᾽ ἂν 10. et
6 οἰκίαν εἰσέλθητε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ. [6] καὶ 11-15.
ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν ἡ εἰρήνη ὑμῶν·
7 εἰ δὲ μήγε, ἐφ᾽ ὑμᾶς ἀνακάμψει. [7] ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε
ἔσθοντες καὶ πίνοντες τὰ παρ᾽ αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ
8 μισθοῦ αὐτοῦ. μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. [8] καὶ εἰς ἣν
δ᾽ ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατι-
9 θέμενα ὑμῖν, [9] καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε

---

62. Rc. Kn. Sz. πρὸς αὐτὸν ὁ Ἰησ. et Ln. ὁ Ἰησ. πρὸς αὐτόν. .. om. c. B .. h. αὐτῷ D gr. Colb... illis Ct. — Ln. ἐπιβάλλων. — Rc. Kn. Sz. Ln. τ. χεῖρ. αὐτοῦ. .. om. c. B ap. Sz. 1. al. It.[2] Arm. Ir. gr. Or. (3.) Cyr. al. — h. κ. στραφεὶς εἰς τ. ὀ. 4. al. m. Or. (3.) Cyr. al. — Rc. Kn. Sz. εἰς τὴν βασιλ. [τῇ βασ. c. BL 1. 33. al. Vg. It. Syr. Arm. Clem. Or. (3.) Bas. al.]

Cap. X. 1. Rc. Kn. Sz. Ln. καὶ ἑτέρ... om. c. BL al. — δύο, qd Ln. (—), c. BDM al. Vg. It.[4] al. Dial. c. Mcion. Clem. (recogn.) Epiph. al. m. (om. Eus. Greg. nyss. Cyr. al.) .. om. Rc. Kn. Sz. — Rc. Kn. Sz. ἔμελλ. [ἤμ. c. ABCEVΔ al. m.]

2. Rc. Kn. Sz. ἔλ. οὖν. — Kn. Sz. ἐκβάλῃ ἐργάτ. (hoc ord. etiam Rc. Ln... ἐργ. ἐκβ. pon. c. BD.)

3. Rc. Kn. Sz. ἰδού, ἐγώ.

4. Rc. Kn. Sz. βαλάντ. [βαλλάντ. c. ADEFKLVΔ al. Clem.]

5. Rc. Kn. Sz. εἰσέρχησθε. [εἰσέλθ. c. BCDFLX al.]

6. Rc. ἐὰν μὲν et ὁ υἱὸς εἰρ. (utrumque etiam h. B.) — h. πρὸς ὑμ. B (MT. 10, 13. ἐφ᾽ ὑμ. B) al.

7. Rc. Kn. Sz. ἐσθίοντες [ἔσθ. c. BD]; iid. μισθ. αὐτ. ἐστιν.

8. Ln. κ. εἰς ἣν ἂν c. CDEGMSVΔ al. pm.

*αὐτοῖς· Ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.* 10 *εἰς ἣν δ᾽ ἂν* 10
*πόλιν εἰσέλθητε καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλα-*
*τείας αὐτῆς εἴπατε·* 11 *Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν* 11
*ἐκ τῆς πόλεως ὑμῶν εἰς τοὺς πόδας ἀπομασσόμεθα ὑμῖν· πλὴν*
*τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ.* 12 *λέγω ὑμῖν,* 12
*ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει*
Mt. 11, 21-22. *ἐκείνῃ.* 13 *Οὐαί σοι, Χοραζίν· οὐαί σοι, Βηθσαϊδά· ὅτι εἰ ἐν* 13
*Τύρῳ καὶ Σιδῶνι ἐγενήθησαν αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν,*
*πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμενοι μετενόησαν.* 14 *πλὴν* 14
*Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν.* 15 *καὶ* 15
*σύ, Καφαρναούμ, μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ; ἕως ᾅδου καταβι-*
*βασθήσῃ.* 16 *Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς* 16
*ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.*
*Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα δύο μετὰ χαρᾶς λέγοντες·* 17
*Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.*
18 *εἶπεν δὲ αὐτοῖς· Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ* 18
*οὐρανοῦ πεσόντα.* 19 *ἰδού, δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν* 19
*ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ*
*ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει.* 20 *πλὴν ἐν τούτῳ μὴ* 20
*χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δέ, ὅτι τὰ*
Mt. 11, 25-27. *ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς.* 21 *Ἐν αὐτῇ τῇ ὥρᾳ* 21

---

10. Rc. Kn. Sz. *εἰσέρχησθε.*

11. Rc. Kn. Sz. om. *εἰς τ. πόδ.* [scr. c. BD al. It. (exc. 3.) Sax.] .. h. *εἰς τ. πόδ. ἡμῶν* ACKLM al. pl. Syr. utr. It.[1.] al. m. — Rc. Sz. et Kn. (—) *ἤγγ. ἐφ᾽ ὑμᾶς.* [om. c. BDL al. m. Vg. It. (exc. 2.) al.]

12. Rc. *λέγω δέ* et Ln. (*δέ*). [om. c. ACEKL al. pl. Syr. Vg. It.[6.] al. .. h. *γάρ* 115. It.[1.]]

13. Hab. *Χοραζάϊν* D It. Vg. .. *Χοραζεὶν* KS (S et al. sic etiam ap. MT.) WX al. m. .. al. aliter. — h. *Βηθσαϊδάν* 1. al. m. .. *Βηδσαϊδά* AD al. cdd. lat. — Rc. Kn. Sz. *ἐγένοντο* et *καθήμεναι.* [*καθήμενοι* c. ABLWX al. .. etiam om.]

15. Rc. Kn. Sz. *ἡ ἕως τοῦ οὐρ. ὑψωθεῖσα, ἕως ᾅ. καταβιβ.* [*μὴ ἕως — ὑψωθήσῃ; ἕως* c. BD**L Aeth. (h. *μὴ — ὑψ. ἢ ἕως* D* It.[4.] Ct.) .. h. *καταβήσῃ* BD Ct.]

17. Rc. Kn. Sz. om. *δύο* et Ln. (*δύο*) .. scr. c. BD Vg. It. (exc. 3.) al.

19. *δέδωκα* c. BLX 1. al. Vg. It.[8.] Cpt. al Or. (2.) Chrs. al. m. .. Rc. Kn. Sz. Ln. *δίδωμι.* — h. *τὴν τοῦ ἐχθρ.* B. — Kn. Sz. *ἀδικήσῃ.*

20. Rc. *χαίρετε δὲ μᾶλλον* (c. BS.). — *ἐγγέγρ.* c. BLX 1. al. Cstit. Bas. Cyr. .. h. *ἐνεγράφη* 157. .. Rc. Kn. Sz. Ln. *ἐγράφη.*

ἠγαλλιάσατο τῷ πνεύματι τῷ ἁγίῳ καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι,
πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ
σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πα-
22 τήρ, ὅτι οὕτως εὐδοκία ἐγένετο ἔμπροσθέν σου. [22] Πάντα μοι
παρεδόθη ὑπὸ τοῦ πατρός, καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱός,
εἰ μὴ ὁ πατήρ, καὶ τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν
23 βούληται ὁ υἱὸς ἀποκαλύψαι. [23] καὶ στραφεὶς πρὸς τοὺς μαθη- Mt. 13,
τὰς κατ' ἰδίαν εἶπεν· Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέ- 16. 17.
24 πετε. [24] λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέ-
λησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδαν, καὶ ἀκοῦσαι ἃ
ἀκούετε, καὶ οὐκ ἤκουσαν.

25 Καὶ ἰδού, νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν καὶ λέγων· Mt. 22,
26 Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; [26] ὁ δὲ εἶπεν 35 sqq.
πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Mc. 12, 28 sqq.
27 [27] ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ *Dt. 6,
ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς 5. *Lv.
ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου 19, 18.
28 ὡς σεαυτόν. [28] εἶπεν δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει,
29 καὶ ζήσῃ. [29] ὁ δὲ θέλων δικαιῶσαι ἑαυτὸν εἶπεν πρὸς τὸν Ἰησοῦν·
30 Καὶ τίς ἐστίν μου πλησίον; [30] ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν· Ἄν-
θρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καὶ λῃσταῖς
περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλ-
31 θον, ἀφέντες ἡμιθανῆ. [31] κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν

21. Rc. Kn. Sz. τῷ πνεύμ. ὁ Ἰησοῦς [scr. τῷ ἁγίῳ c. BCDKLX al. m. Syr. utr. et hr. Vg. It. (exc. 1.) al. et om. ὁ Ἰησ. c. BD al. Vg. It.[8.] .. etiam aliter pon.] .. h. ἐν τῷ πν. DFLX al. It.[6.] Vg. Clem. (is om. τῷ ἁγ.)
22. Rc. Sz. Ln. ab init. add. καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπεν· [om. c. DL al. m. Cpt. Vg. It. (exc. 2.) al. Ir.] — Rc. Kn. Sz. Ln. πατρός μου. .. om. c. D Ct. It.[5.] Tert. Ir. — h. ἐπιγινώσκ. CFHΔ al. pm.
23. Om. κατ' ἰδίαν D (h. εἶπ. αὐτοῖς) Vg. It. (exc. 1.) .. etiam varie pon.
25. Om. καὶ ante λέγων B. — om. διδάσκ. D Ct. Mcion.
27. Ln. ἐξ ὅλης τ. καρδίας σ. (h. ἐν ὅλῃ τ. κ. σ. D It. cdd.) κ. ἐν ὅλῃ τ. ψυχῇ σ. κ. ἐν ὅλῃ τ. ἰ. σ. κ. ἐν ὅλῃ τ. δ. σ. .. om. κ. ἐξ ὅλης τ. διανοίας σ. D It. (exc. 2.) Tert. et om. ἐξ ὅλ. τ. καρδίας σ. Syr. hr.*
29. Rc. Kn. Sz. δικαιοῦν. [δικαιῶσ. c. BC*DLX al.]
30. Hab. ἐξέδυσαν EGHSVΔ al. m. Vg. It.[6.] — Rc. Kn. Sz. in fine add. τυγχάνοντα. [om. c. BDL 1. 33. al. Vg. It. al.]

*ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν.* 32 *ὁμοίως δὲ* 32
*καὶ Λευΐτης κατὰ τὸν τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν.*
33 *Σαμαρείτης δέ τις ὁδεύων ἦλθεν κατ' αὐτὸν καὶ ἰδὼν ἐσπλαγ-* 33
*χνίσθη·* 34 *καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ ἐπιχέων* 34
*ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν*
*αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ.* 35 *καὶ ἐπὶ τὴν αὔριον* 35
*ἐκβαλὼν δύο δηνάρια ἔδωκεν τῷ πανδοχεῖ καὶ εἶπεν· Ἐπιμελήθητι*
*αὐτοῦ, καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με*
*ἀποδώσω σοι.* 36 *τίς τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέ-* 36
*ναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;* 37 *ὁ δὲ εἶπεν· Ὁ ποιήσας* 37
*τὸ ἔλεος μετ' αὐτοῦ. εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς· Πορεύου καὶ σὺ*
*ποίει ὁμοίως.*

*Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτούς, καὶ αὐτὸς εἰσῆλθεν* 38
*εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς*
*τὴν οἰκίαν αὐτῆς.* 39 *καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ* 39
*καὶ παρακαθεσθεῖσα πρὸς τοὺς πόδας τοῦ κυρίου ἤκουεν τὸν*
*λόγον αὐτοῦ·* 40 *ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν.* 40
*ἐπιστᾶσα δὲ εἶπεν· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην*
*με κατέλιπεν διακονεῖν; εἰπὸν οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται.*

---

32. Rc. Kn. Sz. Ln. *γενόμενος* (om. c. BX 1. 33. al. Cpt. .. h. *ἐλθών* It.[2.] Arr. Arm... cum transisset Verc.) *κατὰ τ. τόπ. ἐλθών*... om. *ἐλθών* D al. Vg. It.[11.] al. — Ln. *ἰδὼν αὐτόν* c. AD al. pm. Syr. Vg. It.
33. Rc. Kn. Sz. *ἰδὼν αὐτόν* et Ln. (*αὐτ.*) .. om. c. BL 1. 33. al. It.[4.]
34. Ln. *καὶ ἐπιβιβάσ.* — om. *αὐτόν* post *ἤγαγ.* B ap. Sz. 1. al. Vg. It. (exc. 1.)
35. Rc. Kn. Sz. *ἐξελθὼν ἐκβαλών*, iid. *εἶπ. αὐτῷ*, qd Ln. (—) .. om. c. BDL 1. 33. al. m. Vg. It. (exc. 2.) al.
36. Rc. Kn. Sz. *τίς οὖν* et Ln. (*οὖν*) .. om. c. BL 1. al. Vg. It.
37. Rc. Kn. Sz. *εἶπ. οὖν αὐτῷ ὁ Ἰησ.* [*δέ* c. BC*DFLXΔ al. m. Verc. al... etiam om... etiam *καὶ εἶπ.* leg.]
38. Hab. *Ἐν δὲ τῷ π.* omisso *καί* ante *αὐτός* BL 69. Cpt. .. Ln. (*καὶ*) *αὐτός.* — om. *εἰς τ. οἰκ. α.* B. .. *οἰκίαν* c. CL 33. .. Rc. Kn. Sz. Ln. *οἶκον*... om. *αὐτῆς* L 33.
39. *παρακαθ.* c. ABC*L Mac. (*παρακαθήσασα* K al.) et *πρός* c. BC*L al. Mac. .. Rc. Kn. Sz. Ln. *παρακαθίσασα παρά.* — Rc. Kn. Sz. *τοῦ Ἰησοῦ.*
40. *εἰπόν* c. DL 1, 33. al. .. Rc. Kn. Sz. Ln. *εἰπέ.*

41 [41] ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ κύριος· Μάρθα, Μάρθα, μεριμνᾷς
42 καὶ θορυβάζῃ περὶ πολλά, [42] ἑνὸς δέ ἐστιν χρεία· Μαρία δὲ τὴν
ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς.

## XI.

1 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον,
ὡς ἐπαύσατο, εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε,
δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξεν τοὺς
2 μαθητὰς αὐτοῦ. [2] εἶπεν δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· Mt. 6, 9-13.
3 Πάτερ, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· [3] τὸν
4 ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ᾽ ἡμέραν, [4] καὶ ἄφες
ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίομεν παντὶ τῷ ὀφεί-
5 λοντι ἡμῖν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. [5] Καὶ εἶπεν
πρὸς αὐτούς· Τίς ἐξ ὑμῶν ἕξει φίλον καὶ πορεύσεται πρὸς αὐτὸν
μεσονυκτίου καὶ εἴπῃ αὐτῷ· Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους,

---

41. *ὁ κύρ.* c. BL al. It.[4] Vg. al. .. Rc. Kn. Sz. Ln. *ὁ Ἰησ.* .. h. *ὁ Ἰησ. εἶπ. α.* DK al. m. — Rc. Kn. Sz. *τυρβάζῃ* [*θορυβ.* c. BCD (om. *μερ. καὶ* et *περὶ π.*) L 1. 33. Evagr.

42. Om. *ἑνὸς δ. ἐ. χρ.* D Ct. It.[5] Clem. Ambr. (3.) .. h. *ὀλίγων δέ ἐ. χρ. ἢ ἑνός* BL al. Cpt. al. Bas. al. .. *ὀλίγων δέ ἐ. χρ.* 38. Arr. Or. .. al. aliter. — post *Μαρ.* om. *δέ* D Vg. It.[5] .. h. *γάρ* BL al. Bas. al. — Ln. (*ἀπ᾽*) *αὐτῆς*... om. *ἀπ᾽* B ap. Sz. CDL al... h. illi It.[4]

Cap. XI. 1. Hab. *καὶ ὡς ἐπαύσ.* DM al. It.[5]

2. Rc. Sz. Ln. *πάτ. ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς*, qu. Kn. (—) .. om. c. BL (hab. *ἡμῶν*) 1. 22. 33. 130. 346. al. Vg. It. cdd. al. Or. al. — Rc. Sz. in f. add. *γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς*. .. ea Kn. (—) et Ln. *γεν. τὸ θέλ. σ.* (*ὡς ἐν οὐρ. κ. ἐπὶ γῆς*) .. om. c. BL 1. 22. 130. 346. al. Vg. It.[4] al. Or. (dis.) Aug. (dis.) al... Pro *ἐλθ. ἡ βασ. σ.* Greg. nyss. et Max. tradt. Lc. scripsisse *ἐλθέτω τὸ ἅγιον πνεῦμά σου ἐφ᾽ ἡμᾶς καὶ καθαρισάτω ἡμᾶς.*

3. Hab. *δὸς ἡμῖν σήμερον*, tum *τὰ ὀφειλήματα, ὡς καὶ ἡμεῖς, τοῖς ὀφειλέταις ἡμῶν* D; singula al. quoque et It. cdd.

4. Rc. Kn. Sz. *ἀφίεμεν*. [*ἀφίομ.* c. ABDEKΔ al. m... h. *ἀφήκαμεν* Syr. Or. (1.)] — *παντὶ τῷ* c. LX 33. al. m. Or. (1.) .. om. *τῷ* Rc. Kn. Sz. Ln. — Rc. Ln. in f. add. *ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ*, qu. Kn. (—) .. [om. c. BL 1. 22. 130. al. m. Vg. It.[6] Arm. Or. (dis.) Aug. (dis.) al.]

5. Ln. *καὶ ἐρεῖ* c. ADKM al. m. Vg. It.[6] al. Bas. al. .. etiam *ἔχει* et *πορεύεται* (K) antea leg.

6 ἐπειδὴ φίλος παρεγένετο ἐξ ὁδοῦ πρός με καὶ οὐκ ἔχω ὃ παρα- 6
θήσω αὐτῷ· 7 κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· Μή μοι κόπους 7
πάρεχε· ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς
τὴν κοίτην εἰσίν· οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. 8 λέγω ὑμῖν, 8
εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι φίλον αὐτοῦ, διά γε
Mt. 7, 7-11. τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρῄζει. 9 Κἀγὼ 9
ὑμῖν λέγω, αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε·
κρούετε, καὶ ἀνοιχθήσεται ὑμῖν. 10 πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, 10
καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιχθήσεται. 11 τίνα δὲ 11
ἐξ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει
αὐτῷ; ἢ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; 12 ἢ 12
καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον; 13 εἰ οὖν ὑμεῖς 13
πονηροὶ ὑπάρχοντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις
ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς
αἰτοῦσιν αὐτόν;

Mt. 12, 22-30. Mc. 3, 22-27. Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν· ἐγένετο δὲ 14
τοῦ δαιμονίου ἐξελθόντος ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ
Mt. 9, 34. ὄχλοι· 15 τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι 15

---

6. Rc. Kn. Sz. Ln. *φίλος μου*... om. c. CEKSVΔ al. pm. Syr. It.[1] al... h. *μοί* D (pergit *πάρεστιν ἀπ' ἀγροῦ*) M al. m. It.[1]
7. Hab. *ἐρεῖ* D.
8. *φίλ. αὐτ.* c. CLX al. Or. (2.) Bas. al.. Rc. Kn. Sz. Ln. *αὐτ. φίλ.* .. h. *αὐτὸν φίλ.* A al.. *αὐτὸν φίλ. αὐτοῦ* D. — h. *ὅσον* DEHLSVΔ al. pl. Or. (1.) Bas. al.
9. *ἀνοιχθ.* c. DEGHSV al. pm... Rc. Kn. Sz. Ln. *ἀνοιγήσεται.*
10. Rc. Kn. Sz. *ἀνοιγήσ.* [*ἀνοιχθ.* c. AEGHKSVΔ al. pm. .. h. *ἀνοίγεται* B (idem h. bis ap. MT.) D Ct.]
11. Hab. *τίς* DLX al. Vg. It.[4] Or. — Rc. om. *ἐξ.* — om. *τὸν πατ.* Ev. 48. (1.) Ver. Aug. .. post *αἰτήσ.* pon. B. 254. — om. *ὁ υἱός* L 157. Vg. It.[3] .. pon. ante *αἰτ.* D Or. — om. *ἄρτ., μὴ λ. ἐ. α. ἢ καί* B Sah. It.[3] — Rc. *εἰ καὶ ἰχθ.*
12. Om. *καὶ ἐάν* (L), *ἤ* (C), *καί*, *ἐάν* (B Dial. c. Mcion.)... h. *ἐὰν δὲ καί* D. — h. *αἰτήσει* ADKL al. m. et om. *μή* BL Sah.
13. Ln. *ὁ πατ. ὑμῶν* et Rc. Kn. Sz. Ln. *ὁ ἐξ. οὐρ.*.. om. *ὁ* c. LX 33. al. Cpt. Vg. It. (de coelo). — pro *πν. ἅγ.* h. *ἀγαθ. δόμα* D al. It.[5] Or. (2.) .. *πν. ἀγαθόν* L al. Vg. It.[2] .. al. aliter.
14. Om. *καὶ αὐτὸ ἦν* A*BL al. Cpt. — Ln. *ἐκβληθέντος* c. ALX al. cum ejecisset d. Vg. It.
15. Hab. *Βεεζεβούλ* BD; sic semper fere. — Rc. Kn. Sz. om. *τῷ* ante *ἀρχ.*

16 τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· 16 ἕτεροι δὲ πειράζοντες Mt. 12, 38.
17 σημεῖον ἐξ οὐρανοῦ ἐζήτουν παρ' αὐτοῦ. 17 αὐτὸς δὲ εἰδὼς αὐτῶν
τὰ διανοήματα εἶπεν αὐτοῖς· Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερι-
18 σθεῖσα ἐρημοῦται καὶ οἶκος ἐπὶ οἶκον πίπτει. 18 εἰ δὲ καὶ ὁ σα-
τανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ;
19 ὅτι λέγετε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια. 19 εἰ δὲ ἐγὼ
ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλ-
20 λουσιν; διὰ τοῦτο αὐτοὶ ὑμῶν κριταὶ ἔσονται. 20 εἰ δὲ ἐν δακτύλῳ
θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία
21 τοῦ θεοῦ. 21 Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυ-
22 τοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶν τὰ ὑπάρχοντα αὐτοῦ· 22 ἐπὰν δὲ
ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ
23 αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν. 23 ὁ μὴ
ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστίν, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορ-
24 πίζει. 24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, Mt. 12, 43-45.
διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον
25 λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον· 25 καὶ ἐλθὸν
26 εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. 26 τότε πορεύεται καὶ
παραλαμβάνει ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ ἑπτά, καὶ
ἐλθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου
27 ἐκείνου χείρονα τῶν πρώτων. 27 Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν
ταῦτα ἐπάρασά τις φωνὴν γυνὴ ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ· Μακα-

---

[scr. c. BCKLM al. m.] — In f. add. ὁ δὲ ἀποκριθεὶς (s. καὶ ἀπ.) εἶπεν· Πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν; ADKMX al. m. Aeth. Syr. p.

17. Hab. ἰδών X al. Vg. It. — h. μερισθεῖσα CMX al. m.

19. Ln. om. οἱ ante υἱοί. — 20. h. ἐγώ ante ἐν (D), post θεοῦ (CL).

21. Hab. φυλάσσει BD al. m.

22. Rc. Kn. Sz. ὁ [om. c. BDL al.] ἰσχυρότ.

24. Hab. ὅταν δέ DX al. It.[1] al. — Ln. εὑρίσκον (. τότε) λέγ. .. h. εὑρίσκων LS al. m.

25. Hab. ἐλθών DKS*X al. m. et post εὑρ. add. σχολάζοντα BCL al. It.[2] al. — om. καί ante κεκοσμ. DL al. Cpt. Arr.

26. Rc. Kn. Sz. Ln. ἑπτὰ (post ἑαυτοῦ pos. c. BL al.) ἕτερα. .. h. ἄλλα ἑπτά D It.[2] — ἐλθόντα c. EGMSV al. pm. Euthym. .. Rc. Kn. Sz. Ln. εἰσελθ.

27. Rc. Kn. Sz. ἐπ. τις γυνὴ φ. .. h. γυνή τις ἐπ. φ. c. D Ct. .. post ὄχλ. pon. φων. K 1.

ρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοὶ οὓς ἐθήλασας. 28 αὐτὸς 28
δὲ εἶπεν· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ
καὶ φυλάσσοντες.
Mt. 12, Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη 29
38. 42. γενεὰ πονηρά ἐστιν· σημεῖον ζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται
αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. 30 καθὼς γὰρ ἐγένετο Ἰωνᾶς τοῖς 30
Νινευΐταις σημεῖον, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ
* 1 Rg. γενεᾷ ταύτῃ. 31 βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ 31
10, 1. τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν
ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ
ἰδού, πλεῖον Σολομῶνος ὧδε. 32 ἄνδρες Νινευῖ ἀναστήσονται ἐν 32
τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι
μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε.
Mt. 5, 15. 33 Οὐδεὶς δὲ λύχνον ἅψας εἰς κρυπτὴν τίθησιν οὐδὲ ὑπὸ τὸν 33
Mc. 4, 21. Lc. 8, 16. μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος
Mt. 6, βλέπωσιν. 34 ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός σου. ὅταν 34
22. 23. ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν
ἐστιν· ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν. 35 σκόπει 35
οὖν, μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. 36 εἰ οὖν τὸ σῶμά σου 36
ὅλον φωτεινόν, μὴ ἔχον μέρος τι σκοτεινόν, ἔσται φωτεινὸν ὅλον
ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.

---

28. Hab. *μενοῦν* A L Δ al. — Rc. Sz. in f. add. *αὐτόν*.

29. Rc. Kn. Sz. om. alterum *γενεά*. [scr. c. A B D L al. m. Vg. It. al.] .. om. *ἐστίν* 235. Syr. Mcion. ap. Ep. — Rc. Kn. Sz. Ln. *ἐπιζητ*. .. *ζητεῖ* c. A B L al. — Rc. Kn. Sz. in f. add. *τοῦ προφήτου*. [om. c. B D L al. Syr. hr. Vg. ms. It. (exc. 1.) al.]

32. Om. totum v. D Ct. — Sz. Ln. *ἄνδρ. Νινευΐται*.

33. Om. *δέ* D al. m. Syr. Vg. It. (exc. 3.) — h. *κρυπτόν* 1. al. — om. *οὐδὲ ὑ. τ. μόδ.* L 1. al. Arm. .. etiam om. *οὐδέ* et pon. *καί* atque *ἤ*. — Ln. *τὸ φῶς*.

34. Hab. *τ. σώματ. σου* D Syr. Vg. It. (exc. 1.) al. — Rc. Kn. Sz. om. *σοῦ* ante *ὅταν*. [scr. c. A B C D M al. Syr. Vg. It. al.] iid. h. *ὅταν οὖν*. — Ln. om. *καί* ante *ὅλον* c. C D al. m. Vg. It. — h. *φωτ. ἔσται* K L M X al. m. Vg. It.[4] et in f. add. *ἔσται* K M X al. m. Syr. Vg. It. al. m. .. etiam *ἐστίν* add. — 35. om. v. D 57. 433. Ct. It.[4] Aug.

36. Om. *μὴ ἔχ. μέρ. τι σκ.* 73. Corb. .. h. *εἰ μή* X. .. Rc. Kn. Sz. *μὴ ἔχ. τι μέρ.* — h. *ἐν τῇ ἀστρ.* B. — Versum sic h. *εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον*. D Ct. It.[4] Aug.

37 Ἐν δὲ τῷ λαλῆσαι ἐρωτᾷ αὐτὸν Φαρισαῖος, ὅπως ἀρι-
38 στήσῃ παρ' αὐτῷ· εἰσελθὼν δὲ ἀνέπεσεν. [38] ὁ δὲ Φαρισαῖος
ἰδὼν ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.
39 [39] εἶπεν δὲ ὁ κύριος πρὸς αὐτόν· Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ Mt. 23. 25. 26.
ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν
40 ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. [40] ἄφρονες, οὐχ ὁ ποιήσας
41 τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησεν; [41] πλὴν τὰ ἐνόντα δότε ἐλεη-
42 μοσύνην, καὶ ἰδού, πάντα καθαρὰ ὑμῖν ἐστιν. [42] ἀλλ' οὐαὶ ὑμῖν Mt. 23. 23.
τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον
καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ
43 θεοῦ· ταῦτα ἔδει ποιῆσαι κἀκεῖνα μὴ παρεῖναι. [43] οὐαὶ ὑμῖν Mt. 23. 6. 7.
τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συνα- Lc. 20. 46.
44 γωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. [44] οὐαὶ ὑμῖν, ὅτι Mt. 23. 27.
ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες
45 ἐπάνω οὐκ οἴδασιν. [45] ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ·
46 Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. [46] ὁ δὲ εἶπεν· Καὶ Mt. 23. 4.
ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία
δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε
47 τοῖς φορτίοις. [47] οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προ- Mt. 23. 29.
48 φητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. [48] ἄρα μάρτυρές Mt. 23. 31-36.
ἐστε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐ-
49 τοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε. [49] διὰ τοῦτο

---

37. Ln. post λαλῆσαι add. αὐτόν c. A . . . add. αὐτὸν ταῦτα 1. al. m. It.[2] — Rc. Kn. Sz. ἠρώτα. [ἐρωτ. c. AB al. Ephr.] — Rc. Kn. Sz. Ln. Φαρ. τις. . . om. c. BL 1. al. Cpt. . . pon. ante Φαρ. DX al.

40. Hab. τὸ ἔσωθεν καὶ τὸ ἔξ. ἐπ. CD al. It.[2] Sax. Tit. bostr.

41. Hab. ἔσται DX al. m. Verc. al. Mcion.

42. Pro κρίσ. h. κλῆσιν Mcion. (ap. Ep. et Tert.) — Kn. ταῦτα δέ et Ln. τ. (δέ). — Rc. Kn. Sz. ἀφιέναι.

43. Ln. in f. add. (καὶ τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις).

44. Rc. Sz. οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, qu. Ln. (—) — h. ἐστὲ μνημεῖα ἄδ. D It.[7] Lcif. — Rc. Kn. Sz. οἱ ἄνθρ. οἱ [om. c. ADKSVXΔ al. pm.].

46. Hab. βαρέα καὶ δυσβ. CX al.

48. μάρτ. ἐστε c. BL Or. . . Rc. Kn. Sz. Ln. μαρτυρεῖτε. — Rc. Kn. Sz. in f. add. αὐτῶν τὰ μνημεῖα, qu. Ln. (—) . . om. c. BDL Cpt. It.[4] . . etiam τοὺς τάφους αὐτῶν, αὐτῶν τὰ μνήματα et aliter leg.

καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν· Ἀποστελῶ εἰς αὐτοὺς προφήτας
καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσιν καὶ ἐκδιώξουσιν,
[50] ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον 50
Gn. 4, ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς ταύτης, [51] ἀπὸ αἵματος 51
8. et 2 Chr. Ἄβελ ἕως αἵματος Ζαχαρίου τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσια-
24, 21. στηρίου καὶ τοῦ οἴκου· ναί, λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς
Mt. 23, 13. γενεᾶς ταύτης. [52] οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα 52
τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθατε καὶ τοὺς εἰσερχομένους ἐκω-
λύσατε. [53] Κἀκεῖθεν ἐξελθόντος αὐτοῦ ἤρξαντο οἱ γραμματεῖς 53
καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστοματίζειν αὐτὸν περὶ
πλειόνων, [54] ἐνεδρεύοντες αὐτόν, θηρεῦσαί τι ἐκ τοῦ στόματος 54
αὐτοῦ.

## XII.

Mt. 16, 6. Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε κα- 1
ταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶ-
τον· Προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν
Lc. 8, 17. Mc. 4, 22. ὑπόκρισις. [2] οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθή- 2
Mt. 10, 26. σεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. [3] ἀνθ᾽ ὧν ὅσα ἐν τῇ 3
Mt. 10, 27-33. σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς
ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

---

49. Om. καὶ ἡ σοφ. τ. θ. εἰπ. et h. ἀποστέλλω D Ct. It.[1] Lcif. — om. καί ante ἐξ AK al. Ct.

50. Hab. ἕως τ. γεν. τ. D It.[4] Arr. Lcif.

51. Rc. Kn. Sz. ἀπὸ τοῦ [om. c. BCDL al.] et ἕως τοῦ. [om. c. BDLX al.]

53. Κἀκ. ἐξ. α. c. BCL 33. Cpt. .. Rc. Kn. Sz. Ln. λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς. .. h. καὶ ἤρξ. 69. (sec. XIV.) .. al. aliter. — h. ἀποστομίζειν LSV*Δ al. etiam ἐπιστομίζ. leg. .. συμβάλλειν αὐτῷ D 69.

54. Rc. Kn. Sz. Ln. ἐνεδρ. αὐτὸν (ea om. D al. It.[5] .. om. αὐτόν X 130. .. h. αὐτῷ 106.) ζητοῦντες [Rc. καὶ ζητ. .. om. ζητ. c. BL 1. al. Cpt. .. h. ζητοῦντες ἀφορμήν τινα λαβεῖν αὐτοῦ D] θηρ. τι ἐκ τ. στ. α. ἵνα κατηγορήσωσιν αὐτοῦ .. haec om. c. BL Cpt. Aeth. .. h. ἵνα εὕρωσιν κατηγορῆσαι αὐτοῦ D Ct.

Cap. XII. 1. Rc. Πρῶτον προσέχ. — h. τ. ζύμης ἥτις ἐστ. ὑπόκρ. τῶν Φαρισ. BL.

4 [4] λέγω δὲ ὑμῖν τοῖς φίλοις μου, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεν-
νόντων τὸ σῶμα καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποι-
5 ῆσαι. [5] ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· φοβήθητε τὸν μετὰ τὸ
ἀποκτεῖναι ἔχοντα ἐξουσίαν ἐμβαλεῖν εἰς τὴν γέενναν. ναί, λέγω
6 ὑμῖν, τοῦτον φοβήθητε. [6] οὐχὶ πέντε στρουθία πωλοῦνται ἀσσα-
ρίων δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ
7 θεοῦ. [7] ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται.
8 μὴ φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε. [8] λέγω δὲ ὑμῖν, πᾶς
ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ
9 θεοῦ· [9] ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθή-
10 σεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ. [10] καὶ πᾶς ὃς ἐρεῖ λόγον Mt. 12, 32.
εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Mc. 3, 29.
11 ἅγιον πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. [11] ὅταν δὲ εἰσ- Mt. 10,
φέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, 19. 20.
12 μὴ μεριμνήσητε πῶς ἀπολογήσησθε ἢ τί εἴπητε· [12] τὸ γὰρ ἅγιον Mc. 13, 11.
πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.
13 Εἶπεν δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· Διδάσκαλε, εἰπὲ τῷ ἀδελ-
14 φῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν. [14] ὁ δὲ εἶπεν
15 αὐτῷ· Ἄνθρωπε, τίς με κατέστησεν κριτὴν ἐφ' ὑμᾶς; [15] Εἶπεν
δὲ πρὸς αὐτούς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας,

---

4. Rc. ἀποκτεινόντ. .. Sz. Kn. ἀποκτενόντ. c. DGHS al. pm. [ἀποκτεννόντ. c. AEKLVΔ al. m. .. h. ἀποκτιννύντ. Or. (1.)] — Ln. περισσόν c. ADK al.

5. Om. φοβήθητε ante τόν D al. Syr. Verc. al.

7. Rc. Kn. Sz. μὴ οὖν et Ln. μὴ (οὖν) .. om. c. BL al. It.[5] Sah. Ambr. — h. πολλῷ 239. al. Verc. et in f. add. ὑμεῖς DGLM al. pl. Vg. It.[3] al.

9. Ln. ἔμπροσθεν τ. ἀνθρ. c. ADKQ al. — h. ἔμπροσθ. τ. ἀγγ. D al. Clem.

11. εἰσφέρ. c. BLX 1. 33. 64. al. Vg. It.[4] .. Rc. Kn. Sz. Ln. προσφέρ. .. h. φέρωσιν D Clem. Or. Cyr. hr et tum εἰς τ. σ. D al. Clem. — μεριμνήσητε c. (B h. μεριμνήσατε) LQX al. Or. Cyr. hr. .. h. προμεριμνᾶτε D Clem. .. Rc. Kn. Sz. Ln. μεριμνᾶτε et iid. πῶς ἢ τί .. om. c. D al. Syr. Prs. It. (exc. 3.) Clem. Or. Cyr. hr.

14. κριτήν c. D 33. Ct. Colb. Schol. in 239. al. Mcion. ap. Tert. .. Ln. κριτ. ἢ μεριστήν... Rc. Kn. Sz. δικαστὴν ἢ μεριστήν... etiam δικαστήν, κριτὴν ἢ δικαστήν, ἄρχοντα καὶ δικαστήν leg.

15. Rc. Kn. Sz. ἀπὸ τῆς πλεον.

ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτῷ ἐστὶν ἐκ τῶν ὑπαρχόν-
των αὐτῷ. 16 εἶπεν δὲ παραβολὴν πρὸς αὐτοὺς λέγων· Ἀνθρώπου 16
τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα. 17 καὶ διελογίζετο ἐν ἑαυτῷ 17
λέγων· Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;
18 καὶ εἶπεν· Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ 18
μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ
τὰ ἀγαθά μου, 19 καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχή, ἔχεις πολλὰ 19
ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.
20 εἶπεν δὲ αὐτῷ ὁ θεός· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου 20
ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; 21 οὕτως ὁ 21
θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς θεὸν πλουτῶν.
Mt. 6, Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο λέγω ὑμῖν, 22
25-33. μὴ μεριμνᾶτε τῇ ψυχῇ τί φάγητε, μηδὲ τῷ σώματι τί ἐνδύσησθε.
23 ἡ γὰρ ψυχὴ πλεῖόν ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύμα- 23
τος. 24 κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν οὐδὲ θερί- 24
ζουσιν, οἷς οὐκ ἔστιν ταμεῖον οὐδὲ ἀποθήκη, καὶ ὁ θεὸς τρέφει
αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν. 25 τίς δὲ ἐξ 25
ὑμῶν δύναται ἐπὶ τὴν ἡλικίαν αὐτοῦ προσθεῖναι πῆχυν; 26 εἰ οὖν 26
οὐδὲ ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε; 27 κατα- 27
νοήσατε τὰ κρίνα, πῶς οὔτε νήθει οὔτε ὑφαίνει· λέγω δὲ ὑμῖν,

---

15. ἡ ζ. αὐτῷ c. BEGHMSV al. pl... Rc. Kn. Sz. Ln. ἡ ζ. αὐτοῦ... om. D Syr. al. — Rc. Kn. Sz. in f. αὐτοῦ.

16. Ln. ηὐφόρησεν c. ADK al.

18. Pro τὰ γεννήμ. h. τὸν σῖτον BLX al. m. Syr. al. (h. πάντα τὸν σῖτον καὶ ἀγαθά μου Sah.) .. τὰ σῖτα Slav. — om. καὶ τ. ἀγ. μου D al. It.[6] antqss.

19. Om. κείμενα usq. πίε D It.[5] .. h. ἀποκείμ. 235. Clem. (2.) et om. ἀναπ. 36. Clem. (2.)

20. Ln. ἄφρων c. ADQX al. — h. αἰτοῦσιν BL 33. Sah. et τίνος D Clem. (1.)

21. Om. totum v. D Verc. Ver. Schol. in 237. al.

22. Ln. (αὐτοῦ) .. om. B. — Rc. Kn. Sz. ψυχ. ὑμῶν et Ln. σώμ. (ὑμῶν).

23. γάρ c. BDLMSVX al. pm. Syr. It.[2] al. Clem. (2.) .. Ln. (γάρ) .. om. Rc. Kn. Sz.

25. Rc. Kn. Sz. Ln μεριμνῶν (om. c. D al. Ct.) δύν. προσθ. (pos. post αὐτ. c. B) et in f. add. ἕνα, qd om. c. BD Sah. It.[2]

26. Rc. Kn. Sz. οὔτε [οὐδέ c. BLQ al. Sah.].

27. οὔτε νήθ. οὔτε ὑφ. c. D Ct. Verc. Clem... Rc. Kn. Sz. Ln. πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει (add. his οὔτε ὑφαίνει It.[5])

οὐδὲ Σολομῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.
28 [28] εἰ δὲ ἐν ἀγρῷ τὸν χόρτον σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον
βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιάζει, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγό-
29 πιστοι. [29] καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε, καὶ μὴ
30 μετεωρίζεσθε· [30] ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζη-
31 τοῦσιν· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων. [31] πλὴν
ζητεῖτε τὴν βασιλείαν αὐτοῦ, καὶ ταῦτα προστεθήσεται ὑμῖν.
32 [32] μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν
33 δοῦναι ὑμῖν τὴν βασιλείαν. [33] Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ Mt. 6.
δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα, 19-21.
θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει
34 οὐδὲ σὴς διαφθείρει. [34] ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ
35 καὶ ἡ καρδία ὑμῶν ἔσται. [35] Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιε-
36 ζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, [36] καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις
προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσῃ ἐκ τῶν γάμων,
37 ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ. [37] μακά-
ριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας·
ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελ-
38 θὼν διακονήσει αὐτοῖς. [38] κἂν ἐν τῇ δευτέρᾳ κἂν ἐν τῇ τρίτῃ
39 φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν ἐκεῖνοι. [39] τοῦτο δὲ Mt. 24.
γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχε- 43. 44.
ται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν ἀφῆκεν διορυγῆναι τὸν οἶκον

---

27. Ln. (ὅτι) οὐδὲ Σ.

28. Rc. Kn. Sz. τὸν χόρτ. ἐν τῷ [om. c. ABLM al. Sah.] ἀγρ. .. τοῦ ἀγροῦ DHX al. m. .. ante τὸν χ. pos. c. BL al. .. Ln. post σήμερον c. AK al. m. Syr. It.[9] Sah. Clem. — Rc. Kn. Sz. ἀμφιέννυσι [ἀμφιάζ. c. B et ἀμφιέζει h. DL].

29. καὶ τί π. c. BLQ al. m. Syr. al. .. Rc. Kn. Sz. Ln. ἢ τί π.

31. Rc. Kn. Sz. βασιλ. τοῦ θεοῦ et ταῦτα πάντα, Ln. (πάντα) .. om. c. BEHLSVΔ al. m. Verc. al.

33. Rc. Kn. Sz. βαλάντια [βαλλ. c. ADKQVXΔ al.].

36. Rc. Kn. Sz. ἀναλύσει [ἀναλύσῃ c. AD gr. EHLQSVΔ al. m. Vg. It. Sah. Gr. nyss. al.].

38. κἂν etc. c. BL al. Sah. .. al. aliter... Rc. Kn. Sz. Ln. καὶ ἐὰν ἔλθῃ ἐν τ. δ. φυλακῇ καὶ ἐν τ. τρ. φ. ἔλθῃ. — Rc. Kn. Sz. οἱ δοῦλοι ἐκεῖνοι.

39. Om. ἂν prius B al. et posterius KPS al.

αὐτοῦ. 40 καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς 40
Mt. 24, τοῦ ἀνθρώπου ἔρχεται. 41 Εἶπεν δὲ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς 41
45-51. τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας; 42 καὶ εἶπεν ὁ 42
κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος, ὁ φρόνιμος, ὃν κατα-
στήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ διδόναι ἐν καιρῷ σιτο-
μέτριον; 43 μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ 43
εὑρήσει ποιοῦντα οὕτως. 44 ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσιν 44
τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. 45 ἐὰν δὲ εἴπῃ ὁ δοῦ- 45
λος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἔρχεσθαι,
καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε
καὶ πίνειν καὶ μεθύσκεσθαι· 46 ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου 46
ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτο-
μήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. 47 ἐκεῖ- 47
νος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ
ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ δαρήσεται πολλάς· 48 ὁ δὲ μὴ 48
γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ
ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ, καὶ ᾧ παρέθεντο
πολύ, περισσότερον αἰτήσουσιν αὐτόν. 49 Πῦρ ἦλθον βαλεῖν ἐπὶ 49
τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη· 50 βάπτισμα δὲ ἔχω βαπτι- 50
Mt. 10, σθῆναι, καὶ πῶς συνέχομαι ἕως ὅτου τελεσθῇ. 51 δοκεῖτε, ὅτι 51
34. 35 εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχί, λέγω ὑμῖν, ἀλλ' ἢ
διαμερισμόν. 52 ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν ἑνὶ οἴκῳ δια- 52

---

40. Rc. Kn. Sz. καὶ ὑμ. οὖν, iid. v. 41. αὐτῷ ὁ Π. — om. ἢ καὶ πρ. π. D Ct.

42. καὶ εἶπ. c. BDL al. m. It.[1].. Rc. Kn. Sz. Ln. εἶπ. δέ. — Rc. Kn. Sz. καὶ φρόν. [ὁ c. BDEGHKQSVΔ al. m.] add. ὁ ἀγαθός D al... h. servus fidelis, dispensator sapiens et bonus. Colb. — Rc. Kn. Sz. τοῦ δοῦναι et (etiam Ln.) τὸ σιτομ... om. τό c. BD.

44. Ln. ὑπάρχ. αὐτῷ.

45. H. ὁ κακὸς δ. ἐκ. MX al. m. Ar. al. Or. Ir.

47. Rc. Kn. Sz. κυρ. ἑαυτοῦ. — μὴ ποιήσ. c. D al. Ct. Sax. Or. Dial. c. Mcion. al. .. h. μὴ ἑτοιμάσας L al. Syr. Prs. It. cdd.. . Rc. Kn. Sz. Ln. μὴ ἑτοιμάσας μηδὲ (h. ἢ B 33. Sah.) ποιήσας.

48. Hab. ἀπαιτήσουσιν D al. m. Clem. Bas. al.

49. Rc. Kn. Sz. εἰς τ. γῆν. [ἐπί c. ABKLMX al. pm. Clem. Or. (6.) Eus. al.]

50. Rc. Kn. Sz. ἕως οὗ.

51. H. ἀλλὰ διαμερ. D al.

53 μεμερισμένοι, τρεῖς ἐπὶ δυσὶν καὶ δύο ἐπὶ τρισὶν [53] διαμερισθή- Mich. 7, 6.
σονται, πατὴρ ἐπὶ υἱῷ καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ τὴν θυγα-
τέρα καὶ θυγάτηρ ἐπὶ τὴν μητέρα, πενθερὰ ἐπὶ τὴν νύμφην καὶ
54 νύμφη ἐπὶ τὴν πενθεράν. [54] Ἔλεγεν δὲ καὶ τοῖς ὄχλοις· Ὅταν Mt. 16, 2. 3.
ἴδητε νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε· ὅτι ὄμ-
55 βρος ἔρχεται, καὶ γίνεται οὕτως· [55] καὶ ὅταν νότον πνέοντα,
56 λέγετε· ὅτι καύσων ἔσται, καὶ γίνεται. [56] ὑποκριταί, τὸ πρόσω-
πον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν
57 τοῦτον πῶς οὐ δοκιμάζετε; [57] τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε
58 τὸ δίκαιον; [58] ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρ- Mt. 5, 25. 26.
χοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μήποτε
κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε παραδώσει τῷ
59 πράκτορι καὶ ὁ πράκτωρ σε βαλεῖ εἰς φυλακήν. [59] λέγω σοι, οὐ
μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

## XIII.

1 Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ
περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξεν μετὰ τῶν θυ-
2 σιῶν αὐτῶν. [2] καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Δοκεῖτε, ὅτι οἱ Γα-
λιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο,
3 ὅτι τοιαῦτα πεπόνθασιν; [3] οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετα-
4 νοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε. [4] ἢ ἐκεῖνοι οἱ δέκα ὀκτώ, ἐφ'

53. Rc. Kn. Sz. τρισί. Διαμερισθήσεται. [-σθήσονται c. BDL al. It.[6] Sah. Eus. al.] — ἐπὶ υἱῷ c. BEGMSVXΔ al. pm. Eus. .. Rc. Kn. Sz. Ln. ἐφ' υἱῷ. — Rc. Kn. Sz. ἐπὶ θυγατρί et ἐπὶ μητρί, Ln. ἐ. θυγατέρα et ἐ. τὴν μητέρα. .. ἐ. τὴν θ. et ἐ. τὴν μητ. c. BDL al. Eus. .. Rc. Kn. Sz. Ln. νύμφην αὐτῆς et πενθερὰν αὐτῆς. .. om. bis c. BDL 157. Tert. Hier.

54. Rc. Kn. Sz. τὴν [om. c. ABLX al. m.] νεφ. iid. et Ln. om. ὅτι. .. scr. c. AKLX al. m. Bas. .. etiam v. 55. om. ὅτι DL al.

56. Hab. in f. οὐκ οἴδατε δοκιμάζ. BL 33. Cpt. It.[1] al.

58. H. ἀπαλλάχθ. A. .. ἀπαλλαγῆναι D. — om. ἀπ' B. — Rc. Kn. Sz. παραδῷ et βάλῃ (Rc. βάλλῃ).

59. Hab. τὸν ἔσχ. λ. AGHKLVΔ al. m. Or.

Cap. XIII. 2. Rc. Kn. Sz. ὁ Ἰησοῦς εἶπ. .. Ln. (ὁ Ἰησ.) .. om. c. BL al. Vg. It.[6] al. — h. ταῦτα πεπ. DL al.

3. Rc. Kn. Sz. μετανοῆτε [μετανοήσ. c. ADM (μετανοήσετε X 346.) al. m. Vg. It.] et ὡσαύτως [ὁμοίως c. BDL al. m.].

4. Rc. Kn. Sz. καὶ ὀκτώ et Ln. (καί) .. om. c. BDL Sah.

οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε
ὅτι αὐτοὶ ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς
κατοικοῦντας Ἱερουσαλήμ; 5 οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ με- 5
τανοήσητε, πάντες ὡσαύτως ἀπολεῖσθε.

Ἔλεγεν δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέν τις πεφυτευ- 6
μένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθεν ζητῶν καρπὸν ἐν αὐτῇ
καὶ οὐχ εὗρεν. 7 εἶπεν δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδού, τρία ἔτη 7
ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω· ἔκκο-
ψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; 8 ὁ δὲ ἀποκριθεὶς λέγει 8
αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω
περὶ αὐτὴν καὶ βάλω κόπρια, 9 κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ 9
μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασιν. 10
11 καὶ ἰδού, γυνὴ πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα ὀκτώ, καὶ 11
ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές.
12 ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησεν καὶ εἶπεν αὐτῇ· Γύναι, 12
ἀπολέλυσαι τῆς ἀσθενείας σου, 13 καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· 13
καὶ παραχρῆμα ἀνωρθώθη καὶ ἐδόξαζεν τὸν θεόν. 14 ἀποκριθεὶς 14
δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ
Ἰησοῦς, ἔλεγεν τῷ ὄχλῳ· Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι·
ἐν αὐταῖς οὖν ἐρχόμενοι θεραπεύεσθε καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαβ-
Lc. 14, 5. βάτου. 15 ἀπεκρίθη δὲ αὐτῷ ὁ κύριος καὶ εἶπεν· Ὑποκριταί, 15
ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον
ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει; 16 ταύτην δὲ θυγατέρα 16
Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς, ἰδού, δέκα καὶ ὀκτὼ
ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ

---

4. Rc. Kn. Sz. ὅτι οὗτοι et om. τούς post πάντ. — Rc. Kn. Sz. Ln. ἐν Ἱερ. . . om. c. BDLX al. m.
5. Rc. Kn. Sz. μετανοῆτε [μετανοήσ. c. ADLM (μετανοήσετε X 346.) al. m. Sah. Vg. It. Epiph. al.]; iid. et Ln. ὁμοίως. . . ὡσαύτως c. BLM al. m. Bas.
7. Hab. ἀφ' οὗ ἔρχομ. DL (B ap. Sz.) al. Vg. It. al. — Ln. ἔκκοψ. οὖν.
8. Rc. κοπρίαν. — 9. pon. εἰς τὸ μ. post καρπόν BL al. Cpt. Arr. Cyr.
11. Rc. Kn. Sz. γυνὴ ἦν et καὶ ὀκτώ, Ln. (καί) . . om. c. B al. Syr. al.
12. Ln. ἀπολέλ. ἀπό c. ADX al. et v. 13. ἀνορθ. c. ADΔ al.
14. Rc. Kn. Sz. ἐν ταύταις. [αὐτ. c. ABLX al. Sah.]
15. Rc. Kn. Sz. ἀπεκρ. οὖν. — Rc. Kn. ὑποκριτά.

17 σαββάτου; [17] καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ
ἀντικείμενοι αὐτῷ, καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσιν τοῖς ἐνδόξοις
τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ.
18 Ἔλεγεν οὖν· Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ τίνι Mt. 13,
19 ὁμοιώσω αὐτήν; [19] ὁμοία ἐστὶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄν- 31. 32. Mc. 4,
θρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ· καὶ ηὔξησεν καὶ ἐγένετο εἰς 30-32.
δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς
20 κλάδοις αὐτοῦ. [20] Καὶ πάλιν εἶπεν· Τίνι ὁμοιώσω τὴν βασιλείαν Mt. 13,
21 τοῦ θεοῦ; [21] ὁμοία ἐστὶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς 33.
ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.
22 Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων καὶ πο-
23 ρείαν ποιούμενος εἰς Ἱερουσαλήμ. [23] Εἶπεν δέ τις αὐτῷ· Κύριε,
24 εἰ ὀλίγοι οἱ σωζόμενοι; ὁ δὲ εἶπεν πρὸς αὐτούς· [24] Ἀγωνίζεσθε Mt. 7,
εἰσελθεῖν διὰ τῆς στενῆς θύρας, ὅτι πολλοί, λέγω ὑμῖν, ζητή- 13.
25 σουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν, [25] ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ Mt. 25,
οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστά- 11. 12.
ναι καὶ κρούειν τὴν θύραν λέγοντες· Κύριε, ἄνοιξον ἡμῖν. καὶ
26 ἀποκριθεὶς ἐρεῖ ὑμῖν· Οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ. [26] τότε ἄρξε-
σθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἐν ταῖς
27 πλατείαις ἡμῶν ἐδίδαξας. [27] καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ οἶδα πό- Mt. 7, 23.
28 θεν ἐστέ· ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες, ἐργάται ἀδικίας. [28] ἐκεῖ Mt. 8,
ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψησθε 11. 12.
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ
29 βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. [29] καὶ ἥξουσιν

---

17. Hab. *ἐν πᾶσιν οἷς ἐθεώρουν ἐνδόξοις ὑπ᾽ α. γιν.* D It. (exc. 5.) .. h. *γενομ.* B.
18. *οὖν* c. BL al. Vg. It. (exc. 1.) al. .. Rc. Kn. Sz. Ln. *δέ*.
19. Ln. (*μέγα*) .. om. BDL al. Syr. hr. It.[4] al. — 20. Kn. Sz. om. *καί*.
21. Rc. Kn. Sz. Ln. *ἐνέκρυψ.* .. *ἔκρ.* c. BKL al. pm. — h. *εἰς ἄλευρον* It.[6] Ambr.
22. Hab. *κατὰ πόλιν κ. κώμην* 1. al. — h. *Ἱεροσόλυμα* BL.
24. Rc. Kn. Sz. *πύλης.* [*θύρας* c. BDL al. Or. (1.)]
25. Om. *τὴν θύραν* post *κρούειν* D Ct. It.[1] Sab. Lcif. — Rc. Kn. Sz. *κύριε, κύριε.* [om. c. BL al. Vg. It.[5] al.]
26. Hab. *ἄρξησθε* ADKLXΔ al. m.
27. Rc. Kn. Sz. *οἶδ. ὑμᾶς*, qd Ln. (—) .. om. c. BL al. It.[3] Lcif. al. — om. *πόθεν ἐστέ* D al. Clem. rom. al. — Rc. Kn. Sz. Ln. *πάντ. οἱ* .. om. c. DGHLSVXΔ al. m. Clem. rom. Just. et Rc. Kn. Sz. *τῆς ἀδ.*

ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ ἀπὸ βοῤῥᾶ καὶ νότου, καὶ ἀνα-
Mt. 19, 30. et 20, 16. Mc. 10, 31. κλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. 30 καὶ ἰδού, εἰσὶν ἔσχατοι 30
οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι.
Ἐν αὐτῇ τῇ ὥρᾳ προσῆλθόν τινες Φαρισαῖοι λέγοντες αὐτῷ· 31
Ἔξελθε καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι·
32 καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· 32
Ἰδού, ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἀποτελῶ σήμερον καὶ αὔριον,
καὶ τῇ τρίτῃ τελειοῦμαι. 33 πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ 33
τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι
Mt. 23, 37-39. ἔξω Ἱερουσαλήμ. 34 Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα 34
τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν,
ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὴν
ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. 35 ἰδού, 35
ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν. λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ ἴδητέ με ἕως
Ps. 118, 26. ἥξει ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

## XIV.

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόν- 1
των τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν
παρατηρούμενοι αὐτόν. 2 καὶ ἰδού, ἄνθρωπός τις ἦν ὑδρωπικὸς 2
ἔμπροσθεν αὐτοῦ. 3 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς τοὺς 3
Mt. 12, 10 sqq. νομικοὺς καὶ Φαρισαίους λέγων· Ἔξεστιν τῷ σαββάτῳ θεραπεῦσαι
ἢ οὔ; οἱ δὲ ἡσύχασαν. 4 καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ ἀπέ- 4

---

29. Ln. (ἀπὸ) βοῤῥᾶ... om. ADEHKSVXΔ al. pl. Vg. It.9 al.
31. ὥρᾳ c. ADLX al. m. (ante h. ταύτῃ DKM al.) .. Rc. Kn. Sz. Ln. ἡμέρᾳ.
32. Rc. Kn. Sz. ἐπιτελῶ. [ἀποτ. c. BL al. .. ἀποτελοῦμαι D.] — Ln. τρίτῃ (ἡμέρᾳ).
34. Hab. ἀποκτέννουσα AK al. et ἀποκτένουσα X al. m. — Ln. τὰ ἑαυτ. νοσσία c. ADKM al. m. — h. ἠθέλησας Vg. It. (exc. 3.) Ir. al.
35. Rc. ὑμῶν ἔρημος, qd Kn. (—), tum Rc. ἀμὴν δέ λ. ὑ. — Ln. (ὅτι), id. ἕως ἂν (om. c. D) ἥξει c. AVΔ al. .. Rc. Kn. Sz. ἕως ἂν ἥξῃ. .. h. ἕως εἴπ. BLM al... ἕως ἂν εἴπ. X al. m. Syr. It.3 al... ἕως ὅτε εἴπ. K .. al. aliter.
Cap. XIV. 1. Hab. εἰσελθεῖν DM al. m. Syr. Vg. It. al.
3. Ln. (λέγων). — Rc. Kn. Sz. Ln. εἰ ἔξ. .. om. c. BDL al. Syr. hr. It.1 al.; iid. exc. Ln. θεραπεύειν omisso ἢ οὔ, et Ln. (ἢ οὔ) .. ἢ οὔ c. BDL al. m. Syr. hr. It.3 al.

5 λυσεν. [5] καὶ εἶπεν πρὸς αὐτούς· Τίνος ὑμῶν υἱὸς ἢ βοῦς εἰς Lc. 13. 15.
φρέαρ πεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν τῇ ἡμέρᾳ
6 τοῦ σαββάτου; [6] καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι πρὸς ταῦτα.
7 [7] Ἔλεγεν δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς
8 πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· [8] Ὅταν κληθῇς
ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μή-
9 ποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ, [9] καὶ ἐλθὼν ὁ σὲ
καὶ αὐτὸν καλέσας ἐρεῖ σοι· Δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ
10 μετὰ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν. [10] ἀλλ᾽ ὅταν κληθῇς,
πορευθεὶς ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κε-
κληκώς σε ἐρεῖ σοι· Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται
11 σοι δόξα ἐνώπιον πάντων τῶν συνανακειμένων σοι. [11] ὅτι πᾶς ὁ Lc. 18. 14.
ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσε- Mt. 23. 12.
12 ται. [12] Ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς ἄριστον
ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου,
μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ
13 αὐτοὶ ἀντικαλέσωσίν σε καὶ γένηται ἀνταπόδομά σοι. [13] ἀλλ᾽
ὅταν ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς·
14 [14] καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταπο-
15 δοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. [15] Ἀκούσας δέ
τις τῶν συνανακειμένων ταῦτα εἶπεν αὐτῷ· Μακάριος ὅστις φά-
16 γεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. [16] ὁ δὲ εἶπεν αὐτῷ· Ἄν- Mt. 22. 1-14.
17 θρωπός τις ἐποίησεν δεῖπνον μέγα καὶ ἐκάλεσεν πολλούς, [17] καὶ
ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς

---

5. Rc. Kn. Sz. καὶ ἀποκριθεὶς εἶπ. πρ. α. — Rc. Kn. ὄνος ἤ. [υἱός c. ABEGHMSVΔ al. pl. Syr. utr. It.[1.] al.] .. h. πρόβατον ἤ D Ct... om. 52. (sec. XIII.) Ar. p. — Rc. Kn. Sz. ἐμπεσεῖτ. [πεσ. c. AL al. m. It. Vg. Sah.] tum ἐν τῇ ἡμ. et Ln. (ἐν) .. om. c. ADKLXΔ al. Vg. It.[5.].. post ἐμπεσ. pon. τῇ ἡμ. τ. σ. D Syr. al... bis h. Verc.

6. Rc. Kn. Sz. Ln. ἀνταποκρ. αὐτῷ... om. c. BDL al.

8. Om. ὑπό τινος D 130 lat. Vg. It. (exc. 2.) Clem.; etiam εἰς γ. om. ac variatur. — om. ὑπ᾽ αὐτοῦ L (videtur) Syr. It.[3.] al.

10. Rc. ἀνάπεσον... Kn. ἀνάπεσαι [ἀνάπεσε c. AEHKV al. pm.]. — ἐρεῖ c. BLX al... Rc. Kn. Sz. Ln. εἴπῃ. — Rc. Kn. Sz. om. πάντων.

13. Ln. ἀναπείρους c. BD 157.

15. ὅστις c. BLPX al. m. .. Rc. Kn. Sz. Ln. ὅς. — h. φάγ. ἄριστον EKMSV al. pm. Arm. Slav. Clem. al.

16. Ln. δεῖπν. μέγαν c. BD al. m. Clem.

κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστιν πάντα. 18 καὶ ἤρ- 18
ξαντο ἀπὸ μιᾶς πάντες παραιτεῖσθαι. ὁ πρῶτος εἶπεν αὐτῷ·
Ἀγρὸν ἠγόρασα καὶ ἀνάγκην ἔχω ἐξελθεῖν ἰδεῖν αὐτόν· ἐρωτῶ σε,
ἔχε με παρῃτημένον. 19 καὶ ἕτερος εἶπεν· Ζεύγη βοῶν ἠγόρασα 19
πέντε καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτη-
μένον. 20 καὶ ἕτερος εἶπεν· Γυναῖκα ἔγημα καὶ διὰ τοῦτο οὐ 20
δύναμαι ἐλθεῖν. 21 καὶ παραγενόμενος ὁ δοῦλος ἀπήγγειλεν τῷ 21
κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπεν τῷ
δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς
πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ τυφλοὺς καὶ χωλοὺς
εἰσάγαγε ὧδε. 22 καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέ- 22
ταξας, καὶ ἔτι τόπος ἐστίν. 23 καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦ- 23
λον· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελ-
θεῖν, ἵνα γεμισθῇ μου ὁ οἶκος· 24 λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν 24
ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.
Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί, καὶ στραφεὶς εἶπεν 25
Mt. 10, 37. πρὸς αὐτούς· 26 Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα 26
ἑαυτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς
ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ
Mt. 10, 38. δύναται εἶναί μου μαθητής. 27 καὶ ὅστις οὐ βαστάζει τὸν σταυ- 27
ρὸν ἑαυτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου μαθητής.

---

17. Ln. (πάντα)... om. BL It.[5] .. pon. ante ἑτοιμ. D Ct.
18. Ln. (καὶ) ὁ πρ. — om. αὐτῷ D al. It. cdd. al. — Rc. Kn. Sz. Ln. ἐξ. καὶ ἰδεῖν... om. c. BDL.
19. Pro ἐρωτῶ etc. h. διὸ οὐ δύναμαι ἐλθεῖν D cdd. ap. Or. It.[6]
20. Om. διὰ τοῦτο 157. It.[4] Clem... h. διὸ οὐ D Ct.
21. Rc. Kn. Sz. δοῦλ. ἐκεῖνος. — Ln. ἀναπείρους c. BD 157. — Rc. Kn. Sz. κ. χωλοὺς κ. τυφλ. [κ. τυφλ. κ. χ. c. BDKL al. m. Vg. It. al. m. Bas.] .. om. κ. χωλ. AM al. Syr. hr.
22. Hab. ὃ ἐπέταξ. BDL 1. Cpt. al.
23. γεμ. μου ὁ οἰκ. c. ADKLX al. .. om. μοῦ B. .. Rc. Kn. Sz. Ln. οἶκ. μου.
24. Add. in f. πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί E in m. HV** X al. pm. Slav.
26. Ln. πατέρ. αὐτοῦ et ἔτι τε καί. — εἶν. μ. μ. c. BLSX al... Rc. Kn. Sz. Ln. μ. μαθ. εἶν.
27. Hab. ὅστις οὖν B. — Rc. Kn. Sz. σταυρ. αὑτοῦ. — εἶν. μ. μαθ. c. BHVXΔ al. m. It.[3] Gth... Rc. Kn. Sz. Ln. μ. εἶν. μαθ.

28 ²⁸ Τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον κα-
29 θίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει εἰς ἀπαρτισμόν; ²⁹ ἵνα μήποτε
θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος ἐκτελέσαι πάντες οἱ θεω-
30 ροῦντες ἄρξωνται αὐτῷ ἐμπαίζειν, ³⁰ λέγοντες· ὅτι οὗτος ὁ ἄν-
31 θρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι. ³¹ Ἢ τίς
βασιλεὺς πορευόμενος ἑτέρῳ βασιλεῖ συμβαλεῖν εἰς πόλεμον οὐχὶ
καθίσας πρῶτον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν
32 ὑπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν; ³² εἰ δὲ
μήγε, ἔτι αὐτοῦ πόῤῥω ὄντος πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ
33 πρὸς εἰρήνην. ³³ οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται
πᾶσιν τοῖς ἑαυτοῦ ὑπάρχουσιν οὐ δύναται εἶναί μου μαθητής.
34 ³⁴ Καλὸν οὖν τὸ ἅλας· ἐὰν δὲ καὶ τὸ ἅλας μωρανθῇ, ἐν τίνι Mt. 5, 13.
35 ἀρτυθήσεται; ³⁵ οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· Mc. 9, 50.
ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

## XV.

1 Ἦσαν δὲ αὐτῷ ἐγγίζοντες πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτω-
2 λοὶ ἀκούειν αὐτοῦ. ² καὶ διεγόγγυζον οἵ τε Φαρισαῖοι καὶ οἱ γραμ-
ματεῖς λέγοντες· ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει
3 αὐτοῖς. ³ εἶπεν δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων·
4 ⁴ Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα καὶ ἀπολέσας ἐξ Mt. 18, 12-14.
αὐτῶν ἓν οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ καὶ
5 πορεύεται ἐπὶ τὸ ἀπολωλός, ἕως εὕρῃ αὐτό; ⁵ καὶ εὑρὼν ἐπιτί-
6 θησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων, ⁶ καὶ ἐλθὼν εἰς τὸν οἶκον
συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς· Συγχάρητέ

---

28. Hab. ὁ θέλων EHMSV al. m. — Rc. Kn. τὰ πρὸς ἀπαρτ. et Ln. (τὰ) εἰς ἀπ. [εἰς ἀπ. c. BDL al.]
29. Hab. ἰσχύοντ. οἰκοδομῆσαι D Ct. Aug.
31. Rc. Kn. Sz. ἀπαντῆσ. — 32. h. τὰ εἰς εἰρ. BK al.
33. Rc. Kn. Sz. μ. εἶν. μαθ. [εἶν. μ. μαθ. c. BL al. Gth.]
34. οὖν c. BLX al. .. om. Rc. Kn. Sz. Ln. iid. exc. Ln. om. καί. [scr. c. BDLX al. Syr. Vg. ms. It.[10]] — h. μαρανθῇ 56. al. evanuerit Vg. It.[12]
Cap. XV. 1. Om. πάντες 237. al. Syr. Vg. It. (exc. 4.) al. Hier.
2. Rc. Kn. Sz. οἱ Φαρ. [οἵ τε Φ. c. BDL.]
5. Hab. ὤμ. αὐτοῦ DKL al. m.
6. Hab. συγκαλεῖται D al. m. Bas. sel. Meth.

μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. 7 λέγω ὑμῖν, ὅτι 7
οὕτως χαρὰ ἐν τῷ οὐρανῷ ἔσται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι
ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσιν μετα-
νοίας. 8 Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν 8
μίαν, οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς
ἕως ὅτου εὕρῃ; 9 καὶ εὑροῦσα συγκαλεῖ τὰς φίλας καὶ τὰς γείτονας 9
λέγουσα· Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα.
10 οὕτως, λέγω ὑμῖν, γίνεται χαρὰ ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ 10
ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. 11 Εἶπεν δέ· Ἄνθρωπός τις εἶχεν 11
δύο υἱούς. 12 καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός 12
μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. ὁ δὲ διεῖλεν αὐτοῖς τὸν βίον.
13 καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος 13
υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισεν τὴν οὐ-
σίαν αὐτοῦ ζῶν ἀσώτως. 14 δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγένετο 14
λιμὸς ἰσχυρὰ κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖ-
σθαι· 15 καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας 15
ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους·
16 καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν 16
ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. 17 εἰς ἑαυτὸν δὲ ἐλθὼν 17
ἔφη· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων· ἐγὼ
δὲ λιμῷ ὧδε ἀπόλλυμαι. 18 ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα 18
μου καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον
σου· 19 οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα 19
τῶν μισθίων σου. 20 καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα αὐτοῦ. 20
ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ

---

8. Om. δραχμήν D 157. It.[6] al. — h. ἕως οὗ BL al.

9. συγκαλεῖ c. BKLX al. m. . . Rc. Kn. Sz. Ln. συγκαλεῖται. — Ln. om. τάς poster. c. B ap. Btlj. (om. τάς prius B ap. Bch. et Sz. . . h. τ. γείτον. καὶ φίλας D.)

12. Rc. Kn. Sz. καὶ διεῖλ. [ὁ δέ c. ABL (ap. Wtst.) Cpt.]

14. Rc. Kn. Sz. ἰσχυρός. [ἰσχυρά c. ABDL al.]

16. Hab. ἐπεθ. χορτασθῆναι ἐκ τῶν κ. BDL al. m. Brix. al. Chrs.

17. ἔφη c. BL al. . . Rc. Kn. Sz. Ln. εἶπεν. — περισσεύοντ. c. ABP al. Tit. bostr. al. . . Rc. Kn. Sz. Ln. περισσεύουσιν. — Rc. om. ὧδε. . . Sz. Kn. ante λιμῷ pon.

19. Rc. καὶ οὐκέτι. — 20. Rc. Kn. Sz. πατέρ. ἑαυτοῦ.

ἐσπλαγχνίσθη καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ
21 κατεφίλησεν αὐτόν. [21] εἶπεν δὲ αὐτῷ ὁ υἱός· Πάτερ, ἥμαρτον
εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον σου· οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός
22 σου. [22] εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ταχὺ ἐξενέγ-
κατε στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον
23 εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας, [23] καὶ ἐνέγ-
καντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφραν-
24 θῶμεν· [24] ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπ-
25 ολωλὼς καὶ εὑρέθη. καὶ ἤρξαντο εὐφραίνεσθαι. [25] ἦν δὲ ὁ υἱὸς
αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ. καὶ ὡς ἐρχόμενος ἤγγισεν τῇ οἰκίᾳ,
26 ἤκουσεν συμφωνίας καὶ χορῶν, [26] καὶ προσκαλεσάμενος ἕνα τῶν
27 παίδων ἐπυνθάνετο τί εἴη ταῦτα. [27] ὁ δὲ εἶπεν αὐτῷ· ὅτι ὁ ἀδελ-
φός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν,
28 ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. [28] ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν
29 εἰσελθεῖν. ὁ δὲ πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. [29] ὁ δὲ
ἀποκριθεὶς εἶπεν τῷ πατρὶ αὐτοῦ· Ἰδού, τοσαῦτα ἔτη δουλεύω
σοι καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδω-
30 κας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· [30] ὅτε δὲ ὁ υἱός
σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν,
31 ἔθυσας αὐτῷ τὸν σιτευτὸν μόσχον. [31] ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον,
32 σὺ πάντοτε μετ' ἐμοῦ εἶ καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· [32] εὐφραν-

---

21. Rc. Kn. Sz. καὶ οὐκέτι. [om. c. ABDKL al. Vg. It. al. m.] — add. in f. ποίησόν με ὡς ἕνα τῶν μισθίων σου BD al. Aeth. Syr. p. It.[4] Tit. bostr.

22. Rc. Kn. Sz. om. ταχύ et hab. τὴν στολήν. — h. πόδας αὐτοῦ DPX al. m. Vg. It. (exc. 1.) al. m.

23. Hab. κ. φέρετε τ. μόσχ. BLX. .. κ. ἐνέγκατε et tum καὶ θύσ. D (καὶ h. etiam X).

24. Hab. ἔζησεν B. — Rc. Kn. Sz. καὶ ἀπολωλὼς ἦν... Ln. ἦν ἀπολ... scr. tantum ἀπολ. c. D al. m.

26. Ln. τί (ἄν). .. h. ἄν BPX al. m. .. h. τίνα L al. It. cdd. — h. τί θέλει τοῦτο εἶναι D al. Ct.

28. Hab. ἠθέλησεν ALPX al. — Rc. Kn. Sz. ὁ οὖν πατ.

29. Rc. Kn. Sz. om. αὐτοῦ. [scr. c. ABDP al. m. Syr. Vg. It. al.]

30. Ln. μετὰ τῶν π. — τὸν σιτ. μόσχ. c. B (ap. Bch.) DL. .. Rc. Kn. Sz. Ln. τὸν μ. τὸν σ.

*θῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν, καὶ ἀπολωλὼς καὶ εὑρέθη.*

## XVI.

*Ἔλεγεν δὲ καὶ πρὸς τοὺς μαθητάς· Ἄνθρωπός τις ἦν πλού-* 1
*σιος ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπί-*
*ζων τὰ ὑπάρχοντα αὐτοῦ. 2 καὶ φωνήσας αὐτὸν εἶπεν αὐτῷ· Τί* 2
*τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου·*
*οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν. 3 εἶπεν δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος·* 3
*Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ;*
*σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι. 4 ἔγνων τί ποιήσω, ἵνα* 4
*ὅταν μετασταθῶ τῆς οἰκονομίας δέξωνταί με εἰς τοὺς οἴκους αὐ-*
*τῶν. 5 καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ* 5
*κυρίου ἑαυτοῦ ἔλεγεν τῷ πρώτῳ· Πόσον ὀφείλεις τῷ κυρίῳ μου;*
*6 ὁ δὲ εἶπεν· Ἑκατὸν βάτους ἐλαίου. ὁ δὲ εἶπεν αὐτῷ· Δέξαι σου* 6
*τὰ γράμματα καὶ καθίσας ταχέως γράψον πεντήκοντα. 7 ἔπειτα* 7
*ἑτέρῳ εἶπεν· Σὺ δὲ πόσον ὀφείλεις; ὁ δὲ εἶπεν· Ἑκατὸν κόρους*
*σίτου. λέγει αὐτῷ· Δέξαι σου τὰ γράμματα καὶ γράψον ὀγδοή-*
*κοντα. 8 καὶ ἐπήνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι* 8
*φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι*
*ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσιν. 9 καὶ* 9
*ἐγὼ ὑμῖν λέγω, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδι-*
*κίας, ἵνα ὅταν ἐκλίπητε δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.*

---

32. Hab. *δεῖ* HL It.[8] Hier. .. pon. *ἔδει καί* K. — h. *ἔζησεν* BL. — om. *καί* ante *ἀπολ.* DX al. m. Vg. It. al. Antioch. al. .. Rc. Kn. Sz. post *ἀπολ.* add. *ἦν.* [om. c. ABDLX al. m. Gth. Cstit. al.]

Cap. XVI. 1. Rc. Kn. Sz. Ln. *μαθ. αὐτοῦ* .. om. c. BDL al. Arm.

2. Om. *σοῦ* ADKLP al. Cpt. — h. *δύνῃ* BDP al. Corb.

3. Om. *ἀπ'* DKL... h. *ἀφαιρ. με τῆς οἰκονομίας μου* K al.

4. Ln. (*ἐκ*) *τῆς οἰκ.* c. BD al. m... h. *ἀπό* LX al. Vg. It.[5] — h. *ἑαυτῶν* BX al.

5. Ln. *χρεοφειλ.* v. not. ad LC. VII, 41. — h. *αὐτοῦ* DGM al. m.

6. Rc. Kn. Sz. *ἐλαίου. καί* [*ὁ δέ* c. ABL al. Cpt. Thphyl. .. h. *εἶπ. δέ* D]; iid. *τὸ γράμμα*, sic etiam v. sq. [*τὰ γρ.* bis c. BDL Cpt. Gth. It. edd.]

7. Rc. Kn. Sz. *καὶ λέγει.*

9. Sz. Ln. *ἐκλίπῃ* c. ADL al. Syr. Verc. al. — Ln. add. in f. (*αὐτῶν*).

10 10 ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστιν, καὶ ὁ ἐν
11 ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν. 11 εἰ οὖν ἐν τῷ ἀδίκῳ
μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει;
12 12 καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς
13 ὑμῖν δώσει; 13 οὐδεὶς οἰκέτης δύναται δυσὶν κυρίοις δουλεύειν· Mt. 6,
ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται 24.
καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ
μαμωνᾷ.
14 Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὑπάρ-
15 χοντες, καὶ ἐξεμυκτήριζον αὐτόν. 15 καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστὲ
οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ θεὸς γι-
νώσκει τὰς καρδίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα
16 ἐνώπιον τοῦ θεοῦ. 16 ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου· Mt. 11,
ἀπὸ τότε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται καὶ πᾶς εἰς αὐτὴν 12. 13.
17 βιάζεται. 17 εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρ- Mt. 5, 18.
18 ελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. 18 πᾶς ὁ ἀπολύων Mt. 5,
τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει, καὶ ὁ ἀπολελυ- 32. et 19, 9.
19 μένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει. 19 Ἄνθρωπος δέ τις ἦν πλού- Mc. 10,
σιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ' 11. 12.
20 ἡμέραν λαμπρῶς. 20 πτωχὸς δέ τις ὀνόματι Λάζαρος ἐβέβλητο
21 πρὸς τὸν πυλῶνα αὐτοῦ εἱλκωμένος 21 καὶ ἐπιθυμῶν χορτασθῆναι
ἀπὸ τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ

---

10. Hab. ὁ πιστ. ἐν ὀλίγῳ 131. Syr. al.; postea καὶ ὁ ἐν ὀλίγῳ D al. Syr. Vg. It.[7] al.

12. Hab. ἡμέτερον B Ev. 21. (sec. XIII.) Thphyl. Or. (ὑμ. h. Or. int.) .. h. ἐμόν 157. It.[2] Tert.

14. Om. καί ante οἱ Φ. DL al. Syr. Vg. It. al. Or. (2.)

15. Rc. in f. add. ἐστίν.

16. μέχρι c. BLX al. m. Clem. Or. (1.) .. Rc. Kn. Sz. Ln. ἕως.

18. Rc. Kn. Sz. καὶ πᾶς ὁ ἀπολελ. [om. c. BDL al. Vg. It. al. Tert.] — om. ἀπὸ ἀνδρ. D al. Syr. al.

19. Hab. πλούσ. ὀνόματι Νινευή Sah. et Schol.

20. Rc. Kn. Sz. π. δέ τις ἦν ὀν. Λ. ὅς ἐβ.; Ln. (ἦν) et (ὅς) .. om. c. BDL al. Verc. al. Clem. Dial. c. Mcion. — Rc. Kn. Sz. ἡλκωμένος. [εἱλκ. c. ABDLPXΔ al. m. .. h. ἑλκόμενος 433 (sec. XII.)]

21. Rc. Kn. Sz. ἀπὸ τῶν ψιχίων τῶν πιπτ., qu. Ln. (—) .. om. c. BL Syr. hr. It.[5] al. Clem. Dial. c. Mc. al.; etiam post πιπτ. pon.

κύνες ἐρχόμενοι ἐπέλειχον τὰ ἕλκη αὐτοῦ. 22 ἐγένετο δὲ ἀποθανεῖν 22
τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν
κόλπον Ἀβραάμ· ἀπέθανεν δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. 23 καὶ 23
ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις,
ὁρᾷ Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ.
24 καὶ αὐτὸς φωνήσας εἶπεν· Πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ 24
πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδα-
τος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ
ταύτῃ. 25 εἶπεν δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες 25
τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν
δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. 26 καὶ ἐπὶ πᾶσιν τούτοις 26
μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες
διαβῆναι πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ ἐκεῖθεν πρὸς ἡμᾶς δια-
περῶσιν. 27 εἶπεν δέ· Ἐρωτῶ σε οὖν, πάτερ, ἵνα πέμψῃς αὐτὸν 27
εἰς τὸν οἶκον τοῦ πατρός μου· 28 ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως 28
διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον
τοῦτον τῆς βασάνου. 29 λέγει δὲ Ἀβραάμ· Ἔχουσιν Μωϋσέα καὶ 29
τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. 30 ὁ δὲ εἶπεν· Οὐχί, πάτερ 30
Ἀβραάμ, ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετα-
νοήσουσιν. 31 εἶπεν δὲ αὐτῷ· Εἰ Μωϋσέως καὶ τῶν προφητῶν 31
οὐκ ἀκούουσιν, οὐδ' ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.

---

21. Rc. Kn. Sz. ἀπέλειχ. [ἐπελ. c. ABL Gth... h. ἔλειχον D al... περι-έλειχ. 157.]

22. Rc. τοῦ Ἀβρ.

23. Rc. Kn. Sz. τὸν Ἀβρ. — om. ὑπ. ἐν βασ. Syr. hr.; pon. ante ἐν τ. ᾅ. Syr.; ante ἐπάρ. Or. (2.)

25. Rc. Ln. ἀπέλαβ. σύ. — om. σοῦ post ἀγαθά Vg. It. al. Dial. c. Mc. al. — Rc. Kn. ὅδε παρακ.

26. Rc. διαβῆν. ἐντεῦθεν, Kn. Sz. Ln. δ. ἔνθεν... om. c. D Colb. Ct. Dial. c. Mc.; ante διαβ. pon. 69. 157. — Rc. Kn. Sz. μηδὲ οἱ ἐκεῖθ.

29. Rc. Kn. Sz. λέγει αὐτῷ Ἀβρ... Ln. λ. δὲ αὐτῷ Ἀβρ... om. αὐτῷ c. B. [et scr. δέ c. ABDKLVXΔ al. pm. It.[2] al... h. E t Vg. It.[9]]

30. Hab. ἐκ νεκρ. D al. m. It.[8] Vg. Dial. c. Mc. al... h. ἀπὸ τῶν ν. 122. (sec. XII.)

31. Hab. ἐκ. ν. ἀπέλθῃ Dial. c. Mc. Schol. ad illos ierit It.[6]... ἀναστ. καὶ ἀπέλθῃ πρὸς αὐτούς D Ct, Ir.

## XVII.

1 *Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἀνένδεκτόν ἐστιν τοῦ* Mt. 18, 6. 7.
2 *μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται· [2] λυσιτελεῖ αὐτῷ,* Mc. 9. 42.
*εἰ λίθος μυλικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔῤῥιπται*
*εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ τῶν μικρῶν τούτων ἕνα.*
3 *[3] προσέχετε ἑαυτοῖς. ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ,* Mt. 18, 15. 21.
4 *καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. [4] καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας* 22.
*ἁμαρτήσῃ εἰς σὲ καὶ ἑπτάκις ἐπιστρέψῃ λέγων· Μετανοῶ, ἀφή-*
*σεις αὐτῷ.*
5 *Καὶ εἶπαν οἱ ἀπόστολοι τῷ κυρίῳ· Πρόσθες ἡμῖν πίστιν.*
6 *[6] εἶπεν δὲ ὁ κύριος· Εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε* Mt. 17, 20.
*ἂν τῇ συκαμίνῳ ταύτῃ· Ἐκριζώθητι καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ,*
7 *καὶ ὑπήκουσεν ἂν ὑμῖν. [7] Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα*
*ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ αὐτῷ· Εὐθέως*
8 *παρελθὼν ἀνάπεσε; [8] ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· Ἑτοίμασον τί δει-*
*πνήσω, καὶ περιζωσάμενος διακόνει μοι ἕως φάγω καὶ πίω, καὶ*
9 *μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ; [9] μὴ ἔχει χάριν τῷ δούλῳ,*
10 *ὅτι ἐποίησεν τὰ διαταχθέντα; [10] οὕτως καὶ ὑμεῖς, ὅταν ποιήσητε*
*πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε· ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν, ὃ*
*ὠφείλομεν ποιῆσαι πεποιήκαμεν.*

---

Cap. XVII. 1. Rc. Kn. Sz. om. *αὐτοῦ*. — Rc. om. *τοῦ*. — Ln. *πλὴν οὐαί.*
2. Rc. Kn. Sz. *μύλος ὀνικός*, iid. et Ln. *ἕνα τῶν μ. τ.* . . in f. pos. c. BL. — h. *περιέκειτο* (etiam L in m.) et *ἔῤῥιπτο* D.
3. Rc. Kn. Sz. *ἐὰν δὲ ἁμάρτ. εἰς σὲ ὁ ἀδ. σ.*
4. Rc. Kn. Sz. *ἁμάρτῃ* et ante *ἐπιστρ.* repet. *τῆς ἡμέρας* . . . Ln. *καὶ* (*ἐὰν*) *ἑπτ. ἐπιστρ. πρός σε* [*πρ. σ.* c. ABDLX al. Clem.] . . Rc. *ἐπί* (hab. *εἰς* 60. al. Thphyl.) *σε.* [om. plane c. EHKMSVΔ al. pl. It.[3] Or.]
6. Hab. *εἰ ἔχετε* AKVXΔ al. et *ἔχητε* M al.
7. Rc. Kn. Sz. om. *αὐτῷ* et Ln. (—) . . scr. c. BDLX al. m. Syr. Vg. It. al. — Rc. Kn. Sz. *ἀνάπεσαι.* [*ἀνάπεσε* c. BDKSV al. pm. . . h. *ἀνάπεσον* 116. al.]
8. Om. *οὐχί* D Ct. It.[7] Cypr. Ambr. . . h. *οὐκ* 131. — h. *ἕως ἂν* AKLMX al.
9. Rc. Kn. Sz. *δούλ. ἐκείνῳ.* — Rc. *διαταχθ. αὐτῷ.* — Rc. Kn. Sz. in f. add. *οὐ δοκῶ*, qu. Ln. (—) . . om. c. BLX al. Verc. Cpt. Aeth. Arm. Cypr.
10. Ln. om. *ὅτι* c. AX al. It. Vg. Aeth. Or. Bas. — om. *ἀχρ.* Aeth.; etiam varie pon. — Rc. Kn. Sz. *ὅτι ὃ ὠφείλ.*

Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἰερουσαλήμ, καὶ 11
αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας. [12] καὶ εἰσ- 12
ερχομένου αὐτοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ
ἄνδρες, οἳ ἔστησαν πόρρωθεν, [13] καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· 13
Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. [14] καὶ ἰδὼν εἶπεν αὐτοῖς· Πορευ- 14
θέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν
αὐτοὺς ἐκαθαρίσθησαν. [15] εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέ- 15
στρεψεν μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν, [16] καὶ ἔπεσεν 16
ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ
αὐτὸς ἦν Σαμαρείτης. [17] ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Οὐχὶ οἱ 17
δέκα ἐκαθαρίσθησαν; οἱ ἐννέα ποῦ; [18] οὐχ εὑρέθησαν ὑποστρέ- 18
ψαντες δοῦναι δόξαν τῷ θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; [19] καὶ 19
εἶπεν αὐτῷ· Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέν σε.

Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων, πότε ἔρχεται ἡ βασι- 20
λεία τοῦ θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· Οὐκ ἔρχεται ἡ βασι-
λεία τοῦ θεοῦ μετὰ παρατηρήσεως, [21] οὐδὲ ἐροῦσιν· Ἰδοὺ ὧδε, 21
ἢ ἐκεῖ· ἰδοὺ γάρ, ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν. [22] εἶπεν 22
δὲ πρὸς τοὺς μαθητάς· Ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε
μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε.
Mt. 24, 23. Mr. 13, 21. [23] καὶ ἐροῦσιν ὑμῖν· Ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ· μὴ ἀπέλθητε, μηδὲ 23
Mt. 24, 27. διώξητε. [24] ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' 24
οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ

---

11. Om. αὐτόν BL. — Ln. διὰ μέσον c. BL (h. μέσον tantum D).

12. Ln. om. αὐτῷ c. BL (h. It. cdd. antqss. et ecce steterunt). — h. ἀνέστησαν B 157... pro οἵ h. καί D Ct.

16. Om. εὐχαρ. αὐτ. D Ct. .. om. αὐτῷ Vg. It.[6] .. h. τῷ θεῷ 242. .. αὐτόν 433.

17. Ln. οὐχ. — Rc. Kn. Sz. οἱ δὲ ἐνν. [om. c. AD al. Syr. It.[5] al. .. h. et Vg. It.[3]]

19. Om. ἡ πίστ. σ. σέσ. σε B .. add. in f. πορεύου εἰς εἰρήνην X.

21. Rc. Kn. Sz. Ln. ἢ ἰδοὺ ἐκεῖ... om. c. BL al. It.[5]

22. Ln. μαθητ. αὐτοῦ. — h. ἡμέρ. τοῦ ἐπιθυμῆσαι ὑμᾶς μίαν D al. It.[6] Arm. et om. ἰδεῖν D Ct. Mart. Mcion. ap. Ep.

23. Rc. Kn. Sz. Ln. ὧδε, ἢ ἰδ. .. id om. c. BDKLX al. pl. Vg. ms. Thphyl... h. καί M al. Syr. Vg. It.[4] Aeth. .. h. ἰδοὺ ἐκεῖ, ἰδοὺ ὧδε B .. al. aliter. — om. ἀπέλθ. μηδέ B al. et om. μηδὲ διώξ. Syr. Prs. p.

24. Ln. ἐκ τῆς ὑπὸ τὸν οὐρ. — Sz. Kn. om. καί post ἔσται, Ln. (—).

25 ἀνθρώπου. [25] πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμα-
26 σθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. [26] καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Mt. 24, 37-39.
Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου· * Gn. 7, 7.
27 [27] ἤσθιον, ἔπινον, ἐγάμουν, ἐγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν
Νῶε εἰς τὴν κιβωτόν, καὶ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἀπώλεσεν
28 ἅπαντας. [28] ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον,
29 ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν· [29] ᾗ δὲ ἡμέρᾳ * Gn. 19, 15.
ἐξῆλθεν Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ
30 καὶ ἀπώλεσεν ἅπαντας. [30] κατὰ τὰ αὐτὰ ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς
31 τοῦ ἀνθρώπου ἀποκαλύπτεται. [31] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ Mt. 24, 17. 18.
τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι
32 αὐτά, καὶ ὁ ἐν ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. [32] μνη- *Gn. 19, 26.
33 μονεύετε τῆς γυναικὸς Λώτ. [33] ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ Lc. 9, 24.
περιποιήσασθαι, ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ, ζωογονήσει. Mt. 10, 39.
34 [34] λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς, ὁ εἷς Mc. 8, 35
35 παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθήσεται· [35] ἔσονται δύο ἀλή- Jo. 12, 25.
θουσαι ἐπὶ τὸ αὐτό, ἡ μία παραληφθήσεται, ἡ δὲ ἑτέρα ἀφε-
37 θήσεται. [37] καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ· Ποῦ, κύριε; ὁ Mt. 24, 28.
δὲ εἶπεν αὐτοῖς· Ὅπου τὸ σῶμα, ἐκεῖ καὶ οἱ ἀετοὶ ἐπισυναχθή-
σονται.

---

24. Rc. Kn. Sz. in f. add. *ἐν τῇ ἡμέρᾳ αὐτοῦ.* [om. c. BD al. It.[3] antqss. . . etiam *παρουσίᾳ* leg.]
26. Rc. *τοῦ Νῶε.*
27. Rc. Kn. Sz. *ἐξεγαμίζ.* [*ἐγαμίζ.* c. BDLVX al. m.]
30. Rc. Sz. *κατὰ ταῦτα,* Kn. Ln. *κ. ταὐτά . . . κ. τὰ αὐτά* c. BDKX al.
31. Rc. Kn. Sz. Ln. *ὁ ἐν τῷ ἀγρ.* . . om. c. BL al.
33. *περιπ.* c. BL, liberare It.[3] et *ζωογονῆσαι* D Ct. . . Rc. Kn. Sz. Ln. *σῶσαι,* iid. *καὶ ὃς ἐάν* . . *ὃς δ' ἂν* c. BL al. m. — Rc. Kn. Sz. *ἀπολ. αὐτήν, ζωογ. αὐτήν* et Ln. *ἀπ.* (*αὐτ.*), *ζωογ. αὐτ.* . . om. prius c. BD al. Ct. Verc. Arm. (etiam *τ. ψυχὴν αὐτ.* leg. et add. *ἕνεκ. ἐμοῦ*) et om. poster. c. B. (etiam *ψυχ. αὐτ.* leg.)
34. Ln. (*μιᾶς*) . . om. B. — Kn. Sz. Ln. om. *ὁ* ante *εἷς.*
35. Kn. om. *ἡ* ante *μία.* — Rc. Kn. Sz. Ln. *καὶ ἡ ἑτέρ.* . . *ἡ δέ* c. BL al.
36. Rc. Sz. *δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθήσεται,* qu. Kn. (—)
37. Hab. *πτῶμα* EGH al. m. Arr. al. — Rc. Kn. Sz. Ln. *ἐκεῖ συναχθ. οἱ* [Ln. (*καὶ*) *οἱ*] *ἀετ.* . . *ἐκ. καὶ* (c. BL al. m. Vg. Ct. Ver. al. Bas. al.) *οἱ ἀ. ἐπισυναχθ.* c. BL al. (sic pon. etiam Arm.)

## XVIII.

Ἔλεγεν δὲ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύ- 1
χεσθαι αὐτοὺς καὶ μὴ ἐγκακεῖν, 2 λέγων· Κριτής τις ἦν ἔν τινι 2
πόλει τὸν θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος.
3 χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα· 3
Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. 4 καὶ οὐκ ἤθελεν ἐπὶ χρό- 4
νον· μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· Εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι
οὐδὲ ἄνθρωπον ἐντρέπομαι, 5 διά γε τὸ παρέχειν μοι κόπον τὴν 5
χήραν ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπω-
πιάζῃ με. 6 εἶπεν δὲ ὁ κύριος· Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας 6
λέγει· 7 ὁ δὲ θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν 7
αὐτοῦ τῶν βοώντων αὐτῷ ἡμέρας καὶ νυκτὸς καὶ μακροθυμεῖ
ἐπ᾿ αὐτοῖς; 8 λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν 8
τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν
ἐπὶ τῆς γῆς;

Εἶπεν δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ᾿ ἑαυτοῖς, ὅτι 9
εἰσὶν δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς τὴν παραβολὴν ταύ-
την. 10 Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ 10
εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. 11 ὁ Φαρισαῖος σταθεὶς 11
ταῦτα πρὸς ἑαυτὸν προσηύχετο· Ὁ θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ
εἰμὶ ὥς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ
ὡς οὗτος ὁ τελώνης· 12 νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ 12

---

Cap. XVIII. 1. Rc. Kn. Sz. *δὲ καί* et om. *αὐτούς* et hab. *ἐκκακεῖν*.
2. Om. *λέγων* D al. Syr. Prs. p. Or. (1.) Bas. — h. *ἐν τῇ π.* DLX al.
3 Rc. *δέ τις ἦν*.
4. Rc. Kn. Sz. *ἠθέλησεν*, tum *καὶ ἄνθρ. οὐκ.* [*οὐδέ* c. BLX al. It.[7] Vg.]
5. Hab. *ὑποπιάζῃ* EKSV al. m. Bas.
7. Rc. Kn. Sz. *ποιήσει* [*ποιήσῃ* c. BDVXΛ al. m.] et *καὶ* (om. 80. 88. It.[6]) *μακροθυμῶν* [*μακροθυμεῖ* c. ABDLQX al. Arr. al. Chrs. al. . . h. *μακροθυμήσει* 254. Vg. It.[3]] — *αὐτῷ* c. BD gr. L. . . Rc. Kn. Sz. Ln. *πρὸς αὐτόν*. . . om. It.[5]
8. Om. *τήν* ante *πίστιν* D al.
9. Ln. *δὲ* (*καί*). . . om. EGKSV al. pm. Syr. utr. It.[2] al. m. Bas.
10. Ln. om. *ὁ* ante *εἷς* c. BD. — h. *καὶ εἷς τελ.* D.
11. *ταῦτα πρ. ἑ.* c. BL al. Vg. It.[1] al. Or. Cypr. . . Rc. Kn. Sz. Ln. *πρ. ἑ. ταῦτα*. . . om. *πρ. ἑ.* It.[6] Sah. . . h. *καθ᾿ ἑαυτόν, ταῦτα* D Ct.

13 πάντα ὅσα κτῶμαι. [13] ὁ δὲ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθε-
λεν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι εἰς τὸν οὐρανόν, ἀλλ' ἔτυπτεν
τὸ στῆθος αὐτοῦ λέγων· Ὁ θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.
14 [14] λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ παρ'
ἐκεῖνον, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν Lc.14, 11. Mt. 23, 12.
ἑαυτὸν ὑψωθήσεται.
15 Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· ἰδόν- Mt.19, 13-15.
16 τες δὲ οἱ μαθηταὶ ἐπετίμων αὐτοῖς. [16] ὁ δὲ Ἰησοῦς προσεκαλέσατο Mc.10, 13-16.
αὐτὰ λέγων· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με καὶ μὴ κωλύετε
17 αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. [17] ἀμὴν λέγω
ὑμῖν, ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ
εἰσέλθῃ εἰς αὐτήν.
18 Καὶ ἐπηρώτησέν τις αὐτὸν ἄρχων λέγων· Διδάσκαλε ἀγαθέ, Mt.19, 16-29.
19 τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; [19] εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς· Mc.10, 17-30.
20 Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. [20] τὰς ἐν-
τολὰς οἶδας· Μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδο- *Ex.20, 12-16.
21 μαρτυρήσῃς, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα. [21] ὁ δὲ εἶπεν·
22 Ταῦτα πάντα ἐφύλαξα ἐκ νεότητος. [22] ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν
αὐτῷ· Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος
πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν τοῖς οὐρανοῖς· καὶ δεῦρο, ἀκολού-
23 θει μοι. [23] ὁ δὲ ἀκούσας ταῦτα περίλυπος ἐγενήθη· ἦν γὰρ πλού-

---

13. ὁ δέ c. BGL al. Sah. .. Rc. Kn. Sz. Ln. καὶ ὁ. iid. εἰς τ. οὐρ. ἐπ. .. ἐπ. εἰς τ. οὐρ. c. BLQX al. It.[1] Gth. .. om. εἰς τ. οὐρ. 40. It.[2] Or. (3.) — Rc. Kn. Sz. εἰς τὸ στῆθ.

14. Ln. ὅτι κατέβη. — Rc. ἢ ἐκεῖνος. .. Kn. Sz. ἢ γὰρ ἐκεῖνος [παρ' ἐκ. c. BL al. Cpt. Or. Greg. naz. .. h. μᾶλλον παρ' ἐκ. τὸν Φαρισ. D Syr. .. ἤπερ ἐκεῖνος 157. Bas. .. al. aliter.]. — Ln. καὶ ὁ ταπ.

15. Om. τά ante βρ. D al. Or. — Rc. Kn. Sz. ἐπετίμησαν.

16. προσεκ. α. λ. c. BDG (προσεκαλεῖτο DG) L al. Cpt. Verc. .. Rc. Kn. Sz. Ln. προσκαλεσάμενος α. εἶπεν.

20. Rc. Kn. Sz. μητέρ. σου. [om. c. ABDKLMX al. m. Vg. It.[5] al.]

21. ἐφύλ. c. ABL al. Dial. c. Mc. .. Rc. Kn. Sz. Ln. ἐφυλαξάμην ἐκ νεότ. μου. .. om. c. BD Ct. Rd. Mc. ap. Tert. et Dial. c. Mc.

22. Rc. Kn. Sz. ταῦτα ὁ Ἰησ. — Ln. καὶ δός. — Rc. Kn. Sz. ἐν οὐρανῷ.

23. ἐγενήθη c. BL. .. Rc. Kn. Sz. Ln. ἐγένετο.

σιος σφόδρα. 24 ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς εἶπεν· Πῶς δυσκόλως οἱ 24
τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσπορεύονται·
25 εὐκοπώτερον γάρ ἐστιν κάμηλον διὰ τρήματος βελόνης διελθεῖν, 25
ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. 26 εἶπον δὲ οἱ 26
ἀκούσαντες· Καὶ τίς δύναται σωθῆναι; 27 ὁ δὲ εἶπεν· Τὰ ἀδύ- 27
νατα παρὰ ἀνθρώποις δυνατὰ παρὰ τῷ θεῷ ἐστιν. 28 εἶπεν δὲ 28
Πέτρος· Ἰδού, ἡμεῖς ἀφέντες τὰ ἴδια ἠκολουθήσαμέν σοι. 29 ὁ δὲ 29
εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν
ἢ γυναῖκα ἢ ἀδελφοὺς ἢ γονεῖς ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ
θεοῦ, 30 ὃς οὐχὶ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ 30
καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

Mt. 20, Παραλαβὼν δὲ τοὺς δώδεκα εἶπεν πρὸς αὐτούς· Ἰδού, ἀνα- 31
17-19. βαίνομεν εἰς Ἱερουσαλήμ, καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα
Mc. 10, διὰ τῶν προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώπου· 32 παραδοθήσεται γὰρ 32
32-34. τοῖς ἔθνεσιν καὶ ἐμπαιχθήσεται καὶ ὑβρισθήσεται καὶ ἐμπτυσθή-
σεται, 33 καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ ἡμέρᾳ τῇ 33
τρίτῃ ἀναστήσεται. 34 καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ 34
ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.

Mt. 20, Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ τυφλός τις ἐκά- 35
29-34. θητο παρὰ τὴν ὁδὸν ἐπαιτῶν. 36 ἀκούσας δὲ ὄχλου διαπορευομέ- 36
Mc. 10, 46-52. νου ἐπυνθάνετο, τί εἴη τοῦτο. 37 ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς 37

---

24. Rc. Kn. Sz. Ln. ὁ (om. B.) Ἰησ. περίλυπον γενόμενον. .. om. c. BL al. Cpt. .. pon. περ. γεν. εἶπ. ὁ Ἰ. D. — Rc. Kn. Sz. Ln. εἰσελεύσονται εἰς τ. β. τ. θ. .. εἰς etc. c. BL; sic pon. etiam D al.

25. Hab. κάμιλον S al. — Rc. Kn. Sz. διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν.

27. Ln. om. τῷ ante θεῷ.

28. Rc. Kn. Sz. Ln. ὁ Π. .. om. ὁ c. AHKMPSVΔ al. pm. — Rc. Kn. Sz. ἡμ. ἀφήκαμεν πάντα καὶ ἠκολ.

29. οἰκίαν etc. eo ordine c. BL Cpt. .. Rc. Kn. Sz. Ln. οἰκ. ἢ γον. ἢ ἀδ. ἢ γυναῖκα.

30. Rc. Kn. Sz. Ln. οὐ .. οὐχὶ c. BL al. — Ln. λάβῃ. — h. ἑπταπλασ. D It. (exc. 1.) Ir. al.

31. Hab. περὶ τοῦ υἱοῦ D al. Syr. utr. Vg. It. al. m. Epiph.

32. Om. καὶ ὑβρισθ. DL al. It.4· al. .. etiam aliter pon. et mutatur in καὶ μαστιγωθήσεται.

35. Rc. Kn. Sz. προσαιτῶν. [ἐπαιτ. c. BDL Or.]

36. Ln. τί (ἂν) εἴη .. h. ἂν DKLMQX al. m. Or. (2.) Dial. c. Mc.

38 ὁ Ναζωραῖος παρέρχεται. 38 καὶ ἐβόησεν λέγων· Ἰησοῦ, υἱὲ Δαυίδ,
39 ἐλέησόν με. 39 καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιγήσῃ· αὐτὸς
40 δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαυίδ, ἐλέησόν με. 40 σταθεὶς δὲ
ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. ἐγγίσαντος δὲ αὐ-
41 τοῦ ἐπηρώτησεν αὐτόν· 41 Τί σοι θέλεις ποιήσω; ὁ δὲ εἶπεν· Κύ-
42 ριε, ἵνα ἀναβλέψω. 42 καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀνάβλεψον· ἡ
43 πίστις σου σέσωκέν σε. 43 καὶ παραχρῆμα ἀνέβλεψεν, καὶ ἠκολού-
θει αὐτῷ δοξάζων τὸν θεόν. καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον
τῷ θεῷ.

## XIX.

1
2 Καὶ εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ. 2 καὶ ἰδού, ἀνὴρ ὀνόματι
3 Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ αὐτὸς πλούσιος· 3 καὶ
ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, τίς ἐστιν, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου,
4 ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. 4 καὶ προδραμὼν ἔμπροσθεν ἀνέβη ἐπὶ
5 συκομωρέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι ἐκείνης ἤμελλεν διέρχεσθαι. 5 καὶ
ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν καὶ εἶπεν
πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ
6 σου δεῖ με μεῖναι. 6 καὶ σπεύσας κατέβη καὶ ὑπεδέξατο αὐτὸν χαί-
7 ρων. 7 καὶ ἰδόντες πάντες διεγόγγυζον λέγοντες· ὅτι παρὰ ἁμαρ-
8 τωλῷ ἀνδρὶ εἰσῆλθεν καταλῦσαι. 8 σταθεὶς δὲ Ζακχαῖος εἶπεν πρὸς
τὸν κύριον· Ἰδού, τὰ ἡμίσεά μου τῶν ὑπαρχόντων, κύριε, πτωχοῖς
δίδωμι, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.

---

37. Hab. Ναζαρηνός D al. Vg. It.[3] Or.
38. Om. Ἰησ. AEK al. Or. (videtur.)
39. Rc. Kn. Sz. σιωπήσῃ. — 40. om. πρ. αὐτόν D al. It.[4] Dial. c. Mc.
41. Rc. Kn. Sz. Ln. ab init. h. λέγων. . . om. c. BDL al. Cpt. Dial. c. Mc.

Cap. XIX. 2. Rc. Kn. Sz. Ln. ὀνόμ. καλούμενος. . . . om. c. D al. Syr. Vg. It. al. Ambr. — Rc. Kn. Sz. καὶ οὗτος ἦν πλούσ. [κ. αὐτ. c. BK al. Vg. It.[3] Arm. . . om. plane D Ct. . . h. καὶ ἦν L al. . . al. aliter.]
4. Hab. προσδραμ. EGHLV al. m. . . προλαβών D et add. εἰς τό BL . . al. aliter. — Rc. Kn. Sz. συκομορέαν [συκομωρ. c. BDQ al. m.] . . h. συκομοραίαν AKMSV al. m. . . συκομωραίαν 40. al. — Rc. δι' ἐκείνης.
5. Om. γάρ H al. Gth. . . h. ὅτι σήμ. D Vg. It. al. Ir. gr.
8. Rc. Kn. Sz. τὰ ἡμίση [τ. ἡμίσεα c. BLQ (iid. μου τῶν ὑπ. pergunt) . . h. τὰ ἥμισυ A]. — Rc. Kn. Sz. Ln. δίδ. τοῖς (om. c. B al.) πτωχ. . . pos. c. BDLQ al.

[9] εἶπεν δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι σήμερον σωτηρία τῷ οἴκῳ 9
Mt. 18, 11. τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν· [10] ἦλθεν 10
γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.
Mt. 25, 14-30. Ἀκουόντων δὲ αὐτῶν ταῦτα προσθεὶς εἶπεν παραβολήν, διὰ 11
τὸ ἐγγὺς εἶναι αὐτὸν Ἱερουσαλὴμ καὶ δοκεῖν αὐτούς, ὅτι παρα-
χρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ ἀναφαίνεσθαι. [12] εἶπεν οὖν· Ἄν- 12
θρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν, λαβεῖν ἑαυτῷ
βασιλείαν καὶ ὑποστρέψαι. [13] καλέσας δὲ δέκα δούλους ἑαυτοῦ 13
ἔδωκεν αὐτοῖς δέκα μνᾶς καὶ εἶπεν πρὸς αὐτούς· Πραγματεύσασθε
ἐν ᾧ ἔρχομαι. [14] οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτὸν καὶ ἀπέστει- 14
λαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες· Οὐ θέλομεν τοῦτον βασι-
λεῦσαι ἐφ' ἡμᾶς. [15] καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα 15
τὴν βασιλείαν, καὶ εἶπεν φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους
οἷς δέδωκεν τὸ ἀργύριον, ἵνα γνοῖ, τίς τί διεπραγματεύσατο. [16] παρ- 16
εγένετο δὲ ὁ πρῶτος λέγων· Κύριε, ἡ μνᾶ σου δέκα προσειργάσατο
μνᾶς. [17] καὶ εἶπεν αὐτῷ· Εὖγε, ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ 17
πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων. [18] καὶ ἦλ- 18
θεν ὁ δεύτερος λέγων· Κύριε, ἡ μνᾶ σου ἐποίησεν πέντε μνᾶς.
[19] εἶπεν δὲ καὶ τούτῳ· Καὶ σὺ ἐπάνω γίνου πέντε πόλεων. [20] καὶ 19 20
ὁ ἕτερος ἦλθεν λέγων· Κύριε, ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκει-
μένην ἐν σουδαρίῳ· [21] ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς 21
εἶ, αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. [22] λέγει αὐτῷ· 22

---

9. Om. πρ. αὐτ. Ct. Cypr. .. pon. post Ἰησ. D. .. h. πρ. αὐτούς It. (exc. 2.) — om. ὁ ante Ἰησ. B. — h. ἐν τῷ οἴκ. τ. AD.

11. Om. αὐτόν 50. (sec. XI.), ante ἐγγ. pon. 131.; post Ἱερ. BL 157.; tum εἰς et ἐν Ἱερ. leg. — om. αὐτούς D Ct.; h. αὐτοῖς 25.

12. Om. ἑαυτῷ D It. (exc. 3.) Lcif. Ambr.

13. Rc. Kn. Sz. ἕως ἔρχ. [ἐν ᾧ c. ABDKL al. m. Or. Lcif.]

15. Om. τούτους D al. Arm. Vg. It. (exc. 1.) Or. Lcif. — δέδωκεν c. B. ap. Bch. al. .. Ln. δεδώκει c. DL (B ap. Btlj. et Sz.) al. Verc. (h. ἐδεδώκει Or.) .. Rc. Kn. Sz. ἔδωκεν, iid. γνῷ. — h. τί διεπραγματεύσαντο DL (τίς τί διεπραγματεύσαντο, sic videtur B ap. Bch. et Btlj.) Cpt. Or.

16. Ln. προσηργ. c. AD al. — 17. Rc. Kn. Sz. εὖ.

18. Hab. ὁ ἕτερος D al. alter Vg. It. ἄλλος Or. alius Ct. Verc.

19. ἐπάν. γ. c. BL al. .. Rc. Kn. Sz. Ln. γίν. ἐπ.

20. Rc. Kn. Sz. καὶ ἕτερος. [κ. ὁ ἕτ. c. BDL al.]

22. Rc. Sz. Ln. λέγει δὲ α. [om. c. LMS* al. pm. Syr. Vg. Verc. al. Thphyl. .. etiam Et It.[5] Lcif.; Tunc It.[1]]

Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε. ᾔδεις, ὅτι ἐγὼ ἄν-
θρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ
23 ἔσπειρα; [23] καὶ διὰ τί οὐκ ἔδωκάς μου τὸ ἀργύριον ἐπὶ τράπεζαν;
24 κἀγὼ ἐλθὼν σὺν τόκῳ ἂν αὐτὸ ἔπραξα. [24] καὶ τοῖς παρεστῶσιν
εἶπεν· Ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς
25 26 ἔχοντι. [25] καὶ εἶπαν αὐτῷ· Κύριε, ἔχει δέκα μνᾶς. [26] λέγω ὑμῖν, L.c. 8,
ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει 18. Mt.13,
27 ἀρθήσεται. [27] πλὴν τοὺς ἐχθρούς μου τούτους τοὺς μὴ θελήσαν- 12. Mc.4,
τάς με βασιλεῦσαι ἐπ' αὐτοὺς ἀγάγετε ὧδε καὶ κατασφάξατε ἔμ- 25.
προσθέν μου.
28 Καὶ εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν, ἀναβαίνων εἰς Ἱερου- Mt.21,1-11. Mc.11,1-10.
29 σαλήμ. [29] καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγῆ καὶ Βηθανίαν Jo.12,12-15.
πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιών, ἀπέστειλεν δύο τῶν μαθητῶν
30 αὐτοῦ [30] εἰπών· Ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ εἰσπορευό-
μενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων
31 ἐκάθισεν, καὶ λύσαντες ἀγάγετε. [31] καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ· Διὰ
τί λύετε; οὕτως ἐρεῖτε αὐτῷ· ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει.
32 [32] ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς.
33 [33] λυόντων δὲ αὐτῶν τὸν πῶλον εἶπαν οἱ κύριοι αὐτοῦ πρὸς αὐ-
34 τούς· Τί λύετε τὸν πῶλον; [34] οἱ δὲ εἶπαν· ὅτι ὁ κύριος αὐτοῦ
35 χρείαν ἔχει. [35] καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιῤῥίψαν-
36 τες αὐτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν Ἰησοῦν. [36] πο-
ρευομένου δὲ αὐτοῦ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ.

---

23. Rc. Kn. Sz. ἐπὶ τὴν τράπ. — h. ἀνέπραξα A.
25. Om. versum D al. It.[2.] Leif.
26. Rc. Kn. Sz. λέγ. γάρ, Ln. (—) . . om. c. BL al. Verc. al. Thphyl. . . h. δέ Vg. It. cdd. pl.; etiam καί et aliter in Syr. al. leg. — Rc. Kn. Sz. Ln. in f. add. ἀπ' αὐτοῦ. . . om. c. BL al. m.
27. τούτους c. BKLM al. Did. . . Rc. Kn. Sz. Ln. ἐκείνους. — h. κατασφ αὐτούς BL al. m. Syr. al. Chrs.
29. Om. αὐτοῦ BL al. It.[1.] Or.
30. Ln. λέγων. — om. δεδεμέν. D Ct. — om. πώποτε DG al. It.[6.] Or. (1.); etiam aliter pon. — Rc. Kn. Sz. Ln. λύσαντες (καὶ λ. c. BDL 157. Ct.) αὐτὸν (om. c. DL al. Ct.; post ἀγαγ. pon. AK al. Syr.) ἀγ.
31. Om. διὰ τί λ. D Ct. It.[3.] — Ln. (αὐτῷ) . . om. BDL al. It.[4.] al. Or. (3.)
32. Add. in f. ἑστῶτα τὸν πῶλον 7. al. Vg. It. al. Or. (1.)
34. Rc. Kn. Sz. om. ὅτι, iid. v. 35. h. ἑαυτῶν.
36. Om. ἐν τ. ὁ. D Ct. 229.

37 ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν 37
ἐλαιῶν ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν
τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων, 38 λέγον- 38
τες· Εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι κυρίου· ἐν οὐ-
ρανῷ εἰρήνη καὶ δόξα ἐν ὑψίστοις. 39 Καί τινες τῶν Φαρισαίων 39
ἀπὸ τοῦ ὄχλου εἶπαν πρὸς αὐτόν· Διδάσκαλε, ἐπιτίμησον τοῖς μα-
θηταῖς σου. 40 καὶ ἀποκριθεὶς εἶπεν· Λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι 40
σιωπήσουσιν, οἱ λίθοι κεκράξονται. 41 καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν 41
πόλιν ἔκλαυσεν ἐπ' αὐτήν, λέγων· 42 ὅτι εἰ ἔγνως ἐν τῇ ἡμέρᾳ ταύτῃ 42
καὶ σὺ τὰ πρὸς εἰρήνην· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου· 43 ὅτι 43
ἥξουσιν ἡμέραι ἐπὶ σέ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι
καὶ περικυκλώσουσίν σε καὶ συνέξουσίν σε πάντοθεν, 44 καὶ ἐδα- 44
φιοῦσίν σε καὶ τὰ τέκνα σου ἐν σοί, καὶ οὐκ ἀφήσουσιν λίθον ἐπὶ
λίθῳ ἐν σοί, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.
{Mt. 21, 12. 13. / Mc. 11, 15-17.} Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας 45
• Es. 56, 7. 46 λέγων αὐτοῖς· Γέγραπται· Καὶ ἔσται ὁ οἶκός μου οἶκος προσ- 46
• Jer. 7, 11. Mc. 11, 18. ευχῆς· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. 47 Καὶ ἦν 47
διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμ-
ματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι καὶ οἱ πρῶτοι τοῦ λαοῦ, 48 καὶ 48

---

37. Ln. πάντων c. BD (h. γινομένων pro δυνάμ. D Ct.).
38. Hab. ὁ βασ. B. — post κυρ. add. εὐλογημένος ὁ βασ. D It. (exc. 5.)
40. Rc. Kn. Sz. Ln. εἶπ. αὐτοῖς... om. c. BL Cpt. Arm. Or. — Rc. Kn. Sz. σιωπήσωσιν.. h. σιγήσουσιν D 254. — h. κράξουσιν BL Or. ed. (1.).. κράξονται D.
41. Rc. Sz. ἐπ' αὐτῇ.
42. Rc. Kn. Sz. ἔγν. καὶ σύ, (κ. σύ post ταύτῃ pos. c. BL Or.) καίγε (om. c. BDL al. Ct. It.[1.] al. Or.) ἐν τῇ ἡμ. σου (om. c. ABDL al. Syr. It.[2.] al. Or. Eus. Bas.) ταύτῃ τὰ πρ. εἰρ. σου [om. c. BL al. Or. Ir... h. σοί D al. It. (exc. Verc.) Vg.].. Ln. ἔγν. καὶ σὺ (καί γε) ἐν τ. ἡμ. ταύτ. τὰ πρ. εἰρ. (σου).
43. Hab. παρεμβαλοῦσιν CL al... al. aliter.
44. Om. ἐν σ. ante καὶ οὐκ D Ct. Or. Eus.
45. Rc. Kn. Sz. Ln. πωλ. ἐν αὐτῷ (om. c. BL 1. al. Cpt. It.[1.] al. Or. bis... etiam ἐπ' αὐτῷ et ἐν τῷ ἱερῷ leg.) καὶ ἀγοράζοντας (om. c. BL 1. al. Cpt. Or. dis... al. aliter.).
46. καὶ ἔσται etc. c. BL 1. al. Cpt. It.[1.] Arm. Or. .. Rc. Kn. Sz. Ln. (Ln. ὅτι) ὁ οἶκ. μου οἶκ. πρ. ἐστίν.
47. Om. τό L al. — pon. καὶ οἱ πρ. τ. λ. ante ἐζήτ. D Vg. It. al. et h. γρ. καὶ οἱ πρεσβύτεροι τ. λ. ἐζήτ. α. ἀπ. 157. Syr. utr. It.[1.] Prs. Or. (dis.)

οὐχ εὕρισκον τὸ τί ποιήσωσιν· ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ
ἀκούων.

## XX.

1 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν διδάσκοντος αὐτοῦ τὸν λαὸν Mt.21, 23-27.
ἐν τῷ ἱερῷ καὶ εὐαγγελιζομένου ἐπέστησαν οἱ ἀρχιερεῖς καὶ οἱ Mc.11,
2 γραμματεῖς σὺν τοῖς πρεσβυτέροις, [2] καὶ εἶπαν πρὸς αὐτόν· Εἰπὸν 27-33.
ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἢ τίς ἐστιν ὁ δούς σοι τὴν
3 ἐξουσίαν ταύτην; [3] ἀποκριθεὶς δὲ εἶπεν πρὸς αὐτούς· Ἐρωτήσω
4 ὑμᾶς κἀγὼ λόγον, καὶ εἴπατε μοι· [4] Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐ-
5 ρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων; [5] οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέ-
γοντες· ὅτι ἐὰν εἴπωμεν· Ἐξ οὐρανοῦ, ἐρεῖ· Διὰ τί οὐκ ἐπιστεύ-
6 σατε αὐτῷ; [6] ἐὰν δὲ εἴπωμεν· Ἐξ ἀνθρώπων, ὁ λαὸς ἅπας κατα-
λιθάσει ἡμᾶς· πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι.
7 8 [7] καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. [8] καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·
Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

9 Ἤρξατο δὲ λέγειν πρὸς τὸν λαὸν τὴν παραβολὴν ταύτην· Ἀμ- Mt.21, 33-46.
πελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ Mc.12,
10 ἀπεδήμησεν χρόνους ἱκανούς. [10] καὶ καιρῷ ἀπέστειλεν πρὸς τοὺς 1-12.
γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δώσουσιν
11 αὐτῷ· οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν ἐξαπέστειλαν κενόν. [11] καὶ
προσέθετο ἕτερον πέμψαι δοῦλον· οἱ δὲ κἀκεῖνον δείραντες καὶ
12 ἀτιμάσαντες ἐξαπέστειλαν κενόν. [12] καὶ προσέθετο τρίτον πέμψαι·
13 οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον. [13] εἶπεν δὲ ὁ κύριος
τοῦ ἀμπελῶνος· Τί ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν·

---

48. Hab. ποιήσουσιν KLS al. Or. .. add. αὐτῷ D Syr. Vg. It. (exc. Verc.) al.

Cap. XX. 1. Rc. Kn. Sz. ἡμερ. ἐκείνων. — h. οἱ ἱερεῖς AEGKV al. pl. — om. οἱ ante γραμμ. AV al.

2. Rc. Kn. Sz. πρ. αὐτ. λέγοντες et Ln. λέγ. πρ. α. .. om. c. CD al. Syr. It.[1.] al. — εἰπὸν ἡμ. c. B al. .. om. CL .. Rc. Kn. Sz. Ln. εἰπὲ ἡμ.

3. Rc. Kn. Sz. ἕνα λόγον.

5. Ln. συνελογίζοντο et ἐρεῖ ἡμῖν. — Rc. Kn. Sz. διὰ τί οὖν. .. Ln. (οὖν) .. om. c. BELV al. pm. Syr. It.[6.] al.

7. Om. πόθ. EK al. It.[2.] .. h. τὸ πόθ. D al. — 9. Rc. ἄνθρ. τις.

10. κ. καιρῷ c. BL al. D (h. καιρῷ δέ). .. Rc. Kn. Sz. Ln. κ. ἐν καιρ. .. h. κ. ἐν τῷ κ. CQ al. — Rc. Kn. Sz. δῶσιν. [δώσουσ. c. ABLMQ al.]

12. Ln. οἱ δὲ κἀκεῖνον c. A·K al. Vg. It. Syr. p.

ἴσως τοῦτον ἐντραπήσονται. [14] ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ διε- 14
λογίζοντο πρὸς ἀλλήλους λέγοντες· Οὗτός ἐστιν ὁ κληρονόμος·
ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία. [15] καὶ ἐκ- 15
βαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος ἀπέκτειναν. τί οὖν ποιήσει
αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος; [16] ἐλεύσεται καὶ ἀπολέσει τοὺς 16
γεωργοὺς τούτους καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. ἀκούσαντες δὲ
Ps.118, εἶπαν· Μὴ γένοιτο. [17] ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν· Τί οὖν ἐστιν 17
22. τὸ γεγραμμένον τοῦτο· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. [18] πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν 18
λίθον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν; [19] καὶ 19
ἐζήτησαν οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς
χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γάρ,
ὅτι πρὸς αὐτοὺς εἶπεν τὴν παραβολὴν ταύτην.

Mt.22, Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους ὑποκρινομένους 20
16-22. ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, ὥστε παρα-
Mc.12, 13-17. δοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. [21] καὶ ἐπηρώ- 21
τησαν αὐτὸν λέγοντες· Διδάσκαλε, οἴδαμεν, ὅτι ὀρθῶς λέγεις καὶ
διδάσκεις καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν
τοῦ θεοῦ διδάσκεις· [22] ἔξεστιν ἡμᾶς Καίσαρι φόρον δοῦναι, ἢ οὔ; 22
[23] κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς αὐτούς· 23
[24] δείξατέ μοι δηνάριον. τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; ἀπο- 24
κριθέντες εἶπαν· Καίσαρος. [25] ὁ δὲ εἶπεν πρὸς αὐτούς· Τοίνυν 25

---

13. Rc. Kn. Sz. τοῦτ. ἰδόντες. [om. c. BCDLQ al. It. (exc. 1.) al. Schol.]
14. Om. οἱ γεωργ. D Ct. — Ln. διελογίσαντο. — Rc. Kn. Sz. Ln. *πρ. ἑαυτοὺς λέγ... πρ. ἀλλήλ. c. BDL al. — Rc. Kn. Sz. δεῦτε, ἀποκτ.
16. Om. τούτους D al. Ct... h. ἐκείνους 1. al. — Ln. οἱ δὲ ἀκούσ.
19. Ln. ἐζήτουν. — om. τ. λαόν GSV al. pm. Mcion.; etiam aliter leg.
20. Om. παρατηρ. Syr. Prs. p. .. h. ἀποχωρήσαντες D It. cdd. antqss. al. — h. λόγον CK al. B ap. Btlj... λόγους L. .. τῶν λόγων D al. It. cdd. pl... λόγῳ 49. al. — Rc. Kn. Sz. εἰς τὸ παραδ.
22. ἡμᾶς c. ABL al... Rc. Kn. Sz. Ln. ἡμῖν.
23. Rc. Kn. Sz. Ln. in f. add. τί με πειράζετε. .. om. c. BL al. Cpt. Arm... add. etiam ὑποκριταί C al.
24. Rc. ἐπιδείξατε. — Ln. post δην. add. (οἱ δὲ ἔδειξαν. καὶ εἶπεν) c. CL al. m. It.[1] al. m. — Rc. Kn. Sz. Ln. ἀποκρ. δέ... h. οἱ δὲ ἀπ. BL al. Syr. al... καὶ ἀπ. G... om. c. D 1. al. Vg. It. (exc. 1.)
25. πρ. αὐτ. c. BL al. .. Rc. Kn. Sz. Ln. αὐτοῖς.

ἀπόδοτε τὰ Καίσαρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ.
26 26 καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ,
καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ ἐσίγησαν.
27 Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες Mt.22,23-33.)
28 ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν αὐτὸν 28 λέγοντες· Διδάσκαλε, Mc.12,18-27.)
Μωϋσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα [a] Dt.25.
καὶ οὗτος ἄτεκνος ᾖ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα καὶ 5.
29 ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. 29 ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν.
30 καὶ ὁ πρῶτος λαβὼν γυναῖκα ἀπέθανεν ἄτεκνος· 30 καὶ ὁ δεύτερος
31 31 καὶ ὁ τρίτος, ὡσαύτως οἱ ἑπτὰ οὐκ ἀφῆκαν τέκνον καὶ ἀπέθα-
32 33 νον· 32 ὕστερον καὶ ἡ γυνὴ ἀπέθανεν. 33 ἡ γυνὴ οὖν ἐν τῇ ἀναστάσει
34 τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. 34 καὶ
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσιν καὶ
35 γαμίσκονται, 35 οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ
τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίσκονται·
36 36 οὐδὲ γὰρ ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσιν, καὶ υἱοί

---

25. Rc. Kn. Sz. Ln. om. *τῷ* ante *Καίσ.* . . scr. c. DL al. Just.

26. Hab. *ἐπιλαβ. τοῦ ῥήμ.* BL 433. — h. *αὐτοῦ ῥῆμα ἐπιλ.* D.

27. Hab. *οἱ λέγοντες* etc. BCDL al. m. Syr. al. m. qui negant esse Vg. It. (exc. Verc.: qui contradicunt non esse.)

28. Rc. Kn. Sz. *ἄτεκν. ἀποθάνῃ.* . . h. *ἀδ. ἀποθ. ἄτεκνος ἔχων γυναῖκα* D Ct. Syr. Prs. p.

30. et 31. *καὶ ὁ δεύτ.* usq. *ἀπέθ.* c. D Ct. . . Rc. Kn. Sz. Ln. *καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα καὶ οὗτος ἀπέθανεν ἄτεκνος.* 31. *καὶ ὁ τρίτος ἔλαβεν αὐτήν·* [Ln. add. (*ὡσαύτως,*) c. AEV al. m. Syr. utr. Gth.] *ὡσαύτως δὲ καὶ οἱ ἑπτά·* [Rc. pergit *καί*, qd om. ABD ELSVΔ al. pm. It.[2] al.] *οὐ κατέλιπον τέκνα καὶ ἀπέθανον.* . . v. 30. om. 218. 245. 435. Corb. . . h. *καὶ ὁ δ. καὶ ὁ τρ. ἔλαβ. αὐτήν· ὡσαύτ.* etc. BL 157. . . al. aliter.

32. Rc. Kn. Sz. *ὕστ. δὲ πάντων ἀπέθ. καὶ ἡ γ.*

33. *ἡ γ. οὖν ἐν τ. ἀ.* c. BL Syr. p. in m. . . Rc. Kn. Sz. Ln. *ἐν τῇ οὖν ἀναστ.* — h. *ἔσται γυν.* DGL al. m. Syr. Vg. It. al.

34. Rc. Kn. Sz. *καὶ ἀποκριθεὶς εἶπ.* — ante *γαμοῦσ.* h. *γεννῶνται καὶ γεννῶσιν* D Ct. Verc. Mm. et omissis *γαμ. κ. γαμίσκ.* It.[3] Or. Cypr. al. — Rc. Kn. Sz. *ἐκγαμίσκ.* [*γαμίσκ.* c. BL al. Or. Epiph. Gr. nyss.] . . h. *γαμοῦνται* D. . . *ἐκγαμίζονται* AGHKMP al. pm. Bas.

35. *γαμίσκ.* c. B al. Clem. (1.) Epiph. (1.) . . Rc. Kn. Sz. *ἐκγαμίσκ.* . . Ln. *γαμίζονται.*

36. Rc. Kn. Sz. *οὔτε.* — h. *ἔτι μέλλουσιν* D It.[4] Mcion. al.

εἰσιν θεοῦ τῆς ἀναστάσεως υἱοὶ ὄντες. [37] ὅτι δὲ ἐγείρονται οἱ νε- 37
*Ex.3,6. κροί, καὶ Μωϋσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει κύριον τὸν
θεὸν Ἀβραὰμ καὶ θεὸν Ἰσαὰκ καὶ θεὸν Ἰακώβ· [38] θεὸς δὲ οὐκ 38
ἔστιν νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν. [39] Ἀποκρι- 39
θέντες δέ τινες τῶν γραμματέων εἶπαν· Διδάσκαλε, καλῶς εἶπας.
Mt. 22, 46. [40] οὐκέτι γὰρ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν. 40
Mt.22,41-46. Mc.12,35-37. Εἶπεν δὲ πρὸς αὐτούς· Πῶς λέγουσιν τὸν Χριστὸν εἶναι 41
*Ps. 110, 1. Δαυὶδ υἱόν, [42] καὶ αὐτὸς Δαυὶδ λέγει ἐν βίβλῳ τῶν ψαλμῶν· 42
Act. 2, 35. Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου [43] ἕως ἂν 43
θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; [44] Δαυὶδ οὖν 44
αὐτὸν κύριον καλεῖ, καὶ πῶς αὐτοῦ υἱός ἐστιν;
Mt.23,5.6.14. Mc.12,38-40. Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ εἶπεν τοῖς μαθηταῖς αὐ- 45
Lc. 11, 43. τοῦ· [46] Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περι- 46
πατεῖν ἐν στολαῖς καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ
πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς
δείπνοις· [47] οἳ κατεσθίουσιν τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει 47
μακρὰ προσεύχονται, οὗτοι λήψονται περισσότερον κρίμα.

## XXI.

Mc. 12, 41-44. Ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ 1
γαζοφυλάκιον πλουσίους. [2] εἶδεν δέ τινα χήραν πενιχρὰν βάλλουσαν 2
ἐκεῖ λεπτὰ δύο, [3] καὶ εἶπεν· Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη 3
ἡ πτωχὴ πλεῖω πάντων ἔβαλεν· [4] ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισ- 4
σεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος
αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν.

---

36. Rc. Kn. Sz. Ln. τοῦ θ. . . om. c. ABL al. Bas. Gr. nyss.
37. Rc. Kn. Sz. καὶ τὸν θ. Ἰ. καὶ τόν. [om. c. BDL al. Or.]
40. γάρ c. BL al. . . Rc. Kn. Sz. Ln. δέ . . . h. καί Vg. It. . . om. 244. It.[1] Gth.
42. Hab. αὐτὸς γάρ BL al. Cpt. . . καὶ αὐτ. γάρ Q. . . al. aliter. — Ln. om. ὁ ante κύρ. c. BD. (om. c. iisd. et Z ap. MT. c. iisd. ap. MC.)
43. Hab. ὑποκάτω τ. ποδ. D al. Syr. It. (exc. 1.) al.
47. Ln. οἱ κατεσθίοντες et προσευχόμενοι. . . h. μακράν A*LX al. . . μακρᾷ 1. al. m. Thphyl.
Cap. XXI. 2. Rc. Kn. Sz. Ln. δὲ καί. . . om. c. BKLMX al. m. Bas. . . pon. post τινά AGHSVΔ al. pm. — om. ἐκεῖ D al. Syr. Vg. It. (exc. 1.) al. Or. (3.)
3. 4. Rc. Kn. Sz. πλεῖον, iid. et Ln. v. 4. δῶρ. τοῦ θεοῦ. . . om. c. BLX al. Syr. hr. Cpt. — Add. in f. ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. E*GHM* in m. al. m.

5 Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθή- Mt. 24.
6 μασιν κεκόσμηται, εἶπεν· 6 Ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι 1 sqq. Mc. 13.
ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται. 1 sqq.
7 7 ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες· Διδάσκαλε, πότε οὖν ταῦτα ἔσται;
8 καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι; 8 ὁ δὲ εἶπεν· Βλέ-
πετε, μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου
λέγοντες· Ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικεν· μὴ πορευθῆτε ὀπίσω
9 αὐτῶν. 9 ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοη-
θῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ' οὐκ εὐθέως τὸ τέλος.
10 10 τότε ἔλεγεν αὐτοῖς· Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία
11 ἐπὶ βασιλείαν, 11 σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ λοιμοὶ καὶ
λιμοὶ ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται.
12 12 Πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐ- Mt. 10.
τῶν καὶ διώξουσιν, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, 17-20. Lc. 12.
ἀπαγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· 11. 12.
13 14 13 ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. 14 θέτε οὖν ἐν ταῖς καρδίαις
15 ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· 15 ἐγὼ γὰρ δώσω ὑμῖν στόμα
καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι ἅπαντες οἱ ἀντικείμενοι
16 ὑμῖν. 16 παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγ-
17 γενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· 17 καὶ ἔσεσθε μι- Mt. 10.
18 σούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. 18 καὶ θρὶξ ἐκ τῆς κε- 22.

---

5. Ln. ἀναθέμασιν c. AD al. Syr. p.

6. Om. ἃ DL Ct. It.[4] — Ln. λίθῳ ὧδε... hoc add. etiam ante λίθος.

7. Om. οὖν D al. Syr. Vg. It. al.

8. Hab. ἐν τῷ ὀν. KM al. — Rc. Kn. Sz. ὅτι ἐγώ, Ln. (—) .. om. c. BLX al. It. cdd. — Rc. Kn. Sz. μὴ οὖν πορ.

10. Om. τότ. ἔ. αὐτ. (post ἐγερθ. h. γάρ) D al. Syr. Prs. p. It.[4] .. τότε, ἔλ. α., sic Kn.

11. Rc. Kn. Sz. κ. λιμοὶ κ. λοιμ. — Ln. φόβηθρά τε κ. ἀπ' οὐρ. σημ... et κατ. τόπ. et ἀπ' οὐρ. varie pon.

12. ἀπαγομ. c. BDL al. .. Rc. Kn. Sz. Ln. ἀγομένους.

14. Rc. Kn. Sz. θέσθε [θέτε c. ADLM al.] εἰς τὰς καρδίας. [ἐν τ. κ. c. ABDLX al. Vg. It. Cyr. al.]

15. Rc. Kn. Sz. ἀντειπεῖν οὐδὲ (Kn. ἢ) ἀντιστ. .. Ln. ἀντιστ. οὐδὲ ἀντειπ. .. om. c. D Syr. Prs. p. Vg. ms. It.[4] antqss. Cypr. Aug. .. pro οὐδέ h. ἢ AKLM al. m. It.[1] Or. al. et Vg. It.[1] — om. ἅπαντ. It.[5] Cypr. Aug.

φαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. [19] ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε 19
Mt.24, 15-19. τὰς ψυχὰς ὑμῶν. [20] Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων 20
Mc.13, Ἱερουσαλήμ, τότε γνῶτε, ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. [21] τότε 21
14-17. οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς
ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν·
[22] ὅτι ἡμέραι ἐκδικήσεως αὐταί εἰσιν, τοῦ πλησθῆναι πάντα τὰ 22
γεγραμμένα. [23] οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις 23
ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ
ὀργὴ τῷ λαῷ τούτῳ, [24] καὶ πεσοῦνται στόματι μαχαίρας καὶ 24
αἰχμαλωτισθήσονται εἰς τὰ ἔθνη πάντα, καὶ Ἱερουσαλὴμ ἔσται πα-
Mt.24, τουμένη ὑπὸ ἐθνῶν, ἄχρις οὗ πληρωθῶσιν καιροὶ ἐθνῶν. [25] Καὶ 25
29. 30. Mc.13, ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συν-
24-26. οχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἤχους θαλάσσης καὶ σάλου, [26] ἀποψυχόντων 26
ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκου-
μένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. [27] καὶ τότε 27
ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνά-
μεως καὶ δόξης πολλῆς. [28] ἀρχομένων δὲ τούτων γίνεσθαι ἀνα- 28
κύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρω-
Mt.24, σις ὑμῶν. [29] Καὶ εἶπεν παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν καὶ 29
32-35. Mc.13, πάντα τὰ δένδρα· [30] ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ᾽ ἑαυτῶν 30
28-31. γινώσκετε, ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν· [31] οὕτως καὶ ὑμεῖς, ὅταν 31
ἴδητε ταῦτα γινόμενα, γινώσκετε, ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ
θεοῦ. [32] ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως 32
ἂν πάντα γένηται. [33] ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ 33

---

19. Rc. Kn. Sz. κτήσασθε, iid. v. 20. τὴν Ἱερουσ.

22. Rc. πληρωθῆναι. — 23. Rc. Kn. Sz. οὐαὶ δέ, tum Rc. ἐν τ. λαῷ.

24. Hab. ἐν στόμ. D al. Vg. It.[5] Eus. al. — Rc. Kn. Sz. ἄχρι πληρ. — om. καιρ. ἐθν. D Ct. . . h. καὶ ἔσονται καιρ. ἐθν. B . . καιροὶ καὶ ἔσονται καιρ. ἐθν. L Cpt.

25. Hab. καὶ ἀπορία D Syr. It.[1] Prs. p. — Rc. Kn. Sz. ἠχούσης. [ἤχους c. ABLMX al. m. Syr. Vg. It. al. . . h. ἤχους ὡς Arm. . . al. aliter.]

26. Hab. αἱ τῶν οὐρ. L ap. Wtst. . . αἱ ἐν τῷ οὐρ. D It.[5] Ambr.

30. Hab. προβ. τὸν καρπὸν αὐτῶν D 157. Vg. It.[8] al. — om. ἤδη prius Syr. al. . . om. βλέπ. D Syr. Vg. It. al. . . om. ἀφ᾽ ἑαυτ. D It.[2] al. (referunt ad προβ. Vg. It.[9]) . . h. ἀπ᾽ αὐτῶν L al. Syr. al. . . ἀπὸ τῶν καρπῶν αὐτῶν Syr. p. in m. — om. ἤδη poster. KX al. Syr. Vg. It. (exc. Ver.) al. et post ἐγγ. pon. D L al.

33. Hab. παρελεύσεται CK al. m.

34 λόγοι μου οὐ μὴ παρελεύσονται. [34] Προσέχετε δὲ ἑαυτοῖς, μήποτε
βαρηθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις
35 βιωτικαῖς, καὶ ἐπιστῇ ἐφ' ὑμᾶς αἰφνίδιος ἡ ἡμέρα ἐκείνη [35] ὡς
παγίς· ἐπεισελεύσεται γὰρ ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσ-
36 ωπον πάσης τῆς γῆς. [36] ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι,
ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι καὶ στα-
θῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
37 Ἦν δὲ τὰς ἡμέρας διδάσκων ἐν τῷ ἱερῷ, τὰς δὲ νύκτας ἐξ-
38 ερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν. [38] καὶ πᾶς
ὁ λαὸς ὤρθριζεν πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

## XXII.

1 2 Ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα. [2] καὶ Mt. 26, 1-5.
ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν· Mc. 14,
ἐφοβοῦντο γὰρ τὸν λαόν. 1. 2.
3 Εἰσῆλθεν δὲ σατανᾶς εἰς Ἰούδαν τὸν καλούμενον Ἰσκαριώτην, Mt. 26,
4 ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα· [4] καὶ ἀπελθὼν συνελάλησεν 14-16. Mc. 14,
5 τοῖς ἀρχιερεῦσιν καὶ στρατηγοῖς τὸ πῶς αὐτοῖς παραδῷ αὐτόν. [5] καὶ 10. 11.
6 ἐχάρησαν καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι· [6] καὶ ἐξωμολόγησεν,
καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν ἄτερ ὄχλου αὐτοῖς.

---

33. Rc. Kn. Sz. οὐ μὴ παρέλθωσιν. [παρελεύσ. c. BDL al.]
34. 35. Rc. βαρυνθῶσιν. — Rc. Kn. Sz. ἐκείνη. Ὡς παγ. γὰρ ἐπελεύσεται ἐπί. [ἐπεισελ. c. BD; ὡς π. Ἐπ. γάρ c. BDL 157. It. Tert.]
36. Ln. ἀγρυπν. δέ c. BD It. cdd. — h. ἵνα κατισχύσητε BL al. Cpt. al. — Rc. Kn. Sz. Ln. ταῦτα πάντ. .. om. c. EHKSVXΔ al. pm. Syr. Thphyl. .. post πάντ. pon. AC al. — h. καὶ στήσεσθε D It.[7]
38. Add. in f. καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ etc. quae JO. 7, 53 usq. 8, 11. (pericopa de adultera) leg. 13. (sec. XII.) 69. (s. XIV.) 124. (s. XII.) 346. (s. XII.)

Cap. XII. 2. Hab. ἐφοβ. δέ D al. Syr. Vg. It. cdd. al.
3. Rc. ὁ σατ. καλούμ. c. BDLX al. .. Rc. Kn. Sz. Ln. ἐπικαλ. .. etiam λεγόμ. et ἐπιλεγόμ. leg. .. om. G.
4. Ln. ἀρχιερ. καὶ τοῖς γραμματεῦσιν κ. τοῖς (τοῖς h. etiam Rc. Kn. Sz. .. om. c. AGHKLPVΔ al. pm. Or.) στρ. .. om. κ. στρατ. DX It.[6] Aeth. .. add. τοῦ ἱεροῦ CP al. Syr. utr. Prs. p. Eus.
6. Ln. om. κ. ἐξωμ. c. C al. It.[6] Eus. .. h. κ. ὡμολ. DP. .. κ. συνεξωμ. 57. — Rc. Kn. Sz. αὐτοῖς ἄτ. ὄχλ. .. om. αὐτοῖς D al. Vg. It.[3] Prs. p.

Mt.26, Ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ᾗ ἔδει θύεσθαι τὸ πάσχα. 7
17-19. 8 καὶ ἀπέστειλεν Πέτρον καὶ Ἰωάννην εἰπών· Πορευθέντες ἑτοι- 8
Mc.14, 12-16. μάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν. 9 οἱ δὲ εἶπαν αὐτῷ· Ποῦ 9
θέλεις ἑτοιμάσωμεν; 10 ὁ δὲ εἶπεν αὐτοῖς· Ἰδού, εἰσελθόντων ὑμῶν 10
εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστά-
ζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν εἰς ἣν εἰσπορεύεται. 11 καὶ 11
ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· Λέγει σοι ὁ διδάσκαλος· Ποῦ
ἐστιν τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;
12 κἀκεῖνος ὑμῖν δείξει ἀνάγαιον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. 12
13 ἀπελθόντες δὲ εὗρον καθὼς εἰρήκει αὐτοῖς, καὶ ἡτοίμασαν τὸ 13
πάσχα.

Mt.26, 14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσεν καὶ οἱ ἀπόστολοι σὺν 14
20-30. αὐτῷ. 15 καὶ εἶπεν πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ 15
Mc.14, 17-26. πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν· 16 λέγω γὰρ ὑμῖν, 16
ὅτι οὐ μὴ φάγω αὐτὸ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.
17 καὶ δεξάμενος ποτήριον εὐχαριστήσας εἶπεν· Λάβετε τοῦτο καὶ 17
διαμερίσατε ἑαυτοῖς· 18 λέγω γὰρ ὑμῖν, οὐ μὴ πίω ἀπὸ τοῦ γεννή- 18
1Cor.11, ματος τῆς ἀμπέλου ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ. 19 Καὶ 19
23-25. λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέγων· Τοῦτό
ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν
ἐμὴν ἀνάμνησιν. 20 ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, 20

---

7. Rc. Kn. Sz. Ln. ἐν ᾗ... om. c. BDL al.

9. Hab. ἑτοιμάσομεν V al. m. — Ln. in f. add. (σοί).

10. Rc. Kn. Sz. pro εἰς ἥν (c. BCL Vg. It.) h. οὗ... h. οὗ ἐάν AKMP al... ἐν ᾗ X... ὅπου 157.

12. Rc. ἀνώγεον. — 13. Rc. Kn. Sz. εἴρηκεν. [εἰρήκει c. BDL al.]

14. Rc. Kn. Sz. δώδεκα ἀπόστ. [om. c. BD al. Sah. It. cdd. pl. antqss.] .. om. ἀπόστ. LX al.

16. Om. ὅτι CDX. — Rc. Kn. Sz. οὐκέτι οὐ μή, qd Ln. (—) .. om. c. ABL al. Verc. al. Epiph. Mcion.; etiam varie pon. — Rc. Kn. Sz. pro αὐτό (c. BL al. It. (exc. 1.) Vg. al. Epiph.) h. ἐξ αὐτοῦ. .. h. ἀπ' αὐτοῦ D al. Ct. — h. καινὸν βρωθῇ pro πληρ. D Ct.

17. Ln. τὸ ποτήρ. c. ADKM al. — om. τοῦτο Ev. 13. (s. X.) Vg. For. — Ln. εἰς ἑαυτούς c. CLM al.

18. Rc. Kn. Sz. Ln. ὑμῖν, ὅτι .. om. c. BCLDG (DG h. ἀπὸ τοῦ νῦν) al. It.[1.] al. — post πίω add. ἀπὸ τοῦ νῦν BKLM al.; etiam ἔτι et ἀπ' ἄρτι leg.

19. Om. τὸ ὑπὲρ ὑμ. διδόμενον usque ἐκχυνόμενον D Ct. It.[5.] al. aliter.

λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ
21 ὑπὲρ ὑμῶν ἐκχυνόμενον. [21] Πλὴν ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος
22 με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης· [22] ὅτι ὁ υἱὸς μὲν τοῦ ἀνθρώπου
κατὰ τὸ ὡρισμένον πορεύεται· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι'
23 οὗ παραδίδοται. [23] καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ
τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.
24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶ-
25 ναι μείζων. [25] ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυ- Mt. 20,
ριεύουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται· 25sqq. Mc 10,
26 [26] ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν γενέσθω ὡς ὁ νεώ- 42sqq.
27 τερος καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. [27] τίς γὰρ μείζων, ὁ ἀνα-
κείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ
28 ὑμῶν ὡς ὁ διακονῶν. [28] ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ'
29 ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. [29] κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς
30 διέθετό μοι ὁ πατήρ μου βασιλείαν, [30] ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ Mt. 19,
τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου· καὶ καθίσεσθε ἐπὶ θρόνων 28.
τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ κρίνοντες.
31 Εἶπεν δὲ ὁ κύριος· Σίμων, Σίμων, ἰδού, ὁ σατανᾶς ἐξῃτή-
32 σατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· [32] ἐγὼ δὲ ἐδεήθην περὶ
σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. καὶ σύ ποτε ἐπιστρέψας στή-
33 ρισον τοὺς ἀδελφούς σου. [33] ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ Mt. 26,
34 ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. [34] ὁ δὲ 33-35. Mc. 14,
εἶπεν· Λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ ἕως 29-31. Jo. 13,
35 τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. [35] Καὶ εἶπεν αὐτοῖς· Ὅτε ἀπέστειλα 36-38.

---

20. Hab. ποτήρ. τῆς καινῆς διαθήκης Syr. It.[4.] al.
22. Rc. Kn. Sz. Ln. καὶ ὁ μὲν υἱός. . . ὅτι c. BDL al. Cpt. (om. plane Sah. Ct. Verc. Or.) et ὁ υἱ. μέν c. BL Cpt. . . h. ὅτι μέν D.
24. Hab. τίς ἂν εἴη D Syr. It.[2.] al. . . τίς ἢ Or.
26. Hab. ὡς ὁ μικρότερος D Syr. Sah. Vg. It.[4.]
30. Rc. Kn. Sz. ἐσθίητε. [ἔσθητε c. BD*.] — om. ἐν τῇ βασ. μ. EGHSV al. pm. . . om. μοῦ D Ct. It.[3.] — Rc. Sz. καὶ καθίσησθε. [καθίσεσθε c. BELSV al. pl.] . . h. καθήσεσθε AKQ al. . . καθέζησθε D.
31. Om. εἰπ. δὲ ὁ κύρ. BL Cpt. Sah. . . h. ὁ Ἰησοῦς Syr. Prs.
32. Rc. Kn. Sz. ἐκλείπῃ, deinde στήριξον.
34. Om. μή ante φων. BX al. et h. φωνήσῃ V al. pm. — Rc. Kn. Sz. pro ἕως [c. BLD (add. ὅτου) KMX (hi III add. οὗ) al. m. Syr. Vg. It. al.] h. πρὶν ἤ. — Ln. τρίς με ἀπ. εἰδ. [om. μή ante εἰδ. BLMQX al.]

ὑμᾶς ἄτερ βαλλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστε-
ρήσατε; οἱ δὲ εἶπαν· Οὐδενός. [36] εἶπεν δὲ αὐτοῖς· Ἀλλὰ νῦν ὁ 36
ἔχων βαλλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλη-
σάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν. [37] λέγω γὰρ 37
ὑμῖν, ὅτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό· Καὶ
* Es. 53, 12. μετὰ ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. [38] οἱ δὲ 38
εἶπαν· Κύριε, ἰδού, μάχαιραι ὧδε δύο. ὁ δὲ εἶπεν αὐτοῖς· Ἱκανόν
ἐστιν.

{Mt. 26, 30. / Mc. 14, 26.} Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν 39
{Mt. 26, 34-46. / Mc. 14, 32-42.} ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί. [40] γενόμενος δὲ 40
ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς· Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πει-
ρασμόν. [41] καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, 41
καὶ θεὶς τὰ γόνατα προσηύχετο [42] λέγων· Πάτερ, εἰ βούλει παρ- 42
ενέγκαι τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου,
ἀλλὰ τὸ σὸν γενέσθω. [43] ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ 43
ἐνισχύων αὐτόν. [44] καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσ- 44
ηύχετο. ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος κατα-

---

35. Rc. Kn. Sz. h. v. et v. sq. *βαλαντ.* [*βαλλαντ.* c. ABDS**VXΔ al. m.] — h. *οὐθενός* AEKQSVΔ al. m.

36. Rc. Kn. Sz. Ln. *εἶπ. οὖν* .. *δέ* c. BD (h. *ὁ δὲ εἶπ.*) L al. Sah. — h. *πωλήσει* et *ἀγοράσει* EGHSV al. pm. Chrs. al. .. *πωλήσει* et *ἀγορασάτω* Δ. .. *πωλῆσαι* et *ἀγοράσει* D.

37. Rc. Kn. Sz. *ὅτι ἔτι.* [om. c. ABDLHX al. Syr. It.[2.] al. m.] — Ln. pro *τό· K.* h. *ὅτι καί* c. A (om. *τό* ante *γεγρ.*) It. cdd. Sah. — Ln. *καὶ (γὰρ)* .. h. *καὶ τό* BD .. *κ. γὰρ τό* L al.

39. Rc. Kn. Sz. Ln. in f. add. *αὐτοῦ.* .. om. c. ADL (in Δ deletum est) al. Vg. It.[1.] al.

42. Rc. Kn. Sz. *παρενεγκεῖν.* .. Ln. *παρένεγκε*, sic BD gr. al. Vg. It. (exc. Vind.) Or. al. .. *παρενέγκαι* KLM al. — h. *γινέσθω* AGHKL QVΔ al. m.

43. 44. Hos II vv. Ln. (—) .. om. AB 13. (a prima manu: *ὤφθη δέ*, a recentiore in m. reliqua.) 69. (post MT. 26, 39. leg.) 124. Sah. It. cd. Brix. .. Asteriscis notant ESVΔ al.; obelis al. .. Evv. om. in lect. a 22, 39 usq. 23, 1. et hab. in lect. MT. 26, 2 usq. 27, 2. ubi post v. 20. JO. 13, 3-17. et post v. 39. LC. 22, 43-45. intercalata sunt... Epiph. ait: *καὶ ἔκλαυσεν κεῖται ἐν τῷ κατὰ Λ. εὐαγγ. ἐν τοῖς ἀδιορθώτοις ἀντιγράφ.* etc. *ὀρθόδοξοι δὲ ἀφείλοντο* etc. Syri a Photio, Armeni a Nicone locum de *θρόμβοις αἵματος* delevisse arguuntur.

43. Ln. *ἀπὸ τοῦ οὐρ.* c. D al.

45 βαίνοντες ἐπὶ τὴν γῆν. [45] καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν
πρὸς τοὺς μαθητὰς εὗρεν κοιμωμένους αὐτοὺς ἀπὸ τῆς λύπης,
46 [46] καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα
μὴ εἰσέλθητε εἰς πειρασμόν.
47 Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος· καὶ ὁ λεγόμενος Ἰούδας, Mt.26,
εἷς τῶν δώδεκα, προήρχετο αὐτοὺς καὶ ἤγγισεν τῷ Ἰησοῦ φιλῆσαι 47-56. Mc.14,
48 αὐτόν. [48] Ἰησοῦς δὲ εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ 43-52. Jo.18,
49 ἀνθρώπου παραδίδως; [49] ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον 1-12.
50 εἶπαν αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρῃ; [50] καὶ ἐπάταξεν
εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν τὸ οὖς αὐ-
51 τοῦ τὸ δεξιόν. [51] ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Ἐᾶτε ἕως τού-
52 του, καὶ ἁψάμενος τοῦ ὠτίου ἰάσατο αὐτόν. [52] εἶπεν δὲ Ἰησοῦς
πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς
τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαι-
53 ρῶν καὶ ξύλων. [53] καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ
οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ. ἀλλ' αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα
καὶ ἡ ἐξουσία τοῦ σκότους.
54 Συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν Mt.26,57.58.
55 τοῦ ἀρχιερέως. ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. [55] περιαψάν- Mc.14,53.54. Jo.18,15.
των δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς καὶ καθισάντων ἐκάθητο ὁ Mt.26,69-75. Mc.14,66-72.
56 Πέτρος ἐν μέσῳ αὐτῶν. [56] ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις Jo.18,25-27.

45. Rc. μαθητ. αὐτοῦ, qd Kn. (—).
47. Rc. Kn. Sz. ἔτι δέ. [om. c. ABGKLMX al. Vg. It.[1] al.] — Rc. προήρχ. αὐτῶν. — Add. in f. τοῦτο γὰρ σημεῖον δεδώκει (s. δέδωκεν) αὐτοῖς· Ὃν ἂν φιλήσω, αὐτός ἐστιν DEHX al. pm. Syr. utr. It.[2] al.
48. Ἰησ. δέ c. BX al. . . Rc. Kn. Sz. Ln. ὁ δὲ Ἰησ.
49. Hab εἰ πατάξωμεν GH al. et ἐν μαχαίρῃ DL.
50. Hab. ὠτίον DK al. Vg. It. (exc. 2.)
51. Om. ὁ ante Ἰησ. B. — Rc. Kn. Sz. Ln. ὠτίου αὐτοῦ. . . om. c BL 1. al.
52. Rc. Kn. Sz. ὁ Ἰησ. [om. ὁ c. AB. . . om. ὁ Ἰησ. D al.] — Rc. Kn. Sz. ἐξεληλύθατε. [ἐξήλθατε s. ἐξήλθετε c. BDLKMX al. m. Or. Eus. Bas. seleuc.]
54. Om. καὶ εἰσήγ. D al. m. Syr. Vg. It.[8] al. Eus. (h. Or.) — Rc. Kn. Sz. αὐτὸν εἰς τ. οἶκον (Ln. etiam οἶκον . . οἰκίαν c. BKLM al. Or. Eus. Thphyl.). [om. αὐτ. c. ABDKLM al. m. Syr. Vg. It. al. Or. Eus. Thphyl.]
55. περιαψ. c. BL Eus. (2.) . . Rc. Kn. Sz. Ln. ἁψάντ. — καθισάντ. c. B Sah. . . Rc. Kn. Sz. συγκαθ. . . Ln. περικαθ. . . h. ἐπικαθ. 142** in m. et Rc. Kn. Sz. add. αὐτῶν. — h. μέσος αὐτῶν B.

καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν· Καὶ οὗτος
σὺν αὐτῷ ἦν. 57 ὁ δὲ ἠρνήσατο λέγων· Οὐκ οἶδα αὐτόν, γύναι. 57
58 καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη· Καὶ σὺ ἐξ αὐτῶν εἶ. 58
ὁ δὲ Πέτρος ἔφη· Ἄνθρωπε, οὐκ εἰμί. 59 καὶ διαστάσης ὡσεὶ 59
ὥρας μιᾶς ἄλλος τις διϊσχυρίζετο λέγων· Ἐπ' ἀληθείας καὶ οὗτος
μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν. 60 εἶπεν δὲ ὁ Πέτρος· 60
Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐ-
τοῦ ἐφώνησεν ἀλέκτωρ· 61 καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψεν τῷ 61
Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ κυρίου, ὡς εἶπεν
αὐτῷ· ὅτι πρὶν ἢ ἀλέκτορα φωνῆσαι σήμερον ἀπαρνήσῃ με τρίς.
62 καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς. 62

Mt.26, Καὶ οἱ ἄνδρες οἱ συνέχοντες αὐτὸν ἐνέπαιζον αὐτῷ δέροντες, 63
67. 68. 64 καὶ περικαλύψαντες αὐτὸν ἐπηρώτων αὐτὸν λέγοντες· Προφή- 64
Mc.14, 65. τευσον, τίς ἐστιν ὁ παίσας σε; 65 καὶ ἕτερα πολλὰ βλασφημοῦντες 65
ἔλεγον εἰς αὐτόν.

Mt.26, Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, 66
63-66. ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον
Mc.14, 61-64. ἑαυτῶν λέγοντες· Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὸν ἡμῖν. 67 εἶπεν δὲ αὐ- 67
τοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· 68 ἐὰν δὲ ἐρωτήσω, οὐ 68

---

57. Rc. Kn. Sz. ἠρνήσ. αὐτόν, iid. et Ln. γύναι ante οὐκ pon. . . pos. in f. c. BLX Arm. . . om. D Ct. Prs. p.

58. Π. ἔφη c. BKLM al. . . Rc. Kn. Sz. Ln. εἶπεν.

60. Rc. ὁ ἀλέκτ.

61. Hab. τοῦ ῥήματος BLX al. . . om. 243. (sec. XIV.) — πρὶν ἢ c. B. . . Rc. Kn. Sz. Ln. om. ἤ, iid. om. σήμερον. . . scr. c. BKLMX al. It.[2] Cpt. al. m.

62. Rc. Sz. Ln. ἔξω ὁ Πέτρος, qd Kn. (—) . . om. c. BDKLM al. m. Vg. ms. al. Schol.

63. Rc. Kn. Sz. συνέχ. τὸν Ἰησοῦν.

64. Rc. Kn. Sz. κ. περικ. α. ἔτυπτον αὐτοῦ τὸ πρόσωπον καὶ ἐπ., qu. Ln. (—) . . om. c. BKLM Cpt. It.[4] . . h. κ. περικ. αὐτοῦ τὸ πρόσωπον 1. al. Sah. al. . . κ. περικ. αὐτοῦ τὸ πρ. ἔτυπτον καί D (D al. Verc. al. om. antea δέροντες) al. Verc. Arm. — om. αὐτόν ante λέγοντ. BKL al. . . h. ἔλεγον D Syr. It.[2]

66. Hab. ἀπήγαγ. BDK al. m. Or. — Kn. Sz. συνέδρ. αὐτῶν. — om. εἰ DLV al. — εἰπόν c. BL (om. εἰπ. ἡμ. D al.) . . Rc. Kn. Sz. Ln. εἰπέ.

68. Rc. Kn. Sz. ἐὰν δὲ καί. . . etiam καὶ ἐάν, ἐάν (D), ἐὰν καί, εἰ δὲ καί leg.

69 μὴ ἀποκριθῆτε. [69] ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου
70 καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. [70] εἶπαν δὲ πάντες·
Σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Ὑμεῖς λέγετε,
71 ὅτι ἐγώ εἰμι. [71] οἱ δὲ εἶπαν· Τί ἔτι ἔχομεν μαρτυρίας χρείαν;
αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

## XXIII.

1 Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον αὐτὸν ἐπὶ τὸν Mt. 27,
2 Πιλάτον. [2] ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες· Τοῦτον εὕρο- 1. 2. 11-14.
μεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν καὶ κωλύοντα φόρους Καίσαρι Mc. 15, 1-5.
3 διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. [3] ὁ δὲ Πιλάτος Jo. 18,
ἐπηρώτησεν αὐτὸν λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ 28. 33.
4 ἀποκριθεὶς αὐτῷ ἔφη· Σὺ λέγεις. [4] ὁ δὲ Πιλάτος εἶπεν πρὸς τοὺς
ἀρχιερεῖς καὶ τοὺς ὄχλους· Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ
5 τούτῳ. [5] οἱ δὲ ἐπίσχυον λέγοντες· ὅτι ἀνασείει τὸν λαόν, διδάσκων
καθ᾽ ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.
6 [6] Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν ἐπηρώτησεν, εἰ ὁ ἄνθρωπος Γα-
7 λιλαῖός ἐστιν· [7] καὶ ἐπιγνούς, ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου ἐστίν,
ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις
8 ἐν ταύταις ταῖς ἡμέραις. [8] ὁ δὲ Ἡρώδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη
λίαν· ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν περὶ
9 αὐτοῦ, καὶ ἤλπιζέν τι σημεῖον ἰδεῖν ὑπ᾽ αὐτοῦ γινόμενον. [9] ἐπη-
ρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

---

68. Rc. Kn. Sz. Ln. in f. add. *μοὶ ἢ ἀπολύσητε*... om. *μοί* c. BL al. Cpt. Verc. Cyr. et *ἢ ἀπ.* c. BL al. Cpt. Sah. For. Cyr. Ambr.

69. Rc. Kn. Sz. om. *δέ*.

71. *ἔχ. μ. χρ.* c. BL... Rc. Kn. Sz. Ln. *χρ. ἔχ. μ.* .. h. *μαρτύρων* D al. Syr. al.

Cap. XXIII. 1. Hab. *ἀναστάντες* D al. — Rc. *ἤγαγεν*.

2. Rc. Kn. Sz. om. *ἡμῶν*. — Ln. (*καί*) *λέγοντα*... h. *λέγ. δέ* D.

5. Hab. *ἐνίσχυον* DH 69. invalescebant It. Vg. — h. *καὶ ἀρξάμ.* BL Cpt.

6. Om. *Γαλιλαίαν* BL Cpt... h. *τὴν Γαλ.* D... *Γαλιλαίας* edd... a Galil. Colb.

7. Ln. *πρ. τὸν Ἡρ.* c. B... h. *τῷ Ἡρ. ὄντι αὐτῷ* D.

8. Ln. *ἐξ ἱκανῶν χρόνων θέλων*... h. *ἐξ ἱκανοῦ χρ.* HMX al. m... om. Verc. — Rc. Kn. Sz. Ln. *ἀκούειν πολλά*... om. c. BDKLM al. Cpt. al.; etiam post *αὐτόν* pon. frequenter Verc. Arm.

10 *εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγο-* 10
*ροῦντες αὐτοῦ.* 11 *ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρα-* 11
*τεύμασιν αὐτοῦ καὶ ἐμπαίξας, περιβαλὼν ἐσθῆτα λαμπρὰν ἀν-*
*έπεμψεν αὐτὸν τῷ Πιλάτῳ.* 12 *ἐγένοντο δὲ φίλοι ὅ τε Ἡρῴδης* 12
*καὶ ὁ Πιλάτος ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων· προϋπῆρχον γὰρ*
*ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.*

*Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας* 13
*καὶ τὸν λαὸν* 14 *εἶπεν πρὸς αὐτούς· Προσηνέγκατέ μοι τὸν ἄν-* 14
*θρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδού, ἐγὼ ἐνώπιον*
*ὑμῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν*
*κατηγορεῖτε κατ᾽ αὐτοῦ.* 15 *ἀλλ᾽ οὐδὲ Ἡρῴδης· ἀνέπεμψα γὰρ* 15
*ὑμᾶς πρὸς αὐτόν, καὶ ἰδού, οὐδὲν ἄξιον θανάτου ἐστὶν πεπραγμέ-*
Mt.27, *νον αὐτῷ.* 16 *παιδεύσας οὖν αὐτὸν ἀπολύσω.* 18 *ἀνέκραγον δὲ* 16 18
15-26. Mc.15, *παμπληθεὶ λέγοντες· Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραβ-*
6-15. Jo. 18, *βᾶν·* 19 *ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον* 19
39. 40. *βληθεὶς ἐν τῇ φυλακῇ.* 20 *πάλιν δὲ ὁ Πιλάτος προσεφώνησεν, θέ-* 20
et 19, *λων ἀπολῦσαι τὸν Ἰησοῦν.* 21 *οἱ δὲ ἐπεφώνουν λέγοντες· Σταύρου,* 21
1 sqq. *σταύρου αὐτόν.* 22 *ὁ δὲ τρίτον εἶπεν πρὸς αὐτούς· Τί γὰρ κακὸν* 22
*ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας*
*οὖν αὐτὸν ἀπολύσω.* 23 *οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτού-* 23
*μενοι αὐτὸν σταυρωθῆναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν.* 24 *καὶ* 24

---

11. Rc. Kn. Sz. *περιβ.* *αὐτόν*, qd Ln. (—) .. om. c. BL al. Verc. .. h. *αὐτῷ* S al.
12. Rc. Kn. Sz. Ln. *ὅ τε Πιλ. κ. ὁ Ἡρ.* .. pos. c. BL al. It.[5] Vg. Sah.
14. Hab. *οὐθέν* B. 1. — om. *κατ᾽* AL al. .. om. *ὧν κ. κ. α.* D Ct. 59.
15. Hab. *ἀνέπεμψεν γὰρ αὐτὸν πρ. ἡμᾶς* (*ὑμᾶς* B al. Gat. Mm.) BHKLM al. Brix. Bodl. al. .. utrque cjgit Germ. 1. .. h. *ἀνέπεμψα γ. αὐτὸν πρὸς αὐτόν* 274. Syr. Prss. Arm. al.
17. Rc. Kn. Sz. *ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα* (in singg. libri antq. var.), qu. Ln. (—) .. om. c. ABKL Verc. Cpt. Sah. .. post v. 19. pon. D Ct. Aeth.
18. *ἀνέκραγ.* c. BL al. .. Rc. Kn. Sz. Ln. *ἀνέκραξαν.* — om. *τόν* ante *Βαρ.* AGHV al. pm.
19. Rc. Kn. Sz. Ln. *βεβλημένος εἰς φυλ.* .. *βλ. ἐν τ. φ.* (*ἐν τ. φ.* etiam c. X al.) c. BL.
20. Rc. Kn. Sz. *πάλιν οὖν.* — Ln. *προσεφ. αὐτοῖς.*
21. Rc. Kn. Sz. *σταύρωσον* bis. [*σταύρου* c. BD Or. (saepe) Cyr. Schol.]
23. Hab. *σταυρῶσαι* B. — Rc. Kn. Sz. in f. add. *καὶ τῶν ἀρχιερέων*, qu. Ln. (—) .. om. c. BL al. Vg. It. (exc. 2.) Cpt. Sah.

25 Πιλάτος ἐπέκρινεν γενέσθαι τὸ αἴτημα αὐτῶν· [25] ἀπέλυσεν δὲ τὸν
διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς φυλακήν, ὃν ᾐτοῦντο, τὸν
δὲ Ἰησοῦν παρέδωκεν τῷ θελήματι αὐτῶν.
26 Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνά τινα Κυρη- Mt. 27, 32.
ναῖον ἐρχόμενον ἀπὸ ἀγροῦ ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν Mc. 15,
27 ὄπισθεν τοῦ Ἰησοῦ. [27] ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ 21.
28 καὶ γυναικῶν, αἳ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. [28] στραφεὶς δὲ
πρὸς αὐτὰς Ἰησοῦς εἶπεν· Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ'
29 ἐμέ· πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν· [29] ὅτι ἰδού,
ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσιν· Μακάριαι αἱ στεῖραι, καὶ αἱ κοι-
30 λίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἔθρεψαν. [30] τότε ἄρ- * Hos. 10, 8.
ξονται λέγειν τοῖς ὄρεσιν· Πέσετε ἐφ' ἡμᾶς, καὶ τοῖς βουνοῖς·
31 Καλύψατε ἡμᾶς· [31] ὅτι εἰ ἐν ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ
32 ξηρῷ τί γένηται; [32] ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ
ἀναιρεθῆναι.
33 Καὶ ὅτε ἦλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ Mt. 27, 33-44.
ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ Mc. 15,
34 ἐξ ἀριστερῶν. [34] ὁ δὲ Ἰησοῦς ἔλεγεν· Πάτερ, ἄφες αὐτοῖς· οὐ 22-32.
γὰρ οἴδασιν τί ποιοῦσιν. διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβα- Jo. 19, 23. 24.
35 λον κλήρους. [35] καὶ εἱστήκει ὁ λαὸς θεωρῶν· ἐξεμυκτήριζον δὲ οἱ

---

24. Rc. Kn. Sz. ὁ δὲ Πιλ.
25. Rc. ἀπέλ. δὲ αὐτοῖς, qd Ln. (—) — Rc. Kn. Sz. εἰς τὴν φυλ.
26. Rc. Kn. Sz. Σίμωνός τινος Κυρηναίου ἐρχομένου. (Rc. τοῦ ἐρχ.)
27. Hab. καὶ γυναῖκες D al. Syr. It.[2] al. — Rc. Kn. Sz. αἳ καί. [om. c. ABCDLX al. Syr. Vg. It. al.]
28. Rc. Kn. Sz. Ln. ὁ Ἰ. .. om. ὁ c. BL.
29. αἱ κοιλ. c. BCX al. .. om. αἱ Rc. Kn. Sz. Ln.; iid. exc. Ln. pro ἔθρ. c. BD (h. ἐξέθρ.) L al. It. cdd. antqss. h. ἐθήλασαν.
30. Hab. πέσατε LQXΔ al.
31. Rc. Kn. Sz. Ln. ἐν τῷ ὑγρ. .. om. c. BC. — h. τί γενήσεται DK al. Vg. It. .. γίνεται ES al.
33. Rc. Kn. Sz. ἀπῆλθον. [ἦλθ. c. BCDLQ al. Syr. Vg. It. al.] — h. εὐωνύμων C* LQ al.
34. Ln. (ὁ δέ usq. ποιοῦσιν.) .. ea om. BD* 38. 435. Sah. Ct. Ver. Verc. Mcion. (teste Wetst.) .. om. πάτερ A. — κλήρους c. AX 1. 33. al. Vg. It.[5] al. Aug. (dis.) .. Rc. Kn. Sz. Ln. κλῆρον.
35. Hab. ἐξ. δὲ αὐτόν D al. m. Syr. Vg. It. al. Eus. — Rc. Kn. Sz. δὲ καί. [om. c. C* D al. Vg. It. Eus.]

ἄρχοντες λέγοντες· Ἄλλους ἔσωσεν, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν
ὁ Χριστὸς τοῦ θεοῦ ὁ ἐκλεκτός. 36 ἐνέπαιξαν δὲ αὐτῷ καὶ οἱ 36
στρατιῶται προσερχόμενοι, ὄξος προσφέροντες αὐτῷ 37 καὶ λέγον- 37
Jo. 19, τες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. 38 ἦν δὲ 38
19. καὶ ἐπιγραφὴ ἐπ' αὐτῷ· Ὁ βασιλεὺς τῶν Ἰουδαίων οὗτος. 39 Εἷς 39
δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν· Οὐχὶ σὺ εἶ
ὁ Χριστός; σῶσον σεαυτὸν καὶ ἡμᾶς. 40 ἀποκριθεὶς δὲ ὁ ἕτερος 40
ἐπιτιμῶν αὐτῷ ἔφη· Οὐδὲ φοβῇ σὺ τὸν θεόν, ὅτι ἐν τῷ αὐτῷ
κρίματι εἶ; 41 καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν 41
ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. 42 καὶ ἔλεγεν· 42
Ἰησοῦ, μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. 43 καὶ εἶπεν 43
αὐτῷ· Ἀμήν σοι λέγω, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.
Mt. 27, 44 Καὶ ἦν ἤδη ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν 44
45-56. Mc. 15, γῆν ἕως ὥρας ἐνάτης, 45 τοῦ ἡλίου ἐκλείποντος· ἐσχίσθη δὲ τὸ 45
33-41. καταπέτασμα τοῦ ναοῦ μέσον. 46 καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰη- 46

---

35. Rc. Kn. Sz. οἱ ἄρχ. σὺν αὐτοῖς, qu. Ln. (—) .. om. c. BCDLQX al. Syr. It. cdd. al. — Rc. Kn. Sz. Ln. ὁ τοῦ θ. ἐκλ. .. τοῦ θ. ὁ ἐκλ. c. B. (pro οὗτος h. υἱός) L al. Cpt. Eus. .. ὁ ἐκλ. τοῦ θ. C It.[2] .. al. aliter.

36. ἐνέπαιξ. c. BL. .. Rc. Kn. Sz. Ln. ἐνέπαιζον, et καὶ ὄξ. Ln. (καί) .. om. c. ABDL Cpt.

37. Ln. (εἰ) .. om. A al. Verc.

38. Hab. ἡ ἐπιγρ. DGS al. — Rc. Kn. Sz. ἐπιγρ. γεγραμμένη et Ln. ἐπ. ἐπιγεγραμμένη. .. om. c. BL Sah. Cpt. ac post αὐτῷ pon. C* X al. — Rc. Kn. Sz. post αὐτῷ add. γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς, qu. Ln. (— ) .. om. c. BC*L Sah. Cpt. Verc.; etiam singula var. pon. atque om. — Rc. Kn. Sz. Οὗτός ἐστιν ὁ β. τ. Ἰ. .. Ln. Ὁ β. τ. Ἰ. (οὗτος) .. scr. c. BL Verc. (etiam D al. Corb. addito ἐστίν) .. plane om. οὗτ. C Colb.

39. Οὐχί c. BL Cpt. It.[3] (similiter Arm. al.) .. Rc. Kn. Sz. Ln. λέγων· Εἰ.

40. ἐπ. α. ἔφη c. BC*LX Cpt. .. Rc. Kn. Sz. Ln. ἐπετίμα α. λέγων. — h. κρίμ. ἐσμεν· ἡμεῖς μέν C* Syr. hr. al. Chrs.

42. Rc. Kn. Sz. Ln. ἔλ. τῷ Ἰησ. [Ἰησ. scr. c. BL Sah.] Μν. μου, κύριε [Ln. (—) .. om. c. BDLM al. Sah. Syr. hr. Verc. al. Or. (1.)]. — om. ὅτ. ἔλθ. DQ Ct. .. h. εἰς τ. β. σ. BL Cpt. Vg. It.[5]

43. Rc. Kn. Sz. Ln. ὁ Ἰησοῦς· Ἀμ. λ. σοι. .. om. c. BL al. Cpt. Sah.

44. Rc. Kn. Sz. om. ἤδη. — om. καὶ σκότ. usq. ἐνάτης Syr. hr.

45. τοῦ ἡ. ἐκλ. c. BL al. Or. al. .. om. C* al. Mc. ap. Ep. .. Rc. Kn. Sz. Ln. καὶ ἐσκοτίσθη ὁ ἥλιος. Iid. pergt καὶ ἐσχ. .. ἐσχ. δέ c. BCL al.

*σοῦς εἶπεν· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου.*
47 *τοῦτο εἰπὼν ἐξέπνευσεν.* [47] *ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον*
*ἐδόξαζεν τὸν θεὸν λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.*
48 [48] *καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύ-*
*την, θεωρήσαντες τὰ γενόμενα, τύπτοντες τὰ στήθη ὑπέστρεφον.*
49 [49] *εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτῷ μακρόθεν καὶ αἱ γυναῖ-*
*κες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.*
50 *Καὶ ἰδού, ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ* Mt.27,
51 *ἀγαθὸς καὶ δίκαιος,* [51] *— οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ* 57-60. Mc.15,
*βουλῇ καὶ τῇ πράξει αὐτῶν — ἀπὸ Ἀριμαθαίας πόλεως τῶν* 42-46. Jo.19,
52 *Ἰουδαίων, ὃς προσεδέχετο τὴν βασιλείαν τοῦ θεοῦ·* [52] *οὗτος προσ-* 38-42.
53 *ελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ,* [53] *καὶ καθελὼν*
*ἐνετύλιξεν αὐτὸ σινδόνι καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ*
54 *οὐκ ἦν οὐδεὶς οὔπω κείμενος.* [54] *καὶ ἡμέρα ἦν παρασκευῆς καὶ*
*σάββατον ἐπέφωσκεν.*
55 *Κατακολουθήσασαι δὲ αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυ-* Mt.27, 61.
*θυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς* Mc.15,
56 *ἐτέθη τὸ σῶμα αὐτοῦ.* [56] *ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα* 47.
*καὶ μύρα· καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.*

---

46. Rc. Kn. Sz. *παραθήσομαι.* .. h. *παρατίθημι* D al. m. Cstit. Ath. al. m. — *τοῦτο εἰπ.* c. C*L al. Syr. .. Rc. Kn. Sz. *καὶ ταῦτα.* .. Ln. *καὶ τοῦτο.* .. h. *τοῦτο δέ* BD al. .. h. *καί* (om. *τ. εἰπ.*) Verc.
47. Rc. Kn. Sz. *ἐδόξασε*, v. 48. *θεωροῦντες* et (etiam Ln.) *ἑαυτῶν τὰ στ.* .. om. *ἑαυτ.* c. ABCDL al. It.[1] al.; etiam var. pon.
49. Rc. Kn. Sz. *γν. αὐτοῦ.* — Ln. *ἀπὸ μακρ.* — *αἱ γυν.* c. B. .. om. Rc. Kn. Sz. Ln.
50. Om. *ἀνήρ* ante *ἀγαθ.* D It.[3]
51. Hab. *συγκατατιθέμενος* CD al. — Rc. Kn. Sz. *ὃς καὶ πρ. καὶ αὐτός.* [om. c. BCDL al. It.[4] .. al. aliter.]
52. Om. *οὗτος* D*. .. h. *καί* D** Ct.; etiam *αὐτός, ὅς, οὗτ. οὖν, καὶ οὗτ.* leg.
53. Rc. Kn. Sz. *καθ. αὐτό.* [om. c. BCDL al. Vg. It. exc. Verc. .. *αὐτόν* 157.] .. om. *αὐτό* ante *σινδ.* HX al. Vg. It. cdd.; h. *αὐτόν* 59. Ev. 17. Verc. et *τὸ σῶμα τ. Ἰησ. ἐν* D Ct. — Ln. *ἐθ. αὐτόν* c. BD Vg. It. (exc. Colb.) .. om. 22. al. — Rc. Kn. Sz. *οὐδέπω οὐδείς.*
54. Rc. Kn. Sz. *παρασκευή.* — om. *καί* ante *σάββ.* AC**GHKMPSVXΔ al. pl. Eus.
55. Rc. Kn. Sz. *δὲ καὶ γυν.* .. om. plane ACEKMVΔ al. pm. Syr. utr. Vg. It. cdd. al. Eus. .. h. *δύο* D al. It. cdd. [*αἱ* c. BLP al. m.]

## XXIV.

Mt. 28, Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέως ἐπὶ τὸ μνῆμα ἦλ- 1
1-10. Mc. 16, θον φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα. 2 εὗρον δὲ τὸν λίθον ἀπο- 2
1-11. Jo. 20, κεκυλισμένον ἀπὸ τοῦ μνημείου· 3 εἰσελθοῦσαι δὲ οὐχ εὗρον τὸ 3
1 sqq. σῶμα. 4 καὶ ἐγένετο ἐν τῷ ἀπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ 4
ἰδού, ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθῆτι ἀστραπτούσῃ· 5 ἐμ- 5
φόβων δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὰ πρόσωπα εἰς τὴν
γῆν, εἶπαν πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;
6 οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν 6
Lc. 18, 32. 33. ἐν τῇ Γαλιλαίᾳ, 7 λέγων· ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παρα- 7
δοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι καὶ
τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. 8 καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ, 8
9 καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα 9
τοῖς ἕνδεκα καὶ πᾶσιν τοῖς λοιποῖς. 10 ἡ Μαγδαληνὴ Μαρία καὶ 10
Ἰωάννα καὶ Μαρία ἡ Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς ἔλεγον
πρὸς τοὺς ἀποστόλους ταῦτα. 11 καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν 11
ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα, καὶ ἠπίστουν αὐταῖς. 12 ὁ δὲ Πέ- 12
τρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει
τὰ ὀθόνια μόνα, καὶ ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.
Mc. 16, 12. 13. Καὶ ἰδού, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ 13
εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα

---

Cap. XXIV. 1. Rc. Kn. Sz. *βαθέος*. — om. *ἀρώμ.* D It. (exc. 3.) — Rc. Kn. Sz. in f. add. *καί τινες σὺν αὐταῖς*.

3. Rc. Kn. Sz. *καὶ εἰσελθ.*; iid. et Ln. in f. add. *τοῦ κυρίου* (om. c. D 42. Ct. It.[5] Syr. Sah. al.) *Ἰησοῦ*. (om. c. D Ct. It.[4])

4. Rc. Kn. Sz. *διαπορεῖσθ.* et *ἐσθήσεσιν ἀστραπτούσαις*.

5. *τὰ πρόσ.* c. BCDGLX al. Syr. utr. al. . . Rc. Kn. Sz. Ln. *τὸ πρόσωπον*.

7. Om. *εἰς χ. ἀ. ἁμ.* Verc. . . *ἁμαρτ.* om. D It.[3]; etiam *ἀνθ.* om.

9. Om. *ἀπὸ τ. μν.* D Ct. It.[5] Arm.

10. Rc. Sz. (per errorem h. *ἦν δέ*) Ln. ab init. add. *ἦσαν δέ*, Kn. *ἦν δέ* et exc. Ln. *αἳ* ante *ἔλεγον*. . . om. illud c. AD al. pm. hoc c. ABDEGHLΔ al. pm. — Rc. Kn. Sz. om. *ἡ* ante *Ἰακώβ*.

11. Rc. Kn. Sz. pro *ταῦτα* [c. BDL Syr. Vg. It. (exc. 1.) al. m.] h. *αὐτῶν*.

12. Om. versum D Syr. hr. (in m. hab.) Ct. It.[2] — Rc. Kn. Sz. Ln. *κείμενα μόνα*. . . om. c. B al. Cpt. Sah. Thphyl.; etiam ante *τὰ ὀθ.* et pos *μόν.* pon. — om. *μόνα* AK al. It.[2]

13. Hab. *ἑκατὸν ἑξήκ.* Kn* al. Syr. hr. It.[1]

14 Ἐμμαούς, 14 καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν
15 συμβεβηκότων τούτων. 15 καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ
16 συζητεῖν, καὶ αὐτὸς Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς· 16 οἱ δὲ
17 ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. 17 εἶπεν δὲ
πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλή-
18 λους περιπατοῦντες σκυθρωποί; 18 ἀποκριθεὶς δὲ εἷς, ᾧ ὄνομα
Κλεόπας, εἶπεν πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς Ἱερουσαλὴμ καὶ
19 οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; 19 καὶ
εἶπεν αὐτοῖς· Ποῖα; οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Να-
ζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐν-
20 αντίον τοῦ θεοῦ καὶ παντὸς τοῦ λαοῦ, 20 ὅπως τε αὐτὸν παρέδω-
καν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου καὶ
21 ἐσταύρωσαν αὐτόν. 21 ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλ-
λων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε καὶ σὺν πᾶσιν τούτοις τρί-
22 την ταύτην ἡμέραν ἄγει σήμερον ἀφ' οὗ ταῦτα ἐγένετο. 22 ἀλλὰ
καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὀρθριαὶ
23 ἐπὶ τὸ μνημεῖον· 23 καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ ἦλθον λέγου-
24 σαι ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. 24 καὶ
ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτως κα-
25 θὼς αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. 25 καὶ αὐτὸς εἶπεν
πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ
26 πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται. 26 οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν
27 Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; 27 καὶ ἀρξάμενος
ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διερμήνευσεν αὐ-

---

15. Rc. Kn. Sz. Ln. ὁ Ἰησ. . . om. c. ABL.
17. Rc. Kn. Sz. Ln. *καὶ ἐστε σκυθ.* . . om. c. D Ct. Syr. al. . . om. simul *σκυθ.* Syr. hr. Or. (vdtur) . . h. *κ. ἐστάθησαν* B Sah.; *κ. ἔστησαν* L Cpt. Aeth. (in A post *ἔσται* erasae V literae.)
18. Rc. Kn. Sz. *ὁ εἷς* et Ln. add. (*ἐξ αὐτῶν*). — Rc. Ln. *ἐν Ἱερ.* . . h. *εἰς* 28. al.
19. Hab. *Ναζαρηνοῦ* BL Or. — Ln. *κ.* (*ἐν*) *λόγῳ*.
21. Rc. Kn. Sz. om. *καί*. — om. *σήμ.* B 1. Syr. al.; ante *ἄγ.* pon. D Ct.
22. Rc. Kn. Sz. *ὄρθριαι*. [*ὀρθριν.* c. ABDLΔ 1.]
23. Rc. Kn. Sz. Ln. *καὶ ὀπτασ.* . . om. c. BD Ct. Colb. . . h. *ὅτι δ. ἑωράκαμεν* Syr. al. — 24. Rc. Kn. Sz. *καθὼς καί*. [om. c. BD Vg. It.]
27. Hab. *ἦν ἀρξάμ.* D It. cdd.; tum *ἑρμηνεύειν* D, interpretans It. cdd. — Rc. Kn. Sz. *διηρμήνευεν* et Ln. *διερμήνευεν* . . *διερμένευσεν* c. B et (*διηρμ.*) LM.

τοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ αὐτοῦ. 28 καὶ ἤγγικαν εἰς τὴν 28
κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιήσατο πορρώτερον πο-
ρεύεσθαι· 29 καὶ παρεβιάσαντο αὐτὸν λέγοντες· Μεῖνον μεθ' ἡμῶν, 29
ὅτι πρὸς ἑσπέραν ἐστὶν καὶ κέκλικεν ἤδη ἡ ἡμέρα. καὶ εἰσῆλθεν
τοῦ μεῖναι σὺν αὐτοῖς. 30 καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν 30
μετ' αὐτῶν λαβὼν τὸν ἄρτον εὐλόγησεν καὶ κλάσας ἐπεδίδου αὐ-
τοῖς· 31 αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἐπέγνωσαν αὐ- 31
τόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. 32 καὶ εἶπον πρὸς 32
ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει
ἡμῖν ἐν τῇ ὁδῷ, ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; 33 Καὶ ἀναστάν- 33
τες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἰερουσαλήμ, καὶ εὗρον ἠθροι-
σμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, 34 λέγοντας· ὅτι ὄντως 34
ἠγέρθη ὁ κύριος καὶ ὤφθη Σίμωνι. 35 καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν 35
τῇ ὁδῷ καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.
Jo. 20, Ταῦτα δὲ αὐτῶν λαλούντων αὐτὸς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ 36
19 sqq. λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. 37 πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμε- 37
νοι ἐδόκουν πνεῦμα θεωρεῖν. 38 καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι 38
ἐστέ, καὶ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν τῇ καρδίᾳ ὑμῶν; 39 ἴδετε 39
τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι ἐγώ εἰμι αὐτός· ψηλα-
φήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, κα-
θὼς ἐμὲ θεωρεῖτε ἔχοντα. 40 καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς 40
χεῖρας καὶ τοὺς πόδας. 41 ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς 41

---

28. ἤγγικαν c. B. .. Rc. Kn. Sz. Ln. ἤγγισαν, tum (exc. Ln.) προσεποιεῖτο et πορρωτέρω.

29. Om. ἐστὶν καί D Ct. It.[8] — ἤδη c. BL 1. 33. al. Syr. Vg. It. (exc. 2.) .. om. Rc. Kn. Sz. et (—) Ln.

32. Om. ἐν ἡμῖν B Sax. Vg. ms. Tol.* (etiam D Ct. edd. It. qui hab. ἡ κ. ἦν ἡμῶν κεκαλυμμένη.) — Rc. Kn. Sz. καὶ ὡς διήν.

33. Rc. Kn. Sz. συνηθροισμ. [ἠθρ. c. BD 33.]

36. Rc. Sz. αὐτὸς ὁ Ἰησοῦς, qd Kn. (—). — om. καὶ λέγ. usq. ὑμῖν D It.[4] — Ln. in f. add. ἐγώ εἰμι, μὴ φοβεῖσθε.

37. Hab. θροηθέντες B.

38. Rc. Kn. Sz. Ln. καὶ διά τί .. τί c. B Mcion. ap. Tert. .. h. ἵνα τί DL al. Dial. c. Mc. .. om. Vg. It.[1] — Rc. Kn. Sz. ἐν ταῖς καρδίαις.

39. Om. μέ D Syr. hr. Vg. It. (exc. 1.) Hil. al. — pro ὅτι h. τό D.

40. Om. versum D Ct. It.[4] — Rc. Kn. Sz. ἐπέδειξ.

χαρᾶς καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε;
42 43 [42] οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος· [43] καὶ λαβὼν ἐνώπιον
αὐτῶν ἔφαγεν.
44 Εἶπεν δὲ πρὸς αὐτούς· Οὗτοι οἱ λόγοι μου, οὓς ἐλάλησα
πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι ἅπαντα τὰ γε-
γραμμένα ἐν τῷ νόμῳ Μωϋσέως καὶ τοῖς προφήταις καὶ ψαλμοῖς
45 περὶ ἐμοῦ. [45] τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γρα-
46 φάς, [46] καὶ εἶπεν αὐτοῖς· ὅτι οὕτως γέγραπται παθεῖν τὸν Χρι-
47 στὸν καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, [47] καὶ κηρυχθῆναι
ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα
48 τὰ ἔθνη, ἀρξάμενοι ἀπὸ Ἱερουσαλήμ. [48] ὑμεῖς μάρτυρες τούτων.
49 [49] καὶ ἰδού, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ'
ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἕως οὗ ἐνδύσησθε ἐξ ὕψους
δύναμιν.
50 Ἐξήγαγεν δὲ αὐτοὺς ἕως πρὸς Βηθανίαν, καὶ ἐπάρας τὰς Mc. 16.
51 χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. [51] καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐ- 19. Act. 1.
τὸν αὐτοὺς διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. 9 sqq.

41. Ln. καὶ θαυμαζ. ἀπὸ τ. χ. c. A al. Vg. It.[5] Sax. Cyr. alex. et hr. — om. αὐτοῖς D Ct. It.[4] Vg.

42. Rc. Kn. Sz. in f. add. καὶ ἀπὸ μελισσίου κηρίου. [om. c. ABDL Ct. Clem.]

44. πρ. αὐτ. c. BLX al. It.[4] Vg. .. Rc. Kn. Sz. Ln. αὐτοῖς. — μοῦ c. ADKLNX al. Cpt. Aeth. .. Ln. (—) .. om. Rc. Kn. Sz. — τοῖς c. BL. .. om. Rc. Kn. Sz. Ln.

46. Rc. Kn. Sz. post γέγρ. add. καὶ οὕτως ἔδει, qu. Ln. (—) .. om. c. BDL It. (exc. 2.) al.

47. Hab. εἰς ἄφεσ. B. — ἀρξάμενοι c. BLNX al. Cpt. al. .. Rc. Kn. Sz. Ln. ἀρξάμενον. .. h. ἀρξαμένων C (vdtur) D, incipientibus Vg. It.[6] .. ἀρξάμενος S al. It.[3]

48. Rc. Kn. Sz. Ln. ὑμ. δέ (om. c. BL It. cdd. Cpt. .. h. καὶ ὑμ. δέ D, etiam et leg.) ἐστε. (om. c. BD Ct.; post μάρτ. h. C Vg. It.[1].)

49. Om. ἰδού DL Syr. Vg. It. (exc. 1.) al. — h. ἀποστελῶ s. ἐξαπ. (sic L) L al. Syr. Vg. It.[3] .. ἐξαποστέλλω B (ap. Bch.) X al. — Rc. Kn. Sz. πόλ. Ἱερουσαλήμ.

50. Rc. Kn. Sz. ἔξω [Ln. (ἔξω) .. om. c. BC*L al. Syr. Verc. Cpt. Aug.] ἕως εἰς. [πρ. c. BD (omisso ἕως) L al. Verc.]

51. Hab. ἀπέστη D. — om. καὶ ἀν. εἰς τ. οὐρ. et v. sq. προσκ. αὐτ. D Ct. It.[4] Aug.

52 καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ 52
μετὰ χαρᾶς μεγάλης, 53 καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ αἰνοῦντες 53
καὶ εὐλογοῦντες τὸν θεόν.

# ΕΥΑΓΓΕΛΙΟΝ

# ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

---

Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν 1
ὁ λόγος. 2 οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. 3 πάντα δι' αὐτοῦ 2 3
ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. 4 ἐν αὐτῷ ζωὴ 4
ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· 5 καὶ τὸ φῶς ἐν τῇ 5
Mt. 3, σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. 6 Ἐγένετο ἄνθρω- 6
1. Mc. πος, ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· 7 οὗτος 7
1, 4. Lc. 3, 2. ἦλθεν εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες
πιστεύσωσιν δι' αὐτοῦ. 8 οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυ- 8
ρήσῃ περὶ τοῦ φωτός. 9 Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει 9
πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον. 10 ἐν τῷ κόσμῳ ἦν 10
καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.
11 εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. 12 ὅσοι δὲ 11 12

---

53. Om. *αἰν. καὶ* BL Cpt. Ar. p. et om. *καὶ εὐλ.* D Ct. It.⁵· Aug. — Rc. in f. add. *ἀμήν*, qd Kn. et Ln. (—).

Cap. I. 1. Hab. *καὶ ὁ θεὸς ἦν* L Gr. nyss.

3. 4. Hab. *οὐδέν* D al. Heracl. ap. Or. Clem. (alqties) Or. (1.) — Ln. *ἕν. ὃ γέγονεν, ἐν* etc. c. C* D L 4. Vg. ms. It.⁵· al. Ptol. ap. Ir. Heracl. ap. Or. Theodt. Clem. Or. Ath. Eus. al. m. [nobisc. interpgt Chrs. Epiph. Thphyl. Euthym. Hier. al.]

4. H. *ἐν αὐτ. ζ. ἐστιν* D cdd. ap. Or. et ap. Aug. It. (exc. 2.) Sah. Clem. (1.) al. — h. *καὶ ζωή* (omisso *ἡ*) Clem. (1.) Or. (2. hab. 1.)

ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς
13 πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, 13 οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ
θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ' ἐκ θεοῦ ἐγεν-
14 νήθησαν. 14 καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ
ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός,
15 πλήρης χάριτος καὶ ἀληθείας. 15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ
κέκραγεν λέγων· Οὗτος ἦν ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος
16 ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. 16 ὅτι ἐκ τοῦ πληρώ-
17 ματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος· 17 ὅτι
ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ
18 Χριστοῦ ἐγένετο. 18 θεὸν οὐδεὶς ἑώρακεν πώποτε· ὁ μονογενὴς Jo. 6,
υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. 46.
19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ
Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας, ἵνα ἐρωτήσωσιν αὐ-
20 τόν· Σὺ τίς εἶ; 20 καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμο-
21 λόγησεν· ὅτι ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός. 21 καὶ ἠρώτησαν αὐτόν·
Σὺ οὖν τί; Ἡλίας εἶ; καὶ λέγει· Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ;
22 καὶ ἀπεκρίθη· Οὔ. 22 εἶπαν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν
23 τοῖς πέμψασιν ἡμᾶς. τί λέγεις περὶ σεαυτοῦ; 23 ἔφη· Ἐγὼ Es. 40, 3.
φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν κυρίου, κα- Mt. 3, 3. Mc. 1, 3. Lc. 3, 4.

---

13. Hab. ὅς — ἐγεννήθη Ver. Ir. (3.) sic vult Tert. (οἳ etc. Valentinianis tribuit) Aug. (1.) Pseud.-Ath. — om. οὐδὲ ἐκ θελ. ἀνδρός B* (suppl. in m. ead. manus) Eus. Chrs.; post αἱμάτων pon. Aug. Hil.

14. Hab. πλήρη D 5. Valentiniani ap. Ir. Cyr. al.

16. Rc. Kn. Sz. pro ὅτι [c. BC*DKLX al. It.3. al. Or. (3. καί 1.) Eus. al.] h. καί. — om. καί It.8. Aeth. al.

18. Om. ὁ ante μονογ. BL. — om. υἱός It. cd. Gat. (sec. VIII.) Or. (1. vdtur) Victorin. (1.), Ambr. (1.) .. h. θεός B ap. Sz. L 33. Syr. Aeth. Ign. Cstit. Thdot. Clem. (2.) Or. (2.) Lcian. mtyr. ap. Socr. Arius, Gr. naz. et nyss. al. m. . . h. θεοῦ Prs. p. Cpt. [h. υἱός Or. (1. sed diff. editiones) Eus. Bas. (3.; θεός 1.) Ir. (1.) Tert. Hil. Ambr. al. .. h. υἱὸς θεός Clem. (2.) Or. (1.; sed al. edd. υἱὸς τοῦ θεοῦ et sic Or. int. et Ir. (1.)]

19. Ln. ἀπέστ. πρὸς αὐτόν c. BC al. Syr. et hr. It.3. al. Chrs. (post Λευ. pon. A al. m. Vg. It.6. al.)

20. Rc. Kn. Sz. pon. οὐκ εἰμὶ ἐγώ.

21. σὺ οὖν τί; c. B . . Rc. Kn. Sz. Ln. τί οὖν; et Ἡλ. εἶ σύ . . . hoc om. c. BL Verc. Slav. ms. Cyr. . . h. σὺ Ἡλ. εἶ C. 33. Cpt. It.2. Or. (5.)

22. Rc. Kn. Sz. εἶπ. οὖν. [om. c. B. Colb. . . al. aliter; om. εἶπ. αὐτ. 59.]

θὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. 24 καὶ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν 24
Φαρισαίων, 25 καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ· Τί οὖν βα- 25
πτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης;
Mt. 3, 26 ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· 26
11. Mc. 1, 7. 8. μέσος ὑμῶν στήκει, ὃν ὑμεῖς οὐκ οἴδατε, 27 ὁ ὀπίσω μου ἐρχό- 27
Lc. 3, 16. μενος, οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ
ὑποδήματος. 28 ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, 28
Jo. 1, 36. ὅπου ἦν Ἰωάννης βαπτίζων. 29 Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν 29
ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· Ἴδε, ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων
τὴν ἁμαρτίαν τοῦ κόσμου. 30 οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον· 30
Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός
μου ἦν. 31 κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ ἵνα φανερωθῇ τῷ Ἰσραήλ, 31
Mt. 3, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων. 32 καὶ ἐμαρτύρησεν Ἰω- 32
16. Mc. 1, 10. άννης λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡς περιστερὰν
Lc. 3, 22. ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ᾽ αὐτόν. 33 κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ 33
ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ᾽ ὃν ἂν
ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ᾽ αὐτόν, οὗτός ἐστιν ὁ
βαπτίζων ἐν πνεύματι ἁγίῳ. 34 κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, 34
ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.

Τῇ ἐπαύριον πάλιν εἱστήκει Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν 35
Jo. 1, 29. αὐτοῦ δύο, 36 καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· Ἴδε, 36

---

24. Rc. Kn. Sz. Ln. κ. οἱ ἀπεστ. .. om. c. A*BC*L Cpt. Or. (1. hab. 1.) Nonn.
25. Rc. Kn. Sz. οὔτε bis. [οὐδέ c. ABCL al.]
26. Rc. Kn. Sz. Ln. μέσ. δὲ [om. c. BC*L Arm. It.[1] Or. (saepe, h. 1.)] ὑ. ἕστηκεν. [στήκει c. BL 1. It. (exc. 3.) Slav. Or. (2.; alibi ἕστ.) Cypr. al.]
27. Rc. Kn. Sz. ab init. αὐτός ἐστιν, Ln. (—) .. om. c. BC*L 1. 22. 33. Cpt. Verc. al. Or. (4.; h. 1.) Cyr. Ambr. — om. ὁ ante ὀπ. B Or. (1.). — Rc. Kn. Sz. ἐρχόμ. ὃς ἔμπροσθέν μου γέγονεν, Ln. (—) .. om. c. BC*L 1. 22. 33. al. Cpt. Ver. al. Or. (4.) Cyr. Ambr. al. — Rc. Kn. Sz. ἐγώ h. ante οὐκ et Ln. (—); post εἰμί c. BX al. Slav. Or. (5.; om. 1.)
28. Rc. ἐν Βηθαβαρᾷ. — Ln. ὁ Ἰωάνν. c. BC. (non Or.)
29. Rc. βλέπ. ὁ Ἰωάννης, Kn. (ὁ Ἰ.) — 30. Rc. Kn. Sz. περὶ οὗ.
31. Rc. Kn. Sz. ἐν τῷ ὕδ. — 32. Rc. ὡσεὶ περ.
33. Hab. αὐτός ἐστ. A, tum ἐν τῷ πν. τῷ ἁγ. LX 33.
35. Rc. Kn. Sz. ὁ Ἰωάνν.

37 ὁ ἀμνὸς τοῦ θεοῦ. 37 καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦν-
38 τος καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. 38 στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ
39 θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς· 39 Τί ζητεῖτε; οἱ
δὲ εἶπαν αὐτῷ· Ῥαββί — ὃ λέγεται μεθερμηνευόμενον διδά-
40 σκαλε —, ποῦ μένεις; 40 λέγει αὐτοῖς· Ἔρχεσθε καὶ ὄψεσθε. ἦλ-
θαν οὖν καὶ εἶδαν ποῦ μένει, καὶ παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν
41 ἐκείνην· ὥρα ἦν ὡς δεκάτη. 41 ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος
Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκο-
42 λουθησάντων αὐτῷ· 42 εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν
ἴδιον Σίμωνα καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν — ὅ ἐστιν
43 μεθερμηνευόμενον Χριστός —. 43 ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν.
ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς εἶπεν· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ
κληθήσῃ Κηφᾶς — ὃ ἑρμηνεύεται Πέτρος —.
44 Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν καὶ εὑρίσκει
45 Φίλιππον, καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀκολούθει μοι. 45 ἦν δὲ ὁ Φί-
46 λιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. 46 εὑ-
ρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ὃν ἔγραψεν Μωϋ-
σῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ
47 Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. 47 καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Να-
ζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ ὁ Φίλιππος· Ἔρχου
48 καὶ ἴδε. 48 εἶδεν Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ
λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν.

---

36. LN. in f. add. (ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου).
37. Pon. αὐτοῦ post δύο C*LX Syr. Cpt. It.[2]; post μαθ. B.
38. Om. δέ EHMV al. pm. Arm. — 39. Rc. KN. Sz. ἑρμηνευόμ.
40. ὄψ. c. BCL al. Syr. utr. Or. .. Rc. KN. Sz. LN. ἴδετε. — Rc. KN. Sz. om. οὖν. [scr. c. ABCLX al. Verc. al. Cyr.] — Rc. ὥρ. δέ.
41. LN. ἦν (δέ).
42. LN. πρῶτον. — h. Μεσίαν KLMRSV al. pm. Syr. utr. al. Chrs. ms. al. — Rc. ὁ Χρ.
43. Rc. KN. Sz. καὶ ἤγ., qd LN. (—) .. om. c. BL Cpt. .. h. οὗτος G al. Arm. Epiph.; etiam οὖν leg. — Rc. LN. ἐμβλ. δέ. — LN. pro Ἰωνᾶ h. Ἰωάνου c. B; h. Ἰωάννου L 33. It.[6] Cpt. Aeth. Arm. Nonn. Hier. al.
44. Rc. ὁ Ἰησ. pon. post ἠθέλησ... KN. om. plane c. M al. Arm. Slav.
46. Om. Ἰησ. L .. LN. om. τόν ante υἱ. c. B Or. (1. h. 1.) Cyr. (alqties) .. om. τοῦ AKMT al. m. Cyr. al. .. om. τόν ante ἀπό Or. (1.) — Rc. KN. Sz. Ναζαρέθ, etiam v. sq. [-ρέτ c. ABLX al. Or. al. m.]
47. Rc. KN. Sz. om. ὁ ante Φ. et 48. h. ὁ Ἰησ.

[49] λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς 49
καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν
συκῆν εἶδόν σε. [50] ἀπεκρίθη αὐτῷ Ναθαναήλ· Ῥαββί, σὺ εἶ ὁ 50
υἱὸς τοῦ θεοῦ, σὺ ὁ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. [51] ἀπεκρίθη Ἰησοῦς 51
καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι ὅτι εἶδόν σε ὑποκάτω τῆς συκῆς,
πιστεύεις; μείζω τούτων ὄψῃ. [52] καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν 52
λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ
θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

## II.

Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾶ τῆς Γαλι- 1
λαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ· [2] ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς 2
καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. [3] καὶ ὑστερήσαντος οἴνου 3
λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσιν. [4] λέγει 4
αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου.
[5] λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ,τι ἂν λέγῃ ὑμῖν, ποιή- 5
σατε. [6] ἦσαν δὲ ἐκεῖ λίθιναι ὑδρίαι ἓξ κατὰ τὸν καθαρισμὸν τῶν 6
Ἰουδαίων κείμεναι, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. [7] λέγει 7
αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος. καὶ ἐγέμισαν αὐτὰς
ἕως ἄνω. [8] καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχι- 8
τρικλίνῳ. οἱ δὲ ἤνεγκαν. [9] ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ 9
ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν, οἱ δὲ διάκονοι
ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλι-
νος [10] καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον 10
τίθησιν, καὶ ὅταν μεθυσθῶσιν, τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν

---

49. Rc. ὁ Ἰησ.
50. Rc. Kn. Sz. ἀπ. N. καὶ λέγει αὐτῷ. .. Ln. ἀπ. αὐτ. N. (καὶ λέγει) .. ἀπ. αὐτ. N. c. BLX al. It.[4] — om. ὁ ante βασ. AL; Rc. Kn. Sz. σὺ εἶ ὁ βασ.
51. Rc. Kn. Sz. om. ὅτι poster. — Rc. Kn. ὄψει.
52. Rc. Kn. Sz. ἀπ' ἄρτι ὄψ. [om. c. BL Vg. It. al. Or. Cyr. Epiph. al.]
Cap. II. 4. Ln. (καὶ) λέγει c. AGKLXΔ al. m. Vg. It. (exc. 2.) al. Cyr.
5. Hab. ὅ,τι ἂν λέγει HKMV al. m.
6. Rc. Kn. Sz. ὑδρ. λίθ. ἓξ κείμεναι (κείμ. sic pon. etiam Ln.) .. κείμ. post Ἰουδ. c. BLX al. Slav. ms.; al. aliter; om. 13. Ev. 47. Arm. Verc.
8. οἱ δέ c. BKL al. Cpt. al. .. Rc. Kn. Sz. Ln. καί.
10. Rc. Kn. Sz. τότε τ. ἐλάσσ., qd Ln. (—) .. om. c. BL al. It.[3] Cpt. Gaud.

11 καλὸν οἶνον ἕως ἄρτι. [11] Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ
Ἰησοῦς ἐν Κανᾶ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ,
12 καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. [12] μετὰ τοῦτο κατέβη
εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ καὶ οἱ
μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.
13 Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱερο- Mt. 21,
14 σόλυμα ὁ Ἰησοῦς. [14] καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας 12 sqq. Mc. 11,
καὶ πρόβατα καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους, 15 sqq. Lc. 19,
15 [15] καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ 45. 46.
ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεεν
16 τὸ κέρμα καὶ τὰς τραπέζας ἀνέστρεψεν, [16] καὶ τοῖς τὰς περιστε-
ρὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον
17 τοῦ πατρός μου οἶκον ἐμπορίου. [17] ἐμνήσθησαν οἱ μαθηταὶ αὐ-
τοῦ, ὅτι γεγραμμένον ἐστίν· Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί *Ps. 69. 9. (10.)
18 με. [18] ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ· Τί σημεῖον
19 δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; [19] ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν Mt. 26.
αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐ- 61.
20 τόν. [20] εἶπαν οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκο-
δομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;
21 22 [21] ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. [22] ὅτε
οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο
ἔλεγεν, καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς.
23 Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ,
πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ ση-

---

11. Rc. Kn. Sz. *τὴν ἀρχ.* [om. c. AB al. Or. Chron. alex. al.]
12. Rc. Kn. Sz. *ἀδ. αὐτοῦ*, qd Ln. (—) .. om. c. BL It. cdd. Or.; etiam post *μαθ.* om. *αὐτ.* L Or. (alqties); plane om. *καὶ οἱ μ. α.* 74*. al. It.[4] Arm. — h. *ἔμεινεν* A al. Ver. al. Or. (4; *ἔμειναν* 2.) Nonn.
13. Om. *ὁ Ἰησ.* 13. al. Aug. .. ante *εἰς* pon. AGLM al. Vg. Ver. Arm.
15. Hab. *ὡς φραγ.* L al. Vg. It. Or. (1.) Cyr. Aug. — h. *τὰ κέρματα* BLX al. Ver. al. Or. (7.)
16. Ln. (*καὶ*) *μὴ π.* .. h. AX al. m. Syr. utr. Vg. It.[2] al.
17. Rc. Kn. Sz. *ἐμν. δέ*, Ln. (—) .. om. c. BLX Cpt.; etiam *τότε*, *καί*, *δὲ καί* leg. — Rc. *κατέφαγέ με*.
19. Rc. Kn. Sz. *ὁ Ἰησ.* — om. *ἐν* B (ap. Btlj.) Or. al.
22. Rc. *ἔλεγ. αὐτοῖς*. — Ln. *ὃν εἶπ.* c. BL Or. (5.)
23. Rc, om. *τοῖς* ante *Ἱερ.* — Ln. (*ἐν*) *τῇ ἑ.* .. om. B.

*μεῖα ἃ ἐποίει·* 24 *αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευεν αὐτὸν αὐτοῖς διὰ* 24
*τὸ αὐτὸν γινώσκειν πάντας,* 25 *καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις* 25
*μαρτυρήσῃ περὶ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀν-*
*θρώπῳ.*

## III.

*Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα* 1
Jo. 7, 50. et 19, 39. *αὐτῷ, ἄρχων τῶν Ἰουδαίων·* 2 *οὗτος ἦλθεν πρὸς αὐτὸν νυκτὸς καὶ* 2
*εἶπεν αὐτῷ· Ῥαββί, οἴδαμεν, ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος·*
*οὐδεὶς γὰρ δύναται ταῦτα τὰ σημεῖα ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ*
*ὁ θεὸς μετ᾽ αὐτοῦ.* 3 *ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἀμὴν* 3
*ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν*
*βασιλείαν τοῦ θεοῦ.* 4 *λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· Πῶς δύνα-* 4
*ται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν*
*τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι;* 5 *ἀπεκρίθη* 5
*Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ*
*πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.* 6 *τὸ* 6
*γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ γεγεννημένον ἐκ*
*τοῦ πνεύματος πνεῦμά ἐστιν.* 7 *μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι· Δεῖ* 7
*ὑμᾶς γεννηθῆναι ἄνωθεν.* 8 *τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν* 8
*φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπ-*
*άγει· οὕτως ἐστὶν πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος.* 9 *ἀπ-* 9
*εκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι;*
10 *ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ* 10
*Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις;* 11 *ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ* 11
*οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυ-*
*ρίαν ἡμῶν οὐ λαμβάνετε.* 12 *εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πι-* 12
*στεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε;* 13 *καὶ οὐδ-* 13

---

24. Rc. Kn. Sz. *ὁ Ἰησ.* et *ἑαυτ. αὐτοῖς.* — h. *πάντα* EGH al. m. It.[1] Euth.

Cap. III. 2. Rc. *πρὸς τὸν Ἰησοῦν.* — 3. Rc. Kn. Sz. *ὁ Ἰησ.*

4. Om. *ὁ* ante *Νικ.* L al.

5. Rc. Sz. *ὁ Ἰησ.* — h. *Ἰησ. καὶ εἶπεν* (*κ. εἶπ.* etiam L It.[1].) *αὐτῷ* KM al. Syr. al. m.

8. Ln. *ἢ ποῦ ὑπ.* c. A Vg. It. (exc. 4.) al. — 10. Rc. *ὁ Ἰησ.*

12. Hab. *καὶ οὐκ ἐπιστεύσατε* EH al. Pra. Aug. — om. *ὑμῖν* post *εἴπω* EHK al. It.[3.] al. — h. in f. *πιστεύσητε* GHK al. pm. Cyr. al.

εἰς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς,
14 ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. [14] καὶ καθὼς Μωϋσῆς * Nm. 21, 8. 9.
ὕψωσεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ
15 ἀνθρώπου, [15] ἵνα πᾶς ὁ πιστεύων ἐν αὐτῷ ἔχῃ ζωὴν αἰώνιον.
16 [16] οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ
τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται,
17 ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. [17] οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐ- Jo. 12, 47.
τοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κό-
18 σμος δι᾽ αὐτοῦ. [18] ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ
πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μο-
19 νογενοῦς υἱοῦ τοῦ θεοῦ. [19] αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυ-
θεν εἰς τὸν κόσμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος
20 ἢ τὸ φῶς· ἦν γὰρ αὐτῶν πονηρὰ τὰ ἔργα. [20] πᾶς γὰρ ὁ φαῦλα
πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγ-
21 χθῇ τὰ ἔργα αὐτοῦ· [21] ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ
φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν θεῷ ἐστὶν εἰργασμένα.
22 Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν
23 Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβεν μετ᾽ αὐτῶν καὶ ἐβάπτιζεν. [23] ἦν
δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα
24 πολλὰ ἦν ἐκεῖ, καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο· [24] οὔπω γὰρ ἦν
25 βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. [25] ἐγένετο οὖν ζήτησις ἐκ
26 τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ. [26] καὶ
ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ· Ῥαββί, ὃς ἦν μετὰ σοῦ
πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει
27 καὶ πάντες ἔρχονται πρὸς αὐτόν. [27] ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν·
Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ

---

13. Om. ὁ ὢν ἐν τ. οὐρ. BL 33. Aeth. Gr. naz. Or. int. (1; h. 1. dis.)
15. ἐν αὐτῷ c. B It.[5] .. Ln. ἐπ᾽ αὐτόν c. A .. h. ἐπ᾽ αὐτῷ L Thdrt. .. Rc. Kn. Sz. εἰς αὐτόν, iid. add. μὴ ἀπόληται ἀλλ᾽, qu. Ln. (—) .. om. c. BL 1. 22. 33. al. Syr. hr. Verc. Brx. al. Cyr. (1.) al.
17. Post υἱόν om. αὐτοῦ BL 22. al. Cyr. (non in text.) al.
18. Om. δέ B It.[2] Tert. al.
23. Hab. Σαλήμ 1. al. pm. Cpt. Or. ms. Eus. Cyr. Thphyl. .. Σαλλείμ A .. al. aliter.
25. Rc. μετὰ Ἰουδαίων.
27. Hab. οὐδὲν ἀφ᾽ ἑαυτοῦ L al. m. Syr. utr. Colb. al. — h. οὐδὲ ἕν, ἂν μή B.

Jo. 1, 20. ἐκ τοῦ οὐρανοῦ. [28] αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον· Ἐγὼ 28
οὐκ εἰμὶ ὁ Χριστός, ἀλλ᾽ ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκεί-
νου. [29] ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, 29
ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμ-
φίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. [30] ἐκεῖνον δεῖ αὐξά- 30
νειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. [31] ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων 31
ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστιν καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ
ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν· [32] ὃ ἑώρακεν καὶ 32
ἤκουσεν, τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμ-
βάνει. [33] ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν, ὅτι ὁ θεὸς 33
ἀληθής ἐστιν. [34] ὃν γὰρ ἀπέστειλεν ὁ θεός, τὰ ῥήματα τοῦ θεοῦ 34
λαλεῖ· οὐ γὰρ ἐκ μέτρου δίδωσιν τὸ πνεῦμα. [35] ὁ πατὴρ ἀγαπᾷ 35
τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. [36] ὁ πιστεύων εἰς 36
τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται
ζωήν, ἀλλ᾽ ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ᾽ αὐτόν.

## IV.

Ὡς οὖν ἔγνω ὁ κύριος, ὅτι ἤκουσαν οἱ Φαρισαῖοι, ὅτι Ἰη- 1
σοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης· — [2] καί- 2
τοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ· —
[3] ἀφῆκεν τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν πάλιν εἰς τὴν Γαλιλαίαν. 3
[4] ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. [5] ἔρχεται οὖν εἰς 4 5
πόλιν τῆς Σαμαρείας λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου

---

28. Om. *μοί* EMV al. m. It.[1]
31. Om. *ἐπ. πάντ. ἐ.* D 1. 22. al. It.[4] Arm. Or. (vdtur) al.
32. Rc. Kn. Sz. ab init. add. *καί*, qd Ln. (—) .. om. c. BL al. Cpt. Prs. et iisd. qu. v. 31. cit.
34. Rc. Kn. Sz. *δίδωσ. ὁ θεός*, qu. Ln. (—) .. om. c. BC*L 1. 33. It.[2] Cyr.
36. Hab. *τὴν ζωήν* ELM al. pm. Cyr. Chrs. — h. *μενεῖ* 40. al. m. Syr. It.[2] al. Cyr. Chrs. Thphyl. Ir. Tert. al.

Cap. IV. 1. Hab. *ἔγνω ὁ Ἰησοῦς* D al. m. Syr. utr. Vg. It. (exc. 1.) al. Chrs.
2. Om. *αὐτός* L 251. Vg. It.[4] .. ante *Ἰησ.* pon. AD al. It.[3] Cyr. Chrs. .. h. *αὐτὸς ὁ Ἰησ.* K.
3. Om. *πάλιν* AEGHKSVΔ al. pl. Syr. p. Prs. p. Chrs.
5. Rc. *Σιχάρ*. .. h. *Σιχέμ* Hier. dis. Juv.

6 οὗ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. [6] ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰα-
κώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως
7 ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡς ἕκτη. [7] ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας
8 ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πιεῖν. [8] οἱ γὰρ μα-
θηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσω-
9 σιν. [9] λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· Πῶς σὺ Ἰουδαῖος ὢν
παρ' ἐμοῦ πιεῖν αἰτεῖς γυναικὸς Σαμαρείτιδος οὔσης; οὐ γὰρ συγ-
10 χρῶνται Ἰουδαῖοι Σαμαρείταις. [10] ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν
αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι·
Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.
11 [11] λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ
12 ἐστὶν βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; [12] μὴ σὺ μείζων εἶ
τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ αὐτὸς ἐξ
13 αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ; [13] ἀπ-
εκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τού-
14 του διψήσει πάλιν· [14] ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω
αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ
γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.
15 [15] λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα
16 μὴ διψῶ μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. [16] λέγει αὐτῇ· Ὕπαγε,
17 φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε. [17] ἀπεκρίθη ἡ γυνὴ καὶ
εἶπεν· Οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας· ὅτι
18 ἄνδρα οὐκ ἔχω· [18] πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ

---

5. Rc. Kn. ὃ ἔδωκ.
6. Om. οὕτως 1. al. Syr. It.[7] al. — Rc. Kn. Sz. ὡσεί. [ὡς c. ABCDL 33.]
8. Hab. ἀπῆλθον L Chrs. ms. . . ἀπελύθεισαν B 1. 118; etiam ἀπεληλύθασιν leg.
9. Om. οὖν V* al. m. Syr. al. m. Cyr. — om. ἡ Σαμ. Syr. hr. — om. οὐ γ. συγχ. Ἰ. Σαμ. D Verc. Ver.
11. Om. ἡ γυνή B. — om. οὖν D Syr. It.[5] al. Ambr. Aug.
13. Rc. ὁ Ἰησ.
14. Rc. Kn. Sz. οὐ μὴ διψήσῃ. [διψήσει c. ADLM al. m. Eus.] — h. ὕδωρ ὃ ἐγώ DM al. Arm. Vg. It. (exc. 3.) — om. οὐ μὴ δ. usq. δώσ. αὐτῷ C* al. Rd. Sah. al. Ambr. (etiam Or. plerque om.)
15. Hab. διέρχομαι B . . διέρχωμαι Or. (5.)
16. Rc. Kn. Sz. αὐτῇ ὁ Ἰησοῦς et Ln. αὐτῇ (Ἰησοῦς). . . om. c. B. Verc. Or. (in text.) . . om. ὁ A 1.
17. Ln. εἶπ. (αὐτῷ). — h. ἄνδρα ο. ἔχ. C*DL 142. Cyr. Chrs. (non Or.)

ἐστιν σου ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας. 19 λέγει αὐτῷ ἡ γυνή· Κύ- 19
ριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ. 20 οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει 20
τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν
ὁ τόπος ὅπου προσκυνεῖν δεῖ. 21 λέγει αὐτῇ ὁ Ἰησοῦς· Πίστευέ 21
μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν
Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. 22 ὑμεῖς προσκυνεῖτε ὃ οὐκ 22
οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν
Ἰουδαίων ἐστίν· 23 ἀλλὰ ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθι- 23
νοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ ἀλη-
θείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.
24 πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι 24
καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. 25 λέγει αὐτῷ ἡ γυνή· Οἶδα, ὅτι 25
Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγ-
γελεῖ ἡμῖν πάντα. 26 λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι, ὁ λαλῶν 26
σοι. 27 Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμαζον 27
ὅτι μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπεν· Τί ζητεῖς ἢ τί λα-
λεῖς μετ' αὐτῆς; 28 ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπ- 28
ῆλθεν εἰς τὴν πόλιν καὶ λέγει τοῖς ἀνθρώποις· 29 Δεῦτε, ἴδετε 29
ἄνθρωπον ὃς εἶπέν μοι πάντα ἃ ἐποίησα· μήτι οὗτός ἐστιν ὁ
Χριστός; 30 ἐξῆλθον ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν. 30
31 Ἐν τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες· Ῥαββί, 31
φάγε. 32 ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ 32
οἴδατε. 33 ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· Μή τις ἤνεγκεν 33
αὐτῷ φαγεῖν; 34 λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστιν, ἵνα 34
ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔρ-

---

20. Rc. ἐν τούτῳ τῷ ὄρ. — Rc. Kn. Sz. δεῖ προσκ.

21. πίστ. μ., γύν. c. BC*L Ver. Heracl. Or. Ath. al. (πίστευε etiam D al.) . . Ln. γύν., πίστ. μ. . . Rc. Kn. Sz. γύν., πίστευσόν μ.

25. Hab. οἴδαμεν GL al. m. Cpt. al. m. Or. (1.) al. — h. Μεσίας SV al. pm. Cpt. al. Cyr. al.

27. Hab. ἐπὶ τοῦτο K al. m. Or. — Rc. ἐθαύμασαν.

28. Om. ἡ γυν. 244. Syr. hr. . . ante τ. ὑδρ. pon. D It.[2.] Arm.

29. ἅ c. BC* Ct. Verc. Basm. Or. ms. . . Rc. Kn. Sz. Ln. ὅσα.

30. Ln. (καὶ) ἐξῆλθ. c. CD Syr. utr. Ver. Aeth. . . Rc. ἐξ. οὖν, qd Kn. (—). [om. c. ABEGHKLMSVΔ al. pl. It.[5.] al.]

31. Rc. Sz. ἐν δέ, qd Kn. et Ln. (—) . . om. c. C*DL Vg. It.[6.] Or. (2.)

34. Rc. Kn. Sz. ἵνα ποιῶ. [ποιήσ. c. BDKL al. Clem. Heracl. Or. (3; ποιῶ 1; τοῦ ποιῆσαι 1.) Cyr. al.]

35 γον. 35 οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς
ἔρχεται; ἰδού, λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ
36 θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσιν πρὸς θερισμόν. 36 ἤδη ὁ
θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον,
37 ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. 37 ἐν γὰρ τούτῳ ὁ λό-
γος ἐστὶν ὁ ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θε-
38 ρίζων. 38 ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε·
ἄλλοι κεκοπιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.
39 39 Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν
Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης· ὅτι εἶπέν
40 μοι πάντα ἃ ἐποίησα. 40 ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖ-
ται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.
41 42 41 καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, 42 τῇ τε
γυναικὶ ἔλεγον· ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ
γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ
κόσμου.
43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν εἰς τὴν Γαλιλαίαν.
44 44 αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πα- Mt. 13, 57.
45 τρίδι τιμὴν οὐκ ἔχει. 45 ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο Mc. 6, 4.
αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύ- Lc. 4, 24.

---

35. Om. ἔτι DEL al. pm. Slav. ms. Prs. p. Or. (8; h. 3.) Cyr. Chrs. Thphyl. — Kn. τετράμηνον.

36. Rc. Kn. Sz. Ln. ἤδη c. θερισμ. cjgt. .. c. ὁ θερίζ. cjgt ADL al. Ct. It.[2] Cyr. .. om. Syr. hr. Aeth. Vg. ms. Verc. al. Ir. Chrs. Hil. .. ante πρὸς θερ. pon. 254. Vg. It. cdd. pl. — Rc. Sz. ab init. h. καὶ ὁ θ. et Ln. (καὶ) .. om. c. BC*DKL al. It.[3] Cpt. Or. (5.) Cyr. — Rc. Kn. Sz. Ln. ἵνα καὶ ὁ σπ. .. om. c. BCL al. It.[1] Cpt. al. Heracl. Or. (4.)

37. Om. ὁ ante ἀληθ. CKL al. m. Or. Thphyl. .. h. ἐστ. ὁ λόγ. ἀληθ. Heracl. Cyr. Chrs.

39. Om. εἰς αὐτ. Or. (1. in text.) Verc.; post Σαμ. pon. 1. — ἃ c. BCL Ver. Or. (2; ὅσα 2.) .. Rc. Kn. Sz. Ln. ὅσα.

42. Hab. τῇ δέ D al. It.[4] Syr. p. Or. — Ln. (ὅτι) οὐκέτ. .. om. B al. Or. .. h. τ. σὴν μαρτυρίαν D Ct. Ver. — om. ἀληθ. K al. Vg. ms. It.[1] Prss. Or. (2; ante οὗτ. h. 2.) — Rc. Kn. Sz. in f. add. ὁ Χριστός.

43. Rc. Kn. Sz. ἐκεῖθ. καὶ ἀπῆλθεν, qu. Ln. (—) .. om. c. BCD al. It.[5] Cpt. Or. Cyr. .. h. κ. ἦλθ. L al. It.[2] Syr. p.

44. Rc. ὁ Ἰησ.

45. Rc. Kn. Sz. ἃ ἐπ. [ὅσα c. ABCL al. Syr. p. Or. (5; ἃ 2.) Cyr. Chrs.]

μοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. [46] ἦλθεν 46
οὖν πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησεν τὸ ὕδωρ
οἶνον.

Καὶ ἦν τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει, ἐν Καφαρναούμ·
[47] οὗτος ἀκούσας, ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γα- 47
λιλαίαν, ἀπῆλθεν πρὸς αὐτὸν καὶ ἠρώτα, ἵνα καταβῇ καὶ ἰάσηται
αὐτοῦ τὸν υἱόν· ἤμελλεν γὰρ ἀποθνήσκειν. [48] εἶπεν οὖν ὁ Ἰησοῦς 48
πρὸς αὐτόν· Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.
[49] λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθα- 49
νεῖν τὸ παιδίον μου. [50] λέγει αὐτῷ ὁ Ἰησοῦς· Πορεύου· ὁ υἱός σου 50
ζῇ. ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ Ἰησοῦς, καὶ
ἐπορεύετο. [51] ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ὑπ- 51
ήντησαν αὐτῷ καὶ ἀπήγγειλαν λέγοντες, ὅτι ὁ παῖς αὐτοῦ ζῇ.
[52] ἐπύθετο οὖν τὴν ὥραν παρ' αὐτῶν ἐν ᾗ κομψότερον ἔσχεν· 52
εἶπον οὖν αὐτῷ· ὅτι ἐχθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός.
[53] ἔγνω οὖν ὁ πατήρ, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰη- 53
σοῦς· Ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ
ὅλη. [54] Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν 54
ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

## V.

Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς 1

---

46. Rc. ὁ Ἰησοῦς πάλ. et Kn. (—) .. Sz. πάλ. ὁ Ἰησ. — h. ἐν Κανᾷ B. — om. ἐν Καφ. Vg. ms. Aug.; post ἦν pon. Syr.

47. Rc. Kn. Sz. ἠρ. αὐτόν, Ln. (—) .. om. c. BCDGL al. It.[3] Arm. Or. Aug.

50. Rc. Kn. Sz. καὶ ἐπίστ., qd Ln. (—) .. om. c. BD Syr. Prs. p. Vg. It.[6] Cyr... h. δέ L. — Ln. ὃν εἶπ. c. ABCL; id. et Sz. ὁ Ἰησ. in fine.

51. Om. αὐτοῦ post δοῦλ. DL 1. Vg. It. — Rc. Kn. Sz. ἀπήντησ. — om. κ. ἀπήγγ. BL Syr. hr. Cpt. et pro λέγοντ. h. αὐτῷ D Ver. — pro παῖς h. υἱός DKL al. m. Syr. Syr. hr. al. Cyr. Thphyl. filius Vg. It. — Rc. Kn. Sz. pro αὐτοῦ [c. ABC al. Vg. Ct. It.[6] Arm.] h. σοῦ.

52. εἶπ. οὖν c. BCL al. Arm. .. Rc. Kn. Sz. Ln. καὶ εἶπ. — Rc. Kn. Sz. χθές.

53. Rc. Kn. Sz. ὅτι ὁ υἱός.

Cap. V. 1. Hab. ἡ ἑορτ. CELΔ al. pl. Cpt. Cyr. Thphyl. .. om. τ. Ἰουδ. Syr. hr. — Rc. Kn. Sz. ὁ Ἰησ.

2 *Ἱεροσόλυμα. [2] ἔστιν δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ*
*κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα.*
3 *[3] ἐν ταύταις κατέκειτο πλῆθος τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν,*
5 *ξηρῶν. [5] ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν*
6 *τῇ ἀσθενείᾳ αὐτοῦ· [6] τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον καὶ*
*γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέ-*
7 *σθαι; [7] ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω,*
*ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ*
8 *δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. [8] λέγει αὐτῷ ὁ Ἰη-*
9 *σοῦς· Ἔγειρε, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. [9] καὶ εὐ-*
*θέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος καὶ ἦρεν τὸν κράββατον αὐτοῦ*
10 *καὶ περιεπάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. [10] ἔλεγον οὖν*
*οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν καὶ οὐκ ἔξεστίν*

---

2. Om. *ἐπὶ τ. προβ.* Syr. Prss. Sx. Rd. Cyr. .. h. *ἐν τ. προβ.* ADL .. h. *προβατικῇ* 61. in m. 116. Ev. 57. Aeth. Vg. It.[2] al. Eus. Ath. Chrs. al. — h. *ἡ λεγομένη* DV al. It.[5] Prs. p. — Leg. *Βηθζαθά* (L Eus.), *Βελζεθά* (D), *Βηθσαϊδά* (B Vg. It.[5] al. m.) al. aliter.

3. Rc. Kn. Sz. *πλῆθ. πολύ*, qd Ln. (—) .. om. c. BCDL al. It.[3] al. Chrs. (2.). — post *ξηρῶν* add. *παραλυτικῶν* D Prss. It.[3] — Post *ξηρῶν* Rc. Sz. Ln. [et Kn. (—)] haec h. *ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. 4. ἄγγελος γὰρ* (Ln. add. *κυρίου*) *κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο, ᾧ δήποτε* (Ln. *οἱῳδηποτοῦν*) *κατείχετο νοσήματι*... ea omnia om. c. BC* 157. 314. Cpt. ms. Sah. Nonn. .. ab *ἐκδεχ.* usq. *κίνησιν* etiam c. A*L 18. .. ab *ἄγγελος* usq. *νοσήματι* etiam c. D 33; ea asterisc. not. S al. m.; obelo 262. 269; om. etiam Arm. mss. Ct. Brix. Harl.* .. praeterea singg. et om. et valde var. (Sed hab. Chrs. Cyr. Euth. Thphyl. Schol. Tert. Ambr.)

5. Rc. om. *καὶ* ante *ὀκτώ* et Ln. (*καί*). — *αὐτοῦ* c. (B h. *αὐτὸν τοῦτον*) CDL al. m. Cpt. Vg. It. cdd. m. al. Cyr. Chrs. .. Ln. (*αὐτ.*) .. Rc. Kn. Sz. om.

7. Hab. *ναί, κύριε* C*GH al. m. Syr. utr. et hr. al. Chrs. — Rc. *βάλλῃ*.

8. Rc. Ln. *ἔγειραι*, Ln. perg. (*καὶ*) *ἆρ. τ. κράβαττον.* [cf. MC. 2, 4.]

9. Om. *εὐθ.* D Ct. It.[1] Arm. .. om. *καὶ εὐθ. ὑ. ἐ. ὁ ἄνθ.* 28. 96. (sec. XV.) 97. (sec. XV.) — h. *περιπατεῖ* AL 63.

10. *καὶ οὐκ* c. ACDGLV al. m. It.[2] al. m. Cyr. Chrs. al. .. Ln. (*καί*) .. Rc. Kn. Sz. om.; iid. om. *σοῦ* in fine.

σοι ἆραι τὸν κράββατόν σου. 11 ὃς δὲ ἀπεκρίθη αὐτοῖς· Ὁ ποιή- 11
σας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· Ἆρον τὸν κράββατόν σου καὶ περι-
πάτει. 12 ἠρώτησαν αὐτόν· Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι· 12
Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει; 13 ὁ δὲ ἀσθενῶν οὐκ 13
ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ.
14 μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν 14
αὐτῷ· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι
γένηται. 15 ἀπῆλθεν ὁ ἄνθρωπος καὶ εἶπεν τοῖς Ἰουδαίοις, ὅτι 15
Ἰησοῦς ἐστὶν ὁ ποιήσας αὐτὸν ὑγιῆ. 16 καὶ διὰ τοῦτο ἐδίωκον οἱ 16
Ἰουδαῖοι τὸν Ἰησοῦν, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. 17 ὁ δὲ Ἰησοῦς 17
ἀπεκρίνατο αὐτοῖς· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργά-
ζομαι. 18 διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀπο- 18
κτεῖναι, ὅτι οὐ μόνον ἔλυεν τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον
ἔλεγεν τὸν θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. 19 ἀπεκρίνατο οὖν ὁ 19
Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ
υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποι-
οῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.
20 ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς 20
ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε.
21 ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως 21
καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. 22 οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, 22
ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ, 23 ἵνα πάντες τιμῶσιν 23
τὸν υἱὸν καθὼς τιμῶσιν τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ
τὸν πατέρα τὸν πέμψαντα αὐτόν. 24 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ 24
τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν

11. Rc. Kn. Sz. om. ὃς δέ. [scr. c. AB (ὁ δέ GHLΔ al.) al. Syr. utr. Cpt. It.[2] Cyr.]

12. Rc. Kn. Sz. ἠρώτ. οὖν, qd Ln. (—) .. om. c. BD al. It.[3] al. — om. τ. κράββ. σ. BL (iid. om. teste Sz. versu 11.)

13. ἀσθ. c. D Ct. It.[3] .. Rc. Kn. Sz. Ln. ἰαθείς .. utrque cjgit Prs. p... h. τεθεραπευμένος cdd. 6. ap. Mt. Chrs.

15. Ln. (καὶ) ἀπ. — εἶπ. c. CL al. Syr. Cpt. Verc. Cyr. .. Rc. Kn. Sz. Ln. ἀνήγγειλεν .. h. ἀπήγγ. DKΔ al. m. Chrs. — h. ὁ ποιήσ. με D al. It.[3] al.

16. Rc. Sz. καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι .. ea Ln. (—)

18. Om. οὖν D Ct. It.[5] Tert. al.

19. Om. ἄν AD al. et h. ποιεῖ A al. m. Verc. Chrs. Tert. al.

20. Hab. ἀγαπᾷ τὸν υἱ. D Or. Chrs. diligit Vg. It. amat Verc.

αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θα-
25 νάτου εἰς τὴν ζωήν. [25] ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα καὶ
νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ
26 καὶ οἱ ἀκούσαντες ζήσουσιν. [26] ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν
27 ἑαυτῷ, οὕτως καὶ τῷ υἱῷ ἔδωκεν ζωὴν ἔχειν ἐν ἑαυτῷ· [27] καὶ ἐξ-
ουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν.
28 [28] μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς
29 μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, [29] καὶ ἐκπορεύσονται οἱ
τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πρά-
30 ξαντες εἰς ἀνάστασιν κρίσεως. [30] οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυ-
τοῦ οὐδέν· καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν,
ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός
31 με. [31] ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν
32 ἀληθής· [32] ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα, ὅτι ἀλη-
33 θής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. [33] ὑμεῖς ἀπεστάλ-
34 κατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ· [34] ἐγὼ δὲ οὐ
παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω, ἵνα
35 ὑμεῖς σωθῆτε. [35] ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων,
ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.
36 [36] ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ
ἔδωκέν μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ ποιῶ
37 μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκεν. [37] καὶ ὁ πέμ-
ψας με πατήρ, ἐκεῖνος μεμαρτύρηκεν περὶ ἐμοῦ· οὔτε φωνὴν αὐ-
38 τοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, [38] καὶ τὸν
λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος,

---

25. Hab. ὅτε ἀκούσωσιν L al. Chrs. ms. Cyr. .. ἀκούσουσιν B al. Chrs. ms. — h. τ. υἱ. τοῦ ἀνθρώπου KS al. Syr. hr. Chrs. (in text.) — Rc. Kn. Sz. ζήσονται.

27. Ln. om. καί ante κρίσ. c. AL 33. Vg. It. (exc. 5.) al. Or. (4.) Chrs. ms. (2.) al.

29. Ln. οἱ (δέ) .. om. B It.[2] .. h. καὶ οἱ Ir.

30. Rc. in f. add. πατρός, qd Kn. (—)

35. Rc. ἀγαλλιασθῆναι. [ἀγαλλιαθ. c. ADKSΔ al. pl. Chrs. ms.]

36. Ln. μείζων c. AB al. m... h. μείζονα D Chrs. — h. ἃ δέδωκεν BL al. — Rc. Kn. Sz. ἃ ἐγὼ ποιῶ. — h. ἀπέστειλεν D (v. 38. h. ἀπέσταλκεν) al. Chrs.

37. ἐκεῖνος c. BL Verc. (ἐκεῖνος αὐτός D Ct.) .. Rc. Kn. Sz. Ln. αὐτός.

τούτῳ ὑμεῖς οὐ πιστεύετε. [39] ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς δο- 39
κεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦ-
σαι περὶ ἐμοῦ· [40] καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. 40
[41] δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· [42] ἀλλὰ ἔγνωκα ὑμᾶς, ὅτι 41 42
τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. [43] ἐγὼ ἐλήλυθα ἐν τῷ 43
ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ
ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. [44] πῶς δύνασθε ὑμεῖς 44
πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν
παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; [45] μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγο- 45
ρήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς,
•Dt. 18, 15. εἰς ὃν ὑμεῖς ἠλπίκατε. [46] εἰ γὰρ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν 46
ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. [47] εἰ δὲ τοῖς ἐκείνου γράμ- 47
μασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε;

## VI.

Mt. 14, 13-21. Mc. 6, 32-44. Lc. 9, 10-17. Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς 1
Γαλιλαίας τῆς Τιβεριάδος· [2] ἠκολούθει δὲ αὐτῷ ὄχλος πολύς, 2
ὅτι ἐθεώρουν τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. [3] ἀνῆλθεν 3
δὲ εἰς τὸ ὄρος Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐ-
τοῦ· [4] ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων. [5] ἐπάρας 4 5
οὖν τοὺς ὀφθαλμοὺς ὁ Ἰησοῦς καὶ θεασάμενος ὅτι πολὺς ὄχλος
ἔρχεται πρὸς αὐτόν, λέγει πρὸς Φίλιππον· Πόθεν ἀγοράσωμεν
ἄρτους, ἵνα φάγωσιν οὗτοι; [6] τοῦτο δὲ ἔλεγεν πειράζων αὐτόν· 6
αὐτὸς γὰρ ᾔδει τί ἔμελλεν ποιεῖν. [7] ἀπεκρίθη αὐτῷ Φίλιππος· 7

---

41. Hab. παρὰ ἀνθρώπου AK al. Arr. Cyr. Chrs.
44. Hab. παρὰ ἀνθρώπων 18. al. m. Or. Eus. al. — Ln. (θεοῦ) . . om. B Ver. Verc. . . etiam μόνου om. — h. ζητοῦντες 19. al. It.[1] Ephr. Chrs. Aug.
46. Ln. Μωυσεῖ.
47. Hab. in f. πιστεύετε A (sed πιστεύσετε ms. teste Spohn.) B al. It.[3] . . πιστεύσητε DSΔ al. m. Or. ms. Chrs. ms.

Cap. VI. 2. Rc. Kn. Sz. καὶ ἠκολ. et ἑώρων. — Rc. αὐτοῦ τὰ σημ., qd Kn. (—)
3. Hab. ἀπῆλθ. D al. Cpt. It.[2] Chrs. — Rc. Kn. Sz. ὁ Ἰησ.
5. Rc. Kn. Sz. h. τόν ante Φίλ. — Rc. Kn. ἀγοράσομεν.
6. Hab. ἤμελλ. DEMV al. m. Thphyl.

*Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος βραχὺ*
8 *λάβῃ.* 8 *λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελ-*
9 *φὸς Σίμωνος Πέτρου·* 9 *Ἔστιν παιδάριον ὧδε, ὃς ἔχει πέντε ἄρ-*
*τους κριθίνους καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσού-*
10 *τους;* 10 *εἶπεν ὁ Ἰησοῦς· Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν.*
*ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. ἀνέπεσαν οὖν οἱ ἄνδρες τὸν ἀρι-*
11 *θμὸν ὡσεὶ πεντακισχίλιοι.* 11 *ἔλαβεν οὖν τοὺς ἄρτους ὁ Ἰησοῦς*
*καὶ εὐχαριστήσας διέδωκεν τοῖς ἀνακειμένοις, ὁμοίως καὶ ἐκ τῶν*
12 *ὀψαρίων ὅσον ἤθελον.* 12 *ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς*
*αὐτοῦ· Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπό-*
13 *ληται.* 13 *συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων*
*ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσαν τοῖς βεβρωκόσιν.*
14 14 *οἱ οὖν ἄνθρωποι, ἰδόντες ὃ ἐποίησεν σημεῖον ὁ Ἰησοῦς, ἔλεγον·*
*ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον.*
15 15 *Ἰησοῦς οὖν γνούς, ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν*
*ἵνα ποιήσωσιν βασιλέα, ἀνεχώρησεν πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.*
16 *Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν* Mt. 14, 22-36.
17 *θάλασσαν,* 17 *καὶ ἐμβάντες εἰς τὸ πλοῖον ἤρχοντο πέραν τῆς θα-* Mc. 6, 45-56.
*λάσσης εἰς Καφαρναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει καὶ οὐκ ἐληλύ-*
18 *θει πρὸς αὐτοὺς ὁ Ἰησοῦς,* 18 *ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέ-*
19 *οντος διηγείρετο.* 19 *ἐληλακότες οὖν ὡσεὶ σταδίους εἴκοσι πέντε ἢ*
*τριάκοντα θεωροῦσιν τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης*
20 *καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν.* 20 *ὁ δὲ λέγει*

---

7. **Rc. Kn. Sz.** *ἕκαστ. αὐτῶν* **et** *βραχ. τι,* **Ln. (*τι*) .. om. c. BD Ct. It.[3] Gth.**

9. **Rc. Kn. Sz.** *παιδάρ. ἕν,* **Ln. (—) .. om. c. BDL al. It.[3] al. Or. Cyr. Chrs. — Rc. Kn. Sz. pro** *ὅς* **c. ABD*G al. m. h.** *ὅ.*

10. **Rc. Kn. Sz.** *εἶπ. δέ,* **Ln. (*δέ*) .. om. c. BL al. Syr. It.[2] Arm. .. h.** *οὖν* **D al. Vg. It.[5] — om.** *οὖν* **EGHSVΔ al. m. — om.** *οἱ* **DL al. Cyr. .. h.** *οἱ ἄνθρωποι* **K al. Verc. Cyr. et** *οἱ ἄνθρ. ἄνδρ.* **A al. — h.** *ὡς* **DL.**

11. **Rc. Kn. Sz.** *ἔλαβ. δέ.* **[*οὖν* c. ABDL al. Vg. It.[5] al. Cyr.] — Rc. Sz.** *διέδ. τοῖς μαθηταῖς, οἱ δὲ μαθηταί,* **qu. Kn. (—)**

13. **Rc. Kn. Sz.** *ἃ ἐπερίσσευσε.* **— 14. Hab.** *ἃ ἐποίησ. σημεῖα* **B Verc.**

15. **Rc. Kn. Sz.** *αὐτὸν βασιλ.* **[om. c. ABL al. Or. Cyr.] — om.** *πάλιν* **EMSVΔ al. pl. Syr. al. Or. Chrs. al.**

17. **Hab.** *ἀναβάντες* **AK al. — Ln.** *καὶ οὔπω* **c. BDL al. Syr. hr. It. (exc. 3.) al. Cyr. Nonn.**

18. **Hab.** *διέγειρ.* **BV al. — 19. Hab.** *οὖν ὡς* **AD al.**

αὐτοῖς· Ἐγώ εἰμι, μὴ φοβεῖσθε. [21] ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς 21
τὸ πλοῖον, καὶ εὐθέως ἐγένετο τὸ πλοῖον ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.
Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης ἰδών, 22
ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἕν, καὶ ὅτι οὐ συνεισῆλθεν
τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοῖον, ἀλλὰ μόνοι οἱ μα-
θηταὶ αὐτοῦ ἀπῆλθον· [23] ἄλλα δὲ ἦλθεν πλοιάρια ἐκ Τιβεριάδος 23
ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ κυ-
ρίου· [24] ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ 24
μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοῖα καὶ ἦλθον εἰς Κα-
φαρναοὺμ ζητοῦντες τὸν Ἰησοῦν, [25] καὶ εὑρόντες αὐτὸν πέραν τῆς 25
θαλάσσης εἶπον αὐτῷ· Ῥαββί, πότε ὧδε γέγονας; [26] ἀπεκρίθη 26
αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ
ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε.
[27] ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν 27
τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν
δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. [28] εἶπον οὖν πρὸς 28
αὐτόν· Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; [29] ἀπ- 29
εκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστιν τὸ ἔργον τοῦ θεοῦ,
ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. [30] εἶπον οὖν αὐτῷ· Τί 30
οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι, τί ἐργάζῃ;
[31] οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν 31
* Ps. 78, 24. γεγραμμένον· Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. [32] εἶ- 32

---

22. Ln. εἶδον ὅτι. (sic s. εἶδεν c. ADL 42. Syr. utr. Vg. It. al. m. Chrs.) — Rc. Sz. ἓν ἐκεῖνο, εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, qu. Kn. (—) — Rc. Sz. εἰς τὸ πλοιάριον.
23. Hab. ἄλλων πλοιαρίων ἐλθόντων D Ver. Arm. .. om. δέ BL 33. Cpt. .. h. ἦλθον KLM al. m. .. Ln. πλοῖα c. B al. Vg. It.[5] — h. τῆς Τιβερ. B al. m.
24. Rc. ἐνέβ. καὶ αὐτοί .. etiam αὐτοί om. S al. Syr. Vg. It.[4] al. .. h. ἀνέβησ. L al. m. .. ἔλαβον ἑαυτοῖς πλ. D Ct. It.[3] — Ln. εἰς τ. πλοιάρια.
27. Post ἀλλά om. τὴν βρῶσιν EG al. Vg. It.[4] Clem. (1.) Aug. — h. ὑμῖν δίδωσιν D (δίδ. ὑμ.) Ct. It.[2] Gth. Chrs.
28. Om. οὖν A Syr. et Syr. hr. al. — h. τί ποιήσομεν 69. 254. Vg. It. Sah. Chrs. (1.) .. ποιοῦμεν 3. al. m. Thphyl. .. ποιήσωμεν D (h. τί ἐργαζ. ἵνα ποιήσ.) G al.
29. Om. ὁ ante Ἰησ. GHMVΔ al. pm. — h. ἵνα πιστεύητε ALT al. Or. Bas. Cyr.
30. Post τί om. οὖν L al. Syr. It.[2] al. m.

*πεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωϋσῆς*
*ἔδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν*
33 *ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.* [33] *ὁ γὰρ ἄρτος τοῦ*
*θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κό-*
34 *σμῳ.* [34] *εἶπον οὖν πρὸς αὐτόν· Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον*
35 *τοῦτον.* [35] *εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς·*
*ὁ ἐρχόμενος πρὸς μὲ οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ*
36 *μὴ διψήσῃ πώποτε.* [36] *ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με καὶ*
37 *οὐ πιστεύετε.* [37] *πᾶν ὃ δίδωσίν μοι ὁ πατὴρ πρὸς ἐμὲ ἥξει, καὶ*
38 *τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω.* [38] *ὅτι καταβέβηκα*
*ἀπὸ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέ-*
39 *λημα τοῦ πέμψαντός με.* [39] *τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ πέμ-*
*ψαντός με, ἵνα πᾶν ὃ δέδωκέν μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ*
40 *ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.* [40] *τοῦτο γάρ ἐστιν τὸ θέ-*
*λημα τοῦ πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων*
*εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ*
41 *ἡμέρᾳ.* [41] *Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· Ἐγώ*
42 *εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ,* [42] *καὶ ἔλεγον· Οὐχ*
*οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα*
*καὶ τὴν μητέρα; πῶς οὖν λέγει οὗτος· ὅτι ἐκ τοῦ οὐρανοῦ κατα-*
43 *βέβηκα;* [43] *ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε*

---

32. Om. *οὖν* GL al. Syr. al. — Rc. Kn. Sz. *οὐ Μω. δέδωκεν.*
35. Rc. Kn. Sz. *εἶπ. δέ,* qd Ln. (—) .. om. c. BT al. Syr. It.[3] al. .. etiam *οὖν* (D) et *καὶ* leg. — h. *πρὸς ἐμέ* BT. — Ln. *πεινάσει* et *διψήσει.*
36. Ln. *ἑωράκ.* (*με*) .. om. A (h. *καὶ οὐ π. μοι*) It. edd.
38. Rc. Kn. Sz. *ἐκ τοῦ οὐρ.* — om. *μέ* in f. C al. .. h. *μὲ πατρός* DK al. Syr. hr. It.[3] Didym. al.
39. Rc. Sz. *πέμψαντ. με πατρός.* — pro *ἐξ αὐτ.* h. *μηδέν* D Ct. It.[2] — Pro *αὐτὸ ἐν* h. *αὐτόν* GHSVΔ al. pm. It.[2] .. h. *αὐτό* CELT al. m. Ath. ms. Cyr. .. h. *αὐτὸν ἐν* S al. It.[6]
40. Rc. *τοῦτο δέ.* — Rc. Sz. pro *τ. πατρ. μ.* h. *τοῦ πέμψαντός με.* — Ln. *αὐτὸν* (*ἐγὼ*) *ἐν τ. ἐσχ.* .. om. *ἐγώ* AD al. It.[3] al. Clem. al.; etiam var. pon. .. h. *ἐν* ADKLS al. Vg. al. Clem. al.
42. Om. *Ἰησοῦς* 3. al. Vg. ms. It.[5] al. Chrs. al. — Ln. *πῶς* (*οὖν*) *λέγ.* (*οὗτος*) .. om. *οὖν* Verc. et h. *νῦν* BT Cpt. Arm. .. om. *οὗτος* CDLT al. It.[2] al. Cyr. Chrs.
43. Rc. Kn. *ἀπεκρ. οὖν,* Ln. (—) [om. c. BCKLT al. Syr. Verc. al. m. Cyr.]

μετ' ἀλλήλων. [44] οὐδεὶς δύναται ἐλθεῖν πρός μέ, ἐὰν μὴ ὁ πατὴρ 44
ὁ πέμψας με ἑλκύσῃ αὐτόν, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ
* E. 54, 13. ἡμέρᾳ. [45] ἔστιν γεγραμμένον ἐν τοῖς προφήταις· Καὶ ἔσονται πάν- 45
τες διδακτοὶ θεοῦ. πᾶς ὁ ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθὼν
ἔρχεται πρός μέ· [46] οὐχ ὅτι τὸν πατέρα ἑώρακέν τις εἰ μὴ ὁ ὢν 46
παρὰ τοῦ θεοῦ, οὗτος ἑώρακεν τὸν πατέρα. [47] ἀμὴν ἀμὴν λέγω 47
ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. [48] ἐγώ εἰμι ὁ ἄρτος 48
* Ex.16, 15. τῆς ζωῆς. [49] οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα καὶ 49
ἀπέθανον· [50] οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, 50
ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. [51] ἐγώ εἰμι ὁ ἄρτος ὁ 51
ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρ-
του, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ
μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. [52] Ἐμάχοντο οὖν πρὸς ἀλλή- 52
λους οἱ Ἰουδαῖοι λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν
σάρκα φαγεῖν; [53] εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω 53
ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε
αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. [54] ὁ τρώγων μου τὴν 54
σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω
αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. [55] ἡ γὰρ σάρξ μου ἀληθής ἐστιν βρῶσις, 55
καὶ τὸ αἷμά μου ἀληθής ἐστιν πόσις. [56] ὁ τρώγων μου τὴν σάρκα 56
καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. [57] καθὼς 57
ἀπέστειλέν με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώ-
γων με, κἀκεῖνος ζήσει δι' ἐμέ. [58] οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐξ οὐ- 58
ρανοῦ καταβάς, οὐ καθὼς ἔφαγον οἱ πατέρες καὶ ἀπέθανον· ὁ

44. Hab. πρ. ἐμέ BM al. — Rc. om. ἐν ante τῇ ἐσχ.
45. Rc. διδακτ. τοῦ θεοῦ. — Rc. Kn. πᾶς οὖν. — Sz. ὁ ἀκούων c. DEHSVΔ al. pl. Vg. ms. It. (exc. 4.) al. Cyr. Hil. — h. πρ. ἐμέ BT.
47. Om. εἰς ἐμέ BLT Arm.
51. Hab. ζήσει D 33. Or. — om. δέ D al. Syr. Vg. It. al. — Rc. Kn. Sz. ἣν ἐγὼ δώσω ὑπὲρ τῆς etc. [om. c. BCDLT al. Aeth. Sah. Vg. It. (exc. Brix.) Or. (2; h. 2; hab. etiam Clem.) Ath. Cyr. Tert. al.]
52. Ln. τ. σάρκα αὐτοῦ c. BT Syr. utr. Vg. It. (exc. 1.) al. m. Chrs. al.
54. Kn. Sz. ἐν τῇ ἐσχ. et Ln. (ἐν)
55. Rc. Kn. Sz. bis h. ἀληθῶς. [ἀληθής c. BCKLT al. pm. It.[2] al. Clem. Or. (5; ἀληθῶς 1.) Bas. al.]
57. Hab. ἀπέσταλκεν D al. — Rc. Kn. Sz. ζήσεται. [ζήσει c. BC*KLT al. Or. Eus. al. . . h. ζῇ D.]
58. Rc. Kn. Sz. ὁ ἐκ τοῦ οὐρ. iid. οἱ πατέρ. ὑμῶν [om. c. BCLT Cpt.

59 τρώγων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα. 59 ταῦτα εἶπεν ἐν
συναγωγῇ διδάσκων ἐν Καφαρναούμ.

60 Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· Σκλη-
61 ρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται αὐτοῦ ἀκούειν; 61 εἰδὼς δὲ
ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσιν περὶ τούτου οἱ μαθηταὶ αὐ-
62 τοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει; 62 ἐὰν οὖν θεωρῆτε
63 τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; 63 τὸ
πνεῦμά ἐστιν τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα
64 ἃ ἐγὼ λελάληκα ὑμῖν πνεῦμά ἐστιν καὶ ζωή ἐστιν. 64 ἀλλ' εἰσὶν
ἐξ ὑμῶν τινὲς οἳ οὐ πιστεύουσιν. ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς,
τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.
65 65 καὶ ἔλεγεν· Διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν
πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός.

66 Ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω
67 καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. 67 εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς
68 δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; 68 ἀπεκρίθη αὐτῷ Σίμων
Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου
69 ἔχεις· 69 καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ ἅγιος Mt 16,
70 τοῦ θεοῦ. 70 ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώ- 16.
71 δεκα ἐξελεξάμην; καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν. 71 ἔλεγεν δὲ τὸν
Ἰούδαν Σίμωνος Ἰσκαριώτου· οὗτος γὰρ ἔμελλεν παραδιδόναι αὐ-
τόν, εἷς ἐκ τῶν δώδεκα.

---

Or.; etiam ἡμῶν leg.] τὸ μάννα (h. Ln. quoq. .. om. c. CDLT 33. Cpt. Sah. Or.). — ζήσει c. CELSTVΔ al. pl. Or. al. .. Rc. Kn. Sz. Ln. ζήσεται.

63. Rc. ἐγὼ λαλῶ.

64. Om. μή G al. Vg. It.[6] Sx. Cyr. Chrs. al. — h. παραδιδούς D al.

65. Rc. Kn. Sz. add. in f. μου. [om. c. BCDKLT al. It.[4] al.]

68. Rc. ἀπεκρ. οὖν, qd Kn. (—).

69. Rc. Kn. Sz. εἶ ὁ Χριστὸς ὁ υἱὸς τ. θ. et add. Rc. τοῦ ζῶντος, qd Kn. (—).

70. Om. ὁ Ἰησ. EFHMSVΔ al. pm. Ar. p. al.

71. Rc. Kn. Sz. Ἰσκαριώτην. [Ἰσκαριώτου c. BCGL 33. Vg. It. cdd. al. .. h. Σκαριώθ D It. cdd. .. ἀπὸ Καριώτου 69. 124.] — Rc. Kn. Sz. ἤμελλ. iid. εἷς ὢν ἐκ. [om. c. BC*DL Syr. Prs. p.]

# VII.

Καὶ μετὰ ταῦτα περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ· οὐ 1
γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰου-
δαῖοι ἀποκτεῖναι. [2]Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνο- 2
πηγία. [3]εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· Μετάβηθι ἐν- 3
τεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεω-
ρήσωσιν τὰ ἔργα ἃ ποιεῖς· [4]οὐδεὶς γάρ τι ἐν κρυπτῷ ποιεῖ καὶ 4
ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι. εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυ-
τὸν τῷ κόσμῳ. [5]οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. 5
[6]λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ 6
δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. [7]οὐ δύναται ὁ κό- 7
σμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι
τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. [8]ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτήν· ἐγὼ 8
οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ ἐμὸς καιρὸς οὔπω
πεπλήρωται. [9]ταῦτα εἰπὼν αὐτὸς ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. [10]Ὡς 9 10
δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ εἰς τὴν ἑορτήν, τότε καὶ αὐτὸς
ἀνέβη, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ. [11]οἱ οὖν Ἰουδαῖοι ἐζή- 11
τουν αὐτὸν ἐν τῇ ἑορτῇ καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος; [12]καὶ γογ- 12
γυσμὸς περὶ αὐτοῦ ἦν πολὺς ἐν τοῖς ὄχλοις. οἱ μὲν ἔλεγον· ὅτι
ἀγαθός ἐστιν· ἄλλοι ἔλεγον· Οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. [13]οὐδ- 13
εὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰου-
δαίων.

Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ 14
ἐδίδασκεν. [15]ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες· Πῶς οὗτος 15

---

**Cap. VII.** 1. Om. *καί* C*D al. Syr. Vg. It. (Vg. et It.[3] b. *μετὰ τ. δέ*) al.

3. Rc. Kn. Sz. post *ἔργα* add. *σοῦ*, qd Ln. ante *τὰ ἔργ.* pon. .. om. c. D al. Syr. It.[4] antqss. Cyr. Bas. al... etiam *ἃ σύ* et aliter leg.

4. Rc. Kn. Sz. pon. *ἐν κρ. τι*, qd om. K. — Ln. *ζητεῖ αὐτό* c. BD* (in m. *αὐτός*) Ct.

8. Rc. Kn. Sz. etiam post *ἑορτήν* prius add. *ταύτην*. — Rc. Ln. *ἐγὼ οὔπω*. [*οὐκ* c. DK al. Vg. It. (exc. 2.) al. m. Porphyr. (ap. Hier.) Epiph. Chrs. al.] — Rc. Kn. Sz. *ὁ καιρὸς ὁ ἐμός*.

9. Rc. Ln. *ταῦτα δέ*. [om. c. DK al. m. Syr. Vg. It. (exc. 1.) al. Cyr. Chrs.] — *αὐτός* c. D*KLT al. Vg. It.[4] al... Rc. Kn. Sz. Ln. *αὐτοῖς*.

10. Rc. Kn. Sz. *εἰς τ. ἑορτ.* post *ἀνέβη* pon.

12. Rc. Ln. *ἄλλοι δέ*. [om. c. DGKLMSVΔ al. pm. Syr. Ver. al. Euth. Thphyl.]

14. Rc. Kn. Sz. *ὁ Ἰησ.* et v. 15. *καὶ ἐθαύμαζ.*

16 γράμματα οἶδεν μὴ μεμαθηκώς; 16 ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ
εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με·
17 17 ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς δι-
18 δαχῆς, πότερον ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. 18 ὁ
ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δό-
ξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστιν καὶ ἀδικία ἐν αὐτῷ
19 οὐκ ἔστιν. 19 οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ
20 ὑμῶν ποιεῖ τὸν νόμον. τί με ζητεῖτε ἀποκτεῖναι; 20 ἀπεκρίθη ὁ
21 ὄχλος· Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; 21 ἀπεκρίθη Ἰη-
σοῦς καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα καὶ πάντες θαυμάζετε
22 22 διὰ τοῦτο. Μωϋσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, — οὐχ ὅτι ἐκ *Lv.12,
τοῦ Μωϋσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων — καὶ ἐν σαββάτῳ 3.
23 περιτέμνετε ἄνθρωπον. 23 εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν
σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος Μωϋσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον
24 ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; 24 μὴ κρίνετε κατ' ὄψιν,
25 ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. 25 Ἔλεγον οὖν τινὲς ἐκ τῶν Ἱερο-
26 σολυμιτῶν· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; 26 καὶ ἴδε,
παῤῥησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσιν. μήποτε ἀληθῶς ἔγνωσαν
27 οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ὁ Χριστός; 27 ἀλλὰ τοῦτον οἴδαμεν
πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν
28 ἐστίν. 28 ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς καὶ λέγων·
Κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί; καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα,
29 ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε· 29 ἐγὼ
30 οἶδα αὐτόν, ὅτι παρ' αὐτοῦ εἰμι κἀκεῖνός με ἀπέστειλεν. 30 ἐζή-
τουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα,

---

16. Kn. Sz. Ln. *ἀπεκρ. οὖν* c. BEHKMSTVΔ al. pl. Sah. al. .. h. etiam *καί* et *δέ* It. cdd. — om. ὁ ante *Ἰησ*. B.
19. Ln. *ἔδωκεν* c. BD al. — 20. Rc. Kn. Sz. ὁ *ὄχλ. καὶ εἶπε.*
21. Rc. Kn. Sz. Ln. ὁ *Ἰησ*... om. c. BGH al. pm. Thphyl.
22. Rc. Sz. *Διὰ τοῦτο* c. sqtibus cjgt. (sic Chrs. Cyr. Euth. non Thphyl.) — h. *ἔδωκεν* DL al. — Ln. *καὶ (ἐν) σ.*
23. Hab. *εἰ οὖν περιτ.* D 29. Ct. Verc. Brix. Arm.
24. Rc. Kn. Sz. in f. *κρίνατε.* [*κρίνετε* c. BDLT al. Cyr.]
26. Om. ab init. *καί* LX al. Cpt. Vg. ms. It.[3] Cyr. — Rc. *ἀληθῶς ὁ Χρ.*
28. Rc. Kn. Sz. Ln. *πόθ. εἰμί· καί.* — 29. Rc. *ἐγὼ δέ.*
30. Hab. *τὰς χεῖρας* G al. Syr. Vg. It. al.

ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. [31] Ἐκ τοῦ ὄχλου δὲ πολλοὶ ἐπί- 31
στευσαν εἰς αὐτὸν καὶ ἔλεγον· Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα
σημεῖα ποιήσει ὧν οὗτος ἐποίησεν; [32] ἤκουσαν οἱ Φαρισαῖοι τοῦ 32
ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν οἱ ἀρχιερεῖς
καὶ οἱ Φαρισαῖοι ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν. [33] εἶπεν οὖν ὁ 33
Ἰησοῦς· Ἔτι χρόνον μικρὸν μεθ' ὑμῶν εἰμὶ καὶ ὑπάγω πρὸς τὸν
πέμψαντά με. [34] ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ 34
ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. [35] εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυ- 35
τούς· Ποῦ οὗτος μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν
αὐτόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι
καὶ διδάσκειν τοὺς Ἕλληνας; [36] τίς ἐστιν ὁ λόγος οὗτος ὃν εἶπεν· 36
Ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνα-
σθε ἐλθεῖν;

Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰη- 37
σοῦς καὶ ἔκραξεν λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρὸς μὲ καὶ πι-
* Zch. 14, 8. νέτω. [38] ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ 38
* Es. 58, 11. τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. [39] τοῦτο δὲ εἶπεν 39
περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν·
οὔπω γὰρ ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. [40] Ἐκ τοῦ 40
ὄχλου οὖν ἀκούσαντες τῶν λόγων τούτων ἔλεγον· Οὗτός ἐστιν

---

30. Hab. ἐλήλυθεν BL al.
31. Rc. Kn. Sz. πολλ. δὲ ἐκ τ. ὄχλ. iid. ὅτι ὁ Χρ. ὅτ. ἔ. μήτι πλ. σ. τούτων. — h. οὗτος ποιεῖ D al. Syr. Vg. It. (exc. 2.)
32. Hab. ἤκουσ. οὖν MT al. It.[3] .. etiam δέ (D) et καί leg. — Rc. Kn. Sz. οἱ Φαρ. κ. οἱ ἀρχ. — 33. Rc. οὖν αὐτοῖς.
34. Ln. εὑρήσετέ με. Sic etiam v. 36. — h. ὅπου εἰμι Aeth. Ar. Ct. Verc. Colb. Nonn. Thphyl.; sic etiam v. 36.
35. Hab. μήτι D. 124. numquid Vg. It.
36. Cf. nota ad v. 34. — Post hunc v. add. καὶ ἐπορεύθη ἕκαστος etc. (est pericopa de adultera, Jo. 7, 53 — 8, 11.) 225. (sec. XII.)
39. Hab. πνεύματ. ὅ BEKMV al. Thphyl. — h. ἤμελλ. EKMVΔ al. m. — Ln. οἱ πιστεύσαντες c. BL al. .. h. πιστεύσοντες T. — Rc. Kn. Sz. πνεῦμα ἅγιον [om. c. KT al. Syr. Prss. Cpt. Sah. Arm. Vg. It. (exc. Brix.) Or. (4.) Ath. Cyr. al. m.], Ln. πν. δεδομένον c. B Syr. Vg. It. (exc. Brix. Harl.*) al. Victorin. al. .. pro eo al. alia add. — Rc. Kn. Sz. ὁ Ἰησ. — Ln. οὔπω ἐδοξ. c. BD. .. h. οὐδεπώποτε L.
40. Rc. Kn. Sz. πολλοὶ οὖν ἐκ τ. ὄχλ. ἀκούσ. τὸν λόγον ἔλεγ. — h. ὅτι οὗτος BDL Ct.

41 ἀληθῶς ὁ προφήτης· [41] ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός·
42 ἄλλοι ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; [42] οὐχὶ
ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαυὶδ καὶ ἀπὸ Βηθλεὲμ * Ps. 89, 4.
43 τῆς κώμης, ὅπου ἦν Δαυίδ, ἔρχεται ὁ Χριστός; [43] σχίσμα οὖν * Mich.
44 ἐγένετο ἐν τῷ ὄχλῳ δι' αὐτόν· [44] τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιά- 5, 1.
σαι αὐτόν, ἀλλ' οὐδεὶς ἔβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.
45 Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους.
46 καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν; [46] ἀπεκρί-
47 θησαν οἱ ὑπηρέται· Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος. [47] ἀπ-
εκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε;
48 [48] μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρι-
49 σαίων; [49] ἀλλὰ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπάρατοί
50 εἰσιν. [50] λέγει Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν πρὸς αὐτὸν πρό-
51 τερον, εἷς ὢν ἐξ αὐτῶν· [51] Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρω-
52 πον, ἐὰν μὴ ἀκούσῃ πρῶτον παρ' αὐτοῦ καὶ γνῷ τί ποιεῖ; [52] ἀπ-
εκρίθησαν καὶ εἶπαν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ;
ἐρεύνησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγείρεται.

---

41. Ln. ab init. ἄλλοι (δέ), tum οἱ δὲ ἔλ. et Rc. Kn. Sz. ἄλλ. δέ. .. id om. c. DEGHKSΔ al. pl. Syr. utr. al.

44. Rc. Kn. Sz. ἐπέβαλεν.

46. Rc. Kn. Sz. οὐδ. οὔτ. ἐλάλ. ἄνθρ. et add. ὡς οὗτος ὁ ἄνθρωπος. [om. c. BLT al. Cpt. For. Or. Cyr. Chrs. ms. Aug. .. h. ὡς οὗτος λαλεῖ D Ct. It.2. .. ὡς καὶ οὗτος Verc. .. ὡς οὗτ. ὁ ἄνθρ. λαλεῖ 3. 9. Syr. et Syr. hr. It.2. al.]

47. Om. οὖν D. 1. 33. al. Syr. It.3. al. m. Cyr. .. h. δέ Cpt. — om. αὐτοῖς BK al. Arm. It.2.

49. Rc. Kn. Sz. ἐπικατάρατοι. [ἐπάρ. c. BT 1. 33. Or. Cyr. Chrs.]

50. Rc. Kn. Sz. ὁ ἐλθ. νυκτὸς πρ. αὐτ. [πρότερ. c. BLT al. Sah. Syr. hr. Verc. Cyr. .. h. πρ. αὐτ. νυκτός K al. It.4. Gth.; etiam νυκτὸς πρ. αὐτ. τὸ πρότερον, πρ. αὐτ. νυκτὸς τὸ πρῶτον (D) et aliter leg.

51. Rc. Kn. Sz. ἀκούσ. παρ' αὐτ. πρότερον.

52. Rc. Kn. Sz. ὅτι προφ. ἐκ τ. Γαλ. οὐκ ἐγήγερται. [ἐγείρ. c. BDKS in m. TΔ al. pm. Syr. utr. Vg. It. al. Or. (h. ἐξέρχεται οὐδὲ ἐγείρ.)]

53. Ab hoc v. usq. ad v. 11. cap. VIII. om. cum BCLTXΔ (L et Δ spatium vacuum hab.) al. fere quinquaginta praeter m. Evgliataria Syr. Syr. p. Cpt. mss. pleriq. Ar. (e Copt. facta) Sah. Arm. ms. Gth. Verc. Brix. Praetereunt Or. Apollin. Thdor. mops. Cyr. Chrs. Bas. Tert. Cypr. Juv. al. Ammon. et Eus. (in canon.) .. Asterisc. notant E al. m. et obelis S al. plus triginta, .. hab. in fine evglii pericopam totam vel

[καὶ ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. (VIII.) 1 Ἰη- 53 1
σοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 2 ὄρθρου δὲ πάλιν παρ- 2
εγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν· καὶ κα-
θίσας ἐδίδασκεν αὐτούς. 3 ἄγουσιν δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρι- 3
σαῖοι πρὸς αὐτὸν γυναῖκα ἐν μοιχείᾳ κατειλημμένην· καὶ στήσαντες
αὐτὴν ἐν μέσῳ 4 λέγουσιν αὐτῷ· Διδάσκαλε, αὕτη ἡ γυνὴ κατειλή- 4
*L.v.20, 10. φθη ἐπαυτοφώρῳ μοιχευομένη. 5 ἐν δὲ τῷ νόμῳ Μωϋσῆς ἡμῖν ἐνετεί- 5
λατο τὰς τοιαύτας λιθοβολεῖσθαι· σὺ οὖν τί λέγεις; 6 τοῦτο δὲ 6
ἔλεγον πειράζοντες αὐτόν, ἵνα ἔχωσιν κατηγορεῖν αὐτοῦ. ὁ δὲ Ἰη-
σοῦς κάτω κύψας τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν. 7 ὡς δὲ ἐπέμε- 7

---

inde a v. 3-11. 1. al. m... hab. post c. 21. ev. Lucae 13. 69. 124. 346... post Jo. 7, 36. hab. 225. — — Hab. pericopam DGHKMU al. pl. cdd. m. gr. ap. Hier. Arr. Prss. (in cod. vat. ad c. X. tracta est) Cpt. Aeth. Syr. hr. Vg. It.[12] al. Cstitt. Euth. (in accuratiss. non inveniri dicit) Hier. Aug. (sublatam esse ait a nonnullis modicae fidei vel potius inimicis verae fidei) al. — — Textum ita exhibent ut refero Rc. Sz. sed Kn. (—) et Ln. om.

[53. Hab. ἐπορεύθησαν DMS al. m... ἀπῆλθεν 9. al. pm... etiam ἀπῆλθον et aliter leg. — εἰς τὰ ἴδια et τὸν τόπον leg. —

Cap. VIII. 1. Hab. καὶ (ὁ) Ἰησ. 11. al. pm. .. etiam ὁ δὲ Ἰ. et καὶ ὁ Ἰ. δέ leg. — h. ἐπορεύετο S al.

2. Hab. πάλιν βαθέος s. βαθέως 9. al. pm. Euth. — h. παραγίνεται D .. ἦλθεν 11. al. pm. Vg. It. al. et al. aliter. — om. πρὸς αὐτ. EGHK al. m. .. etiam λαός et ἤρχ. var. .. om. καὶ πᾶς usq. αὐτόν 13. al. — om. καὶ καθ. ἐδίδ. α. D al. Ct.

3. Pro ἄγ. leg. φέρουσιν, δέ om., οἱ γρ. om. et var. pon. — Sz. om. πρ. αὐτ. et Kn. (—) — Sz. ἐπὶ μοιχ. .. h. ἐπὶ ἁμαρτίᾳ εἰλημμένην D Ct... h. καταληφθεῖσαν EGHK al. m. — h. ἐν τῷ μέσ. 9. al. pm.

4. Hab. εἶπον U al. pm. Vg. Euth. — h. αὐτῷ πειράζοντες (ἐκπειρ. D) EGHK al. pm. — h. ταύτην εὕρομεν ἐπ' αὐτοφώρῳ μοιχευομένην U al. pm. .. h. κατελήφθη EGHK al. m. .. εἴληπται M al. m. et al. aliter.

5. Hab. Μωϋσ. δὲ ἐν τῷ ν. ἐκέλευσεν D Ct. .. h. νόμ. ἡμῶν sine ἡμῖν HS al. pm. Aeth. al. et al. aliter. — Sz. λιθάζειν. .. etiam λιθάζεσθαι leg. — Sz. add. in f. περὶ αὐτῆς.

6. Om. τοῦτο usq. αὐτοῦ DM 264. Ct. — h. εἶπον S al. — h. ἐκπειρ. 57. al. — h. ἵνα εὕρωσιν, σχῶσιν, ἔχουσιν. — Sz. κατηγορίαν κατ' αὐτ. — h. κάτω κεκυφώς, κάτω νεύσας et aliter. — h. κατέγραφ. DEGHM al. m. — add. in f. μή (al. καί al. om.) προσποιούμενος EK al. pm.

νον ἐρωτῶντες αὐτόν, ἀνακύψας εἶπεν πρὸς αὐτούς· Ὁ ἀναμάρ-
8 τητος ὑμῶν πρῶτος τὸν λίθον ἐπ' αὐτῇ βαλέτω. [8] καὶ πάλιν κάτω
9 κύψας ἔγραφεν εἰς τὴν γῆν. [9] οἱ δὲ ἀκούσαντες καὶ ὑπὸ τῆς συν-
ειδήσεως ἐλεγχόμενοι ἐξήρχοντο εἷς καθεῖς, ἀρξάμενοι ἀπὸ τῶν
πρεσβυτέρων ἕως τῶν ἐσχάτων· καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς
10 καὶ ἡ γυνὴ ἐν μέσῳ ἑστῶσα. [10] ἀνακύψας δὲ ὁ Ἰησοῦς καὶ μηδένα
θεασάμενος πλὴν τῆς γυναικὸς εἶπεν αὐτῇ· Ἡ γυνή, ποῦ εἰσιν
11 ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κατέκρινεν; [11] ἡ δὲ εἶπεν·
Οὐδείς, κύριε. εἶπεν δὲ αὐτῇ ὁ Ἰησοῦς· Οὐδὲ ἐγώ σε κατακρίνω·
πορεύου καὶ μηκέτι ἁμάρτανε.]

## VIII.

12 [12] Πάλιν οὖν αὐτοῖς ἐλάλησεν ὁ Ἰησοῦς λέγων· Ἐγώ εἰμι τὸ Jo. 12, 46.
φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκο-
13 τίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. [13] εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι·
Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.
14 [14] ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Κἂν ἐγὼ μαρτυρῶ περὶ
ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον

---

7. Hab. ἐπερωτ. M al. m. — om. αὐτόν D al. — h. ἀνέκυψεν καί DMS al. m. Vg. It. .. ἀναβλέψας U al. m. — om. πρ. αὐτ. M 13. .. h. αὐτοῖς DSU al. pm. Vg. It. — h. πρῶτον EG al. — h. ἐπ' αὐτὴν βαλέτω λίθ. D Ct. .. in his valde var. cdd.

8. Hab. κατακύψας et add. τῷ δακτύλῳ D al. — in f. add. ἑνὸς ἑκάστου αὐτῶν τὰς ἁμαρτίας U al. m.

9. Kn. (καὶ ὑπ. τ. συν. ἐλεγχ.) — h. ἐξήρχετο D Ct. .. ἀνεχώρησαν M. 264. .. ἐξῆλθεν et al. aliter. — Kn. (ἕως τῶν ἐσχ.) .. h. ὥστε πάντας ἐξελθεῖν D Ct. — h. κατελήφθη K al. m. — om. μόνος, om. ὁ Ἰησ. .. h. κατελ. μόνη ἡ γ. Syr. utr. Prs. p. .. al. aliter. — Sz. ἐν μέσ. οὖσα.

10. Hab. ἀναβλέψας 4. al. — Kn. (καὶ μηδ. θεασ. πλ. τ. γυν.) — om. αὐτῇ U al. pm. .. h. τῇ γυναικί D Syr. utr. Colb. Ambr. — Sz. γύναι (c. MSU al. pl.) .. om. plane DEGHK al. pm. Syr. utr. Hier. — om. ποῦ usq. σοῦ 11. al. Aug. .. om. ἐκεῖν. οἱ κατ. σ. DM al. pl. Syr. utr. It.[2] al. .. om. ἐκεῖν. HU al. m. Vg. It.[2]

11. Om. αὐτῇ DEKM al. pl. Syr. utr. Vg. al. — h. κρινῶ K al. m. .. κρίνω E al. .. κατακρινῶ GH al. Vg. It. Hier. al. — pro πορ. h. ὕπαγε D .. om. καὶ DM al. It.[1] — h. ἀπὸ τοῦ νῦν μηκ. DMU al. pl. Syr. utr. It.[2] al. Hier.]

12. Ln. μοί c. BT Or. (1.) — Rc. Kn. Sz. περιπατήσει.

καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι καὶ ποῦ
ὑπάγω. 15 ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. 15
16 καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθινή ἐστιν, ὅτι 16
μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ. 17 καὶ ἐν 17
* Dt. 17, τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται· ὅτι δύο ἀνθρώπων ἡ μαρτυ-
6. et 19, 15. ρία ἀληθής ἐστιν. 18 ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρ- 18
Jo. 14, 7. τυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. 19 ἔλεγον οὖν αὐτῷ· Ποῦ 19
ἐστιν ὁ πατήρ σου; ἀπεκρίθη Ἰησοῦς· Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν
πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε. 20 ταῦτα 20
τὰ ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ· καὶ
Jo. 7, 30. οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.
Jo. 7, 33. 34. Εἶπεν οὖν πάλιν αὐτοῖς· Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, καὶ 21
ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύ-
νασθε ἐλθεῖν. 22 ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτόν, 22
ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; 23 καὶ ἔλε- 23
γεν αὐτοῖς· Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς
ἐκ τούτου τοῦ κόσμου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.
24 εἶπον οὖν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν 24
γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις
ὑμῶν. 25 ἔλεγον οὖν αὐτῷ· Σὺ τίς εἶ; εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τὴν 25
ἀρχὴν ὅ,τι καὶ λαλῶ ὑμῖν. 26 πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ 26
κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ'
αὐτοῦ, ταῦτα λαλῶ εἰς τὸν κόσμον. 27 οὐκ ἔγνωσαν, ὅτι τὸν πα- 27
τέρα αὐτοῖς ἔλεγεν. 28 εἶπεν οὖν ὁ Ἰησοῦς· Ὅταν ὑψώσητε τὸν 28

---

14. Om. ὑμεῖς δέ usq. ὑπάγω M Δ al. m. Syr. hr. Or. (2.) Cyr. Aug. .. om. δέ HK al. m. Verc. — Kn. Sz. in f. ἢ π. ὑπάγω.
16. Om. δέ GX al. Vg. It. cdd. — Rc. Kn. Sz. ἀληθής. [ἀληθινή c. BDLTX 33. Or. (1.)]
19. Rc. ὁ Ἰησ. — Rc. Kn. Sz. in f. ᾔδ. ἄν.
20. Rc. ἐλάλησ. ὁ Ἰησοῦς, qd Kn. (—)
21. Rc. Kn. Sz. αὐτοῖς ὁ Ἰησοῦς. [om. c. BDLTX Ct. Ver. Or. Cyr.]
23. Rc. Kn. Sz. καὶ εἶπεν α. et ὑμ. ἐκ τ. κόσμ. τούτ.
25. Rc. Kn. Sz. καὶ εἶπ. — Ln. sic interpg. ὑμῖν; .. h. ὅτι 1. 22. al. m. Arm. Slav... h. initium quod Verc... principium, qui et Vg. It.[3] .. al. lat. aliter. — 26. Rc. Kn. Sz. λέγω εἰς τ. κόσμ.
27. Hab. αὐτοῦ pro αὐτοῖς D al. Vg. It.[2] Slav. ms. Thphyl. et add. in f. τὸν θεόν D al. Vg. It. (exc. 3.) Arm. in m. Slav. ms.
28. Rc. Kn. Sz. οὖν αὐτοῖς.

υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυ-
τοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέν με ὁ πατήρ, ταῦτα λαλῶ.
29 [29] καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστίν· οὐκ ἀφῆκέν με μόνον, ὅτι
ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.
30 31 Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. [31] ἔλε-
γεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν
ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ,
32 [32] καὶ γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.
33 [33] ἀπεκρίθησαν πρὸς αὐτόν· Σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ
δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις· ὅτι ἐλεύθεροι γενήσεσθε;
34 [34] ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ
35 ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς ἁμαρτίας· [35] ὁ δὲ δοῦλος
οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα.
36 [36] ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε.
37 [37] οἶδα, ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι,
38 ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. [38] ἃ ἐγὼ ἑώρακα παρὰ τῷ
πατρὶ λαλῶ· καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε.
39 [39] ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν.
λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ
40 Ἀβραὰμ ἐποιεῖτε· [40] νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς
τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο
41 Ἀβραὰμ οὐκ ἐποίησεν. [41] ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν.
εἶπον αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐκ ἐγεννήθημεν, ἕνα πατέρα ἔχο-

---

28. Rc. Kn. Sz. ὁ πατήρ μου. [om. c. DLT al. Vg. It. (exc. 1.) Slav. ms. Eus. Cyr.]

29. Hab. καὶ οὐκ LX al. Syr. Vg. It.[2.] al. m. Chrs. Cyr. — Rc. Kn. Sz. μόνον ὁ πατήρ. [om. c. BDLTX al. Syr. hr. Vg. It. (exc. 1.) al. Eus. Cyr. al.]

33. Rc. Kn. Sz. ἀπεκρ. αὐτῷ.

34. Om. ὁ ante Ἰησ. B. — om. τῆς ἁμαρτ. D Ct. Ver. Clem. Faustin.

35. Om. ὁ υἱός usq. αἰῶνα 33. al. Clem. . . h. ὁ δέ D al. Syr. Vg. It.[5.] al.

36. Hab. ἐλευθερώσει D al. m.

38. Rc. Kn. Sz. ἐγὼ ὃ ἑώρ. (h. ἐγὼ ἃ ἑώρ. DL al. Cpt. Brix. Cyr. Tert.) et πατρί μου. — om. οὖν 248. al. Syr. Vg. It.[6.] al. m. Chrs. al. — Rc. Kn. Sz. ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν.

39. Ln. Ἀβρ. ἐστε c. BDL Vg. It.[3.] Or. (10; ἦτε 3.) Aug. [Vg. It.[3.] Or. (10.) Aug. tum hab. ποιεῖτε]. — Rc. Ln. ἐποιεῖτε ἄν.

41. Rc. Kn. Sz. εἶπ. οὖν α. et γεγεννήμεθα.

μεν τὸν θεόν. [42]εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ θεὸς πατὴρ ὑμῶν 42
ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ
γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. [43]διὰ τί 43
τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν
λόγον τὸν ἐμόν. [44]ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ 44
τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωπο-
κτόνος ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν
ἀλήθεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι
ψεύστης ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ. [45]ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν 45
λέγω, οὐ πιστεύετέ μοι. [46]τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; 46
εἰ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; [47]ὁ ὢν ἐκ τοῦ 47
θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε,
ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. [48]ἀπεκρίθησαν οἱ Ἰουδαῖοι καὶ εἶπαν 48
αὐτῷ· Οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαι-
μόνιον ἔχεις; [49]ἀπεκρίθη Ἰησοῦς· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ 49
τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. [50]ἐγὼ δὲ οὐ ζητῶ 50
τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. [51]ἀμὴν ἀμὴν λέγω 51
ὑμῖν, ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ
εἰς τὸν αἰῶνα. [52]εἶπον αὐτῷ οἱ Ἰουδαῖοι· Νῦν ἐγνώκαμεν, ὅτι 52
δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέ-
γεις· Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσηται θανάτου εἰς
τὸν αἰῶνα· [53]μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις 53
ἀπέθανεν; καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν ποιεῖς; [54]ἀπ- 54
εκρίθη Ἰησοῦς· Ἐὰν ἐγὼ δοξάσω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν·

---

42. Rc. Kn. εἶπ. οὖν. — om. ὁ ante Ἰησ. B.

44. Rc. ὑμ. ἐκ πατρός. .. post ἐκ om. τοῦ πατρ. K al. Emmer. Or. (1. hab. 15.) .. post πατρ. add. ὑμῶν S in m. al. m. Cpt. Sah. Clem. Or. (1. om. 14.) Didym. Chrs.

45. Ln. λέγω (ὑμῖν). — add. in f. ὑμεῖς D Ct.

46. Rc. Kn. εἰ δὲ ἀλήθ. — 47. om. ὅτι ἐκ usq. ἐστέ D G 113. Ct.

48. Rc. Kn. ἀπεκρ. οὖν. — 49. hab. ἠτιμάσατε L Vg.

51. Rc. Kn. Sz. τὸν λόγ. τὸν ἐμόν.

52. Rc. Kn. Sz. εἶπ. οὖν. – Rc. γεύσεται. .. h. θάνατον οὐ μὴ θεωρήσῃ B. — om. εἰς τ. αἰῶν. D 249. Ct. It.4· Nonn.

53. Om. πατρὸς ἡμῶν D Ct. It.5· — Rc. σεαυτὸν σύ.

54. Rc. Kn. Sz. δοξάζω. [δοξάσω c. BD al. Ct. It.4· Or. Chrs.]

ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε· ὅτι θεὸς ἡμῶν
55 ἐστίν, [55] καὶ οὐκ ἐγνώκατε αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν. κἂν εἴπω
ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης· ἀλλὰ οἶδα αὐ-
56 τὸν καὶ τὸν λόγον αὐτοῦ τηρῶ. [56] Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλ-
57 λιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη. [57] εἶ-
πον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν· Πεντήκοντα ἔτη οὔπω ἔχεις καὶ
58 Ἀβραὰμ ἑώρακας; [58] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω
59 ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγὼ εἰμί. [59] ἦραν οὖν λίθους, ἵνα
βάλωσιν ἐπ' αὐτόν· Ἰησοῦς δὲ ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ.

## IX.

1 2 Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. [2] καὶ ἠρώ-
τησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Ῥαββί, τίς ἥμαρτεν, οὗ-
3 τος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; [3] ἀπεκρίθη Ἰησοῦς·
Οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ
4 ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. [4] ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμ-
ψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται ἐργά-
5 6 ζεσθαι. [5] ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμὶ τοῦ κόσμου. [6] ταῦτα εἰ-
πὼν ἔπτυσεν χαμαὶ καὶ ἐποίησεν πηλὸν ἐκ τοῦ πτύσματος καὶ
7 ἐπέχρισεν αὐτοῦ τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμούς, [7] καὶ εἶπεν αὐτῷ·

---

54. Om. ὁ πατ. μ. Chrs. . . om. μοῦ Syr. hr. Arm. Or. Tert. — Rc. Kn. Sz. Ln. θεὸς ὑμῶν. . . ἡμῶν c. ACGKLMSΔ al. pl. Syr. utr. Vg. ms. It.[8] al. pm. Thphyl. Aug. — 55. Ln. ὅμ. ὑμῖν c. AD al. Thphyl.

57. Hab. τεσσαράκοντα 239. 262. cdd. ap. Euthym. Chrs. al.

58. Hab. εἶπ. οὖν DGK al. m. Ct. Sah. . . καὶ εἶπ. L al. — om. ὁ ante Ἰησ. B. — om. γενέσθαι D Ct. It.[5] Ign. Epiph. Pseudo-Ath. Novat. al.

59. Om. δέ B. — Rc. Sz. in f. add. διελθὼν διὰ μέσου αὐτῶν καὶ παρῆγεν οὕτως, qu. Kn. et Ln. (—) . . om. c. D edd. Prs. w. Sah. Arm. (ἐξῆλθεν, ἐπορεύετο hab.) Vg. It. (exc. Brix.) Or. (vdtr.) Cyr. Chrs. Arn. . . h. καὶ διελθ. δ. μ. αὐτ. ἐπορεύετο καὶ παρ. οὕτ. CL Cpt. Ath. . . al. aliter.

Cap. IX. 1. Hab. παράγ. (ὁ) Ἰησοῦς GH al. Vg. It.[6] Chrs. — h. γεννητῆς EK al. m. . . etiam γεννετῆς et γενητῆς leg. — 3. Rc. ὁ Ἰησ.

4. Hab. ἡμᾶς δεῖ BDL Ct. Cpt. Sah. Arr. Aeth. Cyr. Nonn. (tum h. πέμψ. ἡμᾶς L Cpt. Sah. Arr. Aeth. Cyr.)

6. Hab. ἐπέθηκεν pro ἐπέχρισ. B. — Rc. Kn. Sz. om. αὐτοῦ. [scr. c. ABCL 1. 33. al. . . h. αὐτῷ D Ct. Slav. ms.] — Rc. Kn. Sz. in f. add. τοῦ τυφλοῦ, qd Ln. (—) . . om. c. BL 1. 33. Slav. ms. . . h. αὐτοῖ D Vg. It.[7] al. Ir. al.

Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ· — ὃ ἑρμηνεύε-
ται ἀπεσταλμένος· — ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθεν βλέ-
πων. 8 Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι 8
προσαίτης ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσ-
αιτῶν; 9 ἄλλοι ἔλεγον· ὅτι οὗτός ἐστιν. ἄλλοι ἔλεγον· Οὐχί, ἀλλ' 9
ὅμοιος αὐτῷ ἐστίν. ἐκεῖνος ἔλεγεν· ὅτι ἐγώ εἰμι. 10 ἔλεγον οὖν 10
αὐτῷ· Πῶς οὖν ἠνεῴχθησάν σου οἱ ὀφθαλμοί; 11 ἀπεκρίθη ἐκεῖ- 11
νος· Ἄνθρωπος λεγόμενος Ἰησοῦς πηλὸν ἐποίησεν καὶ ἐπέχρισέν
μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέν μοι· ὅτι ὕπαγε εἰς τὸν Σιλωὰμ καὶ
νίψαι. ἀπελθὼν οὖν καὶ νιψάμενος ἀνέβλεψα. 12 εἶπαν αὐτῷ· 12
Ποῦ ἐστιν ἐκεῖνος; λέγει· Οὐκ οἶδα.

Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε τυφλόν. 13
14 ἦν δὲ σάββατον ἐν ᾗ ἡμέρᾳ τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς καὶ 14
ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. 15 πάλιν οὖν ἠρώτων αὐτὸν καὶ 15
οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν. ὁ δὲ εἶπεν αὐτοῖς· Πηλὸν ἐπέθη-
κέν μου ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην καὶ βλέπω. 16 ἔλεγον 16
οὖν ἐκ τῶν Φαρισαίων τινές· Οὐκ ἔστιν οὗτος παρὰ θεοῦ ὁ ἄν-
θρωπος, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι ἔλεγον· Πῶς δύναται
ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα ἦν ἐν

---

7. Ln. (νίψαι) .. om. A* Ver. Verc. — om. ὃ ἑρμην. ἀπ. Syr. Prs. — Ln. ἀπ. (οὖν) .. om. B (om. οὖν κ. ἐνίψ. καί) al. It.[2] al.

8. Rc. ὅτι τυφλὸς ἦν.

9. Om. ὅτι οὗτ. ἐ. ἄλλ. ἔλ. LX al. Aug. — Rc. Kn. Sz. ἄλλοι δέ· ὅτι ὅμ. .. Ln. ἄλλ. (δὲ) ἔλ. (Οὐχί, ἀλλ') ὅμ. .. ἄλλ. ἔλ. Οὐχ. ἀλλ' ὅμ. c. BCG (vidtr.) LX al. Syr. Vg. It.[5] al. m. Cyr. .. al. aliter. — Ln. ἐκεῖν. δέ c. AK al. Syr. Vg. It. (exc. 1.) al. m. Thphyl.

10. Rc. Kn. Sz. post πῶς om. οὖν, qd Ln. (—) .. scr. c. CDLX al. Ct. It.[2] — Rc. Kn. Sz. ἀνεῴχθ. [ἠνεῴχθ. c. CDLMXΔ al. pm.] — Rc. ἀνεῴχθ. σοι.

11. Hab. ὁ ἄνθρ. BL al. et ὁ λεγόμ. CL al. — ὅτι c. BL Syr. hr. .. om. Rc. Kn. Sz. Ln. — h. ὕπαγε, νίψαι (om. καὶ νίψαι) KX al. m. Cyr. Chrs. — Rc. Kn. Sz. εἰς τὴν κολυμβήθραν τοῦ Σιλ. iid. ἀπελθ. δέ. — om. καί ante νιψάμ. B. Et abii, lavi et video Vg.

12. Rc. Kn. Sz. εἶπ. οὖν. [om. c. AX al. Syr. It.[1] al. m. Aug. .. h. καὶ εἶπ. BL al. Vg. It.[1] Cyr. .. εἶπ. δὲ It.[2] Gth.]

14. Rc. Kn. Sz. σάββ. ὅτε. — h. ἤνοιξ. D al. .. ἠνέῳξ. L al.

15. Om. καί ante Φαρ. X al. m. Syr. Vg. It. (exc. 1.) al.

16. Rc. Kn. Sz. οὗτος ὁ ἄνθρ. οὐκ ἔ. παρ. τοῦ θεοῦ. — h. ἄλλοι δέ D al. Syr. Vg. It.[5] al. m. Cyr.

17 αὐτοῖς. [17] λέγουσιν οὖν τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐ-
τοῦ, ὅτι ἤνοιξέν σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν· ὅτι προφήτης
18 ἐστίν. [18] οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς
ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀνα-
19 βλέψαντος, [19] καὶ ἠρώτησαν αὐτοὺς λέγοντες· Οὗτός ἐστιν ὁ υἱὸς
ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν βλέπει ἄρτι;
20 [20] ἀπεκρίθησαν οἱ γονεῖς αὐτοῦ καὶ εἶπον· Οἴδαμεν, ὅτι οὗτός
21 ἐστιν ὁ υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη· [21] πῶς δὲ νῦν βλέπει
οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδα-
μεν· αὐτὸν ἐρωτήσατε, ἡλικίαν ἔχει, αὐτὸς περὶ αὐτοῦ λαλήσει.
22 [22] ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους·
ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ
23 Χριστόν, ἀποσυνάγωγος γένηται. [23] διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶ-
24 παν· ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. [24] Ἐφώνησαν οὖν τὸν
ἄνθρωπον ἐκ δευτέρου, ὃς ἦν τυφλός, καὶ εἶπαν αὐτῷ· Δὸς δόξαν
τῷ θεῷ· ἡμεῖς οἴδαμεν, ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν.
25 [25] ἀπεκρίθη οὖν ἐκεῖνος· Εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα· ἓν οἶδα,
26 ὅτι τυφλὸς ὢν ἄρτι βλέπω. [26] εἶπον οὖν αὐτῷ· Τί ἐποίησέν σοι;
27 πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς; [27] ἀπεκρίθη αὐτοῖς· Εἶπον
ὑμῖν ἤδη καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς
28 θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; [28] ἐλοιδόρησαν αὐτὸν καὶ εἶπον

---

17. Rc. Kn. Sz. om. οὖν. — h. τί σύ BLX. — h. ἀνέῳξεν KL al. .. ἠνέῳξ. BXΔ al.

18. Om. οὖν D al. It. (exc. 5.) — om. ὅτι τυφλ. ἦν κ. ἀν. D Ct. — om. τοῦ ἀναβλ. 1. 22. al. Cpt. Prs. It.[3] antqss. Chrs. .. om. αὐτοῦ D al. Ct. Arm. Sah. .. om. αὐτ. τοῦ ἀναβλ. It.[1] .. h. ejus qui viderant eum It.[4]

20. Rc. Kn. Sz. ἀπεκρ. αὐτοῖς .. Ln. ἀπ. οὖν (αὐτοῖς) .. om. αὐτ. c. BLX al. Syr. It.[3] al. Cyr.; etiam var. pon. et αὐτῷ leg.

21. Hab. ἠνέῳξ. A al. .. ἀνέῳξ. 249. al. Cyr. Chrs. — Rc. Kn. Sz. Ln. αὐτὸς ἡλικ. ἔχ. (ea ante αὐτ. ἐρωτ. pon. Rc. Kn. Sz.) .. om. c. DLX al. Vg. It. al. Cyr. — om. αὐτ. ἐρωτ. Sah. Ver. Chrs.

23. Om. ὅτι DL It.[3] — h. ἐπερωτ. B. (idem h. v. 21. D.)

25. Om. οὖν KS al. m. Syr. Verc. al. Chrs.; etiam δέ leg. — Rc. Kn. Sz. ἐκεῖν. καὶ εἶπεν. — h. τυφλ. ἤμην καὶ ἄρτ. DL al. It.[4] al. Cyr.

26. Rc. Kn. Sz. εἶπ. δὲ αὐτῷ πάλιν. — h. ἀνέῳξ. K al. m.

27. Om. οὐκ 22. Vg. It. (exc. 3.)

28. Rc. ἐλοιδ. οὖν... etiam οἱ δέ (DL) et καί (B) leg.

*Σὺ μαθητὴς εἶ ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωϋσέως ἐσμὲν μαθηταί·*
*29 ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῇ λελάληκεν ὁ θεός, τοῦτον δὲ οὐκ* 29
*οἴδαμεν πόθεν ἐστίν. 30 ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς·* 30
*Ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστίν,*
*καὶ ἤνοιξέν μου τοὺς ὀφθαλμούς. 31 οἴδαμεν, ὅτι ὁ θεὸς ἁμαρ-* 31
*τωλῶν οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ*
*ποιῇ, τούτου ἀκούει. 32 ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέν* 32
*τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· 33 εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ,* 33
*οὐκ ἠδύνατο ποιεῖν οὐδέν. 34 ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· Ἐν* 34
*ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον*
*αὐτὸν ἔξω.*

*Ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐ-* 35
*τὸν εἶπεν αὐτῷ· Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; 36 ἀπεκρίθη* 36
*ἐκεῖνος· Καὶ τίς ἐστιν, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; 37 εἶπεν* 37
*αὐτῷ ὁ Ἰησοῦς· Καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ,*
*ἐκεῖνός ἐστιν. 38 ὁ δὲ ἔφη· Πιστεύω, κύριε· καὶ προσεκύνησεν* 38
*αὐτῷ. 39 καὶ εἶπεν ὁ Ἰησοῦς· Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦ-* 39
*τον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν καὶ οἱ βλέποντες τυφλοὶ*
*γένωνται. 40 Ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ μετ' αὐτοῦ* 40
*ὄντες καὶ εἶπον αὐτῷ· Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; 41 εἶπεν αὐ-* 41
*τοῖς ὁ Ἰησοῦς· Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ*
*λέγετε· ὅτι βλέπομεν· ἡ ἁμαρτία ὑμῶν μένει.*

---

28. Om. *εἶ* L Cpt. .. Rc. Kn. Sz. ante *μαθ.* pon. et D post *ἐκεῖν.* — om. *δέ* post *ἡμεῖς* D It.[8] al.

30. Hab. *ἐν γὰρ τοῦτο* 47. al. .. *ἐν τούτῳ γάρ* B .. *ἐν τούτ. οὖν* D .. *ἐν τούτ. γὰρ τό* L al. Cyr. Chrs. .. al. aliter. — Rc. Kn. Sz. *ἀνέῳξ.* [*ἤνοιξ.* c. BDL al.] — 31. Rc. Kn. Sz. *οἴδαμ. δέ.* — 32. h. *ἠνέῳξ.* BΔ.

35. Om. *αὐτῷ* BD Ct. — h. *τοῦ ἀνθρώπου* BD Ct. Aeth. Sah. Chrs. ms.

36. Rc. Kn. Sz. *ἐκεῖν. καὶ εἶπε.* [om. c. AB (om. etiam *ἀπεκ. ἐκ.* ac post *ἐστ.* h. *ἔφη*) al. Cpt. Verc.] — Rc. Ln. om. *καί* ante *τίς*.

37. Rc. Kn. Sz. *εἶπ. δέ.* [om. c. BDX al. Syr. utr. Ct. Ver. al.; etiam *καὶ εἶπ.* leg.]

40. Rc. Kn. Sz. Ln. *καὶ ἤκουσ.* .. om. c. B (D h. *ἤκ. δέ*, etiam *οὖν* leg.) L al. Cpt. Arm. Cyr. — om. *ταῦτα* D al. Vg. It. (exc. Verc.) al. — Rc. Kn. Sz. *οἱ ὄντες μ. αὐτ.*

41. Om. *ὁ* ante *Ἰησ.* B. — om. *ἄν* DK al. Sah. — Rc. Kn. Sz. *ἡ οὖν ἁμ.*, qd Ln. (—) .. om. c. BDKLX al. Vg. It.[8] al. Cyr. .. h. *αἱ ἁμαρτίαι ὑμ. μένουσιν* DLX 33. Cyr.

# X.

1 *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς
τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέ-
2 πτης ἐστὶν καὶ λῃστής· [2] ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν
3 ἐστιν τῶν προβάτων. [3] τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα
τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ' ὄνομα
4 καὶ ἐξάγει αὐτά. [4] ὅταν τὰ ἴδια πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν
πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φω-
5 νὴν αὐτοῦ· [5] ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται
6 ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν. [6] Ταύτην
τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν,
7 τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. [7] εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν
8 ἀμὴν λέγω ὑμῖν, ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. [8] πάντες ὅσοι
ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶν καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐ-
9 τῶν τὰ πρόβατα. [9] ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ,
σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.
10 [10] ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ·
11 ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. [11] ἐγώ εἰμι ὁ
ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ
12 τῶν προβάτων· [12] ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστιν
τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ*

---

**Cap. X. 3. Rc. Kn. Sz. pro** *φωνεῖ* **[c. ABDLX al. Cyr.] h.** *καλεῖ.* **— om.** *ἴδια* **Syr. hr.**

**4. Rc. Kn. Sz. Ln.** *καὶ ὅταν.* **.. om. c. BL al. .. h.** *ὅτ. δέ* **K al. Cpt. It.[4] Cyr. — Rc. Kn. Sz.** *πρόβατα* **pro** *πάντα.* **.. h.** *ὅτ. τὰ ἴδια ἐκβ.* **Gth. ..** *ὅτ. αὐτὰ ἐκβ.* **Syr. hr. Chrs. — h.** *ἐκβάλλῃ* **B al.**

**5. Rc. Kn. Sz.** *ἀκολουθήσωσιν.* **[-***θήσουσιν* **c. ABDE al. Cyr. Chrs.]**

**6. Om.** *τίνα ἦν* **Syr. It. cdd. pl. al.**

**7. Om.** *ὁ* **ante** *Ἰησ.* **B. — Rc. Kn. Sz.** *ὅτι ἐγώ,* **Ln. (***ὅτι***) .. om. c. BGKL al. m. It.[2] al. Cyr. Lucif.**

**8. Om.** *πάντες* **D Ct. It.[2] Didym. — Rc. Sz.** *πρὸ ἐμ. ἦλθ.* **.. om.** *πρὸ ἐμ.* **EGMSΔ al. pm. Syr. Syr. hr. Vg. It.[11] al. m. Bas. Cyr. Chrs. al. [***ἦλθ. πρὸ ἐμ.* **c. ABDKL al. pm. It.[2] Aeth. Cpt. Arm. al. Clem. (2.) Hier. Lucif. al.]**

**11. Hab.** *ψυχ. δίδωσιν* **D Prs. p. Vg. It.[5] Aug.**

**12. Om.** *δέ* **GL 1. Vg. ms. It.[3] .. h.** *ὁ δὲ μ.* **DΔ al. — Rc. Kn. Sz.** *οὗ οὐκ εἰσίν.*

πρόβατα καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει·
[13] ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. 13
[14] ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκου- 14
σίν με τὰ ἐμά, [15] καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν 15
πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. [16] καὶ 16
ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ
με ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσιν, καὶ γενήσεται μία
ποίμνη, εἷς ποιμήν. [17] διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ, ὅτι ἐγὼ 17
τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. [18] οὐδεὶς αἴρει 18
αὐτὴν ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀπ᾽ ἐμαυτοῦ. ἐξουσίαν
ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· ταύτην
τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. [19] Σχίσμα πάλιν ἐγέ- 19
νετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους. [20] ἔλεγον δὲ πολ- 20
λοὶ ἐξ αὐτῶν· Δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε;
[21] ἄλλοι ἔλεγον· Ταῦτα τὰ ῥήματα οὐκ ἔστιν δαιμονιζομένου· μὴ 21
δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοῖξαι;
Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσολύμοις· χειμὼν ἦν· 22
[23] καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ Σολομῶνος. 23
[24] ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον αὐτῷ· Ἕως πότε 24
τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παῤῥησίᾳ.

---

12. Om. αὐτά D Syr. Vg. It. (exc. 3.) Aug. — Rc. Kn. Sz. Ln. in f. add. τὰ πρόβατα. .. om. c. BDL 1. 22*. 33. al. Ct. Syr. hr. Cpt. Aeth. Arm. Lcif. (h. αὐτά Sah.)

13. Rc. Kn. Sz. Ln. ab init. add. ὁ δὲ μισθωτὸς φεύγει. .. om. c. BDL 1. 22*. 33. Ct. Syr. hr. Cpt. Aeth. Arm. Sah. Lcif.

14. Rc. Kn. Sz. pro γινώσκουσ. με τ. ἐ. [c. BDL Vg. It. al. m. Cyr. Epiph. Nonn.] h. γινώσκομαι ὑπὸ τῶν ἐμῶν.

16. Hab. γενήσονται BDLX 1. 33. Ct. Brix. Syr. p. in m. Pers. p. Sah. Gth. al.

18. Hab. οὐδ. ἦρεν B. — om. ἀλλ᾽ ἐγ. usq. ἐμαυτ. D al. Ct. Rd. Gth. — om. μοῦ in f. D al. Ct. It.[2.] Novat. al.

19. Rc. Kn. Sz. σχίσμ. οὖν. [om. c. BLX al. Vg. It. (exc. Tol.) al.]

20. Pro δέ leg. οὖν (D), γάρ, καί .. om. 220. Gth.

21. ἀνοῖξ. c. BLX 1. 13. 22**. 33. al. Or. Chrs. . . Rc. Kn. Sz. Ln. ἀνοίγειν.

22. Om. δέ 1. al. Verc. Ver. .. h. τότε BL 33. Sah. Arm.; δὲ τότε Cpt. It.[1.] — om. τοῖς DKMXΔ al. pl. Chrs. — Rc. Kn. Sz. Ln. καὶ χειμ. .. om. c. BDLX 1. 33. al. Cpt. Sah. Ct. It.[1.]

23. Om. ὁ ante Ἰησ. B. — Rc. τοῦ Σολομῶντος.

25 [25] ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Εἶπον ὑμῖν καὶ οὐ πιστεύετε. τὰ
ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ
26 περὶ ἐμοῦ· [26] ἀλλὰ ὑμεῖς οὐ πιστεύετε· οὐ γάρ ἐστε ἐκ τῶν προ-
27 βάτων τῶν ἐμῶν. [27] τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει
28 κἀγὼ γινώσκω αὐτὰ καὶ ἀκολουθοῦσίν μοι, [28] κἀγὼ ζωὴν αἰώνιον
δίδωμι αὐτοῖς καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρ-
29 πάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. [29] ὁ πατήρ μου, ὃς δέδωκέν
μοι, πάντων μείζων ἐστίν, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς
30 31 χειρὸς τοῦ πατρός. [30] ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. [31] Ἐβάστασαν
32 οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. [32] ἀπεκρίθη
αὐτοῖς ὁ Ἰησοῦς· Πολλὰ ἔργα καλὰ ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός·
33 διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με; [33] ἀπεκρίθησαν αὐτῷ οἱ Ἰου-
δαῖοι· Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας
34 καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν. [34] ἀπεκρίθη αὐτοῖς
ὁ Ἰησοῦς· Οὐκ ἔστιν γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν· ὅτι ἐγὼ εἶπα, Ps. 82, 6.
35 Θεοί ἐστε; [35] εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ
36 ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή· [36] ὃν ὁ πατὴρ ἡγίασεν
καὶ ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέγετε· ὅτι βλασφημεῖς, ὅτι
37 εἶπον· Υἱὸς τοῦ θεοῦ εἰμί; [37] εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός
38 μου, μὴ πιστεύετέ μοι· [38] εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε,

---

25. Hab. ἐπιστεύσατε B al. It.[2]·; etiam ἐπιστεύετε leg.
26. Pro οὐ γάρ h. ὅτι οὐκ DLX al. pl. Syr. Vg. It.[6]· al. m. Or. Cyr. Chrs. — Rc. Kn. Sz. in f. add. καθὼς εἶπον ὑμῖν, qu. Ln. (—) .. om. c. BKLM* al. Vg. It.[6]· al. Or. (vdtur) Nonn. Chrs. (incipit v. ἀλλ' εἶπον ὑμῖν, καί); etiam jgtur sqtibus; sic Kn.
27. Hab. ἀκούουσιν L al. Or. Cyr. Bas. .. ἀκούσουσιν B.
28. Hab. καὶ οὐ μὴ ἁρπάσ. DL al. Bas. Cyr.
29. Hab. ὃ δέδωκεν L al. Vg. It. Cpt. al. Tert. Hil. al. (h. ὁ δεδωκώς D Ct. Arm.) ac tum μεῖζον A Vg. It. Cpt. Tert. Hil. al. — Rc. Kn. Sz. Ln. in f. add. μου... om. c. BL al. Or.
31. Om. et οὖν (L) et πάλιν (D Vg. It. exc. 1.).
32. Rc. Kn. Sz. πατρ. μου, Ln. (—) . om. c. BD Ath.
33. Rc. Kn. Sz. Ἰουδ. λέγοντες.
34. Om. ὁ ante Ἰησ. — om. ὑμῶν D al. It.[4]· Eus. Tert. al.; etiam ἡμῶν et Μωϋσέως leg. — Rc. Kn. Sz. om. ὅτι. — Ln. εἶπον c. ADMSΔ al. pm.
36. Om. τοῦ DE al. Cyr. al. — 37. Sz. πιστεύητε (per errorem).
38 Hab. κἂν ἐμ. μὴ θέλετε πιστεύειν D Vg. It. Tert. al.

τοῖς ἔργοις πιστεύετε, ἵνα γνῶτε καὶ γινώσκητε, ὅτι ἐν ἐμοὶ ὁ πα-
τὴρ κἀγὼ ἐν τῷ πατρί. [39] Ἐζήτουν οὖν πάλιν αὐτὸν πιάσαι· καὶ 39
ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.
Καὶ ἀπῆλθεν πάλιν πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον 40
ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμεινεν ἐκεῖ. [41] καὶ 41
πολλοὶ ἦλθον πρὸς αὐτὸν καὶ ἔλεγον· ὅτι Ἰωάννης μὲν σημεῖον
ἐποίησεν οὐδέν, πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου ἀληθῆ
ἦν. [42] καὶ πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν ἐκεῖ. 42

## XI.

Ἦν δέ τις ἀσθενῶν, Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης 1
Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς· [2] ἦν δὲ Μαρία ἡ ἀλεί- 2
ψασα τὸν κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θρι-
ξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. [3] ἀπέστειλαν οὖν αἱ 3
ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι· Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ.
[4] ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν· Αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς 4
θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ
θεοῦ δι' αὐτῆς. [5] ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελ- 5
φὴν αὐτῆς καὶ τὸν Λάζαρον. [6] ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε 6
μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας· [7] ἔπειτα μετὰ τοῦτο λέγει 7
τοῖς μαθηταῖς· Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. [8] λέγουσιν αὐτῷ 8
οἱ μαθηταί· Ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πά-
λιν ὑπάγεις ἐκεῖ; [9] ἀπεκρίθη Ἰησοῦς· Οὐχὶ δώδεκα ὧραί εἰσιν τῆς 9
ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ
φῶς τοῦ κόσμου τούτου βλέπει· [10] ἐὰν δέ τις περιπατῇ ἐν τῇ 10
νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. [11] ταῦτα εἶπεν 11
καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται·

---

38. Rc. Kn. Sz. ἔργ. πιστεύσατε [πιστεύετε c. BDKL al.], tum καὶ πιστεύσητε [γινώσκητε c. BLX al. Cpt. Sah. Arm. Ath. al. .. om. D Ct. It.[5] Tert. al.] et in f. ἐν αὐτῷ. [τ. πατρ. c. BDLX al. Syr. Vg. It.[6] al. m. Or. Ath. al.]
39. Om. et οὖν (EH) et πάλιν (D Vg. It. exc. 1; etiam var. pon.).
40. Ln. ἔμενεν.

Cap. XI. 3. Hab. αὐτοῦ αἱ ἀδελφ. DS 1. al. Syr. Vg. It.[9] al. m.
7. Ln. μαθητ. (αὐτοῦ).
9. Rc. ὁ Ἰησ.

12 ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. 12 εἶπον οὖν αὐτῷ· Κύριε,
13 εἰ κεκοίμηται, σωθήσεται. 13 εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανά-
τοῦ αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν, ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου
14 λέγει. 14 τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ· Λάζαρος
15 ἀπέθανεν, 15 καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην
16 ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν. 16 εἶπεν οὖν Θωμᾶς, ὁ λεγόμενος
Δίδυμος, τοῖς συμμαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν
μετ' αὐτοῦ.
17 Ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἤδη ἡμέρας ἔχοντα
18 ἐν τῷ μνημείῳ. 18 ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων ὡς
19 ἀπὸ σταδίων δεκαπέντε. 19 πολλοὶ δὲ ἐκ τῶν Ἰουδαίων ἐληλύθει-
σαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν, ἵνα παραμυθήσωνται
20 αὐτὰς περὶ τοῦ ἀδελφοῦ. 20 ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι Ἰησοῦς
21 ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. 21 εἶ-
πεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν
22 ἀπέθανεν ὁ ἀδελφός μου· 22 καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ
23 τὸν θεόν, δώσει σοι ὁ θεός. 23 λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἀναστήσεται
24 ὁ ἀδελφός σου. 24 λέγει αὐτῷ ἡ Μάρθα· Οἶδα, ὅτι ἀναστήσεται
25 ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 25 εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ
εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ
26 ζήσεται, 26 καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ
27 εἰς τὸν αἰῶνα· πιστεύεις τοῦτο; 27 λέγει αὐτῷ· Ναί, κύριε· ἐγὼ

---

12. αὐτῷ c. A X al. . . Rc. Kn. Sz. οἱ μαθηταὶ αὐτοῦ. . . Ln. αὐτῷ οἱ μαθηταί. . . h. οἱ μαθ. αὐτῷ B al.; etiam οἱ μαθητ. sine αὐτῷ leg.; etiam αὐτῷ οἱ μαθ. αὐτοῦ.

14. Om. οὖν A al. Verc. Syr. al.

17. Ln. ἦλθεν, tum καὶ εὗρ. — post Ἰησ. add. εἰς Βηθανίαν A** D al. Syr. al. — ἤδη ante ἡμ. c. B C* al. . . Rc. Kn. Sz. Ln. post ἡμ. . . etiam ante τέσσ. pon. . . om. D al. Syr. It.[1.] al.

19. Rc. Kn. Sz. καὶ πολλ. — Ln. πρὸς τὴν Μάρθ. c. BCLX al. . . h. πρὸς Μάρθ. D verss. — Ln. Μαριάμ. — Rc. Kn. Sz. Ln. in f. add. αὐτῶν. . . om. c. BDL Ct. Rd. Arm.

20. Rc. ὁ Ἰησ.

21. Kn. Ln. om. ἡ ante Μάρθ. c. AHS al. pl. Thphyl. — om. τόν ante Ἰησ. B. — Rc. Kn. Sz. ὁ ἀδελφ. μ. οὐκ ἂν ἐτεθνήκει.

22. Rc. Kn. Sz. ab init. add. ἀλλά, Ln. (—) . . om. c. BC*X al. Verc. Chrs.

23. Sz. om. σοῦ (per errorem). — 24. Rc. Kn. Sz. om. ἡ ante Μάρθ.

πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ ὁ εἰς τὸν κό-
σμον ἐρχόμενος. 28 καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν καὶ ἐφώνησεν Μα- 28
ρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα· Ὁ διδάσκαλος πάρεστιν
καὶ φωνεῖ σε. 29 ἐκείνη ὡς ἤκουσεν, ἠγέρθη ταχὺ καὶ ἔρχεται πρὸς 29
αὐτόν· 30 οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν ἐν 30
τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. 31 οἱ οὖν Ἰουδαῖοι οἱ 31
ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες
τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ,
δόξαντες, ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. 32 ἡ οὖν 32
Μαρία ὡς ἦλθεν ὅπου ἦν Ἰησοῦς, ἰδοῦσα αὐτὸν ἔπεσεν αὐτοῦ εἰς
τοὺς πόδας, λέγουσα αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἄν μου ἀπέθα-
νεν ὁ ἀδελφός. 33 Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς 33
συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι
καὶ ἐτάραξεν ἑαυτόν, 34 καὶ εἶπεν· Ποῦ τεθείκατε αὐτόν; λέγουσιν 34
αὐτῷ· Κύριε, ἔρχου καὶ ἴδε. 35 ἐδάκρυσεν ὁ Ἰησοῦς. 36 ἔλεγον 35 36
οὖν οἱ Ἰουδαῖοι· Ἴδε, πῶς ἐφίλει αὐτόν. 37 τινὲς δὲ ἐξ αὐτῶν εἶπον· 37
Οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆ-
σαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; 38 Ἰησοῦς οὖν πάλιν ἐμβριμώ- 38
μενος ἐν ἑαυτῷ ἔρχεται εἰς τὸ μνημεῖον· ἦν δὲ σπήλαιον, καὶ λίθος
ἐπέκειτο ἐπ' αὐτῷ. 39 λέγει Ἰησοῦς· Ἄρατε τὸν λίθον. λέγει αὐτῷ 39
ἡ ἀδελφὴ τοῦ τετελευτηκότος Μάρθα· Κύριε, ἤδη ὄζει, τεταρταῖος
γάρ ἐστιν. 40 λέγει αὐτῇ ὁ Ἰησοῦς· Οὐκ εἶπόν σοι, ὅτι ἐὰν πι- 40
στεύσῃς ὄψῃ τὴν δόξαν τοῦ θεοῦ; 41 ἦραν οὖν τὸν λίθον· ὁ δὲ 41

---

28. Pro *ταῦτα* h. *τοῦτο* BCX al. — Ln. *Μαριάμ*.
29. Hab. *ἐκείν. δέ* BL al. Brix. al. — Rc. Kn. Sz. *ἐγείρεται*. [*ἠγέρθη* et *ἔρχεται* c. C* D It.[5.] (probabiliter) Syr. p. in m. .. h. *ἠγέρθη* et *ἤρχετο* BL al. It. cdd. al.]
30. Hab. *οὔπ. γάρ* D (h. *οὐ*) Vg. It. al. — Ln. *ἦν ἔτι* c. BCX al. Vg. It. al.
31. Om. *καί* ante *παραμυθ.* D It.[5.] al. — Ln. *Μαριάμ*. — *δόξ.* c. BDLX 1. 13. 22. al. Syr. al. m. Andr. cret. Nonn. .. Rc. Kn. Sz. Ln. *λέγοντες*.
32. Rc. Kn. Sz. *ὁ Ἰησ.* — h. *πρός* pro *εἰς* CDL al. — om. *αὐτῷ* DX al. Verc. al. — Rc. Kn. Sz. Ln. *ἀπέθ. μου ὁ ἀδ.* .. *μοῦ* ante *ἀπ.* c. BCL al. (D *μοῦ ὁ ἀδ. ἀπ.*)
35. Hab. *καὶ ἐδάκρ.* D al. Syr. Vg. It. al. m. — 37. Ln. *ἐδύνατ.* c. CDK.
39. Rc. Kn. Sz. *ὁ Ἰησ.* iid. *τοῦ τεθνηκότος*.
40. Rc. Kn. Sz. *ὄψει*. [*ὄψῃ* c. ABDEHLSXΔ al. Or. Cyr.]
41. Rc. *λίθον, οὗ ἦν ὁ τεθνηκὼς κείμενος*, qu. Kn. (—).

Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν· Πάτερ, εὐχαριστῶ
42 σοι, ὅτι ἤκουσάς μου. [42] ἐγὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις·
ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ
43 με ἀπέστειλας. [43] καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασεν· Λά-
44 ζαρε, δεῦρο ἔξω. [44] ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ
τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. λέγει
αὐτοῖς ὁ Ἰησοῦς· Λύσατε αὐτὸν καὶ ἄφετε αὐτὸν ὑπάγειν.
45 Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν
46 καὶ θεασάμενοι ἃ ἐποίησεν, ἐπίστευσαν εἰς αὐτόν· [46] τινὲς δὲ ἐξ
αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους καὶ εἶπον αὐτοῖς ἃ ἐποίη-
σεν Ἰησοῦς.
47 Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον καὶ
ἔλεγον· Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα;
48 [48] ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ
ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ
49 ἔθνος. [49] εἷς δέ τις ἐξ αὐτῶν, Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυ-
50 τοῦ ἐκείνου, εἶπεν αὐτοῖς· Ὑμεῖς οὐκ οἴδατε οὐδέν, [50] οὐδὲ λογί-
ζεσθε ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ
51 λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. [51] τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ
οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου ἐπροφήτευσεν,
52 ὅτι ἤμελλεν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους· [52] καὶ οὐχ
ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ δι-
53 εσκορπισμένα συναγάγῃ εἰς ἕν. [53] ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας συνε-
βουλεύσαντο, ἵνα ἀποκτείνωσιν αὐτόν.
54 Ὁ οὖν Ἰησοῦς οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις,

---

44. Rc. Kn. Sz. Ln. καὶ ἐξῆλθ... om. c. BC* L al. Cpt. Sah. Or. (text. et comm.).. h. καὶ εὐθύς D Vg. It.[3] — Rc. Kn. Sz. Ln. om. αὐτόν post ἄφ... scr. c. BC* L al. Cpt. Sah. Or. (4.) Bas. sel. Chrs.
45. Ln. Μαριάμ. — h. ὃ ἐποίησ. A** BCD al. Syr. al. (ἃ Or.); etiam ὅσα leg. — Rc. ἐποίησ. ὁ Ἰησοῦς, qd Kn. (—).
46. Ln. ὃ ἐπ. c. CDM al. Ver... h. ὅσα AK al. — Rc. Kn. Sz. ὁ Ἰησ.
47. Hab. τοιαῦτα pro πολλά D Ct. It.[3]
48. Om. καί ante τ. τόπ. DK al. Sah. Vg. It.
50. Rc. Kn. Sz. διαλογίζ. [λογίζ. c. ABDL 1. 22. al. Sah. Or. (2.) al.]
51. Rc. Kn. Sz. προεφήτ. ὅτι ἔμελλ. ὁ Ἰησ.
53. Ln. ἐβουλ. c. BD al. Or. (1; συνεβ. 2. etiam in text.) Chrs.
54. ὁ οὖν Ἰ. c. BLMX al. Or. (2.).. Rc. Kn. Sz. Ln. Ἰησοῦς οὖν.

ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ
λεγομένην πόλιν· κἀκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν. 55 ἦν δὲ 55
ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσό-
λυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. 56 ἐζή- 56
τουν οὖν τὸν Ἰησοῦν καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστη-
κότες· Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; 57 δεδώ- 57
κεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολήν, ἵνα ἐάν τις γνῷ
ποῦ ἐστιν μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

## XII.

Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, 1
ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν ὁ Ἰησοῦς. 2 ἐποίησαν οὖν 2
αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει, ὁ δὲ Λάζαρος εἷς ἦν
Mt. 26, 6-12. Mc. 14, 3-8. τῶν ἀνακειμένων σὺν αὐτῷ. 3 ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου 3
νάρδου πιστικῆς πολυτίμου ἤλειψεν τοὺς πόδας τοῦ Ἰησοῦ καὶ
ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπλη-
ρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. 4 λέγει δὲ ὁ Ἰσκαριώτης, εἷς ἐκ 4
τῶν μαθητῶν αὐτοῦ, ὁ μέλλων αὐτὸν παραδιδόναι· 5 Διὰ τί τοῦτο 5
τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς;
6 εἶπεν δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι 6
κλέπτης ἦν καὶ τὸ γλωσσόκομον ἔχων τὰ βαλλόμενα ἐβάσταζεν.

---

54. Om. ἐκεῖθ. D al. Vg. It. (exc. 1.) al. Or. (in text.) al. — Rc. Sz. Ἐφραΐμ. .. etiam Ἐφρέμ, Ἐφράμ, Ἐφραθᾶ leg. — h. κἀκεῖ ἔμεινεν BL al. Cpt. Syr. p. in m. Or. (3.) — Rc. Kn. Sz. Ln. in f. add. αὐτοῦ. .. om. c. BDL 1. 33. al. Arm. Prs. p. Or. (3.) Cyr.

57. Rc. Kn. Sz. δεδώκ. δὲ καί. — h. ἐντολάς BM al. Or. (2.)

Cap. XII. 1. Rc. Kn. Sz. add. Λάζ. ὁ τεθνηκώς, Ln. (ὁ τεθν.) .. om. c. BX Syr. Syr. hr. Verc. Colb. Sah. Chrs. Pseudo-Chrs. .. h. ubi Laz. fuerat mortuus Vg. — Rc. Kn. Sz. om. ὁ Ἰησ. [scr. c. AB (om. ὁ) DEGLΔ al. pl. Syr. utr. Vg. It.[7.] al. m.]

2. Hab. ἦν ἐκ τῶν BL. — Rc. τῶν συνανακ. αὐτῷ. .. h. συνανακ. σύν 76. al.

3. Om. τοῦ ante Ἰησ. B. — om. τοὺς πόδ. αὐτ. 1. al. Sax. Or. int. .. al. var.

4. δὲ ὁ Ἰσκ. c. BL al. .. Rc. Kn. Sz. Ln. οὖν εἷς ἐ. τ. μ. αὐτ. Ἰούδας Σίμωνος Ἰσκαριώτης. .. om. Σίμωνος D al. Syr. Syr. hr. Vg. It.[2.] al. m. .. h. Ἰουδ. Σίμων G al. It.[3.] .. al. aliter.

6. ἔχων c. BDLQ al. Cpt. Vg. It.[1.] Or. (add. καί) .. Rc. Kn. Sz. Ln. εἶχεν καί.

7 [7] εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες αὐτήν, ἵνα εἰς τὴν ἡμέραν τοῦ ἐντα-
8 φιασμοῦ μου τηρήσῃ αὐτό· [8] τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε
μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.
9 Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι ἐκεῖ ἐστιν, καὶ
ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδω-
10 σιν ὃν ἤγειρεν ἐκ νεκρῶν. [10] ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, ἵνα
11 καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, [11] ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον
τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.
12 Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκού- Mt.21,1sqq.
13 σαντες ὅτι ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα, [13] ἔλαβον τὰ βαΐα Mc.11,1sqq. Lc.19,29sqq.
τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ καὶ ἐκραύγαζον·
Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, βασιλεὺς* Ps.118,26.
14 τοῦ Ἰσραήλ. [14] εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτό,
15 καθώς ἐστιν γεγραμμένον· [15] Μὴ φοβοῦ, θυγάτηρ Σιών· ἰδού, ὁ * Zch. 9, 9.
16 βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου. [16] ταῦτα οὐκ
ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη Ἰησοῦς,
τότε ἐμνήσθησαν, ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα καὶ ταῦτα
17 ἐποίησαν αὐτῷ. [17] ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτι
τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νε-
18 κρῶν. [18] διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν
19 τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. [19] οἱ οὖν Φαρισαῖοι εἶπον

---

7. Rc. Kn. Sz. αὐτήν· εἰς τὴν ἡμέρ. τοῦ ἐνταφ. μου τετήρηκεν αὐτό. [ἵνα etc. c. BDKLQX al. Vg. It. (exc. Brix.) al. m. Nonn. Ambr. al.]
8. Om. totum v. D Ct. .. variant ἐμὲ δέ etc.
9. Om. μόνον D al. Verc. Ver. — om. καί post ἵνα D Vg. It. (exc. 2.)
12. Hab. ὁ ὄχλ. π. BL. — Rc. Kn. Sz. ὁ Ἰησ.
13. Hab. συνάντησιν DGLX al. m. .. ἀπάντησ. AK al. m. Or. (2.) — Rc. Kn. Sz. καὶ ἔκραζον. .. Ln. ἐκραύγ. (λέγοντες). — h. εὐλογητός D. — Rc. Sz. Ln. ὁ βασιλ. [om. ὁ c. AGHMΔ al. pl. Gth. Thphyl.] .. h. καὶ ὁ βασ. BLQ Cpt. Aeth. Or. (1. alibi h. εὐλογ. ἐν ὀνόμ. κυρ. ὁ βασ. τοῦ Ἰσρ.)
14. Hab. ἐπ' αὐτῷ KΔ al. m. Or. Cyr. — Rc. Kn. Sz. θύγατερ. [θυγάτηρ c. AB (h. ἡ θ.) DQXΔ al.]
16. Rc. Kn. Sz. ταῦτ. δέ, qd Kn. (—) .. om. c. BLQ Sah. Vg. It.[2] — Rc. Kn. Sz. Ln. ὁ Ἰησ. .. om. c. AKLMQXΔ al. m.
17. Hab. ὅτε AE**QSXΔ al. pm. Vg. It.[4] al. Apollinar.
18. Om. καί EH al. Syr. Gth. It.[6] — Rc. ἤκουσε.

πρὸς ἑαυτούς· Θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν· ἴδε, ὁ κόσμος
ὀπίσω αὐτοῦ ἀπῆλθεν.
Ἦσαν δὲ Ἕλληνές τινες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνή- 20
σωσιν ἐν τῇ ἑορτῇ· 21 οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ 21
Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες· Κύριε,
θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. 22 ἔρχεται ὁ Φίλιππος καὶ λέγει τῷ 22
Ἀνδρέᾳ, ἔρχεται Ἀνδρέας καὶ Φίλιππος, καὶ λέγουσιν τῷ Ἰησοῦ.
23 ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα 23
δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. 24 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ 24
ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος
Mt. 10, μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. 25 ὁ φιλῶν τὴν 25
39. et 16, 25. ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν
τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. 26 ἐὰν ἐμοί τις 26
διακονῇ, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκο-
νος ὁ ἐμὸς ἔσται. ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ.
27 νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; Πάτερ, σῶσόν με 27
ἐκ τῆς ὥρας ταύτης; ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην·
28 Πάτερ, δόξασόν σου τὸ ὄνομα. ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρα- 28
νοῦ· Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. 29 ὁ οὖν ὄχλος ὁ ἑστὼς 29
καὶ ἀκούσας ἔλεγεν βροντὴν γεγονέναι· ἄλλοι ἔλεγον· Ἄγγελος
αὐτῷ λελάληκεν. 30 ἀπεκρίθη καὶ εἶπεν Ἰησοῦς· Οὐ δι' ἐμὲ ἡ 30
φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. 31 νῦν κρίσις ἐστὶν τοῦ κόσμου 31

---

19. Hab. πρ. αὐτούς D al. It.$^{2}$ Chrs. — h. κόσμ. ὅλος DL al. Syr. Vg. It. al. m. Cyr. al.

20. Ln. ἵνα προσκυνήσουσιν. — 21. om. οὖν L al. Syr. It.$^{2}$ al.

22. Rc. Kn. Sz. Ln. om. ὁ ante Φίλ. .. scr. c. BLX. — Rc. Kn. Sz. pro ἔρχ. Ἀνδρ. κ. Φ. καὶ λέγ. (c. ABL Verc.) h. καὶ πάλιν Ἀνδρ. κ. Φ. λέγ. . . al. aliter.

23. Hab. ἀποκρίνεται BLX. . . etiam ἀπεκρίθη leg.

26. Rc. ἔσται· καὶ ἐάν. [om. c. BDLX al. Syr. Vg. It. (exc. 1.) al.]

28. Hab. μου τὸ ὄν. B 5. .. h. σ. τὸν υἱόν LX al. m. It.$^{2}$ al. Ath. al. (utrque cjgt Aeth.; utrque commemorat Cyr.)

29. Ln. ὁ (οὖν) ὄχλ. [om. B Verc. . . h. δέ Syr. al.] et ὁ ἑστηκώς c. ADG KMX al. m. — om. καί ante ἀκούσ. D al. Cpt. Gth. Ct. Rd.

30. Rc. Kn. Sz. Ln. ἀπεκρ. ὁ (om. c. BDKX al. pm.) Ἰησ. καὶ εἶπ. (ante Ἰησ. c. BL al.)

τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω,
32 32 κἀγὼ ἂν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.
33 33 τοῦτο δὲ ἔλεγεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Jo. 18, 32.
34 34 ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι *Ps. 89,
ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, καὶ πῶς σὺ λέγεις· ὅτι δεῖ ὑψω- 29. (30.)
θῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώ- 37.
35 που; 35 εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς
ἐν ὑμῖν ἐστίν. περιπατεῖτε ὡς τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς
καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει.
36 36 ὡς τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς
γένησθε.

Ταῦτα ἐλάλησεν Ἰησοῦς καὶ ἀπελθὼν ἐκρύβη ἀπ᾽ αὐτῶν.
37 37 τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ
38 ἐπίστευον εἰς αὐτόν, 38 ἵνα ὁ λόγος Ἠσαΐου τοῦ προφήτου πλη- *Es. 53, 1.
ρωθῇ ὃν εἶπεν· Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ
39 βραχίων κυρίου τίνι ἀπεκαλύφθη; 39 διὰ τοῦτο οὐκ ἠδύναντο
40 πιστεύειν, ὅτι πάλιν εἶπεν Ἠσαΐας· 40 Τετύφλωκεν αὐτῶν τοὺς *Es. 6, 10
ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσιν τοῖς Mt. 13, 14. 15.
ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ καὶ στραφῶσιν καὶ ἰάσωμαι Act. 28,
41 αὐτούς. 41 ταῦτα εἶπεν Ἠσαΐας, ὅτι εἶδεν τὴν δόξαν αὐτοῦ καὶ 26. 27.
42 ἐλάλησεν περὶ αὐτοῦ. 42 ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ
ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν,
43 ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· 43 ἠγάπησαν γὰρ τὴν δόξαν τῶν
44 ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ. 44 Ἰησοῦς δὲ ἔκρα-

---

31. Om. τούτου prius (posterius Gth.) D L al. Syr. hr. Sah. Vg. It.[6]
32. Hab. ἀπὸ τῆς γ. D L. — h. πάντα D (post ἑλκ.) al. Vg. It. al. Ir. Aug. (dis.) al. [πάντας Or. (5.) Ath. al.]
34. Hab. λέγ. σύ B X. — Kn. om. ὅτι c. E G H Δ al. pm. Vg. It.[5] Slav. — om. τίς ἐστ. usq. ἀνθρ. G al. m. . . h. τίς ἐστ. ὁ λόγος οὗτος L. . ; h. τίς ἐ. οὖν etc. D Ct. . . om. οὗτ. It.[2] Gth. . . h. τίς ἐ. ὁ υἱός; Slav. ms.
35. Rc. φῶς μεθ᾽ ὑμῶν. — Rc. Kn. Sz. περιπατ. ἕως, etiam v. 36. ab init. [ὡς c. A B D K L al. Cpt. Cyr.]
36. Rc. Kn. Sz. ὁ Ἰησ. — 37. h. ἐπίστευσαν G al. Eus.
39. Hab. ἐδύναντο D L al.
40. Rc. Kn. Sz. ἐπιστραφ. [στραφ. c. B D* al.; ἐπιστρέψωσιν K M al. Eus.; ἐπιστρέψουσιν X al.) — Ln. ἰάσομαι c. A D K M S X Δ al. m.
41. Rc. Kn. Sz. ὅτε εἶδ. [ὅτι c. A B L M al. Cpt. Epiph.] — h. τ. δόξαν τοῦ θεοῦ 13. 69. Syr. hr. Cpt. Vg. ms. Gat. al. . . τοῦ θεοῦ αὐτοῦ D.

ξεν καὶ εἶπεν· Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλὰ εἰς
τὸν πέμψαντά με, 45 καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. 45
Jo.8,12. 46 ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ 46
ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. 47 καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων 47
Jo.3,17. καὶ μὴ φυλάξῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν
κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. 48 ὁ ἀθετῶν ἐμὲ καὶ μὴ 48
λαμβάνων τὰ ῥήματά μου ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν
ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 49 ὅτι ἐγὼ ἐξ 49
ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατήρ, αὐτός μοι ἐν-
τολὴν δέδωκεν τί εἴπω καὶ τί λαλήσω. 50 καὶ οἶδα, ὅτι ἡ ἐντολὴ 50
αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν ἐγὼ λαλῶ, καθὼς εἴρηκέν μοι ὁ
πατήρ, οὕτως λαλῶ.

## XIII.

Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἦλθεν 1
αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα,
ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐ-
τούς. 2 καὶ δείπνου γινομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς 2
τὴν καρδίαν, ἵνα παραδοῖ αὐτὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης,
Jo.3,35. 3 εἰδὼς ὅτι πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας καὶ ὅτι 3
ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει, 4 ἐγείρεται ἐκ τοῦ 4
δείπνου καὶ τίθησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν·
5 εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς πόδας 5

---

47. Rc. Kn. Sz. καὶ μὴ πιστεύσῃ. [κ. μὴ φυλ. c. ABKLX al. Syr. Vg. It.[6] al. m. Ath. Nonn. .. h. καὶ φυλάξῃ D Ct. It.[6] .. καὶ πιστεύσῃ 63. al. m. Brix. Gth.]

49. Om. ἐγώ G al. Chrs. al. .. post ἐμαυτ. pon. D al. — h. ἀπ' ἐμ. L al. It.[2] Cyr. Chrs. al. — Rc. Kn. Sz. ἔδωκε.

50. Om. ἐγώ D al. It.[2] Chrs. .. Rc. Kn. Sz. post λαλῶ pon.

Cap. XIII. 1. Rc. Kn. Sz. ὅτι ἐλήλυθεν... h. παρῆν D.

2. γινομ. c. BLX Or. (4) .. Rc. Kn. Sz. Ln. γενομένου. — ἵνα παρ. (παραδοῖ etiam Ln. c. BD*) αὐτ. Ἰ. Σ. Ἰσκ. c. BLMX Cpt. Arm. Vg. It.[6] Or. (6.) .. Rc. Kn. Sz. Ln. καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα παρ. α.

3. Rc. Kn. Sz. εἰδὼς ὁ Ἰησοῦς, qd Ln. (—) .. om. c. BDLX al. Aeth. Vg. It. (exc. 2.) Or. (2. hab. 2.) al. — ἔδωκ. c. BKL al. Or. (5. δέδ. 1.) .. Rc. Kn. Sz. Ln. δέδωκεν.

5. Hab. λαβὼν ὕδωρ βάλλ. D al. Arm.

6 *τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.* [6] *ἔρχε-*
*ται οὖν πρὸς Σίμωνα Πέτρον. λέγει αὐτῷ· Κύριε, σύ μου νίπτεις*
7 *τοὺς πόδας;* [7] *ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ,*
8 *σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα.* [8] *λέγει αὐτῷ Πέτρος·*
*Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα. ἀπεκρίθη αὐτῷ·*
9 *Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ᾽ ἐμοῦ.* [9] *λέγει αὐτῷ Σίμων*
*Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας*
10 *καὶ τὴν κεφαλήν.* [10] *λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐκ ἔχει*
*χρείαν εἰ μὴ τοὺς πόδας νίψασθαι, ἀλλ᾽ ἔστιν καθαρὸς ὅλος· καὶ* Jo 15,3.
11 *ὑμεῖς καθαροί ἐστε, ἀλλ᾽ οὐχὶ πάντες.* [11] *ᾔδει γὰρ τὸν παραδι-*
*δόντα αὐτόν, διὰ τοῦτο εἶπεν· ὅτι οὐχὶ πάντες καθαροί ἐστε.*
12 *Ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν, ἔλαβεν τὰ ἱμάτια αὐτοῦ*
*καὶ ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν;*
13 [13] *ὑμεῖς φωνεῖτέ με· Ὁ διδάσκαλος καὶ ὁ κύριος, καὶ καλῶς λέ-*
14 *γετε· εἰμὶ γάρ.* [14] *εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος*
*καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας·*
15 [15] *ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ*
16 *ὑμεῖς ποιῆτε.* [16] *ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστιν δοῦλος μείζων* Jo. 15,
*τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.* 20. Mt. 10, 24.
17 18 [17] *εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά.* [18] *οὐ περὶ* l.c. 6, 40.
*πάντων ὑμῶν λέγω· ἐγὼ οἶδα οὓς ἐξελεξάμην· ἀλλ᾽ ἵνα ἡ γραφὴ*

---

6. Rc. Kn. Sz. Ln. *καὶ λέγει α.* [Rc. Kn. Sz. add. *ἐκεῖνος*. .. om. c. B Ver. Or.; etiam Petrus et Simon leg.] .. om. c. BDL Syr. Prs. p. Cpt. Rd. Or.
8. Hab. *ὁ Πέτρ.* LΔ al. m. Or. (1.) — *ἀπεκρ. αὐτῷ* c. B. .. Rc. Kn. Sz. *ἀπ. αὐτ. ὁ Ἰησοῦς*. .. Ln. *ἀπ. Ἰησοῦς (αὐτῷ)*.
9. Om. *Σίμων* D Ct. .. h. *Πέτρ. Σίμ.* B. — om. *μοῦ* DEGH al. m. It.[4]
10. Om. *ὁ* ante *Ἰησ.* B Or. — Ln. (*εἰ μὴ τ. πόδ.*) .. ea om. It.[5] Or. (5; h. 1. in text.) .. *εἰ μή* c. BC*DKL al. Or. (in text.) Dion. areop. Chrs. nisi ut Vg. It.[4] .. om. H al. .. Rc. Kn. Sz. *οὐ χρ. ἔχει ἢ τ. πόδ. ν.*
11. Rc. Kn. Sz. om. *ὅτι*.
12. Rc. Kn. Sz. *καὶ ἔλαβε* omisso *καί* ante *ἀναπεσ.* — h. *ἀνέπεσεν* B 157. (om. *πάλιν*) Or.
13. Hab. *ὁ κύρ. κ. ὁ διδάσκ.* EGHM al. m. Cyr. al.
14. Hab. *πόσῳ μᾶλλον καὶ ὑμ.* D Syr. It.[5] al.
15. Hab. *δέδωκα* AKM al. m. Cyr.
18. Ln. *ἐγὼ (γὰρ) οἶδα.* — h. *τίνας ἐξελεξ.* BLM al. Or. (4.) Cyr. .. h. *ὅν* Arr. Arm.

Ps. 41, 9. (10.) πληρωθῇ· Ὁ τρώγων μετ᾿ ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ᾿ ἐμὲ τὴν
πτέρναν αὐτοῦ. 19 ἀπ᾿ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα 19
Mt. 10, 40. ὅταν γένηται πιστεύσητε, ὅτι ἐγώ εἰμι. 20 ἀμὴν ἀμὴν λέγω ὑμῖν, 20
ὁ λαμβάνων, ἄν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων
λαμβάνει τὸν πέμψαντά με.

Mt. 26, 21-25. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι καὶ ἐμαρτύ- 21
Mc. 14, 18-21. ρησεν καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παρα-
Lc. 22, 21-23. δώσει με. 22 ἔβλεπον εἰς ἀλλήλους οἱ μαθηταί, ἀπορούμενοι περὶ 22
τίνος λέγει. 23 ἦν δὲ ἀνακείμενος εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐν 23
τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς· 24 νεύει οὖν τούτῳ 24
Σίμων Πέτρος καὶ λέγει αὐτῷ· Εἰπέ, τίς ἐστιν περὶ οὗ λέγει.
25 ἀναπεσὼν ἐκεῖνος οὕτως ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ λέγει αὐτῷ· 25
Κύριε, τίς ἐστιν; 26 ἀποκρίνεται οὖν ὁ Ἰησοῦς· Ἐκεῖνός ἐστιν, 26
ᾧ ἐγὼ βάψω τὸ ψωμίον καὶ δώσω αὐτῷ. βάψας οὖν τὸ ψωμίον
λαμβάνει καὶ δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτου. 27 καὶ μετὰ τὸ 27
ψωμίον, τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς. λέγει οὖν αὐτῷ

---

18. Hab. ὁ τρ. μου τ. ἄρτον BCL It.[1] Or. (3; μετ᾿ ἐμ. 2.) Cyr. — h. ἐπῆρκεν A 1.

19. Hab. ἵνα πιστεύσ. ὅταν BL Or. (3; ἵνα ὅτ. γ. πιστ. 1.)

20. Rc. Kn. Sz. ἐάν τινα. — 21. om. ὁ ante Ἰησ. BL 87.

22. Rc. Kn. Sz. Ln. ἔβλεπ. οὖν. . . om. c. BC al. Prs. p. Arm. Or. (1. hab. δέ 1.) . . etiam δέ leg.

23. Om. δέ L al. Or. (2.) . . h. ergo Vg. It.[7] . . καὶ ἦν Aeth. al. — Rc. om. ἐκ. — om ὁ ante Ἰησ. BK.

24. Rc. Kn. Sz. Σίμ. Πέτρ. πυθέσθαι, τίς ἂν εἴη περί. [καὶ λέγ. etc. c. BCLX 33. Aeth. It.[6] Or. (4.) et omisso εἰπέ Vg. It.[5]

25. Rc. Kn. Sz. ἐπιπεσών et Rc. Sz. Ln. add. δέ. . . om. c. B Prs. p. Or. . . Kn. add. οὖν c. DLMX al. m. Vg. It. (exc. 1.) al. m. — οὕτως c. BEG HLMXΔ al. pm. Gth. Euthym. . . h. οὗτος KS al. et (omisso ἐκεῖνος) C* (vdtur) . . om. Rc. Kn. Sz. Ln.

26. οὖν c. BC*LX Verc. Or. . . om. Rc. Kn. Sz. et (οὖν) Ln. — βάψω τ. ψ. κ. δώσ. α. c. BCL Aeth. Or. (2; om. αὐτῷ 1. et om. καὶ δώσ. α. 1.) . . add. αὐτῷ etiam MX al. . . Rc. Kn. Sz. Ln. βάψας (Ln. ἐμβάψ.) τὸ ψωμ. ἐπιδώσω et pgt καὶ ἐμβάψ. τ. ψωμ. δίδωσιν . . βάψ. οὖν c. BC* (D καὶ βάψ.) LX al. Or. (2.) Cyr. et λαμβάν. κ. c. BCLMX al. Or. (5.) — h. Σίμωνι 13. al. It.[4] Or. (4.) — Ἰσκαριώτου c. BCLMX (Σκαρ.) al. It.[2] Or. ms. (3.) . . Rc. Kn. Sz. Ln. Ἰσκαριώτῃ.

27. Om. τότε D (om. etiam μετὰ τ. ψ.) L Vg. It. (exc. 8.) al. Or. (4; h. 3.) al.

28 ὁ Ἰησοῦς· Ὃ ποιεῖς, ποίησον τάχιον. 28 τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν
29 ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ· 29 τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ
γλωσσόκομον εἶχεν Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀγόρασον
30 ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. 30 λα-
βὼν οὖν τὸ ψωμίον ἐκεῖνος ἐξῆλθεν εὐθύς· ἦν δὲ νύξ.
31 Ὅτε οὖν ἐξῆλθεν, λέγει ὁ Ἰησοῦς· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ
32 ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ· 32 καὶ ὁ θεὸς δοξάσει
33 αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. 33 τεκνία, ἔτι μικρὸν Jo. 7,
μεθ' ὑμῶν εἰμί. ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις· 33. 34.
ὅτι ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι.
34 34 ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς Jo. 15,
35 ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. 35 ἐν τούτῳ 12. 17.
γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν
36 ἀλλήλοις. 36 Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις;
ἀπεκρίθη Ἰησοῦς· Ὅπου ὑπάγω οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι,
37 ἀκολουθήσεις δὲ ὕστερον. 37 λέγει αὐτῷ Πέτρος· Κύριε, διὰ τί
οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.
38 38 ἀποκρίνεται Ἰησοῦς· Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν Mt. 26, 34.
ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀρνήσῃ με τρίς. Mc. 14, 30.

## XIV.

Lc. 22, 34.

1 Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν θεόν,
2 καὶ εἰς ἐμὲ πιστεύετε. 2 ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί

---

27. Om. ὁ ante Ἰησ. BL.
28. Om. δέ B al. . . etiam γάρ leg.
29. Rc. KN. Sz. ὁ Ἰούδ. — om. ὁ ante Ἰησ. B Or.
30. et 31. Rc. KN. Sz. ἐκ. εὐθέως ἐξῆλθ. — KN. νύξ, ὅτε ἐξῆλθ. 31. Λέγει. . . om. οὖν etiam Sz. [scr. c. BDL al. Cpt. al. Or. Cyr.] — om. ὁ ante Ἰησ. BL.
32. Rc. KN. Sz. εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θ. . . ea LN. (—) . . om. c. BDLX al. It.[6] Syr. p. Tert. [hab. Or.] etiam εἰ δέ, καὶ εἰ, εἰ οὖν leg.
36. Rc. KN. Sz. ἀπεκρ. αὐτῷ ὁ Ἰησ. — h. ὅπου ἐγώ DS al. pm. Vg. It. al. m. Or. Chrs. Cyr. — Rc. KN. Sz. ὕστερ. δὲ ἀκολ. μοι.
37. Rc. ὁ Πέτρ. — h. νῦν ἀκολ. CDL Cyr. Chrs. et om. ἄρτι CL (D ἄρτι c. sqq. vdtur jgere) Cyr. Chrs.
38. Rc. KN. Sz. ἀπεκρίθη αὐτῷ ὁ Ἰησ. tum φωνήσει et ἀπαρνήσῃ.

εἶσιν. εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· ὅτι πορεύομαι ἑτοιμάσαι τόπον
ὑμῖν. ³ καὶ ἐὰν πορευθῶ, ἑτοιμάσω τόπον ὑμῖν· πάλιν ἔρχομαι 3
καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς
ἦτε. ⁴ καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε τὴν ὁδόν. ⁵ Λέγει αὐτῷ Θω- 4 5
μᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς τὴν ὁδὸν οἴδαμεν;
⁶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ 6
Jo. 8, 19. ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. ⁷ εἰ ἐγνώκειτέ 7
με, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε· ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ
ἑωράκατε αὐτόν. ⁸ Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν 8
πατέρα, καὶ ἀρκεῖ ἡμῖν. ⁹ λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον 9
μεθ' ὑμῶν εἰμί, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ
ἑώρακεν τὸν πατέρα· πῶς σὺ λέγεις· Δεῖξον ἡμῖν τὸν πατέρα;
¹⁰ οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; 10
τὰ ῥήματα ἃ ἐγὼ λέγω ὑμῖν ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ
ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτοῦ. ¹¹ πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν 11
τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πι-

---

Cap. XIV. 2. Rc. Kn. Sz. ἂν ὑμῖν. Πορεύομαι .. Ln. ἂν ὑμῖν. ὅτι πορεύομ. [ὅτι c. ABDKL 1. 13. 22. 33. al. Syr. Vg. It.[8] al. Cyr. al.]

3. Rc. Kn. Sz. καὶ ἑτοιμάσ. c. L al. Vg. It. Cyr. [om. καί c. ABEGHKΔ al. m. Cpt. al. .. h. ἑτοιμάσων Ev. 48. (1. sec. XI.) .. ἑτοιμάσαι DM al. pm. Syr. Brix. Thphyl.] — om. καὶ ἐάν usq. τόπ. ὑμ. 69. Slav. ms... om. ἑτοιμ. τόπ. ὑμ. 56. (sec. XVI) 58. (sec. XV) Ev. 31. (XII) Slav. ms.*

4. Ln. (ἐγώ) .. om. DLX al. Arm. It.[3] Chrs. — οἴδ. τ. ὁδ. c. BLXQ al. Cpt. Aeth. Verc. al... Rc. Kn. Sz. οἴδατε, καὶ τ. ὁδ. οἴδατε. .. Ln. οἴδ. (καὶ) τ. ὁδ. (οἴδ.)

5. Rc. Kn. Sz. καὶ πῶς δυνάμεθα τ. ὁδ. εἰδέναι... Ln. πῶς οἴδαμ. τ. ὁδ. (om. καί BL Verc. Ver. et hab. οἴδ. τ. ὁ. B Verc. Cyr. .·. scr. τ. ὁδ. οἴδ. c. D Ct. Ver. Tert.)

7. Hab. ἐμέ D al. Novat. Faustin. — ἂν ᾔδ. c. BLQX (h. ᾔδ. ἄν) al. Cyr. Ath. .. Rc. Kn. Sz. Ln. ἐγνώκειτε ἄν et pgt καὶ ἀπ' ἄ. [Ln. (καί)] .. om. c. BLX al. — om. καὶ ἑωρ. α. 33. (sec. XI) al... Ln. (αὐτόν).

9. Om. ὁ ante Ἰησ. AL. — Ln. τοσούτῳ χρόνῳ c. DLQ Cyr. tanto tempore (s. temporis) Vg. It. Or. int. — h. ἐγνώκατε Vg. It. (exc. 1.) Aeth. Prss. Tert. al. — Rc. Kn. Sz. καὶ πῶς.

10. λέγω c. BILX Cpt. .. h. λελάληκα D al. .. Rc. Kn. Sz. Ln. λαλῶ. — Rc. Kn. Sz. ὁ δὲ πατ. ὁ (om. c. BL) ἐν ἐ. μέν. αὐτὸς ποι. τ. ἔργ. .. om. αὐτός et scr. αὐτοῦ c. BD Cpt. Aeth. Hil. .. h. ποι. τ. ἔργ. αὐτός L Cyr. (1.) .. Ln. (ὁ) ἐν ἐμ. μέν. αὐτὸς π. τ. ἔ. (αὐτοῦ).

11. Rc. ἐν ἐμοί ἐστιν. — om. αὐτά 157. al. Syr. hr. It.[1] al. Chrs. al. .. h. αὐτοῦ B.

12 στεύετέ μοι. [12] ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα
ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι
13 ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι, [13] καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ Jo. 16, 23.
ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.
14 15 [14] ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. [15] Ἐὰν ἀγα-
16 πᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· [16] κἀγὼ ἐρωτήσω τὸν
πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μεθ᾽ ὑμῶν εἰς τὸν
17 αἰῶνα ᾖ, [17] τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται
λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει· ὑμεῖς γινώσκετε αὐτό,
18 ὅτι παρ᾽ ὑμῖν μένει καὶ ἐν ὑμῖν ἐστίν. [18] οὐκ ἀφήσω ὑμᾶς ὀρφα-
19 νούς, ἔρχομαι πρὸς ὑμᾶς. [19] ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι
θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε.
20 [20] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑμεῖς γνώσεσθε, ὅτι ἐγὼ ἐν τῷ πατρί μου
21 καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. [21] ὁ ἔχων τὰς ἐντολάς μου καὶ
τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγα-
πηθήσεται ὑπὸ τοῦ πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμ-
22 φανίσω αὐτῷ ἐμαυτόν. [22] Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης·
Κύριε, καὶ τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ
23 τῷ κόσμῳ; [23] ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με,
τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ
24 πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιησόμεθα. [24] ὁ

---

11. Om. in f. *μοί* D L 33. Syr. et hr. Prs. Vg. It.[7.] Tert. al.

12. Rc. Kn. Sz. *πατέρα μου.* — 13. h. *αἰτῆτε* B Q.

14. Om. totum v. X 1. 22. al. Syr. hr. Arm. Ver. Chrs. Nonn. — leg. ab init. *καὶ ἐάν τι* et *ἄν τι* (D) et aliter. — Ln. *αἰτήσ.* (*με*) .. etiam *αὐτόν, τὸν πατέρα, μοί* add. — h. *ἐγὼ τοῦτο* B .. *τοῦτο* (sine *ἐγώ*) A L al. Vg. It.[6.] al.

15. Hab. *τηρήσετε* B L al. Eus. Cyr.

16. Rc. Kn. Sz. *καὶ ἐγώ*, iid. *ἵνα μένῃ.* [scr. *ᾖ* c. B L Q X Syr. It.[5.] antqss. al. Cyr. hr. Did. Ambr. (sed pleriq. post *ἵνα* pon.; post *αἰῶν.* B Ver.)]

17. Rc. Kn. Sz. *γινώσκει αὐτό· ὑμ. δέ*, qu. Ln. (—) .. om. c. B Verc. Ver. [hab. *αὐτόν* (ter) D* L] Lcf. — h. *μενεῖ* Aeth. Vg. It.[6.] — Rc. Kn. Sz. in f. *ἔσται.* — 19. Hab. *ζήσετε* B L X.

20. *ὑμ. γνώσ.* c. B L Q X al. .. Rc. Kn. Sz. *γνώσ. ὑμ.* .. Ln. *γνώσ.* (*ὑμ.*) .. om. A Syr. It.[2.] al. Cyr. al.

22. Rc. Ln. om. *καί* ante *τί.* [scr. c. G H K M Q S Δ al. pl. Syr. p. Sl. Chrs. Thphyl.]

23. Rc. ὁ *Ἰησ.* — Rc. Kn. Sz. *ποιήσομεν.* [*ποιησόμεθα* c. B L X (D Ct. Prs. p. *ἐλεύσομαι* et *ποιήσομαι*) al. Or. (5.) Eus. Ath. ms. al. m.]

μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε
οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με πατρός. 25 Ταῦτα λελά- 25
ληκα ὑμῖν παρ' ὑμῖν μένων· 26 ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ 26
ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει
πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. 27 εἰρήνην ἀφίημι 27
ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν
ἐγὼ δίδωμι ὑμῖν. μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω.
28 ἠκούσατε, ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. 28
εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι πορεύομαι πρὸς τὸν πατέρα, ὅτι
ὁ πατὴρ μείζων μου ἐστίν. 29 καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, 29
ἵνα ὅταν γένηται πιστεύσητε. 30 οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· 30
ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν,
31 ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐν- 31
τολὴν ἔδωκέν μοι ὁ πατήρ, οὕτως ποιῶ. ἐγείρεσθε, ἄγωμεν
ἐντεῦθεν.

## XV.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ πατήρ μου ὁ γεωργός 1
ἐστιν. 2 πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ 2
πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ ἵνα καρπὸν πλείονα φέρῃ.
Jo. 13, 10. 3 ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν· 4 μεί- 3 4
νατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν
φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς,
ἐὰν μὴ ἐν ἐμοὶ μένητε. 5 ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. 5
ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι

24. Om. πατρός B al. Didym.
26. Pro εἶπον h. ἂν εἴπω D 254. .. dixero Vg. It.[8.] — om. ὑμῖν It.[4.] .. h. ὑμ. ἐγώ BL et tantum ἐγώ Cyr. .. h. ἐγώ ante εἰπ. X al.
28. Hab. εἰ ἀγαπᾶτε DL al. — Rc. ὅτι εἶπον· Πορεύομ. — Rc. Kn. Sz. ὁ πατήρ μου, qd Ln. (—) .. om. c. AD*LX al. Vg. Ct. It.[9.] al. Cyr. Chrs. Tert. al. m.
30. Rc. κόσμ. τούτου. — h. ἐν ἐμοὶ εὑρήσει οὐδέν K al. Aeth. Brix. Ath. Cyr. al. m. .. εὑρίσκει οὐδ. Arm. Gth. Or. (2; οὐκ ἔχ. οὐδ. 4.) al. .. al. aliter.
31. Ln. (καὶ) καθώς... om. καί A* It.[2.] — Rc. Kn. Sz. καθ. ἐνετείλατο.
Cap. XV. 1. Post ἀληθ. add. ὑμεῖς τὰ κλήματα L al. Or. (1.) Cyr. Chrs. al.
2. Hab. καθαριεῖ D. purgabit Vg. It.[10.] al.
4. Hab. μένῃ B. (D ap. Wetst.) — Rc. Kn. Sz. μείνητε. [μένητε c. ABL.]

6 χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. [6] ἐὰν μή τις μένῃ ἐν ἐμοί,
ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ
7 εἰς πῦρ βάλλουσιν, καὶ καίεται. [7] ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥή-
ματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἂν θέλητε αἰτήσασθε, καὶ γενήσεται
8 ὑμῖν. [8] ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέ-
9 ρητε καὶ γένησθε ἐμοὶ μαθηταί. [9] καθὼς ἠγάπησέν με ὁ πατὴρ
10 κἀγὼ ὑμᾶς ἠγάπησα· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. [10] ἐὰν τὰς
ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς
ἐντολὰς τοῦ πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.
11 [11] ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν ᾖ καὶ ἡ χαρὰ
12 ὑμῶν πληρωθῇ. [12] αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε Jo. 13.
13 ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. [13] μείζονα ταύτης ἀγάπην οὐ- 34.
δεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.
14 [14] ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ἃ ἐγὼ ἐντέλλομαι ὑμῖν.
15 [15] οὐκέτι λέγω ὑμᾶς δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδεν τί ποιεῖ
αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα
16 παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑμῖν. [16] οὐχ ὑμεῖς με ἐξελέξασθε,
ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε
καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ, ἵνα ὅ,τι ἂν αἰτήσητε
17 τὸν πατέρα ἐν τῷ ὀνόματί μου δῷ ὑμῖν. [17] ταῦτα ἐντέλλομαι ὑμῖν,
18 ἵνα ἀγαπᾶτε ἀλλήλους. [18] Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε,
19 ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. [19] εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ
κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽
ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ

---

6. Rc. Kn. Sz. *μείνῃ*. — h. *συνάγ. αὐτό* DLXΔ al. m. Syr. Vg. It.[2.] al. m. Cyr. — Kn. Sz. *τὸ πῦρ*.
7. Rc. Kn. Sz. *αἰτήσεσθε*. [*αἰτήσασθ*. c. ABDLX al. pm. It.[2.] al. Chrs.]
8. Rc. Kn. Sz. *καὶ γενήσεσθε*. [*γένησθε* c. BDLX al. m. Vg. It. al. Chrs. al.]
10. Ln. om. *μοῦ* post *πατρός* c. B (sed B *τοῦ πατρ. τὰς ἐντολάς*, sic etiam It.[3.]) It.[4.]
11. Rc. Kn. Sz. pro *ᾖ* [c. ABD al. Syr. utr. Vg. It. (exc. Brix.) al. m.] h. *μείνῃ*.
14. Rc. Kn. Sz. *ὅσα* pro *ἅ*.
16. Hab. *μείνῃ* KX al. — h. *αἰτῆτε* B. — h. *δώῃ* EGHIX al. m.; etiam *δώσῃ*, *δώσει*, *δώει* leg.
17. Om. *ἵνα* D Ct. — 18. om. *ὑμῶν* D Aeth. Arm. It. (exc. 2.)

Jo. 13, κόσμος. 20 μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστιν 20
16. Mt. 10, δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξου-
24. Lc. 6, σιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν.
40. 21 ἀλλὰ ταῦτα πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου, 21
ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. 22 εἰ μὴ ἦλθον καὶ ἐλάλησα 22
αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ
τῆς ἁμαρτίας αὐτῶν. 23 ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. 23
24 εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος ἐποίησεν, 24
ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ
* Ps. 35, ἐμὲ καὶ τὸν πατέρα μου. 25 ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ ἐν τῷ 25
9. 69, 5. νόμῳ αὐτῶν γεγραμμένος· ὅτι ἐμίσησάν με δωρεάν. 26 ὅταν δὲ 26
ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ
πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος
μαρτυρήσει περὶ ἐμοῦ· 27 καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς 27
μετ' ἐμοῦ ἐστέ.

## XVI.

Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. 2 ἀποσυναγώ- 1 2
γους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας
ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. 3 καὶ ταῦτα ποιήσουσιν, 3
ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. 4 ἀλλὰ ταῦτα λελάληκα 4
ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον
ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην·
5 νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ 5
με· Ποῦ ὑπάγεις; 6 ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πε- 6
πλήρωκεν ὑμῶν τὴν καρδίαν. 7 ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· 7

---

21. Rc. Kn. Sz. pro εἰς ὑμᾶς [c. BD*LX al. Syr. It.3 Chrs.] h. ὑμῖν... h. ὑμᾶς E 2.

22. Rc. Kn. Sz. εἶχον. [εἴχοσαν c. BIL al. Or. Cyr. .. εἶχαν D*; etiam v. 24. iid. fere.]

24. Rc. Kn. Sz. πεποίηκεν [ἐποίησ. c. ABDKLX al. m. Chrs.] et εἶχον, cf. ad v. 22.

Cap. XVI. 2. Om. λατρείαν B. — 3. Rc. ποιήσουσ. ὑμῖν.
4. Om. ἀλλά D* Syr. Prs. Ct. Verc. Ver. Chrs. — Ln. ὥρα αὐτῶν, μνημ. αὐτῶν c. AB al. Syr. Gth. .. h. ὥρα αὐτῶν omisso αὐτῶν poster. L al. Arr. Vg. It.10 .. neutrum αὐτῶν h. D Ct. Verc. al.

συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παρά-
κλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν
8 πρὸς ὑμᾶς. 8 καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας
9 καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως. 9 περὶ ἁμαρτίας μέν, ὅτι
10 οὐ πιστεύουσιν εἰς ἐμέ· 10 περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πα-
11 τέρα μου ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· 11 περὶ δὲ κρίσεως, ὅτι
12 ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. 12 ἔτι πολλὰ ἔχω λέγειν
13 ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· 13 ὅταν δὲ ἔλθῃ ἐκεῖνος,
τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς τὴν ἀλήθειαν πᾶσαν·
οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ
14 ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. 14 ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ
15 λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15 πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά
ἐστιν· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ
16 ὑμῖν. 16 μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ
17 ὄψεσθέ με. 17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους·
Τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν· Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ
πάλιν μικρὸν καὶ ὄψεσθέ με; καὶ ὅτι ὑπάγω πρὸς τὸν πατέρα;
18 18 ἔλεγον οὖν· Τί ἐστιν τοῦτο ὃ λέγει τὸ μικρόν; οὐκ οἴδαμεν τί
19 λαλεῖ. 19 ἔγνω ὁ Ἰησοῦς, ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν
αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον· Μικρὸν
20 καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; 20 ἀμὴν
ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος

---

7. Sz. Ln. ἐὰν γὰρ ἐγώ. — pro ἐλεύσ. h. ἔλθῃ B (οὐ μὴ ἔλθ.) L al. Chrs.
9. Hab. οὐκ ἐπίστευσαν 64. al. Vg. It.[10.] Aeth. Arr. Prss.
10. Om. μοῦ DL al. Vg. It. (exc. 2.) al. m. Cyr. al.
13. Rc. Kn. Sz. εἰς πᾶσ. τ. ἀλήθ. .. h. ἐν τῇ ἀληθείᾳ πάσῃ DL al. It. cdd. — Ln. om. ἄν c. BD* (h. ἀκούσει) L (h. ἀκούει) al. Mcell. ap. Eus. Cyr. hr. Epiph. (hi h. ἀκούσει).
15. Rc. pro λαμβάνει h. λήψεται.
16. Rc. Kn. Sz. pro οὐκέτι (c. BDL al. Vg. It.[8.] al. Or. Cyr. al.) h. οὐ. — Rc. Kn. Sz. in f. add. ὅτι (add. ἐγώ Rc.) ὑπάγω πρὸς τὸν πατέρα, qu. Ln. (—) .. om. c. BDL Cpt. Sah. Ct. Verc. Ver. Corb. Or. (vdtur).
17. Hab. οὐκέτι pro οὐ D 124. — Rc. Kn. Sz. ὅτι ἐγώ. — Totum v. sic hab. 69.: Ἔλεγον οὖν· τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν;
18. Om. ἔλεγον usq. μικρόν Slav. ms. .. in singg. var. cdd. .. Rc. Kn. Sz. τοῦτο τί ἐστ.
19. Rc. Kn. Sz. Ln. ἔγνω οὖν. .. om. c. DL al. Cpt. Arm. Prs. p. Verc. Ver. Or. .. etiam et atque δέ leg. — om. ὁ ante Ἰησ. B.

χαρήσεται· ὑμεῖς λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν
γενήσεται. 21 ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα 21
αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλί-
ψεως διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.
22 καὶ ὑμεῖς οὖν νῦν μὲν λύπην ἕξετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, 22
καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς ἀρεῖ
Jo. 14, 13. ἀφ' ὑμῶν· 23 καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. 23
ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἄν τι αἰτήσητε τὸν πατέρα, δώσει ὑμῖν ἐν
τῷ ὀνόματί μου. 24 ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί 24
μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.
25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἔρχεται ὥρα, ὅτε οὐκέτι 25
ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς
ἀπαγγελῶ ὑμῖν. 26 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτή- 26
σεσθε, καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν·
27 αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ 27
πεπιστεύκατε, ὅτι ἐγὼ παρὰ πατρὸς ἐξῆλθον. 28 ἐξῆλθον ἐκ τοῦ 28
πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ
πορεύομαι πρὸς τὸν πατέρα. 29 Λέγουσιν οἱ μαθηταὶ αὐτοῦ· Ἴδε, 29
νῦν ἐν παῤῥησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις. 30 νῦν οἴ- 30
δαμεν, ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν
τούτῳ πιστεύομεν, ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. 31 ἀπεκρίθη αὐτοῖς 31

---

20. Rc. Kn. Sz. ὑμ. δὲ λυπηθ. [om. c. BD al. Syr. hr. It.[5.] al.]

22. Rc. Kn. Sz. μὲν νῦν [νῦν μέν c. BC* DL al. Vg. It. cdd. al. Chrs. ms.], ἔχετε. [ἕξετε c. ADL al. Slav. ms. It.[3.] Chrs. ms.] iid. pro ἀρεῖ [c. BD* Vg. Ct. It. cdd. Hil.] h. αἴρει.

23. Rc. Kn. Sz. ὅτι [Ln. etiam (ὅτι)] ὅσα ἄν αἰτ. τ. πατ. ἐν τῷ ὀν. μ. δώσ. ὑμ. (sic pon. etiam Ln.) . . om. ὅτι c. CD* KLY al. Syr. utr. Vg. It. (exc. 2.) al. Or. Cyr. . . ἄν τι c. BCLY Vg. It. al. Or. Cyr. (h. ἄν A, ἐάν τι D Ath.) . . δώσ. ὑμ. ἐν τῷ ὀν. μ. c. BCLXΔ Sah. Or. Cyr.

25. Rc. ἀλλ' ἔρχεται, qd Ln. (—). — Rc. Kn. Sz. ἀναγγελῶ.

27. Rc. Kn. Sz. παρὰ τοῦ θεοῦ ἐξῆλθ. (add. καὶ ἥκω X al. Chrs.) . . Ln. παρὰ θεοῦ ἐξ. . . πατρός c. BC* DLX (pleriq. h. τοῦ π.) al. Syr. al. m. Didym. . . h. a Deo patre It.[2.]

28. Rc. Kn. Sz. pro ἐκ [c. BLX al.] h. παρά . . om. ἐξῆλθ. ἐκ τ. πατρ. D Ct. Verc.

29. Rc. Kn. Sz. λέγ. αὐτῷ, qd Ln. (—) . . om. c. BD* al. — Rc. Kn. Sz. om. ἐν.

32 Ἰησοῦς· Ἄρτι πιστεύετε· [32] ἰδού, ἔρχεται ὥρα καὶ ἐλήλυθεν, ἵνα
σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια κἀμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ
33 μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστιν. [33] ταῦτα λελάληκα ὑμῖν,
ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρ-
σεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

## XVII.

1 Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ εἰς τὸν οὐρανὸν εἶπεν· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου
2 τὸν υἱόν, ἵνα ὁ υἱὸς δοξάσῃ σέ· [2] καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν
πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώ-
3 νιον. [3] αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσιν σὲ τὸν μόνον
4 ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. [4] ἐγώ σε ἐδό-
ξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον τελειώσας, ὃ δέδωκάς μοι ἵνα ποιήσω·
5 [5] καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον
6 πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. [6] Ἐφανέρωσά σου τὸ ὄνομα
τοῖς ἀνθρώποις οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου. σοὶ ἦσαν κἀμοὶ
7 αὐτοὺς ἔδωκας, καὶ τὸν λόγον σου τετήρηκαν· [7] νῦν ἔγνωκαν, ὅτι
8 πάντα ὅσα ἔδωκάς μοι παρὰ σοῦ ἐστίν· [8] ὅτι τὰ ῥήματα ἃ ἔδω-
κάς μοι δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον καὶ ἔγνωσαν ἀληθῶς,
ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας.
9 [9] ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ

---

31. Rc. Kn. Sz. Ln. ὁ Ἰησ. .. om. c. B C. — Rc. Sz. ἄ. πιστεύετε; (sic interpg.)

32. Rc. Kn. Sz. καὶ νῦν ἐλήλ. [om. c. A B D* L X al. Cpt. Sah. .. h. ἤδη 101. Vg. It. (exc. Brix.)] — κἀμέ c. B C* al. .. Rc. Kn. Sz. Ln. καὶ ἐμέ.

33. Kn. Sz. ἔχετε pro ἕξετε.

Cap. XVII. 1. Rc. Kn. Sz. καὶ ἐπῆρε et καὶ εἶπ. iid. ἵνα καὶ ὁ υἱός σου. [etiam Ln. h. σοῦ. .. om. c. B C* al. Ct. Corb. Or. (1.)] .. ἐπάρας c. B C* D L X al. m. Vg. It.[3.] al. Or. .. om. καί c. A B D al. Syr. utr. Vg. It. al. m. Or. (1.) al.

4. Rc. Kn. Sz. pro τελειώσας [c. A B C L al. Corb. al.] h. ἐτελείωσα. .. h. καὶ τὸ ἔ. ἐτελ. D Ct.

6. Rc. Kn. Sz. καὶ ἐμοὶ [sic etiam Ln. .. κἀμοί c. B al.] α. δέδωκας [ἔδωκ. c. A B D L al. Didym.] et in f. τετηρήκασι. [-καν c. B D L.]

7. Hab. ἔγνωκα 7. al. Syr. et hr. It.[5.] al.; etiam ἔγνων, ἔγνωσαν, ἐγνώκασιν leg. — Rc. Kn. Sz. h. v. et v. sq. δέδωκας.

8. Ln. (καὶ ἔγνωσαν) .. ea om. A D Ct. Verc. Gth.

ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν, 10 καὶ τὰ ἐμὰ πάντα σά ἐστιν καὶ 10
τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. 11 καὶ οὐκέτι εἰμὶ ἐν τῷ 11
κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσίν, κἀγὼ πρὸς σὲ ἔρχομαι.
πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι,
ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. 12 ὅτε ἤμην μετ᾽ αὐτῶν, ἐγὼ ἐτήρουν 12
αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς
ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πλη-
ρωθῇ. 13 νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, 13
ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. 14 ἐγὼ 14
δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι
οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.
15 οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἵνα τηρήσῃς 15
αὐτοὺς ἐκ τοῦ πονηροῦ. 16 ἐκ τοῦ κόσμου οὐκ εἰσίν, καθὼς ἐγὼ 16
οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 17 ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ· ὁ λό- 17
γος ὁ σὸς ἀλήθειά ἐστιν. 18 καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, 18
κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον· 19 καὶ ὑπὲρ αὐτῶν ἐγὼ 19
ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. 20 Οὐ 20
περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ
τοῦ λόγου αὐτῶν εἰς ἐμέ, 21 ἵνα πάντες ἓν ὦσιν, καθὼς σύ, πά- 21
τερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ὦσιν, ἵνα ὁ
κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. 22 κἀγὼ τὴν δόξαν ἣν 22
ἔδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν· 23 ἐγὼ 23
ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσιν τετελειωμένοι εἰς ἕν, ἵνα γινώσκῃ

---

11. Rc. Kn. Sz. *καὶ ἐγώ.* — Rc. pro ᾧ h. οὓς c. D** al. pl. Cpt. Aeth. Vg. It.[7] al. Ath. al. .. h. ὃ D*X al. — h. *καθὼς καὶ ἡμ.* BMSY al. Vg. It.[6] al.
12. Rc. Kn. Sz. *μετ᾽ αὐτ. ἐν τῷ κόσμῳ.* [om. c. BC*DL al. Vg. It. (exc. 1.) al. Cyr. al.] — pro οὓς h. ᾧ BL 33. al. Cpt. Cyr. et ὃ C*. — Ln. (*καὶ*) *ἐφύλαξα*. . . h. *καί* BL 33. al. Cpt. Arm. Ct. Cyr.
17. Rc. Kn. Sz. *τ. ἀληθείᾳ σου.* .. om. *τῇ* B Cyr. (in text.), tum h. *ἡ ἀλήθ.* B.
19. Ln. (*ἐγώ*) .. om. AC al. It.[4] al. Didym.; post *ἁγιάζ.* p. 131.
20. Rc. *πιστευσόντων.*
21. Rc. Kn. Sz. *ἐν ἡμῖν ἓν ὦσ.*, Ln. (*ἕν*) .. om. c. BC*D Sah. Arm. It.[3] antqss. Ath. ms. al. (hab. Or. Hier. al.) — h. *πιστεύῃ* B.
22. Rc. Kn. Sz. *καὶ ἐγώ* et *δέδωκας.* — Rc. Kn. Sz. Ln. in f. add. *ἐσμέν*... om. c. BDL al. Slav. ms. Ct. Mm. Clem. Cyr. Hipp.
23. Rc. Kn. Sz. *καὶ ἵνα γιν.*

ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ
24 ἠγάπησας. [24] πατήρ, ὃ δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ
κἀκεῖνοι ὦσιν μετ' ἐμοῦ, ἵνα θεωρῶσιν τὴν δόξαν τὴν ἐμήν, ἣν
25 δέδωκάς μοι ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου· [25] πατὴρ
δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι
26 ἔγνωσαν ὅτι σύ με ἀπέστειλας· [26] καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά
σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ κἀγὼ
ἐν αὐτοῖς.

## XVIII.

1 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ
πέραν τοῦ χειμάῤῥου τοῦ Κεδρών, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν
2 αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. [2] ᾔδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς
αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη Ἰησοῦς ἐκεῖ μετὰ τῶν μα-
3 θητῶν αὐτοῦ. [3] ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρ-
χιερέων καὶ Φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ
4 λαμπάδων καὶ ὅπλων. [4] Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ'
5 αὐτὸν ἐξῆλθεν καὶ λέγει αὐτοῖς· Τίνα ζητεῖτε; [5] ἀπεκρίθησαν αὐτῷ·
Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς· Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ
6 Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. [6] ὡς οὖν εἶπεν αὐτοῖς·
7 Ἐγώ εἰμι, ἀπῆλθαν εἰς τὰ ὀπίσω καὶ ἔπεσαν χαμαί. [7] πάλιν οὖν
ἐπηρώτησεν αὐτούς· Τίνα ζητεῖτε; οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Να-

---

23. Hab. *καὶ ἠγάπησα αὐτούς* D al. Syr. Cpt. Aeth. It.[3] al. Chrs.

24. Rc. Kn. Sz. *πάτερ*, etiam v. sq. [*πατήρ* c. AB.] — Rc. Kn. Sz. Ln. *οὓς δέδωκ.* (Ln. *ἔδωκ.*) .. *ὅ* c. BD Ct. Cpt. Gth. — Rc. Kn. Sz. *ἣν ἔδωκας.*

25. Om. *καί* ante *ὁ κόσμ.* D Vg. It.[3] al.

Cap. XVIII. 1. Om. *ὁ* ante *Ἰησ.* B. — Rc. *τῶν Κέδρων.* [*τοῦ K.* c. ASΔ 123. Syr. utr. Vg. It.[8] al. Hier... h. *τοῦ Κέδρου* D Ct. It.[2] Sah.]

2. Rc. Kn. Sz. Ln. *ὁ Ἰησ.* .. om. c. BLX al. .. h. *καὶ ὁ Ἰησ.* EMSΔ al. pm.

3. Ln. *καὶ τῶν Φαρ.* c. B. (h. *καὶ ἐκ τῶν Φ.* D...*καὶ Φαρ.* Or. bis.)

4. Hab. *ἰδὼν πάντ.* D al. Syr. hr. Aeth. — Rc. Kn. Sz. *ἐξελθὼν εἶπεν αὐτοῖς.*

5. Rc. Kn. Sz. Ln. *ὁ Ἰησοῦς· Ἐγώ.* .. om. c. D al. Verc. Ver. Or. .. post *εἰμί* pon. B al.; h. Jesus autem stabat Verc.

6. Rc. Kn. Sz. *ὅτι ἐγώ εἰμ.* tum *ἀπῆλθον* et *ἔπεσον.*

ζωραῖον. [8] ἀπεκρίθη Ἰησοῦς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι· εἰ οὖν 8
Jo. 17, 12. ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. [9] ἵνα πληρωθῇ ὁ λόγος ὃν 9
Mt.26, εἶπεν· ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. [10] Σί- 10
51sqq. Mc.14, μων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν
47. τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτάριον τὸ δεξιόν· ἦν
Lc.22, 50. 51. δὲ ὄνομα τῷ δούλῳ Μάλχος. [11] εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· 11
Βάλε τὴν μάχαιραν εἰς τὴν θήκην. τὸ ποτήριον ὃ δέδωκέν μοι
ὁ πατήρ, οὐ μὴ πίω αὐτό;
Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων 12
συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν [13] καὶ ἤγαγον πρὸς Ἄνναν 13
πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυ-
Jo. 11, τοῦ ἐκείνου· [14] ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, 14
50. Mt.26, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. [15] Ἠκο- 15
58. 69. λούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής· ὁ δὲ μα-
70. Mc.14, θητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ καὶ συνεισῆλθεν τῷ Ἰησοῦ
54. 66 sqq. εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, [16] ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ 16
Lc.22, 54-57. θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ
ἀρχιερεῖ, καὶ εἶπεν τῇ θυρωρῷ καὶ εἰσήγαγεν τὸν Πέτρον. [17] λέγει 17
οὖν τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός· Μὴ καὶ σὺ ἐκ τῶν μαθη-
τῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος· Οὐκ εἰμί. [18] εἱστήκει- 18
σαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι
ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ καὶ ὁ Πέτρος μετ' αὐτῶν ἑστὼς
καὶ θερμαινόμενος. [19] Ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν περὶ 19
τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. [20] ἀπεκρίθη 20
αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παρρησίᾳ λελάληκα τῷ κόσμῳ· ἐγὼ πάν-

---

8. Rc. Kn. Sz. ὁ Ἰησ. — 9. ὠτάρ. c. BLX... Rc. Kn. Sz. Ln. ὠτίον.
11. Rc. μάχαιράν σου.
13. Rc. Kn. Sz. καὶ ἀπήγαγ. αὐτόν. [Ln. (αὐτόν) .. om. c. BCDXΔ al. It.[3] Cyr. Chrs.]
14. Rc. Kn. Sz. pro ἀποθαν. [c. BDLX al. m. Syr. Vg. It. al. pl. Cyr. al.] h. ἀπολέσθαι.
15. Kn. Ln. om. ὁ ante ἄλλ. c. AD al. Syr. al.
16. Hab. ὁ ἄλλ. ὁ γνωστὸς τοῦ ἀρχιερέως BL. (τοῦ ἀρχ. etiam X Cpt.)
18. Rc. Kn. Sz. ἦν δὲ μετ' αὐτ. ὁ Πέτρ. ἑστ. κ. θερμ.
20. Ln. (αὐτῷ) .. om. C al. It. edd. — Rc. Kn. Sz. ἐλάλησα. [λελάλ. c. ABCLXΔ al. Cyr.]

*τοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ Ἰουδαῖοι*
21 *συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν·* [21] *τί με ἐρωτᾷς; ἐρώ-*
*τησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν ἃ*
22 *εἶπον ἐγώ.* [22] *ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς τῶν ὑπηρετῶν παρεστη-*
*κὼς ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ εἰπών· Οὕτως ἀποκρίνῃ τῷ ἀρχιε-*
23 *ρεῖ;* [23] *ἀπεκρίθη αὐτῷ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον*
24 *περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;* [24] *Ἀπέστειλεν αὐτὸν*
25 *ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.* [25] *Ἦν δὲ Σίμων* Mt.26,
*Πέτρος ἑστὼς καὶ θερμαινόμενος. εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ* 71-75. Mc.14,
*τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο ἐκεῖνος καὶ εἶπεν· Οὐκ εἰμί.* 70-72. Lc.22,
26 [26] *λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπ-* 58-62.
*έκοψεν Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ;*
27 [27] *πάλιν οὖν ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.*
28 *Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον·* Mt.27,
*ἦν δὲ πρωΐ. καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιαν-* 1 sqq. Mc.15,
29 *θῶσιν ἀλλὰ φάγωσιν τὸ πάσχα.* [29] *ἐξῆλθεν οὖν ὁ Πιλᾶτος ἔξω πρὸς* 1 sqq. Lc.23,
30 *αὐτοὺς καί φησιν· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τού-* 1 sqq.
*του;* [30] *ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακὸν ποιῶν,*
31 *οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.* [31] *εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· Λάβετε*
*αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. εἶπον αὐτῷ οἱ*

---

**20.** Rc. *ἐν τῇ συναγ.* et pro *πάντες* h. *πάντοθεν* c. K al... Sz. *πάντοτε* c. DEYΔ al. pm. Syr. p. Gth.

**21.** Rc. Kn. Sz. *ἐπερωτᾷς; ἐπερώτησον.*

**22.** Hab. *τῶν παρεστώτων ὑπ.* C* (vdtur) L It. cdd.

**23.** Rc. Kn. Sz. *ὁ Ἰησ.*

**24.** Rc. Ln. *ἀπέστ. οὖν...* etiam *δέ* (L) atque et leg. [om. c. ADEKS al. pm. Cpt. Prs.]

**26.** Hab. *ὁ συγγενὴς οὗ* LX al. Arm. — **27.** Rc. Kn. Sz. *ὁ Πέτρ.*

**28.** Om. *οὖν* LM al. m. Ver. Thphyl.; etiam *δέ* leg. — Rc. Kn. Sz. *πρωΐα* [*πρωΐ* c. ABCDLMXΔ al. pl.] et *ἀλλ' ἵνα φάγ.* [om. *ἵνα* c. ABCDΔ al. Vg. ms. It.[7] al.]

**29.** Rc. Kn. Sz. om. *ἔξω* [scr. c. BC*LX al. Syr. It.[1] al. Cyr... pon. post *πρ. αὐτ.* 13. al. m. Vg. It. al.] — Rc. Kn. Sz. Ln. *καὶ εἶπεν... φησίν* c. BCLX al. Cyr. — Ln. (*κατά*).

**30.** *κακ. ποιῶν* c. BL Verc. (malefaciens; etiam *κακοποιῶν* leg.).. Rc. Kn. Sz. Ln. *κακοποιός.*

**31.** Rc. Kn. Sz. *εἶπ. οὖν*, qd Ln. (—).. om. c. C al. Syr. Prss. Cpt. Arm. It.[2] antqss.; etiam *δέ* leg. — om. *ὁ* ante *Πιλ.* B.

Jo. 12, Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα. [32] ἵνα ὁ λόγος 32
23. τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν
ἀποθνήσκειν. [33] Εἰσῆλθεν οὖν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλάτος 33
καὶ ἐφώνησεν τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν
Ἰουδαίων; [34] ἀπεκρίθη Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ 34
ἄλλοι εἰπόν σοι περὶ ἐμοῦ; [35] ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ 35
Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε
ἐμοί· τί ἐποίησας; [36] ἀπεκρίθη Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ 36
ἔστιν ἐκ τοῦ κόσμου τούτου. εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βα-
σιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παρα-
δοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.
[37] εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη 37
ὁ Ἰησοῦς· Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι. ἐγὼ εἰς τοῦτο γεγέννημαι
καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.
πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. [38] λέγει αὐτῷ ὁ 38
Πιλάτος· Τί ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς
τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν ἐν αὐτῷ εὑρίσκω
Mt. 27, αἰτίαν. [39] ἔστιν δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ἀπολύσω ὑμῖν ἐν τῷ 39
15sqq. Mc. 15, πάσχα· βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;
6sqq. Lc. 23, [40] ἐκραύγασαν οὖν πάλιν λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βα- 40
17sqq. ραββᾶν. ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

## XIX.

Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσεν. 1
Mt. 27, [2] καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν 2
27sqq. Mc. 15, αὐτοῦ τῇ κεφαλῇ καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν,
16sqq.

32. Rc. Kn. Sz. εἶπ. οὖν. [om. c. B al. Syr. Prss. Cpt. Arm. Sah.; h. δέ A D al.]

34. Hab. ἀπεκρίνατο A al. .. καὶ ἀπεκρίνατο D It.[5] — Rc. Kn. Sz. ἀπεκρ. αὐτῷ ὁ Ἰησ. — Ln. ἀπὸ σεαυτοῦ. — om. σύ D al. Vg. It. (exc. 1.) al. Chrs.

36. Rc. Sz. ὁ Ἰησ. — post ἠγων. pon. ἄν BLX al. Or. (2; post ὑπηρ. 1.) al.

37. Rc. Kn. Sz. Ln. εἰμ. ἐγώ. ἐγὼ εἰς. [Ln. ἐγώ. (ἐγώ)] .. om. c. BDL al. m. Arm. It.[3] Cyr. Chrs. al.

40. Rc. Kn. Sz. Ln. πάλιν πάντες λέγ. .. om. c. BLX al. m.; post λέγ. pon. D .. om. πάλιν GK al. m. Syr. It.[4] al. m.

3 [3] καὶ ἤρχοντο πρὸς αὐτὸν καὶ ἔλεγον· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰου-
4 δαίων· καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. [4] ἐξῆλθεν πάλιν ἔξω ὁ Πιλά-
τος καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε, ὅτι οὐ-
5 δεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. [5] ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν
τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐ-
6 τοῖς· Ἴδε ὁ ἄνθρωπος. [6] ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ
ὑπηρέται, ἐκραύγασαν λέγοντες· Σταύρωσον, σταύρωσον. λέγει αὐ-
τοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ γὰρ
7 οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. [7] ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι·
Ἡμεῖς νόμον ἔχομεν καὶ κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, ὅτι
8 υἱὸν θεοῦ ἑαυτὸν ἐποίησεν. [8] Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον
9 τὸν λόγον, μᾶλλον ἐφοβήθη, [9] καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πά-
λιν καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ
10 ἔδωκεν αὐτῷ. [10] λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ
οἶδας, ὅτι ἐξουσίαν ἔχω ἀπολῦσαί σε καὶ ἐξουσίαν ἔχω σταυρῶσαί
11 σε; [11] ἀπεκρίθη αὐτῷ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν κατ' ἐμοῦ
οὐδεμίαν, εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν. διὰ τοῦτο ὁ παραδούς
12 μέ σοι μείζονα ἁμαρτίαν ἔχει. [12] ἐκ τούτου ὁ Πιλάτος ἐζήτει ἀπο-
λῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἐκραύγαζον λέγοντες· Ἐὰν τοῦτον ἀπο-
λύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν
13 ἀντιλέγει τῷ Καίσαρι. [13] ὁ οὖν Πιλάτος ἀκούσας τῶν λόγων τού-
των ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον
14 λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ. [14] ἦν δὲ παρα-

---

Cap. XIX. 3. Rc. Kn. Sz. om. καὶ ἤρχ. πρ. αὐτ. [scr. c. BL al. m. Syr. hr. Cpt. Vg. It. (exc. Brix.) al. m. Cyr. al.] iid. h. ἐδίδουν.

4. Rc. Sz. ἐξῆλθ. οὖν... Ln. καὶ ἐξ. [om. c. D al. Vg. ms. It.[9] al. m.]

5. Om. ὁ ante Ἰησ. B. — om. ἔξω 235. Vg. It.[6] al. .. ante ὁ Ἰησ. pon. K al. m. Cpt. Gth.

6. Kn. Sz. Ln. σταυρ. σταυρ. αὐτόν c. ADEKMSYΔ al. pl. Syr. utr. et hr. Vg. It. (exc. 4.) al. pm. Chrs. al.

7. Rc. Kn. Sz. τὸν νόμ. ἡμῶν et Rc. ἑαυτὸν υἱ. τοῦ θ. (Sz. etiam ἑαυτ. υἱ. θ.)

10. Kn. (οὖν) .. om. AX al. m. Syr. al. Cyr. — Rc. Kn. Sz. ἐξ. ἔχ. σταυρῶσ. σ. καὶ ἐξ. ἔχ. ἀπολῦσ. σ.

11. αὐτῷ c. BDL al. Syr. Verc. Colb. al. .. Ln. (—) .. om. Rc. Kn. Sz. — Rc. Sz. ὁ Ἰησ. — h. οὐκ ἔχεις ADL al.

12. Rc. Kn. Sz. ἔκραζον. — Rc. αὐτὸν ποιῶν.

13. Rc. Kn. Sz. ἀκούσ. τοῦτον τὸν λόγον et ἐπὶ τοῦ βήμ.

σκευὴ τοῦ πάσχα· ὥρα ἦν ὡς ἕκτη. καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε
ὁ βασιλεὺς ὑμῶν. 15 ἐκραύγασαν οὖν ἐκεῖνοι· Ἆρον, ἆρον, σταύ- 15
ρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυ-
ρώσω; ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καί-
σαρα. 16 τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. 16
Mt.27, Παρέλαβον οὖν τὸν Ἰησοῦν, 17 καὶ βαστάζων αὐτῷ τὸν σταυ- 17
32sqq. Mc.15, ρὸν ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊ-
21sqq. Lc.23, στὶ Γολγοθᾶ, 18 ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους 18
26sqq. δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. 19 ἔγραψεν δὲ 19
καὶ τίτλον ὁ Πιλάτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμ-
μένον· Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων. 20 τοῦτον 20
οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ
τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον
Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί. 21 ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρ- 21
χιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ'
ὅτι ἐκεῖνος εἶπεν· Βασιλεύς εἰμι τῶν Ἰουδαίων. 22 ἀπεκρίθη ὁ Πι- 22
λάτος· Ὃ γέγραφα γέγραφα.
Mt.27, Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ 23
35. Mc.15, ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέ-
24. Lc.23, ρος, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος, ἐκ τῶν ἄνωθεν
34. ὑφαντὸς δι' ὅλου· 24 εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐ- 24
τόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ

---

14. Rc. Kn. Sz. *ὥρα δὲ ὡσεὶ ἕκτη.* — Pro *ἕκτη* h. *τρίτη* D (folium qd hab. a recent. manu scr. est) LX al. Eus. vel potius Sev. ant. (ad Marin.) Chron. alex. (ad Joann. *ἰδιόχειρον* provocans) Ammon. Nonn.

15. *ἐκρ. οὖν ἐκ.* c. BL (h. *δὲ ἐκ.*) X Ver. .. Rc. Kn. Sz. Ln. *οἱ δὲ ἐκρ.* .. h. *οἱ δὲ ἐκραύγαζον* DKY al.

16. Rc. Kn. Sz. *παρέλ. δὲ τ. Ἰησ. καὶ ἤγαγον* (Rc. *ἀπήγ.*).

17. Rc. Kn. Sz. *βαστ. τ. σταυρ. αὐτοῦ.* — om. ὅς (hab. ὅ AK al. It.[2] Cyr.) *λέγετ.* L al. Cpt. Sah. Vg. It.[8]

19. Hab. *ἐπέθηκεν* AK al. Cpt. al.

20. Rc. *τῆς πόλεως ὁ τόπος.* — pon. *Ἑλλην.* post *Ῥωμ.* BL al. Cpt. Sah. Cyr.

21. Post *ἀρχιερ.* om. *τῶν Ἰουδ.* 73. 249. Syr. Ar. Sax. princ. sacerdotum et princ. Judaeor. Verc.; al. princ. Judaeor. al. princ. sacerdot.

23. Hab. *ποιήσαντες* pro *καὶ ἐποίησ.* DL Cpt. — om. *καὶ τ. χιτῶν.* Syr. It.[4] antqss. al. — h. *ἄραφος* ADEK al. m.

ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱμα- *Ps. 22. 19.
τισμόν μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν·
25 25 εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ
ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ
26 Μαγδαληνή. 26 Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρ-
27 εστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρί· Γύναι, ἴδε ὁ υἱός σου. 27 εἶτα
λέγει τῷ μαθητῇ· Ἴδε ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας
28 ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια. 28 Μετὰ τοῦτο εἰδὼς ὁ Ἰη- *Ps. 69. 21. (22.)
σοῦς ὅτι ἤδη πάντα τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει·
29 Διψῶ. 29 σκεῦος ἔκειτο ὄξους μεστόν· σπόγγον οὖν μεστὸν τοῦ
30 ὄξους ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. 30 ὅτε
οὖν ἔλαβεν τὸ ὄξος, εἶπεν· Τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν
παρέδωκεν τὸ πνεῦμα.

31 Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα
ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, — ἦν γὰρ μεγάλη ἡ ἡμέρα
ἐκείνου τοῦ σαββάτου, — ἠρώτησαν τὸν Πιλᾶτον, ἵνα κατεαγῶσιν
32 αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. 32 ἦλθον οὖν οἱ στρατιῶται, καὶ
τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρω-
33 θέντος αὐτῷ· 33 ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν ἤδη
34 τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, 34 ἀλλ' εἷς τῶν στρα-
τιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, καὶ εὐθὺς ἐξῆλθεν αἷμα
35 καὶ ὕδωρ. 35 καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν, καὶ ἀληθινὴ αὐτοῦ
ἐστὶν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς

---

24. Ln. om. ἡ λέγουσα c. B 249. It.[4] Prs. Sah.

26. Rc. Kn. Sz. μητρὶ αὐτοῦ, qd Ln. (—) .. om. c. BLX al. Arm. Ver. — Rc. Sz. h. v. et v. sq. ἰδού, Kn. h. v. ἴδε, v. sq. ἰδού.

27. Hab. ἡμέρας pro ὥρας A al. m. Sah. Slav. ms.

28. Hab. ἰδών EKSY al. pm. Verc. al. Cyr. Thphyl. — om. ὁ ante Ἰησ. B. — Rc. Kn. Sz. πάντα ἤδη. .. om. ἤδη Y al. Syr. Vg. It. (exc. 3.) al. Chrs. al.

29. Rc. Kn. Sz. σκ. οὖν ἔκ. ὄξ. μεστόν· οἱ δὲ πλήσαντες σπόγγ. ὄξ. καὶ ὑσσ. περ. — Ln. ὑσσώπῳ. .. h. καὶ ὑσσώπου 16. (sec. XIV.)

30. Rc. Kn. Sz. Ln. ὄξ. ὁ Ἰησοῦς. .. om. c. B (ap. Bch. et Sz.) Verc. Emmer. .. ante ὁ ὄξ. pon. E al. Vg. It. al.

31. Pon. ἐπεὶ παρασκ. ἦν ante ἵνα μή LX al. Syr. et hr. Vg. It. al. m. Cyr. al. — om. ἡ ante ἡμέρ. AE al. .. om. ἦν γὰρ μεγ. ἡ ἡμέρ. M. — Rc. ἐκείνη.

35. Rc. om. καί ante ὑμεῖς.

ʸ Ex. 12,46. πιστεύσητε. 36 ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ· 36
ᶻ Ps. 34, 20. Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. 37 καὶ πάλιν ἑτέρα γραφὴ 37
ᵃ Zch. 12,10. λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.
Mt. 27, Μετὰ δὲ ταῦτα ἠρώτησεν τὸν Πιλᾶτον Ἰωσὴφ ἀπὸ Ἀρι- 38
57-61. Mc. 15, μαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ κεκρυμμένος δὲ διὰ τὸν φόβον
42-47. Lc. 23, τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πι-
50-55. λᾶτος. ἦλθεν οὖν καὶ ἦρεν τὸ σῶμα αὐτοῦ. 39 ἦλθεν δὲ καὶ Νι- 39
κόδημος, ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, φέρων μῖγμα
σμύρνης καὶ ἀλόης ὡς λίτρας ἑκατόν. 40 ἔλαβον οὖν τὸ σῶμα τοῦ 40
Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος
ἐστὶν τοῖς Ἰουδαίοις ἐνταφιάζειν. 41 ἦν δὲ ἐν τῷ τόπῳ, ὅπου ἐσταυ- 41
ρώθη, κῆπος καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδ-
εὶς ἐτέθη· 42 ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι 42
ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

## XX.

Mt. 28, 1 sqq. Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ 1
Mc. 16, σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ
1 sqq. Lc. 24, τοῦ μνημείου. 2 τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ 2
1 sqq. πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς·
Ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν
αὐτόν. 3 ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο 3
εἰς τὸ μνημεῖον· 4 ἔτρεχον δὲ οἱ δύο ὁμοῦ. ὁ δὲ ἄλλος μαθητὴς 4
προέδραμεν τάχιον τοῦ Πέτρου καὶ ἦλθεν πρῶτος εἰς τὸ μνημεῖον,
5 καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. 5
6 ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ καὶ εἰσῆλθεν εἰς τὸ 6
μνημεῖον καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, 7 καὶ τὸ σουδάριον, ὃ ἦν 7

---

36. Hab. ἀπ' αὐτοῦ 33. al. m. Syr. utr. Vg. It. al. Or. al.

38. Om. δέ ab init. EGKMSXΔ al. m. Syr. al. — Rc. Kn. Sz. ὁ Ἰωσ. ὁ ἀπό. — om. τοῦ post μαθητής B ap. Bch. et Btlj. (post σῶμα prius ap. Sz.) — Rc. Kn. Sz. pro αὐτοῦ in f. hab. τοῦ Ἰησοῦ.

39. Rc. Kn. Sz. πρὸς τὸν Ἰησοῦν. — h. ἕλιγμα pro μῖγμα B. — Rc. ὡσεί.

40. Kn. Sz. ἐν ὀθονίοις. — 41. h. οὐδ. ἦν τεθειμένος B.

Cap. XX. 2. Om. ὃν ἐφίλ. ὁ Ἰησ. et om. ἄλλος v. sq. Syr. Prs. .. pro ἐφίλ. leg. ἠγάπα. — h. οὐκ οἶδα S al. Syr. al. Chrs.

6. Om. οὖν 46... h. οὖν καί BDL al... etiam tantum καί, δὲ καί leg.

ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χω-
8 ρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. [8] τότε οὖν εἰσῆλθεν καὶ ὁ ἄλλος
μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδεν καὶ ἐπίστευ-
9 σεν· [9] οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν
10 11 ἀναστῆναι. [10] ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί. [11] Μα-
ρία δὲ εἱστήκει πρὸς τῷ μνημείῳ κλαίουσα. ὡς οὖν ἔκλαιεν, παρ-
12 έκυψεν εἰς τὸ μνημεῖον, [12] καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς
καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου
13 ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. [13] καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι,
τί κλαίεις; λέγει αὐτοῖς· ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα
14 ποῦ ἔθηκαν αὐτόν. [14] ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω καὶ
15 θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστιν. [15] λέ-
γει αὐτῇ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα
ὅτι ὁ κηπουρός ἐστιν, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν,
16 εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ. [16] λέγει αὐτῇ Ἰη-
σοῦς· Μαρία. στραφεῖσα ἐκείνη λέγει αὐτῷ Ἑβραϊστί· Ῥαββουνί,
17 ὃ λέγεται διδάσκαλε. [17] λέγει αὐτῇ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω
γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς
μου καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα
18 ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν. [18] ἔρχεται Μαρία ἡ Μαγδα-
ληνὴ ἀγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακεν τὸν κύριον καὶ ταῦτα
εἶπεν αὐτῇ.

---

8. Om. ἄλλος Syr. Prs. p. Aeth. Verc. .. h. ille Vg. It.[3] .. ille alius It.[3]

11. Rc. Sz. πρὸς τὸ μνημεῖον. — Rc. Kn. Sz. κλαίουσα ἔξω. [om. c. A Syr. Prss. Arr. Sah. It.[4]] .. h. ἔξω κλ. BL al. Vg. Ct. It.[6] Slav. Gr. nyss. al.

12. Om. ἐν λευκ. καθεζ. D gr.

13. Post κλαίεις add. τίνα ζητεῖς D al. Vg. It.[3] al.

14. Rc. καὶ ταῦτα. — Rc. Sz. ὁ Ἰησ.

15. Rc. Kn. Sz. ὁ Ἰησ. etiam v. sq.

16. Rc. Kn. om. Ἑβραϊστί et Ln. (—) .. hab. BDKLXΔ al. m. Syr. utr. It.[6] al. m.

17. Rc. Kn. Sz. ὁ Ἰησ. — h. μή ἅπτου Ev. 47. (sec. VIII.) .. μὴ ἅπτ. μου B. — Rc. Kn. Sz. πατέρ. μου· πορ., qd Ln. (—) .. om. c. BD Ct. Ver. Or. (2; hab. 3.) Ir. ms. Max. — om. δέ post πορ. A Did. .. h. οὖν DL al. Prs. p. .. h. ἀλλὰ πορ. Or. (1.)

18. Rc. Kn. Sz. pro ἀγγέλλ. (c. AB) h. ἀπαγγ. .. h. ἀναγγ. EGΔ al. — h. ἑώρακα BX Cpt. Sah. Aeth. Vg. It.[7] .. h. ἑωράκαμεν S al. — h. καὶ

Lc. 24, Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων, καὶ τῶν 19
36 sqq. θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ διὰ τὸν φόβον τῶν
Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς·
Εἰρήνη ὑμῖν. 20 καὶ τοῦτο εἰπὼν ἔδειξεν καὶ τὰς χεῖρας καὶ τὴν 20
πλευρὰν αὐτοῖς. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον.
21 εἶπεν οὖν αὐτοῖς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέν με ὁ 21
πατήρ, κἀγὼ πέμπω ὑμᾶς. 22 καὶ τοῦτο εἰπὼν ἐνεφύσησεν καὶ 22
λέγει αὐτοῖς· Λάβετε πνεῦμα ἅγιον. 23 ἐάν τινων ἀφῆτε τὰς ἁμαρ- 23
τίας, ἀφέωνται αὐτοῖς· ἐάν τινων κρατῆτε, κεκράτηνται.
Θωμᾶς δέ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν 24
μετ' αὐτῶν ὅτε ἦλθεν Ἰησοῦς. 25 ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μα- 25
θηταί· Ἑωράκαμεν τὸν κύριον. ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω
ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ βάλω τὸν δάκτυλόν
μου εἰς τὸν τύπον τῶν ἥλων καὶ βάλω μου τὴν χεῖρα εἰς τὴν πλευ-
ρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. 26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν 26
ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ
Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν·
Εἰρήνη ὑμῖν. 27 εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου 27
ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς

---

ἃ εἶπεν αὐτῇ, ἐμήνυσεν αὐτοῖς D Aeth. Ct. Colb. .. et omnia quae dixit ei Brix... om. αὐτῇ Ver. .. h. μοί Cpt. Sah. Vg. It.[6] (iid. 7. qui ἑώρακα exc. Verc.) .. h. αὐτοῖς 69. al.

19. Om. οὖν G al. m. Vg. ms.; etiam δέ leg. — Rc. Kn. Sz. τῶν σαββ. (Sz. per error. τῇ ἐκείν. μιᾷ). — Rc. Kn. Sz. post μαθητ. add. συνηγμένοι. [om. c. A B D al. Syr. It.[3]]

20. Rc. Kn. Sz. ἔδειξ. αὐτοῖς τὰς χ. κ. τ. πλευρ. αὐτοῦ.

21. Hab. καὶ εἶπ. L X al. Cyr.; etiam om. — Rc. Kn. Sz. Ln. ὁ Ἰησοῦς πάλιν... om. c. D L X al. Vg. Verc. Colb. al. Cyr. Aug.; post πάλ. pon. 1. al. — h. κἀγὼ ἀποστέλλω D* L al. Cyr.

22. Hab. ἐνεφ. αὐτοῖς D Syr. al. m. Clem. Or. al.

23. Rc. Kn. Sz. ἄν bis et ἀφίενται. — h. τινός bis B Vg. It.[2] Cypr. al.

24. Rc. Kn. Sz. ὁ Ἰησ.

25. Pro τύπον priore h. τόπον Syr. (?) et hr. (vdtur) Prs. p. Brix. (locum, deinde h. foramina.) — Ln. εἰς τὸν τόπον c. A al. Syr. utr. Prss. Arm. Vg. (antea fixuram, nunc locum) It.[8] Or. (sed priora ἐν ταῖς χ. α. τ. τύπ. etc. ap. Or. non leguntur) Hil. Ambr. .. pro τῶν ἥλων poster. h. τῶν ποδῶν 22. al... om. καὶ βάλω τ. δάκτ. μ. ε. τ. τ. τῶν ἥλ. 69. (s. XIV.) Ev. 33. (s. IX.) 54. (s. XV.) Sah. .. ea post πλευρ. αὐτοῦ pon. D Ct.

28 τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός. 28 ἀπεκρίθη
29 Θωμᾶς καὶ εἶπεν αὐτῷ· Ὁ κύριός μου καὶ ὁ θεός μου. 29 λέγει
αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας; μακάριοι οἱ μὴ
ἰδόντες καὶ πιστεύσαντες.
30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον Jo. 21. 25
31 τῶν μαθητῶν, ἃ οὐκ ἔστιν γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· 31 ταῦτα
δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ὁ υἱὸς
τοῦ θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

## XXI.

1 Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθη-
ταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσεν δὲ οὕτως.
2 2 ἦσαν ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος καὶ
Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας καὶ οἱ τοῦ Ζεβεδαίου καὶ
3 ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. 3 λέγει αὐτοῖς Σίμων Πέτρος·
Ὑπάγω ἁλιεύειν. λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί.
ἐξῆλθον καὶ ἐνέβησαν εἰς τὸ πλοῖον, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπί-
4 ασαν οὐδέν. 4 πρωΐας δὲ ἤδη γενομένης ἔστη Ἰησοῦς εἰς τὸν αἰ-
5 γιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστίν. 5 λέγει
οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρί-
6 θησαν αὐτῷ· Οὔ. 6 ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη

---

28. Rc. Sz. καὶ ἀπεκρ. — Rc. ὁ Θωμ. — om. ὁ ante θεός B ap. Sz. solum, D Ev. 46. (hab. Or.)
29. Om. ὁ ante Ἰησ. B. — Rc. ante πεπίστευκ. h. Θωμᾶ.
30. Hab. ἃ ἐποίησ. B. — Rc. Kn. Sz. μαθητ. αὐτοῦ.
31. Hab. πιστεύητε B. — Rc. ὁ Ἰησ. — h. ὅτι Ἰησ. Χριστὸς υἱός ἐστιν τ. θ. D Ct. It.8. Arm. Prs. p. .. om. Χρ. Ir. .. om. Ἰησ. Verc. — Ln. ζωὴν (αἰώνιον).

Cap. XXI. 1. Om. πάλιν G al. Prs. p. Slav. ms. Chrs.; etiam ante ἐφαν. (D) et post Ἰησ. pon. — om. ὁ (ὁ om. B.) Ἰησ. DM al. Ct. Prs. p. Chrs. — h. τ. μαθ. αὐτοῦ DGMX al. m. Syr. It.5. al.
3. Ln. (καὶ) ἐξῆλθ.; etiam ἐξῆλθ. οὖν leg. — Rc. ἀνέβησαν. — Rc. Kn. Sz. πλοῖον εὐθύς. [om. c. BCDLXΔ al. Syr. Vg. It. al. m.]
4. Om. ἤδη 22. al. m. Syr. Vg. It.4. al. m. — h. γενομένης ACL al. — Rc. Kn. Sz. ὁ Ἰησ. — Ln. ἐπὶ τὸν αἰγ. c. ACDLMX al. m. Or. Cyr. — h. ἔγνωσαν οἱ μαθ. LX al. Vg. It.8.
5. Om. ὁ ante Ἰησ. B. .. Ln. (ὁ Ἰησ.) .. om. A* (vdtur) D (hab. ὁ .....) Verc.

τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. ἔβαλον οὖν καὶ οὐκέτι αὐτὸ
ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. [7] λέγει οὖν ὁ μα- 7
θητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ κύριός ἐστιν.
Σίμων οὖν Πέτρος ἀκούσας, ὅτι ὁ κύριός ἐστιν, τὸν ἐπενδύτην
διεζώσατο — ἦν γὰρ γυμνός — καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θά-
λασσαν· [8] οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον — οὐ γὰρ 8
ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλὰ ὡς ἀπὸ πηχῶν διακοσίων —
σύροντες τὸ δίκτυον τῶν ἰχθύων. [9] ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, 9
βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον.
[10] λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπι- 10
άσατε νῦν. [11] ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσεν τὸ δίκτυον εἰς 11
τὴν γῆν μεστὸν μεγάλων ἰχθύων ἑκατὸν πεντήκοντα τριῶν· καὶ το-
σούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. [12] λέγει αὐτοῖς ὁ Ἰησοῦς· 12
Δεῦτε, ἀριστήσατε. οὐδεὶς ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν·
Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ κύριός ἐστιν. [13] ἔρχεται Ἰησοῦς καὶ 13
λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.
[14] τοῦτο ἤδη τρίτον ἐφανερώθη Ἰησοῦς τοῖς μαθηταῖς ἐγερθεὶς ἐκ 14
νεκρῶν.

Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σί- 15
μων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ· Ναί, κύριε, σὺ
οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. [16] λέγει 16

---

6. Rc. Kn. Sz. ἴσχυσαν.

9. Om. κειμένην Tol. .. h. καιομένην It.[4] antqss.

10. Om. ὁ ante Ἰησ. B. — h. ἐκ τῶν ὀψ. DL.

11. Rc. Kn. Sz. pro εἰς τ. γῆν [c. A B (ap. Btlj.) CLPΔ al. .. h. ἐπὶ τὴν γῆν B ap. Bch. et Sz. D al.] h. ἐπὶ τῆς γῆς.

12. Om. ὁ ante Ἰησ. B. — Rc. Kn. Sz. Ln. οὐδεὶς δέ .. om. c. BC. .. h. et nemo Verc. Vg. (h. al. nemo tamen s. autem.)

13. Rc. Sz. ἔρχ. οὖν. — Rc. Kn. Sz. ὁ Ἰησ.

14. Rc. Kn. Sz. ὁ Ἰησ. (om. S al. It.[2]; post μαθητ. pon. L) et μαθ. αὐτοῦ.

15. Om. ὁ Ἰησ. S al. Vg. ms. Aug.; post λέγ. pon. D Ct. It.[3] — Ln. ter Σίμ. Ἰωάνου [sic s. Ἰωάννου c. BC*DL Cpt. Sah. Vg. It. (sed Colb. Barjona, Verc. Sim. Johannis 1. et Sim. Johannes 2.) nec tamen constare sibi vdtr. citati cdd. gr.] — Rc. Kn. Sz. πλεῖον. — h. πρόβατα D al. Chrs.

αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; λέγει αὐτῷ· Ναί,
κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά
17 μου. [17] λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ
Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· Φιλεῖς με; καὶ εἶπεν αὐτῷ·
Κύριε, πάντα σὺ οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. λέγει αὐτῷ
18 Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. [18] ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς
νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ
γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει καὶ οἴσει
19 ὅπου οὐ θέλεις. [19] τοῦτο δὲ εἶπεν σημαίνων ποίῳ θανάτῳ δοξάσει
20 τὸν θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ· Ἀκολούθει μοι. [20] ἐπι-
στραφεὶς ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκο-
λουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ
21 καὶ εἶπεν· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; [21] τοῦτον ἰδὼν ὁ Πέ-
22 τρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; [22] λέγει αὐτῷ ὁ Ἰη-
σοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σύ μοι
23 ἀκολούθει. [23] ἐξῆλθεν οὖν οὗτος ὁ λόγος εἰς τοὺς ἀδελφούς, ὅτι
ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς·
ὅτι οὐκ ἀποθνήσκει, ἀλλ'· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι,
τί πρὸς σέ;
24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας
25 ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθὴς ἐστιν ἡ μαρτυρία αὐτοῦ. [25] ἔστιν Jo. 20.
δὲ καὶ ἄλλα πολλὰ ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' 30.
ἕν, οὐδ' αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία.

---

16. Om. πάλιν D Colb.; ante λέγ. pon. C Cpt. Arm. et om. δεύτερ. 249. Vg. It. (exc. Colb.) Arm. — h. ἀρνία 69. al.

17. Hab. ὅτι λέγει ADX al. Ct. It. cdd. — Ln. (καὶ) εἶπ. — Rc. Kn. Sz. ὁ Ἰησ. . . om. plane D al. Vg. It. (exc. 3.) al. — h. προβάτια AC; etiam ἀρνία leg.

18. Ln. οἴσει (σε) .. id add. AD (h. ἄλλοι σε ζώσουσιν κ. ἀπάγουσίν σε) Syr. It.4. al. — 20. Rc. Kn. Sz. ἐπιστρ. δέ.

21. Ln. τοῦτον οὖν c. BD 33. Vg. It. cdd. Cpt.

23. Rc. Kn. Sz. ὁ λόγ. οὗτ. .. om. οὗτ. 3. 250. Or. Cyr. Chrs. ms. Hier. — h. οὐκ εἶπ. δέ B 33. Colb. Or. — om. αὐτῷ 69. Syr. Prs. p. Vg. ms. Verc. Chrs. .. h. αὐτό D Ct. — h. ὅτι οὐκ ἀποθνήσκεις D Ct.

24. Ln. καὶ ὁ γράψ. c. BD; etiam ὁ καί leg. — h. κ. οἶδα μέν Chrs. Thphyl.

25. Om. hunc versum 63. .. eum προσθήκην habitum esse testtur schol. in cd. 36. (sec. X.) aliisque. — Rc. Kn. Sz. Ln. ὅσα. .. ἅ c. BX al. Or. Cyr. Chrs. — Rc. in f. add. ἀμήν, qd Kn. (—).

# ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ.

---

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν 1
ἤρξατο Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, 2 ἄχρι ἧς ἡμέρας ἐντειλά- 2
μενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελή-
φθη. 3 οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν 3
πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς
καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ. 4 καὶ συναλιζόμενος 4
παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περι-
μένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου· 5 ὅτι Ἰωάννης 5
μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ
οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. 6 οἱ μὲν οὖν συνελθόντες ἠρώτων 6
αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν
βασιλείαν τῷ Ἰσραήλ; 7 εἶπεν δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστιν 7
γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ,
8 ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' 8
ὑμᾶς, καὶ ἔσεσθέ μου μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ πάσῃ τῇ
Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. 9 καὶ ταῦτα εἰ- 9
πὼν βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ
τῶν ὀφθαλμῶν αὐτῶν. 10 καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐ- 10
ρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδού, ἄνδρες δύο παρειστήκεισαν
αὐτοῖς ἐν ἐσθήσεσιν λευκαῖς, 11 οἳ καὶ εἶπαν· Ἄνδρες Γαλιλαῖοι, 11

---

Cap. I. 1. Rc. Kn. Sz. ὁ Ἰησ. [om. ὁ c. BD.]
4. Hab. συναυλιζόμ. 4. al. m. Eus. al. conveseens s. convivens Vg. Syr. al. m. . . συναλισκόμενος D.
8. Rc. Kn. Sz. ἔσεσθέ μοι μ. et καὶ ἐν πάσῃ.
10. Rc. Kn. Sz. ἐσθῆτι λευκῇ. [ἐσθήσεσ. λ. c. ABC al. Syr. Vg. al. Eus.]

*τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀνα-*
*ληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον*
*ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.*
12 *Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου*
13 *ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, σαββάτου ἔχον ὁδόν.* [13] *καὶ*
*ὅτε εἰσῆλθον, εἰς τὸ ὑπερῷον ἀνέβησαν οὗ ἦσαν καταμένοντες, ὅ*
*τε Πέτρος καὶ Ἰωάννης καὶ Ἰάκωβος καὶ Ἀνδρέας, Φίλιππος καὶ*
*Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σί-*
14 *μων ὁ ζηλωτὴς καὶ Ἰούδας Ἰακώβου.* [14] *οὗτοι πάντες ἦσαν προσ-*
*καρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ σὺν γυναιξὶν καὶ Μαρίᾳ τῇ*
*μητρὶ τοῦ Ἰησοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ.*
15 *Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν*
*ἀδελφῶν εἶπεν· — ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν*
16 *εἴκοσι· —* [16] *Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ἣν*
*προεῖπεν τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα τοῦ*
17 *γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν,* [17] *ὅτι κατηριθμημένος*
18 *ἦν ἐν ὑμῖν καὶ ἔλαχεν τὸν κλῆρον τῆς διακονίας ταύτης.* [18] *οὗτος*
*μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γε-*
*νόμενος ἐλάκησεν μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ·*
19 [19] *καὶ γνωστὸν ἐγένετο πᾶσιν τοῖς κατοικοῦσιν Ἱερουσαλήμ, ὥστε*
*κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμάχ,*
20 *τουτέστιν χωρίον αἵματος.* [20] *γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν·* *Ps. 69, 25.
*Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν* (26.)
21 *αὐτῇ, καί· Τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.* [21] *δεῖ οὖν τῶν* *Ps. 109, 8.

11. Hab. *τί ἑστ. βλέποντες* BE al. m. Eus. Chrs. al.
13. Rc. Kn. Sz. *ἀνέβησ. εἰς τ. ὑπερ.* et *κ. Ἰάκ. κ. Ἰωάνν.*
14. Rc. Sz. *προσευχῇ καὶ τῇ δεήσει,* qu. Kn. (—). — Rc. Kn. Sz. *καὶ σὺν τοῖς.*
15. Rc. Kn. Sz. *τῶν μαθητῶν.* [*ἀδελφ.* c. ABC* al. Vg. al.] — h. *ἦν δέ* CD** (*γάρ* D*) al. Syr. utr. Cpt. Vg. Ld. et *ὡσεί* AC al.
16. Pro *ἔδει* h. *δεῖ* D* Vg. Ct. Ir. ms. Aug. — Rc. Kn. Sz. *ταύτην ἣν πρ.* [om. c. ABC* H al. Syr. Vg. al. m. Or. (2.) Eus. Ath. al.]
17. Rc. *ἦν σὺν ἡμῖν.*
18. Rc. (Sz. om. *τοῦ* per errorem.) *τοῦ μισθοῦ.*
19. Om. *ἰδίᾳ* D Sah. Arm. Vg. Ct. Ld.; etiam *Ἰουδαίᾳ* leg. — Rc. Kn. Sz. *Ἀκελδαμά.* [*Ἀκελδαμάχ* (B) s. *Ἀχελδαμάχ* s. *Ἀκελδαιμάχ* s. *Ἀκελδαμάκ* c. ABDE cdd. lat. Sah. Cpt. Eus.]
20. Rc. Kn. Sz. *λάβοι* [*λαβέτω* c. ABCD al. Eus. Chrs.] et 21. *ἐν ᾧ.*

συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ᾧ εἰσῆλθεν καὶ ἐξῆλθεν
ἐφ' ἡμᾶς ὁ κύριος Ἰησοῦς, 22 ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος 22
Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς
ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. 23 καὶ ἔστη- 23
σαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαββᾶν, ὃς ἐπεκλήθη Ἰοῦ-
στος, καὶ Ματθίαν. 24 καὶ προσευξάμενοι εἶπαν· Σύ, κύριε, καρ- 24
διογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα
25 λαβεῖν τὸν τόπον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἀφ' ἧς 25
παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. 26 καὶ ἔδω- 26
καν κλήρους αὐτοῖς, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγ-
κατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

## II.

Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦσαν 1
πάντες ὁμοῦ ἐπὶ τὸ αὐτό. 2 καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος 2
ὥσπερ φερομένης πνοῆς βιαίας καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ
ἦσαν καθεζόμενοι, 3 καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι 3
ὡσεὶ πυρός, ἐκάθισέν τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, 4 καὶ ἐπλήσθη- 4
σαν πάντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις
καθὼς τὸ πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς. 5 Ἦσαν δὲ ἐν 5
Ἰερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς
ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν· 6 γενομένης δὲ τῆς φωνῆς ταύτης 6
συνῆλθεν τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ

---

23. Hab. Ἰωσῆν B al. Syr. p. Sah. — Rc. Kn. Sz. Βαρσαβᾶν. [Βαρσαββᾶν c. ABE al. m. Am. Ld. Cpt. al. Eus. ms. .. h. Βαρνάβαν D Ct. Tol. Aeth.]

24. Rc. ἐκ τούτων τ. δύο ἕνα ὃν ἐξελ.

25. Rc. Kn. Sz. λαβ. τὸν κλῆρον [τόπον c. ABC* Sah. Cpt. Vg. Ct. (τόπον τόν D) Proc. (dis.) Aug.] et ἐξ ἧς. — pro ἴδιον h. δίκαιον A; etiam αὐτοῦ leg.

26. Rc. Kn. Sz. αὐτῶν. [αὐτοῖς c. ABD** al. Vg. al. Chrs. (1.)]

Cap. II. 1. Om. πάντ. E al. Ld. Chrs. .. Rc. Kn. Sz. ἅπαντ. .. add. οἱ ἀπόστολοι H al. m. — Rc. Kn. Sz. ὁμοθυμαδόν. [ὁμοῦ c. ABC Slav. Ath... om. D Syr. Cpt.]

3. Ln. καὶ ἐκάθισ. c. B al. Ath. (2.) Chrs. al. .. h. ἐκάθισάν τε D** gr. (καὶ ἐκάθισάν τε D* gr.) s. καὶ ἐκάθισαν Ath. (1.) Cyr. (1.) Syr. utr. Arr. Cpt. Sah. .. h. ἐκάθισεν δέ C* Ld. Aug.]

6. Hab. ὅτι ἤκουσεν B.

7 ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. 7 ἐξίσταντο δὲ καὶ ἐθαύμαζον λέ-
γοντες· Οὐχὶ ἰδοὺ ἅπαντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;
8 8 καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ
9 ἐγεννήθημεν, 9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοι-
κοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόν-
10 τον καὶ τὴν Ἀσίαν, 10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ
τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥω-
11 μαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, 11 Κρῆτες καὶ Ἄραβες, ἀκούο-
μεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ
12 θεοῦ; 12 ἐξίσταντο δὲ πάντες καὶ διηποροῦντο ἄλλος πρὸς ἄλλον
13 λέγοντες· Τί θέλει τοῦτο εἶναι; 13 ἕτεροι δὲ διαχλευάζοντες ἔλε-
γον· ὅτι γλεύκους μεμεστωμένοι εἰσίν.

14 Σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρεν τὴν φωνὴν αὐ-
τοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦν-
τες Ἱερουσαλὴμ πάντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε
15 τὰ ῥήματά μου. 15 οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι με-
16 θύουσιν· ἔστιν γὰρ ὥρα τρίτη τῆς ἡμέρας· 16 ἀλλὰ τοῦτό ἐστιν τὸ
17 εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· 17 Καὶ ἔσται ἐν ταῖς ἐσχάταις *Joel. 2, 28-32. (3, 1 sqq.)
ἡμέραις, λέγει ὁ θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν
σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν,
καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν
18 ἐνυπνίοις ἐνυπνιασθήσονται· 18 καί γε ἐπὶ τοὺς δούλους μου καὶ
ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύ-
19 ματός μου, καὶ προφητεύσουσιν. 19 καὶ δώσω τέρατα ἐν τῷ οὐ-

---

7. Rc. δὲ πάντες. — Rc. Kn. Sz. λέγ. πρὸς ἀλλήλους. — οὐχί c. B... Ln. οὐχ et Rc. Kn. Sz. οὐκ.

12. διηποροῦντο c. AB... Rc. Kn. Sz. Ln. διηπόρουν. — Rc. Kn. Sz. τί ἂν θέλοι.

13. Rc. χλευάζοντες. — 14. Rc. Kn. Sz. om. ὁ ante Πέτρ.

16. Om. Ἰωήλ D Ct. Ir. Hil. Aug.

17. Hab. μετὰ ταῦτα pro ἐν τ. ἐσχ. ἡμέρ. B Sah... utrque cjgt C al. Arm. Cyr. Hier. — h. λέγ. κύριος DE al. Vg. Ct. Ld. Ir. Hier. al. — h. υἱ. αὐτῶν D Ct. Hier. Hil.; iid. θυγατ. αὐτῶν... om. h. l. ὑμῶν C. — om. ὑμ. post νεαν. D Ct. Hier. et post πρεσβ. DE Ct. Ld. — Rc. ἐνύπνια.

18. Om. ἐν τ. ἡμέρ. ἐκ. et καὶ προφητ. D Ct. Hier.

*ρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα*
*καπνοῦ.* [20]*ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς* 20
*αἷμα, πρὶν ἢ ἐλθεῖν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.*
[21]*καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσε-* 21
*ται.* [22]*Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους. Ἰη-* 22
*σοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ θεοῦ εἰς*
*ὑμᾶς δυνάμεσιν καὶ τέρασιν καὶ σημείοις οἷς ἐποίησεν δι' αὐτοῦ ὁ*
*θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς αὐτοὶ οἴδατε,* [23]*τοῦτον τῇ ὡρισμένῃ* 23
*βουλῇ καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον διὰ χειρὸς ἀνόμων προσ-*
*πήξαντες ἀνείλατε,* [24]*ὃν ὁ θεὸς ἀνέστησεν λύσας τὰς ὠδῖνας τοῦ* 24
*θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.*
*Ps. 16, 8-11. [25]*Δαυὶδ γὰρ λέγει εἰς αὐτόν· Προωρώμην τὸν κύριον ἐνώπιόν* 25
*μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ.* [26]*διὰ* 26
*τοῦτο ηὐφράνθη μου ἡ καρδία καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου,*
*ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι,* [27]*ὅτι οὐκ ἐγκατα-* 27
Act. 13, 35. *λείψεις τὴν ψυχήν μου εἰς ᾅδην οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν*
*διαφθοράν.* [28]*ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφρο-* 28
*σύνης μετὰ τοῦ προσώπου σου.* [29]*Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν* 29
*μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυίδ, ὅτι καὶ*
*ἐτελεύτησεν καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἔστιν ἐν ἡμῖν ἄχρι τῆς*
*ἡμέρας ταύτης.* [30]*προφήτης οὖν ὑπάρχων καὶ εἰδὼς ὅτι ὅρκῳ* 30
*ὤμοσεν αὐτῷ ὁ θεός, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ*
*τὸν θρόνον αὐτοῦ,* [31]*προϊδὼν ἐλάλησεν περὶ τῆς ἀναστάσεως τοῦ* 31

---

**19. Om.** *ἄνω* **A al. Syr. Erp. Sah. — om.** *κάτω* **Syr. Erp. — om.** *αἷμ. κ. π. κ. ἀτμ. καπν.* **D Ct.**

**20. Ln. om.** *ἢ* **c. ACDE al. — Rc. Kn. Sz.** *τὴν ἡμέρ.* **[om. c. BD.] — om.** *καὶ ἐπιφ.* **D Ct.**

**22. Rc. Kn. Sz.** *καθ. καὶ αὐτοί.*

**23. Rc. Kn. Sz.** *ἔκδοτ. λαβόντες, διὰ χειρῶν.* **— Rc.** *ἀνείλετε.*

**24. Pro** *θανάτ.* **h.** *ᾅδου* **D Syr. Erp. Cpt. Vg. Ct. Ld. Polyc. Ir. al.**

**25. Ln.** *προορώμην* **c. AD.**

**26. Rc. Kn. Sz.** *εὐφράνθη.* **[***ηὐφρ.* **c. ABDE al.]**

**27. Rc. Kn. Sz.** *εἰς ᾅδου.* **[***ᾅδην* **c. ABCD al. pm. Clem. (non Or.)]**

**30. Rc. Sz. post** *ὀσφ. αὐτοῦ* **add.** *τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν.* **[om. c. AB (ap. Btlj.) CD**H al. Syr. Vg. al. m. Ath. Cyr. Ir. al... al. var.] — Rc. Kn. Sz.** *τοῦ θρόνου.* **[***τ. θρόνον* **c. ABCD al. Or.]**

Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη εἰς ᾅδου οὔτε ἡ σὰρξ αὐτοῦ εἶδεν
32 διαφθοράν. [32] τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεός, οὗ πάντες
33 ἡμεῖς ἐσμὲν μάρτυρες. [33] τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθεὶς τήν τε
ἐπαγγελίαν τοῦ πνεύματος τοῦ ἁγίου λαβὼν παρὰ τοῦ πατρός,
34 ἐξέχεεν τοῦτο ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε. [34] οὐ γὰρ Δαυὶδ ἀνέβη • Ps. 110, 1.
εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· Mt. 22, 44.
35 Κάθου ἐκ δεξιῶν μου [35] ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον Mc. 12, 36.
36 τῶν ποδῶν σου. [36] ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, Lc. 20, 22.
ὅτι καὶ κύριον αὐτὸν καὶ Χριστὸν ὁ θεὸς ἐποίησεν, τοῦτον τὸν
Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

37 [37] Ἀκούσαντες δὲ κατενύγησαν τὴν καρδίαν, εἰπόν τε πρὸς τὸν
Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί ποιήσομεν, ἄνδρες ἀδελ-
38 φοί; [38] Πέτρος δὲ πρὸς αὐτούς· Μετανοήσατε, καὶ βαπτισθήτω
ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν τῶν ἁμαρ-
39 τιῶν ὑμῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. [39] ὑμῖν
γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν καὶ πᾶσιν τοῖς εἰς
40 μακρὰν οὓς ἂν προσκαλέσηται κύριος ὁ θεὸς ἡμῶν. [40] ἑτέροις
τε λόγοις πλείοσιν διεμαρτύρατο, καὶ παρεκάλει αὐτοὺς λέγων·
41 Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. [41] Οἱ μὲν οὖν ἀπο-
δεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν ἐν
42 τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι· [42] ἦσαν δὲ προσκαρτεροῦν-

---

31. Rc. Kn. Sz. ὅτι οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ [Kn. (ἡ ψ. αὐτ.)] ε. ᾅδ. (h. ᾅδην B al. m. Eus. al.) οὐδέ.

33. Rc. Kn. Sz. ὃ νῦν ὑμεῖς. — Ln. (καὶ) βλέπετε.

36. Rc. ὅτι κύρ. καὶ Χρ. αὐτὸν ὁ θ.

37. Rc. Kn. Sz. τῇ καρδίᾳ. — om. λοιπούς D Ct. Cpt. Aeth. Aug. — h. τί ποιήσωμεν A C E al. m. Bas.

38. Rc. Kn. Sz. δὲ ἔφη. [om. c. B al. Vg. ms. . . h. φησίν post μεταν. A C al. Vg. Cyr. al.; post αὐτούς D Ct. Ir.; etiam εἶπεν leg.] — post ὀνόμ. add. τοῦ κυρίου D E al. Syr. utr. Ld. al. Bas. al. m. — om. Χριστ. Syr. Cpt. Erp. Ir. Oec. — Rc. Kn. Sz. ἄφεσ. ἁμαρτιῶν. [τῶν ἁμ. ὑμῶν c. A B C al. Vg. Cpt. Sah.]

40. Rc. Sz. διεμαρτύρετο. — Rc. Kn. Sz. om. αὐτούς.

41. Rc. Kn. Sz. ἀσμένως ἀποδεξ. et om. ἐν post προσετέθ. [om. ἀσμ. c. A B C D al. Vg. al. Clem. al. et scr. ἐν c. A B D al. Vg.]

τες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ, τῇ κλάσει τοῦ
ἄρτου καὶ ταῖς προσευχαῖς.
Ἐγίνετο δὲ πάσῃ ψυχῇ φόβος, πολλά τε τέρατα καὶ σημεῖα 43
διὰ τῶν ἀποστόλων ἐγίνετο. [44] πάντες δὲ οἱ πιστεύσαντες ἐπὶ τὸ 44
αὐτὸ εἶχον ἅπαντα κοινά, [45] καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις 45
ἐπίπρασκον καὶ διεμέριζον αὐτὰ πᾶσιν καθότι ἄν τις χρείαν εἶχεν,
[46] καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, 46
κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει
καὶ ἀφελότητι καρδίας, [47] αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν 47
πρὸς ὅλον τὸν λαόν. ὁ δὲ κύριος προσετίθει τοὺς σωζομένους
καθ' ἡμέραν [1] ἐπὶ τὸ αὐτό. 1

## III.

Πέτρος δὲ καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν
τῆς προσευχῆς τὴν ἐνάτην. [2] καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς 2
αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύ-
ραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ
τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν· [3] ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην 3
μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν ἠρώτα ἐλεημοσύνην λαβεῖν. [4] ἀτενί- 4
σας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶπεν· Βλέψον εἰς ἡμᾶς.
[5] ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. [6] εἶπεν δὲ 5 6

42. Lx. (ἐν) τῇ διδαχ. c. A al. Syr. Vg. al. — Rc. Kn. Sz. καὶ τῇ κλάσ. [om. c. ABD al. Sah.]
43. Rc. Kn. Sz. ab init. ἐγένετο. [ἐγίν. c. AB (ap. Btlj. vdtur) CD.] — h. πολλὰ δέ B .. πολλά (om. τέ) D* al. — h. ἐγίν. διὰ τ. ἀποστόλ. ἐν Ἱερουσαλήμ· φόβος τε ἦν μέγας ἐπὶ πάντας καί AC [ἐν Ἱερουσ. add. etiam E al. Syr. Ld. al.] al. m. Cpt. Vg.
44. πιστεύσαντ. ἐπὶ τ. α. εἶχ. c. B al. [πιστεύσαντες etiam H al. Thphyl.] Or. . . Rc. Kn. Sz. Lx. πιστεύοντες ἦσαν ἐπὶ τ. α. καὶ εἶχ.
47. Rc. Kn. Sz. καθ' ἡμέρ. τῇ ἐκκλησίᾳ. III. 1. Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρ. [om. τῇ ἐκκλ. c. ABC Vg. Cpt. Arm. Aeth. Cyr. (h. ἐπὶ τὸ αὐτὸ ἐν τῇ ἐκκλησ. D Ct. et omisso ἐν 19.) et Πέτρ. δέ c. ABC al. Vg. Syr. Cpt. Pamphil. Cyr. Euthal. Lcif.]

Cap. III. 1. Cf. ad II. v. 47.
2. Om. ὑπάρχων (antea h. καὶ ἰδού D Syr.) D Syr. Erp. Arm. Ct. Lcif.
3. Om. λαβεῖν DH al. pl. Ct. Reg. Sl. Ar. p. Thphyl. Lcif. .. h. λαβεῖν παρ' αὐτῶν E Ld.
5. Hab. παρ' αὐτοῦ C; π. αὐτῶν post τὶ λαβ. [λαβ. τι E] pon DE al. Vg. Ld.: om. 69.

Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό
σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου περι-
7 πάτει. [7] καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν αὐτόν· παρα-
8 χρῆμα δὲ ἐστερεώθησαν αἱ βάσεις αὐτοῦ καὶ τὰ σφυρά, [8] καὶ ἐξ-
αλλόμενος ἔστη, καὶ περιεπάτει, καὶ εἰσῆλθεν σὺν αὐτοῖς εἰς τὸ
9 ἱερὸν περιπατῶν καὶ ἁλλόμενος, αἰνῶν τὸν θεόν. [9] καὶ εἶδεν πᾶς
10 ὁ λαὸς αὐτὸν περιπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν· [10] ἐπεγίνω-
σκον δὲ αὐτόν, ὅτι αὐτὸς ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος
ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ, καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκ-
στάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.
11 Κρατοῦντος δὲ αὐτοῦ τὸν Πέτρον καὶ τὸν Ἰωάννην συνέδρα-
μεν πᾶς ὁ λαὸς πρὸς αὐτοὺς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶ-
12 νος ἔκθαμβοι. [12] ἰδὼν δὲ ὁ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν·
Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε
ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν τοῦ περιπατεῖν αὐτόν;
13 [13] ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὁ θεὸς τῶν πατέρων
ἡμῶν, ἐδόξασεν τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς μὲν παρεδώ-
κατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου
14 ἀπολύειν· [14] ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτή-
15 σασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, [15] τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς
ἀπεκτείνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές
16 ἐσμεν. [16] καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεω-
ρεῖτε καὶ οἴδατε, ἐστερέωσεν τὸ ὄνομα αὐτοῦ· καὶ ἡ πίστις ἡ δι'
αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

---

6. Rc. Kn. Sz. *ἔγειραι καὶ περιπ.*, qu. Ln. (—) .. om. c. BD Ct. Sab. .. h. *ἔγειρε* AE al. m. .. h. *ἀνάστα* Epiph.

7. Rc. Kn. Sz. om. *αὐτόν* post *ἤγειρ.* [scr. c. ABC al. Syr. Vg. Reg. al. m. Bas. al.]

8. Rc. Kn. Sz. *καὶ αἰνῶν*, Ln. (*καί*) .. om. c. AD Sah. Ct. Reg. Lcif.

10. Rc. Kn. Sz. *ἐπεγ. τε*, [*δέ* c. ABC al. Vg. Ld. Reg. Cpt. Bas. sel.] iid. et Ln. *ὅτι οὗτος* .. *αὐτός* c. AC al. Vg. Reg. Syr. Cpt. Bas. sel. Lcif.

11. Rc. pro *αὐτοῦ* h. *τοῦ ἰαθέντος χωλοῦ*. — Rc. Kn. Sz. om. *τόν* ante *Ἰωάνν.* [scr. c. AB.] — Ln. *Σολομῶντος* c. A (h. *Σαλομ.*)

12. Rc. Kn. Sz. om. *ὁ*. [scr. c. ABD.] — 13. Ln. *κ. θεὸς Ἰσ. καὶ θεὸς Ἰακ.* c. ACD al. Vg. al.; etiam *κ. ὁ θ. Ἰσ. κ. ὁ θ. Ἰ.* leg. — Rc. om. *μέν*. — Rc. Kn. Sz. *ἠρνήσ. αὐτόν.* [om. c. ABC al. m. Vg. al. Ir. al.]

16. Om. *ἐπί* B al.; etiam *ἐν* leg. — Ln. post *ἐστερέωσ.* interpgt.

[17]*καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ* 17
*οἱ ἄρχοντες ὑμῶν·* [18]*ὁ δὲ θεὸς ἃ προκατήγγειλεν διὰ στόματος* 18
*πάντων τῶν προφητῶν, παθεῖν τὸν Χριστὸν αὐτοῦ, ἐπλήρωσεν*
*οὕτως.* [19]*μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι* 19
*ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσιν καιροὶ ἀναψύξεως ἀπὸ προσ-*
*ώπου τοῦ κυρίου* [20]*καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Χρι-* 20
*στὸν Ἰησοῦν,* [21]*ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀπο-* 21
*καταστάσεως πάντων ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος τῶν ἁγίων*
*Dt. 18, 15. 19. *αὐτοῦ προφητῶν.* [22]*Μωϋσῆς μὲν εἶπεν· ὅτι προφήτην ὑμῖν ἀνα-* 22
*στήσει κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ*
*ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.* [23]*ἔσται δέ,* 23
*πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευ-*
*θήσεται ἐκ τοῦ λαοῦ.* [24]*καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ* 24
*καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύ-*
*Gn. 12, 3. *τας.* [25]*ὑμεῖς ἐστε οἱ υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ἧς ὁ* 25
*θεὸς διέθετο πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ*
*ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.*
[26]*ὑμῖν πρῶτον ὁ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν* 26
*αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πο-*
*νηριῶν.*

---

18. Rc. Kn. Sz. *αὐτοῦ* post *προφητῶν* pon. [post *Χρ.* c. BCDE al. Syr. utr. Vg. cdd. lat. al. Ir. . . om. *παθ. τ. Χρ.* A.]

20. Rc. *τὸν προκεκηρυγμένον.* — Rc. Kn. Sz. *Ἰησ. Χρ.* [*Χρ. Ἰησ.* c. BD gr. E al. Ld. al. Thphyl.]

21. Rc. *στόματ. πάντων ἁγίων αὐτ. πρ. ἀπ' αἰῶνος* . . . etiam Sz. add. in f. *ἀπ' αἰῶν.*, qd Kn. (—) . . Ln. (c. ABC) *ἀπ' αἰῶν.* pon. ante *αὐτοῦ προφ.* . . om. c. D 19. Ct. Arm. Ir. Tert. . . al. aliter pon.

22. Rc. *μὲν γάρ.* — Rc. Kn. Sz. *πρὸς τοὺς πατέρας εἶπεν.* — h. *ὁ θεὸς ἡμῶν* [om. B 60. Chrs. (1.)] E al. m. Ld. Sah. Aeth. Syr. p. Just. al.

23. Ln. *ἐξολεθρευθήσεται* c. AD.

24. Rc. *προκατήγγειλαν.*

25. Rc. om. *οἱ* ante *υἱοί.* — h. *πατέρ. ὑμῶν* AC (vdtur) E al. Ld. al. Chrs. Ir. ms. al. — Rc. om. *ἐν.* — h. *εὐλογηθήσονται* A* al. Chrs. al.

26. Rc. *παῖδ. αὐτ. Ἰησοῦν*, qd Kn. (—). — Rc. Kn. Sz. in f. add. *ὑμῶν*, Ln. add. *αὐτῶν*, legitur etiam *αὐτοῦ* et *ἡμῶν*. . . om. plane c. B (ap. Bch. et Btlj.) Chrs. (2.) Thphyl.

# IV.

1 *Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαόν, ἐπέστησαν αὐτοῖς οἱ*
2 *ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι,* [2] *διαπονού-*
*μενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν ἐν τῷ*
3 *Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν,* [3] *καὶ ἐπέβαλον αὐτοῖς τὰς*
*χεῖρας καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη.*
4 [4] *πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη*
*ἀριθμὸς τῶν ἀνδρῶν ὡς χιλιάδες πέντε.*
5 *Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας*
6 *καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς ἐν Ἱερουσαλήμ,* [6] *καὶ*
*Ἄνναν τὸν ἀρχιερέα καὶ Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον*
7 *καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ,* [7] *καὶ στήσαντες αὐτοὺς ἐν*
*τῷ μέσῳ ἐπυνθάνοντο· Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιή-*
8 *σατε τοῦτο ὑμεῖς;* [8] *τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου εἶπεν*
9 *πρὸς αὐτούς· Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι,* [9] *εἰ ἡμεῖς σή-*
*μερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι*
10 *οὗτος σέσωσται,* [10] *γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ*
*Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν*
*ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος*
11 *παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής.* [11] *οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενη-* *Ps 118
*θεὶς ὑφ᾽ ὑμῶν τῶν οἰκοδόμων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας.* 22.
12 [12] *καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὐδὲ γὰρ ὄνομά ἐστιν*

---

Cap. IV. 1. Hab. *οἱ ἀρχιερεῖς* B C 4. — om. *κ. ὁ στρατ. τ. ἱερ.* D Ct.
2. Hab. *τ. ἀνάστ. τῶν νεκρ.* D H al. pl. Ct. Ld. Reg. Chrs. al.
3. Hab. *ἔθεντο αὐτούς* A C E al. m. Vg. Syr. Cpt. Chrs.
4. Om. *τὸν λόγ.* A. — Rc. Kn. Sz. *ὁ ἀριθμ.* [om. *ὁ* c. B D (h. *ἀριθμ. τε ἐγεν. ἀνδρῶν*)] iid. *ὡσεί.* [*ὡς* c. B D al. .. om. A Vg. Sah. Aeth.]
5. Rc. Kn. Sz. om. *τούς* ante *πρεσβ.* et ante *γραμμ.* iid. h. *εἰς Ἱερουσ.* [*ἐν* c. A B D E al. m.] .. om. *ἐν Ἱερουσ.* Syr.
6. Ln. *κ. Ἄννας ὁ ἀρχιερεὺς κ. Καϊάφας κ. Ἰωάννης κ. Ἀλέξανδρος* c. A B (D jam ante hab. *συνήχθησαν οἱ ἀρχ. κ. οἱ πρ.*) al.
7. Kn. Sz. *ἐν μέσῳ* c. D E al. m. Chrs. Thphyl.
8. Rc. Kn. Sz. in f. add. *τοῦ Ἰσραήλ.* [om. c. A B Cpt. Sah. Vg. Colb. Cyr Fulg.]
9. Hab. *ἀνακριν. ἀφ᾽ ὑμῶν* D E Syr. Erp. Ct. Ld. Reg. Ir. Cypr.
11. Rc. Kn. Sz. *τῶν οἰκοδομούντων.*
12. Rc. Kn. Sz. *οὔτε γάρ.* .. h. *οὐ γ.* D Ct. Reg Cypr. al. [*οὐδὲ* c. A B al. m. Cpt. Did.]

ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σω-
θῆναι ἡμᾶς. [13] Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ 13
Ἰωάννου καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσιν καὶ
ἰδιῶται, ἐθαύμαζον· ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ
ἦσαν· [14] τόν τε ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τε- 14
θεραπευμένον οὐδὲν εἶχον ἀντειπεῖν. [15] κελεύσαντες δὲ αὐτοὺς ἔξω 15
τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους [16] λέγοντες· 16
Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν ση-
μεῖον γέγονεν δι' αὐτῶν, πᾶσιν τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φα-
νερόν, καὶ οὐ δυνάμεθα ἀρνεῖσθαι· [17] ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον 17
διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λα-
λεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. [18] καὶ καλέσαντες 18
αὐτοὺς παρήγγειλαν καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ
τῷ ὀνόματι τοῦ Ἰησοῦ. [19] ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες 19
εἶπον πρὸς αὐτούς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ, ὑμῶν
ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε· [20] οὐ δυνάμεθα γὰρ ἡμεῖς 20
ἃ εἴδαμεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. [21] οἱ δὲ προσαπειλησάμενοι 21
ἀπέλυσαν αὐτούς μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτούς
διὰ τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονότι·
[22] ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ' ὃν γεγό- 22
νει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους καὶ ἀπήγγειλαν ὅσα 23
πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπαν. [24] οἱ δὲ ἀκού- 24
σαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν θεὸν καὶ εἶπαν· Δέ-
σποτα, σὺ ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν

12. Hab. in f. ὑμᾶς B.
14. Rc. Kn. Sz. τὸν δὲ ἄνθρ. [τέ c. ABD** (om. D*) E al. m. Vg. Ct. Ld. al.]
15. Rc. Kn. Sz. συνέβαλον. [συνέβαλλ. c. AE al. pm. Vg. Ld. Reg. Ct. Lcif. Thphyl.]
16. Ln. τί ποιήσωμεν c. AE gr. al. pm. Ct. — Rc. Kn. Sz. ἀρνήσασθαι.
17. Ln. om. ἀπειλῇ c. ABD al. Syr. Vg. al. Bas. sel. al. — h. ἀπειλησόμεθα D al. m. Chrs. Thphyl. — 18. Rc. Kn. Sz. παρήγγ. αὐτοῖς.
20. Rc. Kn. Sz. εἴδομεν. [ctra ABD al.]
21. Hab. μὴ εὑρίσκ. 36. al. Vg. Sah. Lcif. et addito αἰτίαν D Syr. Arr. — h. κολάσονται 4. al. pl. Chrs. Thphyl.
22. Rc. Kn. Sz. ἐγεγόνει. [γεγόνει c. BD.]
24. Rc. Kn. Sz. σὺ ὁ θεός. [om. c. AB Cpt. Demid. Ath. Ambr.] — h.

25 καὶ πάντα τὰ ἐν αὐτοῖς, [25] ὁ διὰ στόματος Δαυὶδ παιδός σου * Ps. 2. 1. 2.
26 εἰπών· Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; [26] παρ-
έστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ
27 αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. [27] συνήχθη-
σαν γὰρ ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου
Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλᾶτος σὺν ἔθνεσιν
28 καὶ λαοῖς Ἰσραήλ, [28] ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλὴ προ-
29 ώρισεν γενέσθαι. [29] καὶ τὰ νῦν, κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐ-
τῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν
30 λόγον σου [30] ἐν τῷ τὴν χεῖρα ἐκτείνειν σε εἰς ἴασιν καὶ σημεῖα καὶ
τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ.
31 [31] καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι,
καὶ ἐπλήσθησαν ἅπαντες τοῦ ἁγίου πνεύματος καὶ ἐλάλουν τὸν
λόγον τοῦ θεοῦ μετὰ παῤῥησίας.

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ
μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ'
33 ἦν αὐτοῖς ἅπαντα κοινά. [33] καὶ δυνάμει μεγάλῃ ἀπεδίδουν τὸ
μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ· χάρις
34 τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς. [34] οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν
ἐν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦν-

---

σὺ εἶ ὁ θεός 32. al. Ct. Thphyl. Ir. .. σὺ εἶ Vg. (non Am.) Hil. Aug. al. .. al. aliter.

25. Ln. ὁ τοῦ πατρὸς ἡμῶν διὰ πνεύματος ἁγίου στόματος Δαυ. etc. c. ABE al. Syr. p. Ld. .. h. ὁ διὰ πνεύμ. ἁγ. διὰ στόμ. τοῦ πατρ. ἡμῶν Δαυ. etc. Sah. Erp. Vg. Ath. ms. Ir. .. ὁ διὰ πνεύμ. ἁγ. διὰ στόμ. Δαυ. etc. Syr. Cpt. Did. .. ὁ διὰ τοῦ ἁγίου στόμ. Δαυ. τοῦ παιδ. etc. 18. (s. XI.) .. ὃς διὰ πνεύμ. ἁγ. διὰ τοῦ στόμ. λαλήσας Δαυ. παιδός σου D et (h. David puero tuo) Ct. .. al. aliter. — Rc. τοῦ παιδ. σ.

27. Rc. om. ἐν τῇ πόλ. ταύτ.

28. Rc. Kn. Sz. ἡ βουλή σου [om. c. A*B al. Ld.* Hil. Lcif. Ambr.].

29. Ln. ἔφιδε c. ADE al.

30. Rc. Kn. Sz. τ. χεῖρ. σου et 31. ἅπαντ. πνεύμ. ἁγ.

32. Ln. bis om. ἡ c. A (B teste Btlj. om. ante καρδ.) D* (D** add. ἡ tantum ante καρδία) 96. Or. (2; hab. 2.)

33. Rc. Kn. Sz. μεγ. δυν. — h. οἱ ἀπόστ. τὸ μαρτ. AE al. Vg. Ld. Thphyl. — Ln. Ἰησ. (χριστοῦ) .. add. Χρ. ADE al. m. Syr. al. .. om. τῆς ἀναστάσ. 26. (sec. XII.) 31. (s. XIV.) .. pon. τ. κυρ. Ἰησ. τῆς ἀναστάσ. B.

34. Ln. τις ἦν c. AB al. Cyr.

τες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων [35] καὶ ἐτίθουν παρὰ 35
τοὺς πόδας τῶν ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις
χρείαν εἶχεν. [36] Ἰωσὴφ δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ἀπὸ τῶν ἀπο- 36
στόλων, ὅ ἐστιν μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευΐτης,
Κύπριος τῷ γένει, [37] ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκεν 37
τὸ χρῆμα καὶ ἔθηκεν παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

## V.

Ἀνὴρ δέ τις ὀνόματι Ἀνανίας σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐ- 1
τοῦ ἐπώλησεν κτῆμα, [2] καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίης 2
καὶ τῆς γυναικός· καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν ἀπο-
στόλων ἔθηκεν. [3] εἶπεν δὲ ὁ Πέτρος· Ἀνανία, διὰ τί ἐπλήρωσεν 3
ὁ σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον
καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; [4] οὐχὶ μένον σοὶ ἔμε- 4
νεν καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; τί ὅτι ἔθου ἐν τῇ καρ-
δίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ θεῷ.
[5] ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξεν. καὶ 5
ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας· [6] ἀναστάντες δὲ 6
οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ ἐξενέγκαντες ἔθαψαν. [7] Ἐγένετο 7
δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γε-
γονὸς εἰσῆλθεν. [8] ἀπεκρίθη δὲ πρὸς αὐτὴν Πέτρος· Εἰπέ μοι, εἰ 8
τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπεν· Ναί, τοσούτου. [9] ὁ δὲ 9
Πέτρος πρὸς αὐτήν· Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα
κυρίου; ἰδού, οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ
θύρᾳ, καὶ ἐξοίσουσίν σε. [10] ἔπεσεν δὲ παραχρῆμα πρὸς τοὺς πόδας 10

---

35. Ln. διεδίδετο c. AD.
36. Rc. Kn. Sz. Ἰωσῆς [Ἰωσήφ c. ABDE al. Syr. Cpt. Aeth. Arm. Sl. Vg. Ld. Chrs. (4.) Epiph.] et ὑπό. [ἀπό c. ABEH al. m. Thphyl.] — h. Βαρσαββᾶς 40. 96.* Cpt.
Cap. V. 1. Rc. Kn. Sz. Σαπφείρῃ. [-ρᾳ c. BD (h. Σαφφίρᾳ) al. m. Or. Chrs.]
2. Rc. Kn. Sz. συνειδυίας [συνειδυίης c. ABE] et γυναικ. αὐτοῦ. [om. c. ABD al. Arm.]
3. Rc. Kn. Sz. om. ὁ ante Πέτρ. [scr. c. ABE al. Chrs.]
5. Rc. Kn. Sz. om. ὁ ante Ἀν. [scr. c. ABE al. pl. Chrs. Thphyl.] et in f. add. ταῦτα.
8. Rc. Kn. Sz. ἀπ. δὲ αὐτῇ ὁ Πέτρ. et 9. εἶπε πρὸς α.
10. Rc. Kn. Sz. παρὰ τ. πόδ. [πρός c. ABD Or.]

αὐτοῦ καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν
11 νεκρὰν καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. 11 καὶ
ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν καὶ ἐπὶ πάντας τοὺς
ἀκούοντας ταῦτα.

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα
πολλὰ ἐν τῷ λαῷ. καὶ ἦσαν ὁμοθυμαδὸν πάντες ἐν τῇ στοᾷ Σο-
13 λομῶνος· 13 τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς. ἀλλ'
14 ἐμεγάλυνεν αὐτοὺς ὁ λαός· 14 μᾶλλον δὲ προσετίθεντο πιστεύον-
15 τες τῷ κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναικῶν· 15 ὥστε καὶ εἰς
τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλιναρίων καὶ
κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐ-
16 τῶν. 16 συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων Ἱερουσα-
λήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρ-
των, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα
18 αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου 18 καὶ ἐπέβαλον τὰς
χεῖρας ἐπὶ τοὺς ἀποστόλους καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημο-
19 σίᾳ. 19 ἄγγελος δὲ κυρίου διὰ νυκτὸς ἀνοίξας τὰς θύρας τῆς φυ-
20 λακῆς ἐξαγαγών τε αὐτοὺς εἶπεν· 20 Πορεύεσθε καὶ σταθέντες
λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.
21 21 ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν καὶ ἐδί-
δασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ συνεκάλε-
σαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ, καὶ
22 ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, ἀχθῆναι αὐτούς. 22 οἱ δὲ παρα-
γενόμενοι ὑπηρέται οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαν-
23 τες δὲ ἀπήγγειλαν 23 λέγοντες· ὅτι τὸ δεσμωτήριον εὕρομεν κεκλει-
σμένον ἐν πάσῃ ἀσφαλείᾳ καὶ τοὺς φύλακας ἑστῶτας ἐπὶ τῶν θυ-

---

12. Ln. Σολομῶντος c. A. — 14. h. πλήθει D* al.
15. Rc. Kn. Sz. ὥστε κατὰ τὰς πλ. [καὶ εἰς c. ABD** al. m. .. h. καὶ ἐν ταῖς πλ. E Ld. Ct. Lcif. .. om. καὶ εἰς τ. πλατ. Aeth.] — Rc. Kn. Sz. ἐπὶ κλινῶν. — Ln. (ut semper) κραβάττων h. l. c. ABD al.
16. Rc. Kn. Sz. εἰς Ἱερουσ. [om. c. AB al. Syr-Erp. Vg. Lcif.]
18. Rc. Kn. Sz. χεῖρ. αὐτῶν. [om. c. ABD al. Syr. Vg. al.]
19. Rc. Kn. Sz. διὰ τῆς νυκτ. iid. et Ln. ἤνοιξεν. .. ἀνοίξας c. A al. m. Vg. — h. ἐξαγαγ. δέ B al.
23. Rc. Kn. Sz. τὸ μὲν δεσμ. — Rc. ἔξω ἑστῶτας. — Rc. Kn. Sz. πρὸ τ. θυρ. [ἐπὶ c. ABD al.]

ρῶν, ἀνοίξαντες δὲ ἔσω οὐδένα εὕρομεν. [24]ὡς δὲ ἤκουσαν τοὺς 24
λόγους τούτους ὅ τε στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπό-
ρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. [25]παραγενόμενος δέ τις 25
ἀπήγγειλεν αὐτοῖς· ὅτι ἰδού, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ
εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. [26]τότε ἀπ- 26
ελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἦγεν αὐτοὺς οὐ μετὰ βίας·
ἐφοβοῦντο γὰρ τὸν λαόν, μὴ λιθασθῶσιν· [27]ἀγαγόντες δὲ αὐτοὺς 27
ἔστησαν ἐν τῷ συνεδρίῳ, καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς [28]λέ- 28
γων· Παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι
τούτῳ, καὶ ἰδού, πεπληρώκατε τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν
καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου.
[29]ἀποκριθεὶς δὲ Πέτρος καὶ οἱ ἀπόστολοι εἶπαν· Πειθαρχεῖν 29
δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. [30]ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγει- 30
ρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου. [31]τοῦ- 31
τον ὁ θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσεν τῇ δεξιᾷ αὐτοῦ, δοῦναι
μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. [32]καὶ ἡμεῖς ἐσμὲν 32
μάρτυρες τῶν ῥημάτων τούτων καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔδωκεν
ὁ θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. [33]οἱ δὲ ἀκούσαντες διεπρίοντο 33
καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς. [34]ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ 34
Φαρισαῖος ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος τίμιος παντὶ τῷ
λαῷ, ἐκέλευσεν ἔξω βραχὺ τοὺς ἀνθρώπους ποιῆσαι, [35]εἶπέν τε 35

---

24. Rc. Kn. Sz. ὅ τε ἱερεὺς καὶ ὁ στρατηγ. [sic c. Chrs. Thphyl. .. om. c. ABD al. Cpt. Sah. Arm. Vg. Lcif. .. h. οἱ ἀρχιερεῖς κ. ὁ στρ. τοῦ ἱεροῦ Syr. Aeth. .. οἱ ἱερεῖς κ. ὁ στρατ. τ. ἱεροῦ καὶ οἱ ἀρχιερεῖς E Ld. .. al. aliter.]

25. Rc. αὐτοῖς λέγων, Kn. (λέγων).

26. Rc. Kn. Sz. ἤγαγεν [ἦγεν c. BD**] et ἵνα μὴ λιθ. — h. αὐτ. ὁ ἱερεύς A* Lcif.

28. Rc. Kn. Sz. οὐ παραγγελ. [om. c. AB Vg. Ct. Ath. Cyr. al.] — h. μὴ λαλεῖν A al. Chrs. (1.) Cyr. Thdret.

29. Rc. Kn. Sz. ὁ Πέτρ.

32. Rc. Kn. Sz. αὐτοῦ μάρτυρ. .. Ln. ἐν αὐτῷ μάρτ. ἐσμεν (c. B al. Ir.) .. h. ἐν αὐτῷ post ἁμαρτιῶν D* Ct. al. .. et ἐν αὐτῷ et αὐτοῦ var. pon. .. plane om. c. AD* al. m. Syr. Arr. Aeth. Sah. Vg. Ct. Chrs. (1.) Did. — Rc. Kn. Sz. πνεῦμα δέ. [om. c. ABD* al. m. Vg. Ct. al. Ir. Did. Thphyl.]

33. Hab. ἀκούοντες 27. al. m. — Rc. Kn. Sz. ἐβουλεύοντο. [ἐβούλοντο c. ABE al. m. Aeth. Chrs. (2; in comm. βουλεύονται.)

34. Rc. Kn. Sz. βραχύ τι [om. c. ABDE al. m.; etiam βραχύ simul om.

πρὸς αὐτούς· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς
36 ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. [36] πρὸ γὰρ τούτων τῶν
ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσεκλίθη
ἀνδρῶν ἀριθμὸς ὡς τετρακοσίων, ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι
37 ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. [37] μετὰ τοῦ-
τον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς
καὶ ἀπέστησεν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες
38 ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. [38] καὶ τὰ νῦν λέγω ὑμῖν,
ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ ἄφετε αὐτούς· ὅτι ἐὰν
ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται·
39 [39] εἰ δὲ ἐκ θεοῦ ἐστίν, οὐ δυνήσεσθε καταλῦσαι αὐτούς, μήποτε
40 καὶ θεομάχοι εὑρεθῆτε. [40] ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλε-
σάμενοι τοὺς ἀποστόλους δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ
41 ὀνόματι τοῦ Ἰησοῦ καὶ ἀπέλυσαν. [41] Οἱ μὲν οὖν ἐπορεύοντο χαί-
ροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ
42 ὀνόματος ἀτιμασθῆναι· [42] πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ'
οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν Χριστὸν
Ἰησοῦν.

## VI.

1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγέ-
νετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρ-

---

15. 18. 66; var. pon. al.] et τοὺς ἀποστόλους. [ἀνθρ. c. AB al. Cpt. Arm. Vg. (non Am.) Chrs.]

36. Hab. τιν. ἑαυτ. μέγαν A**DE** al. m. Ld. Tol. Syr. al. Or. Cyr. Hier. — Rc. Sz. pro προσεκλίθη (c. AB al. m. Cyr. consensit Vg. al. lat.) h. προσεκολλήθη... h. προσεκλήθη CD* E al. pl... προσεκλείθησαν D**... προσετέθη 15. 18. 36. — Rc. Kn. Sz. ἀριθμ. ἀνδρ. ὡσεί.

37. Rc. Kn. Sz. λαὸν ἱκανόν. [om. c. A*B al. Vg. Ct. Eus. Cyr... pon. ante λαόν E al. Ld... h. πολὺν CD gr. Or.]

38. Rc. Kn. Sz. pro ἄφετε (c. ABC) h. ἐάσατε.

39. Rc. Kn. Sz. οὐ δύνασθε κατ. αὐτό. [δυνήσ. c. BCDE al. pl. Syr. Vg. al. Or. Chrs. al. .. αὐτούς c. ABCDE al. pm. Aeth. Am. al. (Or. h. τούτου διδασκαλίαν).. om. plane Vg. ms.]

40. Rc. Kn. Sz. Ln. in f. add. αὐτούς... om. c. ABC.

41. Rc. ὀνόματος αὐτοῦ c. 3. al. pl. Or. (2.)Lcif.

42. Rc. Kn. Sz. Ἰησ. τὸν Χρ. [τ. Χρ. Ἰ. c. AB al. pm. Vg. Syr. p. Bas. Ir.].. h. τὸν κύριον Ἰησοῦν C... τ. κύρ. Ἰ. Χρ. D Lcif... τὸν Χριστ. 25. al... Ἰησ. Χριστ. E al... al. aliter.

*ἐθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν.* [2] *προσ-* 2
*καλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπαν· Οὐκ*
*ἀρεστόν ἐστιν, ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ διακονεῖν*
*τραπέζαις.* [3] *ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρου-* 3
*μένους ἑπτὰ πλήρεις πνεύματος καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ*
*τῆς χρείας ταύτης·* [4] *ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ* 4
*λόγου προσκαρτερήσομεν.* [5] *καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ* 5
*πλήθους, καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ*
*πνεύματος ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον καὶ Νικάνορα καὶ*
*Τίμωνα καὶ Παρμενᾶν καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα,* [6] *οὓς* 6
*ἔστησαν ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν*
*αὐτοῖς τὰς χεῖρας.*

*Καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανεν, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς* 7
*τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων*
*ὑπήκουον τῇ πίστει.*

*Στέφανος δὲ πλήρης χάριτος καὶ δυνάμεως ἐποίει τέρατα καὶ* 8
*σημεῖα μεγάλα ἐν τῷ λαῷ.* [9] *ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συν-* 9
*αγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων*
*καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ,* [10] *καὶ* 10
*οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει.* [11] *τότε* 11
*ὑπέβαλον ἄνδρας λέγοντας· ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥή-*
*ματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν θεόν,* [12] *συνεκίνησάν τε τὸν* 12
*λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες*
*συνήρπασαν αὐτὸν καὶ ἤγαγον εἰς τὸ συνέδριον,* [13] *ἔστησάν τε* 13
*μάρτυρας ψευδεῖς λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται* ..

---

**Cap. VI. 3. Ln. pro** *οὖν* **h.** *δή* **c. A et om.** *ἀδελφοί* **c. A 13. Aeth. Or. int. Bas. .. h.** *ἐπισκεψάμεθα δέ* **B. ..** *τί οὖν ἐστιν, ἀδελφοί; ἐπισκέψασθε ἐξ ὑμ. αὐτῶν* **D Ct. — Rc. Kn. Sz.** *πνεύμ. ἁγίου.* **[om. c. B D al. Syr. p. Ct. Lux. Am. al. Chrs. Thphyl.; etiam** *κυρίου* **leg.] — Rc. (Sz. lectiones confundit)** *καταστήσωμεν.*

**5. Ln.** *ἄνδρα πλήρης* **c. ADE al. m. — h.** *Νικάνωρα* **BE. (etiam** *Πρόχωρον* **E.)**

**7. Hab.** *τοῦ κυρίου* **DE al. Vg. Ld. al. Chrs. — h.** *ὄχλος τ. Ἰουδαίων* **66. al. Syr. Thphyl.**

**8. Rc. pro** *χάριτος* **h.** *πίστεως.*

**9. Hab.** *τῶν λεγομένων* **A al. Sah. — Ln. om.** *καὶ Ἀσίας* **c. AD* Ct.**

**11. Hab.** *ῥήμ. βλασφημίας* **D gr. 137.**

14 ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου· [14] ἀκη-
κόαμεν γὰρ αὐτοῦ λέγοντος· ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος κατα-
λύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν
15 Μωϋσῆς. [15] καὶ ἀτενίσαντες εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι ἐν
τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

## VII.

1
2 Εἶπεν δὲ ὁ ἀρχιερεύς· Εἰ ταῦτα οὕτως ἔχει; [2] ὁ δὲ ἔφη·
Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ θεὸς τῆς δόξης ὤφθη
τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ κατοι-
3 κῆσαι αὐτὸν ἐν Χαῤῥάν, [3] καὶ εἶπεν πρὸς αὐτόν· *Ἔξελθε ἐκ τῆς * Gn. 12, 1.
γῆς σου καὶ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι
4 δείξω. [4] τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν Χαῤῥάν.
κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν
5 εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε, [5] καὶ οὐκ ἔδωκεν
αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδός, καὶ ἐπηγγείλατο
δοῦναι αὐτῷ εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ μετ'
6 αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου. [6] *ἐλάλησεν δὲ οὕτως ὁ θεός, ὅτι * Gn. 15, 13. 14.
ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν
7 αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια· [7] καὶ τὸ ἔθνος ᾧ ἂν δου-
λεύσωσιν κρινῶ ἐγώ, ὁ θεὸς εἶπεν, καὶ μετὰ ταῦτα ἐξελεύσονται
8 καὶ λατρεύσουσίν μοι ἐν τῷ τόπῳ τούτῳ. [8] *καὶ ἔδωκεν αὐτῷ δια- * Gn. 17, 10 sqq.
θήκην περιτομῆς· καὶ οὕτως ἐγέννησεν τὸν Ἰσαὰκ καὶ περιέτεμεν
αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καὶ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ Ἰακὼβ τοὺς
9 δώδεκα πατριάρχας. [9] *Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ * Gn. 37, 28. et 39, 2 sqq.

---

13. Rc. ῥήμ. βλάσφημα λαλῶν, Kn. (βλάσφ.). — Rc. τοῦ ἁγ. τούτου.
Cap. VII. 1. Rc. Kn. Sz. εἰ ἄρα. [om. c. ABC al. Vg. Ct. Germ.]
3. Rc. Kn. Sz. καὶ ἐκ τῆς, Ln. (ἐκ) .. om. c. BD (antea ἀπὸ D*). — Rc. Kn. Sz. εἰς γῆν. [εἰς τὴν γ. c. ABCDE al.]
4. Hab. εἰς Χαῤῥ. H al. pm. Thphyl.; etiam ἐπὶ leg.; etiam om. ἐν. — h. μετῴκησεν αὐτόν (omisso αὐτόν 57. al.) D*E al. Oec.
5. Rc. Kn. Sz. αὐτῷ δοῦναι. [δοῦν. αὐτ. c. BD al. pm. Thphyl. . . h. δοῦν. αὐτὴν εἰς μετ. αὐτῷ ACE al. m. . . δοῦν. αὐτῷ αὐτήν Vg. Syr. al.]
6. Pro οὕτως leg. αὐτῷ et αὐτῷ οὕτως. — h. σπέρμ. σου 15. al. Syr. Aeth. Cpt. Vg. al.
7. Hab. δουλεύσουσιν ACD gr. al.
8. Hab. καὶ οὗτος 3. al. m. — Rc. Kn. Sz. καὶ ὁ Ἰσ. et καὶ ὁ Ἰακ.

ἀπέδοντο εἰς Αἴγυπτον· καὶ ἦν ὁ θεὸς μετ᾽ αὐτοῦ, 10 καὶ ἐξείλατο 10
αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ
σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου· καὶ κατέστησεν αὐ-
τὸν ἡγούμενον ἐπ᾽ Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ. 11 ἦλθεν 11
δὲ λιμὸς ἐφ᾽ ὅλην τὴν Αἴγυπτον καὶ Χαναὰν καὶ θλῖψις μεγάλη,
καὶ οὐχ ηὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν. 12 ἀκούσας δὲ 12
Ἰακὼβ ὄντα σιτία εἰς Αἴγυπτον ἐξαπέστειλεν τοὺς πατέρας ἡμῶν
πρῶτον· 13 καὶ ἐν τῷ δευτέρῳ ἐγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς 13
αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος αὐτοῦ. 14 ἀπο- 14
στείλας δὲ Ἰωσὴφ μετεκαλέσατο Ἰακὼβ τὸν πατέρα αὐτοῦ καὶ
πᾶσαν τὴν συγγένειαν ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. 15 καὶ κατέβη 15
Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν,
16 καὶ μετετέθησαν εἰς Συχὲμ καὶ ἐτέθησαν ἐν τῷ μνήματι ᾧ ὠνή- 16
• Gn. 33, 19. σατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ ἐν Συχέμ.
• Ex. 1, 7. 8. 17 καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὡμολόγησεν ὁ 17
θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,
18 ἄχρι οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. 19 οὗ- 18 19
τος κατασοφισάμενος τὸ γένος ἡμῶν ἐκάκωσεν τοὺς πατέρας τοῦ
• Ex. 2, 2. ποιεῖν τὰ βρέφη ἔκθετα αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι. 20 Ἐν ᾧ 20
καιρῷ ἐγεννήθη Μωϋσῆς καὶ ἦν ἀστεῖος τῷ θεῷ. ὃς ἀνετράφη

---

10. Rc. Sz. ἐξείλετο. — h. καὶ ἐφ᾽ ὅλον AC al. m. Syr. Vg. al.
11. Rc. Kn. Sz. τὴν γῆν Αἰγύπτου. [Αἴγ. c. ABC (D* h. ἐφ᾽ ὅλης τῆς Αἰγ.) al. Syr. Vg. al.]
12. Rc. Kn. Sz. σῖτα [σιτία c. ABCDE al.] ἐν [εἰς c. ABCE al.] Αἰγ.
13. Rc. Kn. Sz. ἀνεγνωρ. et γέν. τοῦ Ἰωσήφ. .. Ln. γένος Ἰωσήφ. .. αὐτοῦ c. AE al. Vg. Ld. Arm.
14. Rc. Kn. Sz. τὸν πατέρ. αὐτ. Ἰακ. .. om. Ἰακ. 15. al. — Rc. et Kn. (—) συγγέν. αὐτοῦ.
15. Rc. Kn. Sz. κατέβη δέ. .. om. δέ D al. Ct. Syr. p. [καί c. ACE al. m. Vg. Ld.] — om. εἰς Αἴγυπτ. B.
16. Rc. μνήμ. ὃ ὠνήσ. — Rc. Kn. Sz. Ἐμμόρ [Ἐμμώρ c. ABCD al. pm.] et τοῦ Συχ. .. Ln. τοῦ ἐν Σ. c. AE al. Ld. Tol. al. (h. et Sychem Ct.) .. ἐν Σ. c. BC al. m. Sah. .. om. ἐν Συχέμ Syr. Erp.
17. Rc. Kn. Sz. ἧς ὤμοσεν. [ὡμολόγ. c. ABC al. Vg. al. .. h. ἐπηγγείλατο DE Ld. Tol.
18. Ln. ἕτερος ἐπ᾽ Αἴγυπτον c. ABC al. pm. Syr. Vg. al. .. h. Αἰγύπτου 40.
19. Rc. Kn. Sz. πατέρ. ἡμῶν [om. c. BD] τ. π. ἔκθετ. τὰ βρ. αὐτῶν.

21 μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός· [21] ἐκτεθέντος δὲ αὐτοῦ, ἀν-
είλατο αὐτὸν ἡ θυγάτηρ Φαραὼ καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς
22 υἱόν. [22] καὶ ἐπαιδεύθη Μωϋσῆς πᾶσαν τὴν σοφίαν Αἰγυπτίων·
23 ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἔργοις αὐτοῦ. [23] ὡς δὲ ἐπληροῦτο
αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπι-
24 σκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. [24] καὶ ἰδών * Ex. 2.
τινα ἀδικούμενον ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονου- 11. 12.
25 μένῳ πατάξας τὸν Αἰγύπτιον. [25] ἐνόμιζεν δὲ συνιέναι τοὺς ἀδελ-
φούς, ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν σωτηρίαν αὐτοῖς· οἱ
26 δὲ οὐ συνῆκαν. [26] τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις,
καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην εἰπών· Ἄνδρες, ἀδελφοί ἐστε·
27 ἵνα τί ἀδικεῖτε ἀλλήλους; [27] ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο * Ex. 2.
αὐτὸν εἰπών· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμῶν; 14.
28 [28] μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον;
29 [29] ἔφυγεν δὲ Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν
30 γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο. [30] Καὶ πληρωθέντων ἐτῶν * Ex. 3.
τεσσαράκοντα ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος 2 sqq.
31 ἐν φλογὶ πυρὸς βάτου. [31] ὁ δὲ Μωϋσῆς ἰδὼν ἐθαύμασεν τὸ ὅραμα·
32 προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι ἐγένετο φωνὴ κυρίου· [32] Ἐγὼ
ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.
33 ἔντρομος δὲ γενόμενος Μωϋσῆς οὐκ ἐτόλμα κατανοῆσαι. [33] εἶπεν

---

20. Rc. πατρ. αὐτοῦ, qd Kn. (—).

21. Rc. Kn. Sz. ἐκτεθέντα δὲ αὐτόν. [ἐκτεθέντος etc. c. ABCD al. pm. Ct. Vg. .. om. αὐτόν post ἀνειλ. 5. al. m.] — Rc. Sz. ἀνείλετο. — om. εἰς B.

22. πᾶσαν τ. σ. c. D* Clem. .. Rc. Kn. Sz. Ln. πάσῃ σοφίᾳ. .. h. ἐν πάσῃ σοφ. ACE al. Or. (2.) Bas. al. .. πάσης σοφίας B. — Rc. Kn. Sz. καὶ ἐν ἔργ. (Rc. om. αὐτοῦ.)

23. Om. τοὺς ante υἱούς B.

25. Rc. Kn. Sz. Ln. τ. ἀδελφ. αὐτοῦ... om. c. BC Vg. Fulg.

26. Ln. συνήλλασσεν c. B (B ap. Bch. συνήλλασεν, ap. Btlj. συνήλασσεν) CD al. pm. Ct. Vg. Ld. Aeth. Sah. — Rc. Kn. Sz. ἐστὲ ὑμεῖς.

27. Rc. Kn. Sz. ἐφ᾽ ἡμᾶς [ἡμῶν c. ABC al. pl.] et v. 28. χθές.

30. Rc. Kn. Sz. ἄγγελ. κυρίου. — h. ἐν πυρὶ φλογός ACE al. pm. Ld. Vg. Syr. Erp.

31. Kn. Sz. ἐθαύμαζε c. DEH al. pl. — om. τὸ ὅραμ. A. — Rc. Sz. et Kn. (—) in f. add. πρὸς αὐτόν.

32. Rc. Kn. Sz. καὶ ὁ θεὸς Ἰσ. καὶ ὁ θεὸς Ἰακ.

δὲ αὐτῷ ὁ κύριος· Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ
τόπος ἐφ' ᾧ ἕστηκας γῆ ἁγία ἐστίν. 34 ἰδὼν εἶδον τὴν κάκωσιν 34
τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτοῦ ἤκουσα,
καὶ κατέβην ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο, ἀποστείλω σε εἰς
Αἴγυπτον. 35 Τοῦτον τὸν Μωϋσῆν, ὃν ἠρνήσαντο εἰπόντες· Τίς 35
σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ θεὸς καὶ ἄρχοντα
καὶ λυτρωτὴν ἀπέσταλκεν σὺν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ
ἐν τῇ βάτῳ. 36 οὗτος ἐξήγαγεν αὐτοὺς ποιήσας τέρατα καὶ σημεῖα 36
ἐν γῇ Αἰγύπτῳ καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσ-
*Dt. 18, 15. Act. 3, 22. σαράκοντα. 37 οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἴπας τοῖς υἱοῖς Ἰσραήλ· 37
Προφήτην ὑμῖν ἀναστήσει ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ.
*Ex. 19, 3. 38 οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ 38
ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ καὶ τῶν πατέρων
ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν, 39 ᾧ οὐκ ἠθέλησαν 39
ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλὰ ἀπώσαντο καὶ ἐστρά-
*Ex. 32, 1. φησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον, 40 εἰπόντες τῷ Ἀαρών· 40
Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗ-
τος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί ἐγένετο
αὐτῷ. 41 καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἀνήγαγον 41
θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐ-
*Am. 5, 25 sqq. τῶν. 42 ἔστρεψεν δὲ ὁ θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ 42
στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν·

---

33. Hab. ἐκ τῶν ποδ. CE al. m. Syr. utr. al. — Rc. Kn. Sz. ἐν ᾧ ἕστ.
34. Rc. Kn. Sz. pro αὐτοῦ [c. BD al.] h. αὐτῶν. iid. ἀποστελῶ. [ἀποστείλω c. AB (C h. ἀποστέλλω, E ἀποστίλω) D al. Chrs.]
35. Post δικαστήν add. ἐφ' ὑμῶν s. ἐφ' ὑμᾶς CDE al. pm. Syr. Ld. al. m. Chrs. Thphyl. — Rc. Kn. Sz. om. καί post θεός. [scr. c. BDE al. Syr. p. Ld.] — h. ἀρχηγὸν κ. λυτρ. A al. Chrs. — Rc. Kn. Sz. ἀπέστειλεν ἐν χειρί.
36. Rc. ἐν γῇ Αἰγύπτου... Ln. ἐν τῇ Αἰγύπτῳ c. BC al... h. ἐν Αἰγύπτῳ 4. al. Sah. Ct.
37. Om. ὁ ante Μωϋσ. D al. pl. — Rc. Kn. Sz. ὁ εἰπών. [εἴπας c. ABCD al.] iid. κύριος ὁ θ. [Rc. add. ὑμῶν et Kn. (ὑμῶν)] et in f. add. αὐτοῦ ἀκούσεσθε.
38. Hab. ὃς ἐξελέξατο B. et λόγον ζῶντα 31. al. pm.
39. τῇ καρδίᾳ c. 1. al. pl. Ir. Chrs. (2.) Thphyl. .. Rc. Kn. Sz. ταῖς καρδίαις... Ln. ἐν ταῖς καρδίαις.
40. Rc. Kn. Sz. τί γέγονεν. [ἐγέν. c. ABC al.]

Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ
43 ἐρήμῳ, οἶκος Ἰσραήλ, [43] καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ
καὶ τὸ ἄστρον τοῦ θεοῦ Ῥεφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσ-
44 κυνεῖν αὐτοῖς; καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. [44] Ἡ σκηνὴ
τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διε-
τάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν * Ex. 25, 40.
45 ἑωράκει, [45] ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ * Jos. 3, 14.
Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἐξῶσεν ὁ θεὸς ἀπὸ προσ-
46 ώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν Δαυΐδ· [46] ὃς εὗρεν χά- * Ps. 132, 5.
ριν ἐνώπιον τοῦ θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ οἴκῳ Ἰα-
47 48 κώβ. [47] Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. [48] ἀλλ' οὐχ ὁ
49 ὕψιστος ἐν χειροποιήτοις κατοικεῖ, καθὼς ὁ προφήτης λέγει· [49] Ὁ * Es. 66, 1. 2.
οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον
οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος, ἢ τίς τόπος τῆς καταπαύ-
50 51 σεώς μου; [50] οὐχὶ ἡ χείρ μου ἐποίησεν πάντα ταῦτα; [51] Σκληρο-
τράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ
πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, καθὼς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς.
52 [52] τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτει-
ναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ
53 νῦν ὑμεῖς προδόται καὶ φονεῖς ἐγένεσθε, [53] οἵτινες ἐλάβετε τὸν Gal. 3, 19.
νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. Heb. 2, 2.
54 Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ
55 ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. [55] ὑπάρχων δὲ πλήρης πνεύ-
ματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδεν δόξαν θεοῦ καὶ Ἰη-
56 σοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ, [56] καὶ εἶπεν· Ἰδού, θεωρῶ τοὺς

---

43. Rc. Kn. Sz. θεοῦ ὑμῶν [om. c. BD al. Syr. al. Or. Ir.] Ῥεμφάν. [Ῥεφάν c. CEH al. m. Syr. utr. Arr. Cpt. Or. ms. Cyr. Thphyl. .. h. Ῥαιφάν A... Ῥομφᾶ B al... Ῥεφάμ D... al. aliter.]

44. Rc. Sz. ἐν τοῖς πατράσ. [om. c. ABCD** al. pl. Ld. Lux. al.] — h. ἑώρακεν DEH al.

46. Rc. Kn. Sz. pro οἴκῳ (c. BDH) h. θεῷ.

48. Rc. et Kn. (—) χειρ. ναοῖς. — 50. Rc. Kn. Sz. ταῦτ. πάντ.

51. Ln. ἀπερίτμ. καρδίαις c. ACD al. Vg. al.; etiam ταῖς κ. leg. (B ap. Bch. et Sz. καρδίας, ap. Btlj. καρδίαν hab.)

52. Rc. Kn. Sz. γεγένησθε. [ἐγένεσθε c. ABCDE al. m. Or.]

55. Hab. ἐκ δεξ. αὐτοῦ C 1. Thphyl.

ουρανοὺς διηνοιγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν
ἑστῶτα τοῦ θεοῦ. [57] Κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχον τὰ ὦτα 57
αὐτῶν καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν, [58] καὶ ἐκβαλόντες 58
ἔξω τῆς πόλεως ἐλιθοβόλουν. καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια
αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, [59] καὶ ἐλι- 59
θοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα· Κύριε Ἰη-
σοῦ, δέξαι τὸ πνεῦμά μου. [60] θεὶς δὲ τὰ γόνατα ἔκραξεν φωνῇ 60
μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν. καὶ τοῦτο
εἰπὼν ἐκοιμήθη. (VIII.) [1] Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει 1
αὐτοῦ.

## VIII.

Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλη-
σίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες δὲ διεσπάρησαν κατὰ τὰς χώρας
τῆς Ἰουδαίας καὶ Σαμαρείας πλὴν τῶν ἀποστόλων. [2] συνεκόμισαν 2
δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς καὶ ἐποιήσαντο κοπετὸν μέγαν
ἐπ' αὐτῷ. [3] Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴ- 3
κους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς
φυλακήν.

Οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον· 4
[5] Φίλιππος δὲ κατελθὼν εἰς τὴν πόλιν τῆς Σαμαρείας ἐκήρυσσεν 5
αὐτοῖς τὸν Χριστόν. [6] προσεῖχον δὲ οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ 6
τοῦ Φιλίππου ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ
σημεῖα ἃ ἐποίει. [7] πολλοὶ γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, 7
βοῶντα φωνῇ μεγάλῃ ἐξήρχοντο· πολλοὶ δὲ παραλελυμένοι καὶ

---

56. Rc. Kn. Sz. ἀνεῳγμένους. [διην. c. ABC al. m. Ath. .. h. ἠνεῳγμέν. D*.] — pon. ἑστῶτ. ἐκ δεξ. ACE al. Syr. utr. Vg. al. Gr. nyss. al. m. .. om. ἑστῶτα 177*. (sec. XV.)

57. Hab. κράξαντος 18. (sec. XI.) Ct.

58. Om. αὐτῶν H al. pm. Slav. Thphyl.

Cap. VIII. 1. Rc. Kn. Sz. πάντες τε. [δέ c. BCDE al. pl. Vg. Ld. Cpt. Sah. Syr. p. Eus. al.; etiam γάρ et καὶ πάντ. leg. .. om. 13. 47.]

2. Ln. ἐποίησαν c. ABD al. m. Thdret.

5. Rc. Kn. Sz. om. τήν. [scr. c. AB al.]

6. Rc. Kn. Sz. προσεῖχ. τε. [δέ c. ABCD al. m. Vg. Ld. al. Eus.]

7. Rc. Kn. Sz. πολλῶν γάρ [πολλοί c. ABCE (D hab. πολλοῖς, Ct. a multis) al. m. Sah. Vg. Ld.] et (Rc. μεγάλ. φων.) ἐξήρχετο. [ἐξήρχοντο c. ABCDF. al. pl. Sah. .. add. ἐξ αὐτῶν Syr. Sah.]

8 χωλοὶ ἐθεραπεύθησαν· 8 ἐγένετο δὲ πολλὴ χαρὰ ἐν τῇ πόλει ἐκείνῃ.
9 9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων
καὶ ἐξιστάνων τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν
10 μέγαν, 10 ᾧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες·
11 Οὗτός ἐστιν ἡ δύναμις τοῦ θεοῦ ἡ καλουμένη μεγάλη. 11 προσ-
εῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐ-
12 τούς. 12 ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ περὶ τῆς
βασιλείας τοῦ θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο
13 ἄνδρες τε καὶ γυναῖκες. 13 ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσεν, καὶ
βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε σημεῖα καὶ
14 δυνάμεις μεγάλας γινομένας ἐξίστατο. 14 ἀκούσαντες δὲ οἱ ἐν Ἱε-
ροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ
15 θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην, 15 οἵτινες
καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσιν πνεῦμα ἅγιον·
16 16 οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βε-
17 βαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. 17 τότε ἐπ-
ετίθεσαν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον.
18 18 ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀπο-
στόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα,
19 19 λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς
20 χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον. 20 Πέτρος δὲ εἶπεν πρὸς αὐτόν·
Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ
21 θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. 21 οὐκ ἔστιν σοι μερὶς οὐδὲ
κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα
22 ἔναντι τοῦ θεοῦ. 22 μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης,

---

8. Rc. Kn. Sz. *καὶ ἐγέν. χαρ. μεγάλη* et v. 9. *ἐξιστῶν*.

10. Om. *πάντες* H al. pl. Syr. p. Thphyl. Ir.; etiam post *λέγοντ.* pon. et *ἅπαντ.* leg. — Rc. Kn. om. *καλουμένη*. [scr. c. ABCDE al. m. Vg. Cpt. al. Or. (2.) Ir.]

12. Rc. Kn. Sz. *τὰ περὶ τῆς β.* [om. c. ABDE al. Syr. utr. Vg. al.] — Rc. *τοῦ Ἰησ. Χρ.*

13. Kn. Sz. *δυνάμ. κ. σημ. μεγάλα γιν.* .. om. et *γινόμ.* (C) et *μεγάλ.* (H al. pl.)

14. Rc. Kn. Sz. *τὸν Πέτρ.* [om. c. ABDE al. Chrs.]

16. Rc. Kn. Sz. *οὔπω* et v. 17. *ἐπετίθουν*.

18. Rc. Kn. *θεασάμενος* pro *ἰδών*. — om. *τὸ ἅγ.* B Sah.

21. Rc. Kn. Sz. *ἐνώπιον τοῦ θ.* et v. 22. *δεήθ. τοῦ θεοῦ*.

καὶ δεήθητι τοῦ κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς
καρδίας σου· 23 εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας 23
ὁρῶ σε ὄντα. 24 ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· Δεήθητε ὑμεῖς 24
ὑπὲρ ἐμοῦ πρὸς τὸν κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰ-
ρήκατε.

Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ 25
κυρίου ὑπέστρεφον εἰς Ἱεροσόλυμα, πολλάς τε κώμας τῶν Σα-
μαρειτῶν εὐηγγελίζοντο.

Ἄγγελος δὲ κυρίου ἐλάλησεν πρὸς Φίλιππον λέγων· Ἀνάστηθι 26
καὶ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν
ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος. 27 καὶ ἀναστὰς 27
ἐπορεύθη. καὶ ἰδού, ἀνὴρ Αἰθίοψ, εὐνοῦχος, δυνάστης Κανδάκης
βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐλη-
λύθει προσκυνήσων εἰς Ἱερουσαλήμ· 28 ἦν δὲ ὑποστρέφων, καθή- 28
μενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ ἀναγινώσκων τὸν προφήτην Ἠσαΐαν.
29 εἶπεν δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε καὶ κολλήθητι τῷ 29
ἅρματι τούτῳ. 30 προσδραμὼν δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ ἀνα- 30
γινώσκοντος Ἠσαΐαν τὸν προφήτην, καὶ εἶπεν· Ἆρά γε γινώσκεις ἃ
ἀναγινώσκεις; 31 ὁ δὲ εἶπεν· Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις 31
ὁδηγήσῃ με; παρεκάλεσέν τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν
*Es. 53, αὐτῷ. 32 ἡ δὲ περιοχὴ τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν, ἦν αὕτη· 32
7. 8. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κεί-
ραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. 33 ἐν 33
τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν γενεὰν αὐτοῦ τίς διηγή-

23. Hab. θεωρῶ σε ὄντα DE al. Cstit. Chrs.
24. Hab. πρ. τὸν θεόν D al. pm Syr. utr. Erp. Vg. ms.
25. Hab. λόγ. τοῦ θεοῦ A al. m.; etiam om. τοῦ et τοῦ κυρίου. — Rc. Kn. Sz. ὑπέστρεψαν εἰς Ἱερουσαλήμ et εὐηγγελίσαντο.
26. Ln. πορεύθητι c. CD (h. ἀναστὰς πορ.) al.
27. Rc. Kn. Sz. τῆς βασιλίσσ. — Ln. om. ὅς ante ἐληλύθ. c. AC**D* Sah. Vg. — h. ἐν Ἱερ. D** (om. D*) G.
28. δέ c. BC Sah. Ld. Chrs. .. Rc. Kn. Sz. Ln. τέ et hab. καί ante καθήμ., qd om. c. D* al. Vg. — Rc. Kn. Sz. καὶ ἀνεγίνωσκεν. .. Ln. ἀνεγίνωσκέν τε c. A. .. ἀναγινώσκων c. D al.
32. κείραντος c. AG (hiat D) EGH al. m. .. Rc. Kn. Sz. Ln. κείροντος. — h. οὕτος G al. m.
33. Rc. Kn. Sz. ταπειν. αὐτοῦ [om. c. AB al. Vg. Ir.] et τὴν δὲ γεν. [om. c. ABC Syr. utr. Sah. Vg.]

34 σεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. 34 ἀποκριθεὶς δὲ
ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπεν· Δέομαί σου, περὶ τίνος ὁ προ-
35 φήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου τινός; 35 ἀνοίξας
δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς
36 ταύτης εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. 36 ὡς δὲ ἐπορεύοντο κατὰ
τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος· Ἰδοὺ ὕδωρ·
38 τί κωλύει με βαπτισθῆναι; 38 καὶ ἐκέλευσεν στῆναι τὸ ἅρμα, καὶ
κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος·
39 καὶ ἐβάπτισεν αὐτόν. 39 ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα
κυρίου ἥρπασεν τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ
40 εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. 40 Φίλιππος δὲ
εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πά-
σας ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

## IX.

1 Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μα- Act. 22, 3 sqq.
2 θητὰς τοῦ κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ 2 ᾐτήσατο παρ' αὐτοῦ et 26, 12 sqq.
ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας
εὕρῃ τῆς ὁδοῦ ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ
3 εἰς Ἱερουσαλήμ. 3 ἐν δὲ τῷ πορεύεσθαι ἐγένετο αὐτὸν ἐγγίζειν τῇ
Δαμασκῷ, ἐξαίφνης τε αὐτὸν περιήστραψεν φῶς ἐκ τοῦ οὐρανοῦ,
4 4 καὶ πεσὼν ἐπὶ τὴν γῆν ἤκουσεν φωνὴν λέγουσαν αὐτῷ· Σαούλ,
5 Σαούλ, τί με διώκεις; 5 εἶπεν δέ· Τίς εἶ, κύριε; ὁ δέ· Ἐγώ εἰμι
6 Ἰησοῦς ὃν σὺ διώκεις. 6 ἀλλὰ ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν,

---

37. Rc. et Kn. (—) *Εἶπε δὲ ὁ Φίλιππος· Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν. Ἀποκριθεὶς δὲ εἶπε· Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν Ἰησοῦν Χριστόν.* Ea habent sed in singg. valde variant E al. pm. Arm. Vg. Ld. al. Ir. gr. et lat. Thphyl. al.

39. Post *πνεῦμα* add. *ἅγιον ἐπέπεσεν ἐπὶ (εἰς) τὸν εὐνοῦχον, ἄγγελος δέ* A** al. Arm. Slav. Bas. Did. al.

Cap. IX. 3. Rc. Kn. Sz. *καὶ ἐξαίφν. περ.* (Lk. *περιέστρ.* c. A*, ut videtur, al.; h. *περίστραψ.* C) *αὐτὸν φ. ἀπὸ τ. οὐρ.* [*ἐκ* c. ABCG al. m. Chrs. Thphyl.]

5. 6. Rc. Kn. Sz. *ὁ δὲ κύριος εἶπεν.* — h. *Ἰησ. ὁ Ναζωραῖος* ACE al. Syr. Ld. al. Hil. al. (add. Christus Ir.) — Rc. post *διώκεις* add. *σκληρόν σοι πρὸς κέντρα λακτίζειν.* 6. *Τρέμων τε καὶ θαμβῶν εἶπε· Κύριε, τί με θέλεις ποιῆσαι; καὶ ὁ κύριος πρὸς αὐτόν· Ἀνάστηθι* etc.

καὶ λαληθήσεταί σοι ὅ,τι σε δεῖ ποιεῖν. [7]οἱ δὲ ἄνδρες οἱ συν- 7
οδεύοντες αὐτῷ εἱστήκεισαν ἐνεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μη-
δένα δὲ θεωροῦντες. [8]ἠγέρθη δὲ Σαῦλος ἀπὸ τῆς γῆς, ἠνεῳγμέ- 8
νων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ οὐδὲν ἔβλεπεν· χειραγωγοῦντες δὲ
αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. [9]καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, 9
καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν. [10]Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ 10
ὀνόματι Ἀνανίας, καὶ εἶπεν πρὸς αὐτὸν ἐν ὁράματι ὁ κύριος·
Ἀνανία. ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγώ, κύριε. [11]ὁ δὲ κύριος πρὸς αὐ- 11
τόν· Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν
καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι Ταρσέα· ἰδοὺ γὰρ
προσεύχεται, [12]καὶ εἶδεν ἄνδρα Ἀνανίαν ὀνόματι εἰσελθόντα καὶ 12
ἐπιθέντα αὐτῷ τὰς χεῖρας, ὅπως ἀναβλέψῃ. [13]ἀπεκρίθη δὲ Ἀνα- 13
νίας· Κύριε, ἤκουσα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα
κακὰ τοῖς ἁγίοις σου ἐποίησεν ἐν Ἰερουσαλήμ· [14]καὶ ὧδε ἔχει 14
ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους
τὸ ὄνομά σου. [15]εἶπεν δὲ πρὸς αὐτὸν ὁ κύριος· Πορεύου, ὅτι 15
σκεῦος ἐκλογῆς ἐστίν μοι οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐν-
ώπιον τῶν ἐθνῶν τε καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ· [16]ἐγὼ γὰρ 16
ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.
[17]Ἀπῆλθεν δὲ Ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς 17
ἐπ' αὐτὸν τὰς χεῖρας εἶπεν· Σαοὺλ ἀδελφέ, ὁ κύριος ἀπέσταλκέν
με, Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς
καὶ πλησθῇς πνεύματος ἁγίου. [18]καὶ εὐθέως ἀπέπεσαν αὐτοῦ 18
ἀπὸ τῶν ὀφθαλμῶν ὡς λεπίδες, ἀνέβλεψέν τε καὶ ἀναστὰς ἐβαπτί-

6. Rc. Kn. Sz. pro *ὅ,τι* h. *τί*. — 7. Rc. Kn. Sz. *ἐννεοί*.
8. Rc. Kn. Sz. *ὁ Σαῦλ.* et *ἀνεῳγμένων* [*ἠνεῳγμ.* c. CE al. (h. *ἠνοιγμ.* A)] et *οὐδένα* [*οὐδέν* c. A*B Syr. Erp. Vg. Ld.]
11. Ln. *ἀνάστα* c. B. (etiam Barb. 1. ap. Kuster.) h. surge et vade Vg.
12. Rc. Kn. Sz. *εἶδεν ἐν ὁράματι* [om. c. A Cpt. Sah. Aeth. Vg.; post *ἄνδρα* pon. BC al.] et *αὐτῷ χεῖρα*.
13. Rc. *ὁ Ἀναν.* — Rc. Kn. Sz. *ἀκήκοα*. [*ἤκουσα* c. ABCE al. m.]
15. Rc. Kn. Sz. *ἐνώπ. ἐθνῶν καὶ βασιλ.*
16. Hab. *ὑποδ. αὐτόν* G 96. 109. .. om. *αὐτόν* post *δεῖ* 15. 18. 36. Thphyl.
17. Om. *Ἰησοῦς* G al. pl. Cpt. Sah. al. Thphyl.; pon. ante *ἀπέστ.* Syr. Erp. Am.
18. Rc. Kn. Sz. *ἀπέπεσον ἀπὸ τ. ὀφθ. αὐτοῦ ὡσεὶ λεπ.* et *ἀνέβλ. τε παραχρῆμα*.

19 σθη, 19 καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. Ἐγένετο δὲ μετὰ τῶν ἐν
20 Δαμασκῷ μαθητῶν ἡμέρας τινάς, 20 καὶ εὐθέως ἐν ταῖς συναγω-
γαῖς ἐκήρυσσεν τὸν Ἰησοῦν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.
21 21 ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν
ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο,
καὶ ὧδε εἰς τοῦτο ἐληλύθει ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς
22 ἀρχιερεῖς; 22 Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνεν τοὺς
Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός
23 ἐστιν ὁ Χριστός. 23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύ-
24 σαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν· 24 ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπι-
βουλὴ αὐτῶν. παρετηροῦντο δὲ καὶ τὰς πύλας ἡμέρας τε καὶ νυ-
25 κτός, ὅπως αὐτὸν ἀνέλωσιν· 25 λαβόντες δὲ οἱ μαθηταὶ αὐτοῦ
νυκτὸς διὰ τοῦ τείχους καθῆκαν αὐτὸν χαλάσαντες ἐν σπυρίδι.
26 Παραγενόμενος δὲ ἐν Ἱερουσαλὴμ ἐπείραζεν κολλᾶσθαι τοῖς
μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶν
27 μαθητής. 27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγεν πρὸς τοὺς
ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ· εἶδεν τὸν κύ-
ριον καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο
28 ἐν τῷ ὀνόματι Ἰησοῦ. 28 καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ
ἐκπορευόμενος εἰς Ἱερουσαλήμ, παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι
29 τοῦ κυρίου, 29 ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· οἱ

---

19. Hab. ἐνισχύθη B al. — Rc. et Kn. (—) ὁ Σαῦλος μετά.
20. Rc. τὸν Χριστόν.
21. Hab. ἐλήλυθεν EG al. pl. Chrs. Thphyl.
22. Hab. ἐνεδυν. τῷ λόγῳ C 8. et ἐν τῷ λόγῳ E Ld.
24. Rc. Kn. Sz. παρετήρουν τε τὰς πύλ. [παρετηροῦντο δέ καί c. ABCEFG al. m. Or.]
25. Rc. Kn. Sz. λαβ. δὲ αὐτὸν οἱ μαθ. νυκτ. καθῆκ. διὰ τ. τείχ. χαλάσ. . . Pro αὐτοῦ h. αὐτόν B.
26. Rc. et Kn. (—) παραγ. δὲ ὁ Σαῦλος. — Rc. Kn. Sz. εἰς Ἱερ. ἐπειρᾶτο.
27. Rc. Kn. Sz. τοῦ Ἰησ. [om. ABC al.; h. κυρίου A, τοῦ κυρίου Ἰησ. 14. al. Slav. ms. Chrs.; al. aliter.]
28. Om. καὶ ἐκπορ. GH al. pl. Slav. Chrs. (1.) Thphyl. — Rc. Kn. Sz. ἐν Ἱερουσ. καὶ παῤῥ. et in f. add. Ἰησοῦ.
29. Hab. πρ. τ. Ἕλληνας A Cpt. Sah. al.

δὲ ἐπεχείρουν ἀνελεῖν αὐτόν. [30] ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον 30
αὐτὸν εἰς Καισάρειαν καὶ ἐξαπέστειλαν εἰς Ταρσόν.
Ἡ μὲν οὖν ἐκκλησία καθ᾽ ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας 31
καὶ Σαμαρείας εἶχεν εἰρήνην, οἰκοδομουμένη καὶ πορευομένη τῷ
φόβῳ τοῦ κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπλη-
θύνετο. [32] ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν 32
καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδα. [33] εὗρεν δὲ ἐκεῖ 33
ἄνθρωπόν τινα ὀνόματι Αἰνέαν ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ
κραββάτου, ὃς ἦν παραλελυμένος. [34] καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· 34
Αἰνέα, ἰᾶταί σε Ἰησοῦς Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ.
καὶ εὐθέως ἀνέστη. [35] καὶ εἶδαν αὐτὸν πάντες οἱ κατοικοῦντες 35
Λύδδα καὶ τὸν Σαρῶνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν κύριον.
Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμη- 36
νευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἔργων ἀγαθῶν καὶ ἐλεη-
μοσυνῶν ὧν ἐποίει. [37] ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενή- 37
σασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ ἔθηκαν αὐτὴν ἐν τῷ ὑπε-
ρῴῳ. [38] ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ οἱ μαθηταὶ ἀκούσαν- 38
τες, ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν
παρακαλοῦντες· Μὴ ὀκνήσῃς διελθεῖν ἕως ἡμῶν. [39] ἀναστὰς δὲ 39
Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ
ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ
ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ

---

30. Pro *Καισ.* h. *Ἱεροσόλυμα* A. — Rc. Kn. Sz. *ἐξαπέστ. αὐτόν.* [om. c. AE al. m. Erp. Vg. Ld.]

31. Rc. Kn. Sz. *αἱ μὲν οὖν ἐκκλησίαι* etc. *εἶχον εἰρ. οἰκοδομούμεναι κ. πορευόμεναι* et in f. *ἐπληθύνοντο.* [*ἡ μὲν οὖν* etc. c. ABC al. pm. Syr. Vg. al. Dion. alex. Thphyl.]

32. Rc. Kn. Sz. *Λύδδαν.* [*Λύδδα* c. AB al.] Sic etiam v. 35.

33. *κραββάτου* c. B al. .. Ln. *κραβάττου* c. A al. (h. *κραβάττῳ* CE al.) .. Rc. Kn. Sz. *κραββάτῳ.*

34. Rc. Kn. Sz. *Ἰησ. ὁ Χρ.* [om. c. BC al.]

35. Hab. *Ἀσσάρωνα* s. *τὸν Ἀσσάρωνα* GH al. m. Slav. Chrs. Thphyl.. *τὸν Σαρωνᾶν* 15. al. pm. .. al. aliter.

37. Rc. Kn. Sz. *αὐτήν* (om. B.) pon. ante *ἔθηκ.* et om. *τῷ* ante *ὑπερ.* [scr. c. AE al.]

38. Hab. *Λύδδα* A. .. *Λύδδας* C. — om. *δύο ἄνδρ.* G al. pl. Ar. pol. Sl. ms. Chrs. (1.) Thphyl. — Rc. Kn. Sz. *μὴ ὀκνῆσαι δ. ε. αὐτῶν.* [*μὴ ὀκνήσῃς* etc. c. ABC* E al. Sah. Vg.]

21 αὐτούς. [21] καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν· Ἰδού,
22 ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν πάρεστε; [22] οἱ δὲ εἶπαν·
Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεόν,
μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματί-
σθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ
23 καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. [23] εἰσκαλεσάμενος οὖν αὐτοὺς
ἐξένισεν.
Τῇ δὲ ἐπαύριον ἀναστὰς ἐξῆλθεν σὺν αὐτοῖς, καί τινες τῶν
24 ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ. [24] τῇ δὲ ἐπαύριον εἰσ-
ῆλθεν εἰς τὴν Καισάρειαν· ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς,
συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.
25 [25] Ὡς δὲ ἐγένετο τοῦ εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ
26 Κορνήλιος πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. [26] ὁ δὲ Πέτρος
ἤγειρεν αὐτὸν λέγων· Ἀνάστηθι· καὶ ἐγὼ αὐτὸς ἄνθρωπός εἰμι.
27 [27] καὶ συνομιλῶν αὐτῷ εἰσῆλθεν, καὶ εὑρίσκει συνεληλυθότας πολ-
28 λούς· [28] ἔφη τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν ἐστιν
ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· κἀμοὶ ὁ θεὸς
29 ἔδειξεν μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον· [29] διὸ καὶ
ἀναντιρρήτως ἦλθον μεταπεμφθείς. πυνθάνομαι οὖν, τίνι λόγῳ
30 μετεπέμψασθέ με; [30] καὶ ὁ Κορνήλιος ἔφη· Ἀπὸ τετάρτης ἡμέ- Act. 10, 3 sqq.
ρας μέχρι ταύτης τῆς ὥρας ἤμην τὴν ἐνάτην προσευχόμενος ἐν τῷ
οἴκῳ μου, καὶ ἰδού, ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ
31 [31] καί φησιν· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ καὶ αἱ ἐλεη-
32 μοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ θεοῦ. [32] πέμψον οὖν εἰς Act. 11, 13.
Ἰόππην καὶ μετακάλεσαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος· οὗτος
33 ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν. [33] ἐξαυτῆς

---

21. Rc. et Kn. (—) τ. ἄνδρ. τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτόν. — om. ἡ ante αἰτ. B.
23. Rc. pro ἀναστάς h. ὁ Πέτρος et h. τῆς Ἰόππ.
24. Rc. Kn. Sz. καὶ τῇ ἐπ. εἰσῆλθον.
25. Rc. Kn. om. τοῦ ante εἰσελθ.
26. καὶ ἐγὼ αὐτός c. B. .. κἀγώ D Ct. .. καὶ γάρ ἐγώ E. .. καὶ αὐτὸς ἐγώ C. .. καὶ γὰρ ἐγὼ αὐτός 29. al. m. Chrs. Thphyl. .. Rc. Kn. Sz. Ln. κἀγ. αὐτ.
30. Rc. Kn. Sz. ἤμην νηστεύων καὶ [om. c. A*BC al. Cpt. Vg. al.] τ. ἐν. ὥραν. [om. c. ABCD al.]
32. Rc. Kn. Sz. in f. add. ὃς παραγενόμενος λαλήσει σοι. [om. c. AB al. m. Cpt. Aeth. Vg.]

οὖν ἔπεμψα πρὸς σέ, σύ τε καλῶς ἐποίησας παραγενόμενος. νῦν
οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ
προστεταγμένα σοι ἀπὸ τοῦ κυρίου. [34] ἀνοίξας δὲ Πέτρος τὸ στόμα 34
εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστιν προσωπο-
λήπτης ὁ θεός, [35] ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ 35
ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν· [36] τὸν λόγον ὃν ἀπ- 36
έστειλεν τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χρι-
στοῦ. οὗτός ἐστιν πάντων κύριος. [37] ὑμεῖς οἴδατε τὸ γενόμενον 37
ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ
τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης· [38] Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, 38
ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν
εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ
διαβόλου, ὅτι ὁ θεὸς ἦν μετ' αὐτοῦ· — [39] καὶ ἡμεῖς μάρτυρες 39
πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ Ἱερουσα-
λήμ· — ὃν καὶ ἀνεῖλαν κρεμάσαντες ἐπὶ ξύλου· [40] τοῦτον ὁ θεὸς 40
ἤγειρεν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, [41] οὐ 41
παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσιν τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ
θεοῦ ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀνα-
στῆναι αὐτὸν ἐκ νεκρῶν. [42] καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι τῷ λαῷ 42
καὶ διαμαρτύρασθαι, ὅτι οὗτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ
κριτὴς ζώντων καὶ νεκρῶν. [43] τούτῳ πάντες οἱ προφῆται μαρτυ- 43
ροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα
τὸν πιστεύοντα εἰς αὐτόν.

---

33. Hab. *ἐνώπ. σοῦ* D* Syr. Sah. Vg. Ct. al. et om. *πάρεσμ.* D* Sah. Ct. et h. *ἀκοῦσαι βουλόμενοι παρὰ σοῦ* D* Syr. Ct. — Rc. Kn. Sz. pro *ἀπὸ* (c. ACD. .. h. *παρά* E) *τ. κυρ.* (c. ABCE al. Cpt. Vg. al.) h. *ὑπὸ τοῦ θεοῦ*.

34. Hab. *τὸ στόμ. αὐτοῦ* ACE al. Syr. Vg. (non Am.) al. Thphyl.

36. Ln. om. *ὅν* c. ABC* Cpt. Vg. Ath. .. h. *τὸν γὰρ λόγ. ὅν* D (verb. suum misit Ct. .. verb. enim suum misit Tol.) al. Syr. Sah.

37. Om. *ὑμεῖς* B. — om. *ῥῆμα* D Ct. — Ln. *ἀρξάμενος* (*γάρ*) .. illud c. ACDE al. hoc c. AD Ct. Vg. Ld. Ir.

38. Ln. *Ναζαρέθ*. — h. *ὃν ἔχρισ. ὁ θ.* D Syr. al. Bas. ms. al. — h. *οὗτος διῆλθ.* D Ct. Sah. Tol. Ir.

39. Rc. et Kn. (—) *ἡμεῖς ἐσμεν*. — Rc. Kn. Sz. *καὶ ἐν Ἱερ.* [om. c. BD al. Vg. Syr.] — Rc. om. *καί* post *ὅν*.

42. Rc. Kn. Sz. pro *οὗτ.* (c. BCDE al. m. Syr. al.) h. *αὐτός*.

43. Pro *τούτῳ* h. *τοῦτον* GH et *τοῦτο* 19. al.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσεν τὸ
45 πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. 45 καὶ
ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι
46 καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται· 46 ἤκουον
γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν θεόν. τότε
47 ἀπεκρίθη Πέτρος· 47 Μήτι τὸ ὕδωρ δύναται κωλῦσαί τις τοῦ μὴ
βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ
48 ἡμεῖς; 48 προσέταξέν τε αὐτοὺς ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
βαπτισθῆναι. τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

## XI.

1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν
2 Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ. 2 ὅτε
δὲ ἀνέβη Πέτρος εἰς Ἱερουσαλήμ, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ
3 περιτομῆς 3 λέγοντες· ὅτι εἰσῆλθες πρὸς ἄνδρας ἀκροβυστίαν ἔχον-
4 τας καὶ συνέφαγες αὐτοῖς. 4 ἀρξάμενος δὲ Πέτρος ἐξετίθετο αὐ-
5 τοῖς καθεξῆς λέγων· 5 Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, Act. 10, 11 sqq.
καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην με-
γάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν
6 ἄχρι ἐμοῦ· 6 εἰς ἣν ἀτενίσας κατενόουν καὶ εἶδον τὰ τετράποδα
τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.
7 7 ἤκουσα δὲ καὶ φωνῆς λεγούσης μοι· Ἀναστάς, Πέτρε, θῦσον
8 καὶ φάγε. 8 εἶπον δέ· Μηδαμῶς, κύριε, ὅτι κοινὸν ἢ ἀκάθαρτον
9 οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. 9 ἀπεκρίθη δὲ ἐκ δευτέρου
10 φωνὴ ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ θεὸς ἐκαθάρισεν σὺ μὴ κοίνου. 10 τοῦτο

---

44. Ln. ἔπεσε et v. 45. οἱ συνῆλθ. et τοῦ πν. τοῦ ἁγ.
46. Rc. Kn. Sz. ὁ Πέτρ. et 47. καθὼς καὶ ἡμ.
48. Hab. προσέτ. δέ BE al. — Rc. Kn. Sz. βαπτ. ἐν τ. ὀνόμ. τοῦ κυρίου. [Ἰησ. Χρ. c. ABE al. pm. Syr. p. Cpt. Vg. ms. Am. Tol. al. Chrs. al. . . h. τοῦ κυρ. Ἰησ. Χρ. D al. Vg. Syr. . . etiam Ἰησοῦ, Ἰησοῦ κυρίου, κυρίου leg.]

Cap. XI. 2. Rc. Kn. Sz. καὶ ὅτε et Ἱεροσόλυμα.
4. Rc. Kn. Sz. ὁ Πέτρ.
7. Rc. Kn. Sz. om. καί post δέ. — 8. Rc. πᾶν κοινόν.
9. Rc. Kn. Sz. ἀπεκρ. δέ μοι φων. ἐκ δευτέρ. [φων. ἐκ δευτ. Ln. quoque. . . ἐκ δ. φ. c. BE al. Chrs. Epiph. . . om. μοί c. AB al. Vg. . . h. πρός μέ D. . . om. ἐκ δευτ. D al.]

δὲ ἐγένετο ἐπὶ τρίς, καὶ ἀνεσπάσθη πάλιν ἅπαντα εἰς τὸν οὐρανόν.
[11] καὶ ἰδού, ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ 11
ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός μέ. [12] εἶπεν δὲ τὸ 12
πνεῦμά μοι συνελθεῖν αὐτοῖς. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἕξ ἀδελ-
φοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός. [13] ἀπήγγει- 13
λεν δὲ ἡμῖν, πῶς εἶδεν τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα
Act. 10, καὶ εἰπόντα· Ἀπόστειλον εἰς Ἰόππην καὶ μετάπεμψαι Σίμωνα τὸν
5 et 32. ἐπικαλούμενον Πέτρον, [14] ὃς λαλήσει ῥήματα πρὸς σέ, ἐν οἷς 14
σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. [15] ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν 15
ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν
Act. 1, ἀρχῇ. [16] ἐμνήσθην δὲ τοῦ ῥήματος κυρίου, ὡς ἔλεγεν· Ἰωάννης 16
5. μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ.
[17] εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ θεὸς ὡς καὶ ἡμῖν, πι- 17
στεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν, ἐγὼ τίς ἤμην δυνατὸς
κωλῦσαι τὸν θεόν; [18] ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν, καὶ ἐδό- 18
ξαζον τὸν θεὸν λέγοντες· Ἄρα καὶ τοῖς ἔθνεσιν ὁ θεὸς τὴν μετά-
νοιαν εἰς ζωὴν ἔδωκεν.
Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ 19
Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μη-
δενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. [20] ἦσαν δέ τινες 20
ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες ἐλθόντες εἰς Ἀν-
τιόχειαν ἐλάλουν πρὸς τοὺς Ἕλληνας, εὐαγγελιζόμενοι τὸν κύριον

---

11. Ln. *ἦμεν* c. ABD al.
12. Rc. Kn. Sz. *αὐτοῖς μηδὲν διακρινόμενον*. .. Ln. *μηδὲν διακρίναντα*... etiam *διακρίνοντα* leg... om. c. D Ct. Syr. p.
13. Rc. Kn. Sz. *ἀπήγγ. τε* et *εἰπόντ. αὐτῷ*. — Rc. et Kn. (—) *Ἰόππ. ἄνδρας*.
16. Kn. Sz. Ln. *τοῦ κυρίου* c. ADE al. pm. Thphyl.
17. Om. *ὁ θεός* D Ct. Aeth. Aug. — Rc. Kn. Sz. *ἐγὼ δέ*. [om. c. ABD al. pl. Syr. Vg. al. Chrs. al. m.]
18. Ln. *ἐδόξασαν* c. BD** al. codd. lat. — Rc. Kn. Sz. *ἄραγε*. [*ἄρα* c. ABD al. Sah.]
19. Ln. *ἐπὶ Στεφάνου* c. AE al. Thphyl. sub Stephano Vg. Ld. Ct... h. *ἀπὸ τοῦ* (*τοῦ* D*) *Στεφάνου* D.
20. Rc. *εἰσελθόντες*. — Ln *ἐλάλ. καὶ* c. AB al. Vg. (h. *ἐλ. καὶ συνεζήτουν* 40.) — Rc. (Sz. lectiones confundit.) *πρ. τ. Ἑλληνιστάς*. [*Ἕλληνας* c. AD* (Syr. Arr. Cpt. Sah. Aeth. Vg. Ct.) Eus. al.]

21 Ἰησοῦν. [21] καὶ ἦν χεὶρ κυρίου μετ᾽ αὐτῶν, πολύς τε ἀριθμὸς ὁ
22 πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν κύριον. [22] ἠκούσθη δὲ ὁ λόγος εἰς
τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱερουσαλὴμ περὶ αὐτῶν, καὶ ἐξαπέστει-
23 λαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας· [23] ὃς παραγενόμενος καὶ
ἰδὼν τὴν χάριν τοῦ θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προ-
24 θέσει τῆς καρδίας προσμένειν τῷ κυρίῳ, [24] ὅτι ἦν ἀνὴρ ἀγαθὸς
καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως. καὶ προσετέθη ὄχλος
25 ἱκανὸς τῷ κυρίῳ. [25] ἐξῆλθεν δὲ εἰς Ταρσὸν ἀναζητῆσαι Σαῦλον,
26 καὶ εὑρὼν ἤγαγεν εἰς Ἀντιόχειαν. [26] ἐγένετο δὲ αὐτοῖς καὶ ἐνιαυ-
τὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν,
χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.
27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προ-
28 φῆται εἰς Ἀντιόχειαν· [28] ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος
ἐσήμανεν διὰ τοῦ πνεύματος λιμὸν μεγάλην μέλλειν ἔσεσθαι ἐφ᾽
29 ὅλην τὴν οἰκουμένην· ἥτις ἐγένετο ἐπὶ Κλαυδίου. [29] τῶν δὲ μα-
θητῶν καθὼς εὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν
30 πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· [30] ὃ καὶ ἐποίη-
σαν ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα
καὶ Σαύλου.

## XII.

1 Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς
2 χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. [2] ἀνεῖλεν δὲ Ἰάκω-
3 βον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ· [3] ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστιν

---

21. Rc. Kn. Sz. om. ὁ ante πιστ. [scr. c. AB al.]
22. Ln. om. διελθεῖν c. A Syr. Vg. al. (B. om. ap. Bch. et Sz. sed hab. post Ἀντιοχ. ap. Btlj.)
23. Ln. τ. χάρ. τὴν τ. θ. c. AB. — h. ἐν τῷ κυρ. B al. Vg. Ld. al.
25. Rc. Kn. Sz. ὁ Βαρνάβας [Kn. (—)] ἀναζητ. Σ. κ. εὑρ. αὐτὸν ἤγαγ. αὐτόν.
26. Rc. Kn. Sz. pro αὐτοῖς καί [αὐτοῖς c. ABE al. Ld. καί c. AB Vg. Syr. p.] h. αὐτούς. — om. ἐν ante τῇ ἐκκλ. H al. m. Thphyl. — h. πρώτως BD** al.; etiam πρώτους leg.
28. Ln. ἐσήμαινεν c. B Vg. Ct. (h. ἔφη εἷς σημαίνων D.) — Rc. Kn. Sz. λιμ. μέγαν et ὅστις καὶ ἐγέν. [μεγάλ. c. ABD** al. Epiph. al.; ἥτ. c. ABDE al. Epiph. al.; om. καί c. ABD al. m. Vg. al.] — Rc. in add. Καίσαρος, qd Kn. (—)

Cap. XII. 3. Rc. Kn. Sz. καὶ ἰδών.

τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· — ἦσαν δὲ αἱ
ἡμέραι τῶν ἀζύμων· — [4] ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παρα- 4
δοὺς τέσσαρσιν τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμε-
νος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. [5] ὁ μὲν οὖν Πέτρος 5
ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς
ἐκκλησίας πρὸς τὸν θεὸν περὶ αὐτοῦ. [6] ὅτε δὲ ἤμελλεν προαγαγεῖν 6
αὐτὸν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ
δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσιν δυσίν· φύλακές τε πρὸ τῆς
θύρας ἐτήρουν τὴν φυλακήν. [7] καὶ ἰδού, ἄγγελος κυρίου ἐπέστη, 7
καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ
Πέτρου ἤγειρεν αὐτὸν λέγων· Ἀνάστα ἐν τάχει. καὶ ἐξέπεσαν αὐ-
τοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. [8] εἶπεν δὲ ὁ ἄγγελος πρὸς αὐτόν· 8
Ζῶσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. ἐποίησεν δὲ οὕτως. καὶ
λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. [9] καὶ 9
ἐξελθὼν ἠκολούθει, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστιν τὸ γινόμενον
διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν. [10] διελθόντες δὲ πρώ- 10
την φυλακὴν καὶ δευτέραν ἦλθαν ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν
φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίγη αὐτοῖς, καὶ ἐξ-
ελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος
ἀπ' αὐτοῦ. [11] καὶ ὁ Πέτρος ἐν ἑαυτῷ γενόμενος εἶπεν· Νῦν οἶδα 11
ἀληθῶς, ὅτι ἐξαπέστειλεν κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλατό
με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν
Ἰουδαίων. [12] συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν τῆς Μαρίας τῆς 12
μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συν-

---

3. Rc. om. *αἱ* ante *ἡμέρ.* (Sz. hab. per error.)
5. Ln. *ἐκτενῶς* c. A*(vdtur) B al. Vg. Ld. Ct. (h. *πολλὴ δὲ πρ. ἦν ἐν ἐκτενείᾳ* D) Lcif. — Rc. Kn. Sz. *ὑπὲρ αὐτ.* [*περὶ* c. ABD al. m.]
6. Rc. Kn. Sz. *ἔμελλ.* [sic etiam Ln. .. scr. *ἤμ.* c. BEG al.] *αὐτὸν προάγειν.* [*προαγαγ.* c. AB (h. *προσαγαγ.*) al.]
8. Rc. Kn. Sz. *εἶπ. τε* et *περίζωσαι.*
9. Rc. Kn. Sz. *ἠκολούθ. αὐτῷ.* — h. *ὑπό* pro *διά* A al. Chr. (in text.) Thphyl. — h. *ἐδόκ. γάρ* D al. Syr. cdd. lat. al.
10. Rc. Kn. Sz. *ἠνοίχθη.*
11. Hab. *οἶδ. ὅτι ἀληθῶς* DE Aeth. Erp. Lcif. Chrs. — Rc. *ἐξείλετο.* — om. *τ. λαοῦ* A Syr.
12. Hab. *συνιδ. δέ* A al. m. Syr. Sah. Ld. — Rc. Kn. Sz. om. *τῆς* ante *Μαρ.* [scr. c. ABD al.]

13 ἠθροισμένοι καὶ προσευχόμενοι. [13] κρούσαντος δὲ αὐτοῦ τὴν θύ-
ραν τοῦ πυλῶνος προσῆλθεν παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη,
14 [14] καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν
τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ
15 τοῦ πυλῶνος. [15] οἱ δὲ πρὸς αὐτὴν εἶπαν· Μαίνῃ. ἡ δὲ διϊσχυρίζετο
16 οὕτως ἔχειν. οἱ δὲ εἶπαν· Ὁ ἄγγελός ἐστιν αὐτοῦ. [16] ὁ δὲ Πέτρος
17 ἐπέμενεν κρούων· ἀνοίξαντες δὲ εἶδαν αὐτὸν καὶ ἐξέστησαν. [17] κατα-
σείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν διηγήσατο, πῶς ὁ κύριος αὐτὸν
ἐξήγαγεν ἐκ τῆς φυλακῆς, εἶπέν τε· Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς
18 ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. [18] Γε-
νομένης δὲ ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί
19 ἄρα ὁ Πέτρος ἐγένετο. [19] Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ
εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι, καὶ κατ-
20 ελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς Καισάρειαν διέτριβεν. [20] ἦν δὲ θυ-
μομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς
αὐτὸν καὶ πείσαντες Βλάστον, τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως,
ᾐτοῦντο εἰρήνην διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βα-
21 σιλικῆς. [21] τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασι-
22 λικὴν καὶ καθίσας ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς· [22] ὁ
23 δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου. [23] παραχρῆμα
δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου ἀνθ᾽ ὧν οὐκ ἔδωκεν τὴν δόξαν
τῷ θεῷ, καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν.
24 25 Ὁ δὲ λόγος τοῦ θεοῦ ηὔξανεν καὶ ἐπληθύνετο. [25] Βαρνάβας

---

13. Rc. τοῦ *Πέτρου* pro αὐτοῦ.

15. Rc. Kn. Sz. ἔλεγον· Ὁ ἄγγ. αὐτοῦ ἐστ.

16. Om. *Πέτρ.* D Ct.

17. Rc. Kn. Sz. Ln. διηγήσ. αὐτοῖς. . . om. c. A al. Vg. al.; etiam ante διηγ. pon. — Rc. Kn. Sz. εἶπ. δέ.

18. Om. οὐκ ὀλίγ. D al. Ct. Lcif. . . h. μέγας 15. al. Syr. al.

19. Rc. Kn. Sz. εἰς τὴν Καισάρ.

20. Rc. et Kn. (—] ἦν δὲ ὁ Ἡρώδης.

21. Om. ὁ ante Ἡρ. et *καὶ* ante καθίσ. B. (vestitus sedit Vg.; seditque Am.)

23. Kn. Sz. Ln. om. τὴν ante δόξαν c. DEGH al. pm. Chrs. Thphyl. (B ap. Btlj. dubium est.)

24. Hab. τοῦ κυρίου B. et ηὔξάνετο A.

δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἱερουσαλήμ, πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον.

## XIII.

Ἦσαν δὲ ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται 1
καὶ διδάσκαλοι ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ καλούμενος Νίγερ,
καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου
σύντροφος καὶ Σαῦλος. [2] λειτουργούντων δὲ αὐτῶν τῷ κυρίῳ καὶ 2
νηστευόντων εἶπεν τὸ πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τὸν
Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. [3] τότε 3
νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς
ἀπέλυσαν. [4] αὐτοὶ μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ ἁγίου πνεύ- 4
ματος κατῆλθον εἰς Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς Κύ-
προν, [5] καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ θεοῦ 5
ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.
[6] διελθόντες δὲ ὅλην τὴν νῆσον ἄχρι Πάφου εὗρον ἄνδρα τινὰ 6
μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς, [7] ὃς ἦν σὺν 7
τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. οὗτος προσκαλεσά-
μενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ
θεοῦ· [8] ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος — οὕτως γὰρ 8
μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ —, ζητῶν διαστρέψαι τὸν ἀνθύ-
πατον ἀπὸ τῆς πίστεως. [9] Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς 9

---

25. Hab. ἀπὸ Ἱερουσ. DE al. pl. .. εἰς Ἱερουσ. B al. pm. Ar. Sl. Chrs. Thphyl. .. εἰς Ἀντιόχειαν 28. al. Sah. Sl. ms. .. ἐξ (ἀπό, ut E) Ἱερ. εἰς Ἀντιόχ. E al. m. Syr. al. — Rc. Kn. Sz. καὶ Ἰωάνν. [om. c. ABD al. Syr. Erp. Vg.]

Cap. XIII. 1. Rc. Kn. Sz. ἦσ. δέ τινες. [om. c. ABD al. Syr. Vg. al.] — h. ἐν οἷς pro ὅ τε D Vg.

2. Hab. εἶπ. αὐτοῖς E al. Vg. Syr. — Rc. τόν τε Βαρν. — Rc. Kn. Sz. κ. τὸν Σαῦλ. [om. c. ABCDE al. pl. Bas. ms. al.]

4. Rc. Kn. Sz. οὗτοι μὲν οὖν, ὑπὸ τοῦ πν. τοῦ ἁγ., εἰς τὴν Σελ. et εἰς τὴν Κύπρ. — om. τέ D al. Chrs. .. h. δέ 25. al. pm. Sah. Ct. Thphyl.

6. Rc. om. ὅλην. — Rc. Kn. Sz. om. ἄνδρα. [scr. c. ABC (h. ἐκεῖ ἄνδρα C al.) D al. m. Syr. utr. al. Chrs. al. .. post τινά pon. E al. Vg. Slav.] — h. Βαριησοῦ C al. Cpt. Arm. Vg. .. Βαριησοῦν AD** (Βαριησουάν D* Ct.) al. pm. Thphyl. Oec. .. al. aliter.

10 πνεύματος ἁγίου ἀτενίσας εἰς αὐτὸν [10] εἶπεν· Ὦ πλήρης παντὸς
δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιο-
11 σύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας; [11] καὶ
νῦν ἰδού, χεὶρ κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον
ἄχρι καιροῦ. παραχρῆμα δὲ ἔπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος,
12 καὶ περιάγων ἐζήτει χειραγωγούς. [12] τότε ἰδὼν ὁ ἀνθύπατος τὸ
γεγονὸς ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ κυρίου.
13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ Παῦλον ἦλθον εἰς
Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπ-
14 έστρεψεν εἰς Ἱεροσόλυμα. [14] αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης
παρεγένοντο εἰς Ἀντιόχειαν τὴν Πισιδίαν, καὶ εἰσελθόντες εἰς τὴν
15 συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν. [15] μετὰ δὲ τὴν
ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχι-
συνάγωγοι πρὸς αὐτοὺς λέγοντες· Ἄνδρες ἀδελφοί, εἴ τίς ἐστιν ἐν
16 ὑμῖν λόγος παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. [16] ἀναστὰς δὲ
Παῦλος καὶ κατασείσας τῇ χειρὶ εἶπεν· Ἄνδρες Ἰσραηλῖται καὶ
17 οἱ φοβούμενοι τὸν θεόν, ἀκούσατε. [17] ὁ θεὸς τοῦ λαοῦ τούτου
ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παρ-
οικίᾳ ἐν γῇ Αἰγύπτου, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐ-
18 τοὺς ἐξ αὐτῆς, [18] καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροφοφόρησεν
19 αὐτοὺς ἐν τῇ ἐρήμῳ, [19] καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν
20 κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν· [20] καὶ μετὰ ταῦτα

---

9. Rc. Kn. Sz. καὶ ἀτενίσας. [om. c. ABCG al. m. Vg. al. Chrs. al.]
10. Om. πάσης ante ῥᾳδ. D* Ct.* Arm. Or. int. Lcif. — h. τοῦ κυρ. B.
11. Rc. τοῦ κυρ. — h. παραχρ. τε C Vg. al. — Rc. Kn. Sz. ἐπέπεσ. [ἔπεσ. c. ABD al. cdd. lat. Thphyl.]
13. Rc. Kn. Sz. τὸν Παῦλ. [om. c. ABCDE al.]
14. Rc. Kn. Sz. τῆς Πισιδίας et v. 15. εἰ ἔστι λόγ. ἐν ὑμῖν.
17. Rc. Ln. τούτου Ἰσραήλ. [om. c. EGH al. pl. Syr. Cpt. Sl. al. Chrs. Thphyl. Lcif... pro τούτου h. τοῦ B et om. τούτου Vg.] — Rc. Kn. Sz. Αἰγύπτῳ.
18. Om. ὡς DE Syr. Vg. al. — Rc. ἐτροποφόρησ. [ἐτροφοφ. c. ACE al. Cstit. Ath. Cyr.; nutrivit Ld. Syr. al.; mores eorum sustinuit Vg.
19. Om. καί B. (ap. Bch. et Btlj.; refert ad v. 18. Sz.) — Rc. κατεκληροδότησεν (contra ABCDEG al. pl. Chrs. al.). — om. αὐτοῖς BD* al. Sah.

ὡς ἔτεσιν τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν κριτὰς ἕως Σαμουὴλ
τοῦ προφήτου. [21] κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς 21
ὁ θεὸς τὸν Σαοὺλ υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμίν, ἔτη τεσ-
*Ps. 89, σαράκοντα· [22] καὶ μεταστήσας αὐτὸν ἤγειρεν τὸν Δαυὶδ αὐτοῖς 22
21. εἰς βασιλέα, ᾧ καὶ εἶπεν μαρτυρήσας· Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσ-
σαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά
μου. [23] τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγα- 23
γεν τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν, [24] προκηρύξαντος Ἰωάννου πρὸ 24
προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ
Ἰσραήλ. [25] ὡς δὲ ἐπλήρου Ἰωάννης τὸν δρόμον, ἔλεγεν· Τί ἐμὲ 25
Mt. 3, ὑπονοεῖτε εἶναι, οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδού, ἔρχεται μετ' ἐμὲ οὗ
11. Mc. 1, οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. [26] ἄνδρες ἀδελφοί, 26
7. Lc. 3, υἱοὶ γένους Ἀβραὰμ καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θεόν, ὑμῖν ὁ
16. λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη. [27] οἱ γὰρ κατοικοῦντες ἐν 27
Jo. 1, 27. Ἱερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες καὶ τὰς
φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας
κρίναντες ἐπλήρωσαν, [28] καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες 28
ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν· [29] ὡς δὲ ἐτέλεσαν πάντα 29
τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου ἔθηκαν
εἰς μνημεῖον. [30] ὁ δὲ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, [31] ὃς ὤφθη 30 31
ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας

---

20. Ln. sic pon. (c. antecdtibus jgens) ὡς ἔτεσ. τετρ. κ. πεντ., καὶ μετὰ τ. c. ABC al. Cpt. Sah. Arm. . . h. καὶ ἕως ἔτεσ. τετρ. κ. πεντ. (omissis μετὰ ταῦτ.) D* Syr. .. quasi post 450 annos. Et posthaec dedit Vg. — om. τοῦ ante προφ. B.

21. Om. ὁ θεός 26. (s. XII.) 66. (s. XII.) al. Ld. ms.; post Σαούλ pon. 95. — Ln. Κεὶς et Βενιαμείν.

22. Om. ἄνδρα B. . . om. ἄνδρ. κ. τὴν καρδ. μ. ὅς E Ld.

23. Rc. ἤγειρε pro ἤγαγ. — h. σωτηρίαν pro σωτ. Ἰησ. G al. pl. Aeth. Ar. Chrs. Thphyl.; σωτῆρα omisso Ἰησ. 16. (s. XI.) al.; σωτῆρ. τὸν Ἰησ. D.

24. Om. παντί G al. pl. Sl. Ar. Chrs. (comm.) Thphyl. — om. τῷ λαῷ A al. m. Sl. Ar. Chrs. (comm.) Thphyl. . . h. λαῷ G al. m. — om. Ἰσρ. 68. (s. XII.) 104. Sah.; etiam τοῦ Ἰσρ. leg.

25. Rc. Kn. Sz. ὁ Ἰωάνν. et τίνα με. [τί ἐμέ c. AB Sah.] (Kn. Sz. interpgt εἶναι; οὐκ etc.)

26. Om. οἱ B. — h. ἐν ἡμῖν AD Syr. p. in m. — Ln. ἡμῖν ὁ λόγ. c. AD al. Sah. — Rc. Kn. Sz. ἀπεστάλη.

27. Om. ἐν E al. pm. Syr. Vg. — h. γραφὰς τῶν πρ. D*E Syr. Ct. Ld.

εἰς Ἱερουσαλήμ, οἵτινες νῦν εἰσὶν μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν.
32 32 καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγε-
λίαν γενομένην, ὅτι ταύτην ὁ θεὸς ἐκπεπλήρωκεν τοῖς τέκνοις αὐ-
33 τῶν ἡμῖν ἀναστήσας Ἰησοῦν, 33 ὡς καὶ ἐν τῷ πρώτῳ ψαλμῷ γέ- *Ps. 2. 7.
34 γραπται· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. 34 ὅτι δὲ Heb. 1. 5.
ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα ὑποστρέφειν εἰς δια-
φθοράν, οὕτως εἴρηκεν· ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά. *Es. 55. 3.
35 35 διότι καὶ ἐν ἑτέρῳ λέγει· Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν δια- *Ps. 16. 10.
36 φθοράν. 36 Δαυὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ θεοῦ
βουλῇ ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ καὶ εἶδεν
37 38 διαφθοράν· 37 ὃν δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδεν διαφθοράν. 38 γνω-
στὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις
39 ἁμαρτιῶν καταγγέλλεται· 39 ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν
νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται.
40 41 40 βλέπετε οὖν μὴ ἐπέλθῃ τὸ εἰρημένον ἐν τοῖς προφήταις· 41 Ἴδετε, *Hab. 1. 5.
οἱ καταφρονηταί, καὶ θαυμάσατε καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐργά-
ζομαι ἐγὼ ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ὃ οὐ μὴ πιστεύσητε ἐάν
τις ἐκδιηγῆται ὑμῖν.
42 Ἐξιόντων δὲ αὐτῶν παρεκάλουν εἰς τὸ μεταξὺ σάββατον

---

31. Rc. om. *νῦν*. [scr. c. AC al. pm. Syr. al. . . h. *καὶ νῦν* Arm. . . *ἄχρι νῦν* D al. Vg.]

32. Ln. pro *αὐτῶν ἡμῖν* h. *ἡμῶν* c. ABC*D Aeth. Vg. Hil. ms. Ambr. . . plane om. Cpt. . . h. *αὐτῶν* Syr. p. Ar. Ambr. ms. . . etiam *ὑμῶν* et *αὐτῶν ὑμῖν* et *ὑμῖν* leg. — pro *Ἰησ.* h. *αὐτὸν ἐκ νεκρῶν* A; *τὸν κύριον Ἰησ. Χρ.* D Sah.

33. Rc. Sz. *ἐν τῷ ψ. τῷ δευτέρῳ.* [*ἐν τῷ πρώτ. ψ.* c. D Ct. Or. (dis.) Tert. Cypr. ms. Hil. (dis.) Hier. al.] . . Ln. *ἐν τῷ ψ. γέγρ. τῷ πρώτ.* (sic *τ. δευτέρ.* pon. ABC al.) . . h. tantum *ἐν τῷ ψαλμῷ* 46*. ut vdtur (sec. XI.) Bedae cdd. gr.; Hesych. presb.; cdd. lat. ap. Erasm.

35. Rc. Kn. Sz. ab init. *ὅτι.* [*διότι* c. AB al. . . om. D Syr. Ar.]

39. Rc. Kn. Sz. ab init. add. *καί* [om. c. AC* Vg. cdd. lat. . . h. *καὶ μετάνοια* D Ct.] et h. *ἐν τῷ νόμ.*

40. Rc. Kn. Sz. *ἐπέλθ. ἐφ᾽ ὑμᾶς.* [om. c. BD al. m. Am. cdd. lat.; post *προφ.* pon. *εἰς ὑμᾶς* 137.]

41. Rc. Kn. Sz. *ἐγὼ ἐργάζ.* — om. *ἔργον* ante *ὅ* DEG al. pl. Syr. utr. cdd. lat. al. — Rc. pro *ὅ* (c. ABCDEG al. pl. Chrs. Thphyl.) h. *ᾧ*.

42. Rc. pro *αὐτῶν* h. *ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων*, post *παρεκάλ.* add. *τὰ ἔθνη*. — pro *τὸ μεταξὺ* h. *τὸ ἑξῆς* D; *τὸ ἐπιὸν* 104. (s. XI.) al. aliter.

*λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.* [43] *λυθείσης δὲ τῆς συναγωγῆς* 43
*ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύ-*
*των τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ, οἵτινες προσλαλοῦντες αὐτοῖς*
*ἔπειθον αὐτοὺς προσμένειν τῇ χάριτι τοῦ θεοῦ.* [44] *τῷ τε ἐχομένῳ* 44
*σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ*
*κυρίου.* [45] *ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους ἐπλήσθησαν ζήλου,* 45
*καὶ ἀντέλεγον τοῖς ὑπὸ Παύλου λαλουμένοις βλασφημοῦντες.* [46] *παῤ-* 46
*ῥησιασάμενοί τε ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπαν· Ὑμῖν ἦν ἀναγ-*
*καῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ· ἐπειδὴ δὲ ἀπω-*
*θεῖσθε αὐτὸν καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς,*
*ἰδού, στρεφόμεθα εἰς τὰ ἔθνη.* [47] *οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ* 47
* Es. 49, 6. *κύριος· Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως*
*ἐσχάτου τῆς γῆς.* [48] *ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρον καὶ ἐδόξαζον* 48
*τὸν λόγον τοῦ κυρίου, καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς*
*ζωὴν αἰώνιον·* [49] *διεφέρετο δὲ ὁ λόγος τοῦ κυρίου δι' ὅλης τῆς* 49
*χώρας.* [50] *οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας τὰς* 50
*εὐσχήμονας καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν*
*ἐπὶ τὸν Παῦλον καὶ Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν*
*ὁρίων αὐτῶν.* [51] *οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν* 51
*ἐπ' αὐτοὺς ἦλθον εἰς Ἰκόνιον.* [52] *οἵ τε μαθηταὶ ἐπληροῦντο χαρᾶς* 52
*καὶ πνεύματος ἁγίου.*

---

42. Om. *ταῦτα* H al. pl. .. om. *τά* D*. .. h. *τὸν λόγον* 4. .. al. aliter.

43. Sz. om. *αὐτοῖς* et Kn. (—) .. om. EGH al. pl. Syr. (pro *τ. Παύλ. κ. τ. Β.* h. *αὐτοῖς.*) Vg. Thphyl. — Rc. *ἐπιμένειν.*

44. Rc. Ln. *τῷ δέ.* — Rc. *ἐρχομένῳ.* — Rc. Kn. Sz. *τοῦ θεοῦ.*

45. Rc. Kn. Sz. *ὑπὸ τοῦ Π. λεγομένοις, ἀντιλέγοντες καὶ βλασφ.* [om. *ἀντιλ. καί* c. ABCG al. m. Syr. Vg. al. m. .. h. *ἐναντιόμενοι καί* E Ld. 14*.]

46. Rc. Kn. Sz. *παῤῥ. δέ.* [*τέ* c. ABCD al. m.] — Ln. om. *δέ.*

48. Pro *ἐδόξαζ.* h. *ἐδέξαντο* D Ct. Aug. — h. *τοῦ θεοῦ* BD gr. E gr. al. (in A rescripta sunt .. *ν λόγον τοῦ κυρίου*) Aug. (1.) .. h. tantum *τὸν λόγον* 105. (s. XII.) *τὸν θεόν* 68. (s. XII.) Syr. utr. Aeth. Erp.; etiam *τὸν θ. καὶ τ. λόγ. τ. κυρ.* leg.

50. Rc. *γυναῖκ. καὶ τάς.* — om. *τόν* ante *Παῦλ.* D al. — Rc. Kn. Sz. *καὶ τὸν Βαρν.* [om. c. ABCD al. m.]

51. Rc. Kn. Sz. *τ. ποδ. αὐτῶν* et v. 52. *οἱ δὲ μαθ.*

## XIV.

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν
συναγωγὴν τῶν Ἰουδαίων καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰου-
2 δαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος. [2] οἱ δὲ ἀπειθήσαντες Ἰου-
δαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν
3 ἀδελφῶν. [3] ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παῤῥησιαζόμενοι ἐπὶ
τῷ κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι ση-
4 μεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. [4] ἐσχίσθη δὲ τὸ
πλῆθος τῆς πόλεως, καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν
5 τοῖς ἀποστόλοις. [5] ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων
6 σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς, [6] συν-
ιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρ-
7 βην καὶ τὴν περίχωρον· [7] κἀκεῖ εὐαγγελιζόμενοι ἦσαν.
8 Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χω-
9 λὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ, ὃς οὐδέποτε περιεπάτησεν. [9] οὗτος
ἤκουσεν τοῦ Παύλου λαλοῦντος, ὃς ἀτενίσας αὐτῷ καὶ ἰδών, ὅτι
10 ἔχει πίστιν τοῦ σωθῆναι, [10] εἶπεν μεγάλῃ φωνῇ· Ἀνάστηθι ἐπὶ
11 τοὺς πόδας σου ὀρθός. καὶ ἥλατο, καὶ περιεπάτει· [11] οἵ τε ὄχλοι
ἰδόντες ὃ ἐποίησεν Παῦλος ἐπῆραν τὴν φωνὴν αὐτῶν Λυκαονιστὶ
λέγοντες· Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς,
12 [12] ἐκάλουν τε τὸν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπειδὴ
13 αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου· [13] ὅ τε ἱερεὺς τοῦ Διὸς τοῦ ὄν-
τος πρὸ τῆς πόλεως, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας
14 ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελεν θύειν. [14] ἀκούσαντες δὲ οἱ ἀπό-

---

Cap. XIV. 2. Rc. Kn. Sz. ἀπειθοῦντες. [ἀπειθήσ. c. ABC (h. οἱ δὲ ἀρχισυνάγωγοι etc. omisso ἀπειθ. D Ct.) al. m.]

3. Rc. καὶ διδόντι.

6. Ln. εἰς Λύστρ. c. C*D*. — h. περίχωρ. ὅλην DE Vg.

8. Rc. et Kn. (—) ὑπάρχων, ὃς οὐδ. — Rc. περιεπεπατήκει. .. Kn. Sz. περιεπεπατήκει c. DEG al. pm. [περιεπάτησ. c. AB al. m. Chrs.]

9. Rc. Kn. Sz. ἤκουε. [ἤκουσ. c. ADEG al. pl. Vg. Chrs. Thphyl.]

10. Rc. Kn. Sz. μεγ. τῇ φων. — Ln. Σοὶ λέγω ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ χριστοῦ, ἀνάστηθι etc. c. CDE al. m. Syr. cdd. lat. al. m. — Rc. ἥλλετο. .. h. ἥλατο 29. al. Damasc.; ἀνήλατο D*; ἀνήλλατο D**; ἐξήλλατο E.

11. Rc. Kn. Sz. οἱ δὲ ὄχλ. et ὁ Παῦλ. et v. 12. τὸν μὲν Βαρν.

13. Rc. Kn. Sz. ὁ δὲ ἱερ. — Rc. πόλεως αὐτῶν.

στολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια ἑαυτῶν
ἐξεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες [15] καὶ λέγοντες· Ἄνδρες, 15
τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν ἄνθρωποι,
εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ
θεὸν ζῶντα, ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασ-
σαν καὶ πάντα τὰ ἐν αὐτοῖς, [16] ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς 16
εἴασεν πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν· [17] καίτοι οὐκ 17
ἀμάρτυρον αὐτὸν ἀφῆκεν, ἀγαθουργῶν, οὐρανόθεν ὑετοὺς διδοὺς
καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς
καρδίας ἡμῶν. [18] καὶ ταῦτα λέγοντες μόλις κατέπαυσαν τοὺς 18
ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.

Ἐπῆλθαν δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πεί- 19
σαντες τοὺς ὄχλους καὶ λιθάσαντες τὸν Παῦλον ἔσυρον ἔξω τῆς
πόλεως, νομίζοντες αὐτὸν τεθνηκέναι. [20] κυκλωσάντων δὲ τῶν μα- 20
θητῶν αὐτόν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν. καὶ τῇ ἐπαύριον
ἐξῆλθεν σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην. [21] εὐαγγελιζόμενοί τε τὴν 21
πόλιν ἐκείνην καὶ μαθητεύσαντες ἱκανοὺς ὑπέστρεψαν εἰς τὴν Λύ-
στραν καὶ εἰς Ἰκόνιον καὶ εἰς Ἀντιόχειαν, [22] ἐπιστηρίζοντες τὰς 22
ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει καὶ ὅτι
διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.
[23] χειροτονήσαντες δὲ αὐτοῖς κατ᾽ ἐκκλησίαν πρεσβυτέρους, προσ- 23

---

14. Rc. Kn. Sz. τὰ ἱμάτ. αὐτῶν. — Rc. εἰσεπήδησαν.
15. Rc. Kn. Sz. ἐπὶ τὸν θ. τὸν ζ. [ἐπὶ θ. ζ. c. ABCD**E al. m. Ath.]
17. Rc. Kn. Sz. καίτοιγε [καίτοι c. ABC* al. Ath. . . καίγε DE.] et ἑαυτόν ἀφ. ἀγαθοποιῶν. — Rc. οὐρανόθ. ἡμῖν. . . Kn. Sz. Ln. ὑμῖν c. CDEG al. pm. Syr. p. al. Ath. Ir. al. . . om. c. A 13. Sah. Aeth. Vg. Ir. ms. . . h. αὐτοῖς Syr. Erp. Leo. — h. ἐμπιμπλῶν DE. — Kn. Sz. Ln. ὑμῶν c. DEG al. m. Syr. p. al. Ath. Chrs. Ir. ms. al. . . h. αὐτῶν Syr. Erp. Sah.
18. Ln. in f. add. διατριβόντων αὐτῶν καὶ διδασκόντων c. C. [h. ἀλλὰ πορεύεσθαι ἕκαστον εἰς τὰ ἴδια. Διατρ. δέ (add. δέ etiam E.) C al. m. Arm. al.] DE al. m. Arm. al.
19. Rc. Kn. Sz. νομίσαντες [νομίζ. c. ABD al.] αὐτ. τεθνάναι. [τεθνηκ. c. ABC al. m.]
21. Rc. Kn. Sz. εὐαγγελισάμενοι [εὐαγγελιζόμ. c. ADE. . . h. δέ pro τέ D al.], tum om. εἰς ante Ἰκόν. et ante Ἀντιόχ. [scr. c. ACE al. m. Syr.]
22. Hab. καὶ παρακαλ. C al. Syr. al. Chrs. Thphyl.

εὐξάμενοι μετὰ νηστειῶν παρέθεντο αὐτοὺς τῷ κυρίῳ εἰς ὃν πε-
24 πιστεύκεισαν. [24] καὶ διελθόντες τὴν Πισιδίαν ἦλθον εἰς Παμφυ-
25 λίαν, [25] καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον κατέβησαν εἰς Ἀττά-
26 λειαν· [26] κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παρα-
27 δεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. [27] παρα-
γενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγελλον ὅσα
ἐποίησεν ὁ θεὸς μετ' αὐτῶν καὶ ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν
28 πίστεως. [28] διέτριβον δὲ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

## XV.

1 Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελ-
φούς· ὅτι ἐὰν μὴ περιτμηθῆτε τῷ ἔθει τῷ Μωϋσέως, οὐ δύνασθε
2 σωθῆναι. [2] γενομένης δὲ στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ
Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον
καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους
3 καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου. [3] οἱ
μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας διήρχοντο τὴν Φοινίκην
καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ
4 ἐποίουν χαρὰν μεγάλην πᾶσιν τοῖς ἀδελφοῖς. [4] παραγενόμενοι δὲ
εἰς Ἱεροσόλυμα παρεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀπο-
στόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ θεὸς ἐποίησεν
5 μετ' αὐτῶν. [5] ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν
Φαρισαίων πεπιστευκότες, λέγοντες· ὅτι δεῖ περιτέμνειν αὐτοὺς

---

24. Hab. εἰς τὴν Παμφ. B E al.

25. Hab. εἰς Πέργην A. — h. τ. λόγ. τοῦ θεοῦ E** Ld. Erp.; τοῦ κυρίου A C al. Syr. Vg. al.

27. Rc. Kn. Sz. ἀνήγγειλαν. [ἀνήγγελλ. c. A B C al. m.; h. ἀνήγγειλον D; ἀπήγγειλαν E Bas. Chrs.]

28. Rc. δὲ ἐκεῖ, qd Kn. (—).

Cap. XV. 1. Rc. Kn. Sz. περιτέμνησθε [περιτμηθ. c. A B** (περιθμῆτε B*) C D al. Cstit. Ath.] et om. τῷ ante Μωϋσ. [scr. c. A B C*.]

2. γεν. δὲ c. B C D gr. al. m. Syr. al. .. Rc. Kn. Sz. Ln. γεν. οὖν. — Rc. συζητήσεως [ζητήσ. c. A B C D G al. pl. Syr. utr. al. Cstit. Chrs. .. om. E 68. Cpt. Vg. Ld. Hier.] — om. τῷ ante Βαρν. D E.

3. Ln. τήν τε Φ. c. B D. (D perg. καὶ τὴν Σαμ.)

4. Rc. Kn. Sz. εἰς Ἱερουσαλὴμ ἀπεδέχθησ. [παρεδ. c. A B D**. .. h. ὑπεδέχθ. C al.]

παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως. [6] συνήχθησάν τε οἱ 6
ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. [7] Πολ- 7
λῆς δὲ συζητήσεως γενομένης ἀναστὰς Πέτρος εἶπεν πρὸς αὐτούς·
Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε, ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ἐν ὑμῖν
ἐξελέξατο ὁ θεὸς διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λό-
γον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι. [8] καὶ ὁ καρδιογνώστης θεὸς 8
ἐμαρτύρησεν αὐτοῖς δοὺς τὸ πνεῦμα τὸ ἅγιον καθὼς καὶ ἡμῖν,
[9] καὶ οὐδὲν διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθα- 9
ρίσας τὰς καρδίας αὐτῶν. [10] νῦν οὖν τί πειράζετε τὸν θεόν, ἐπι- 10
θεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες
ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; [11] ἀλλὰ διὰ τῆς χάριτος 11
τοῦ κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ᾽ ὃν τρόπον κἀκεῖνοι.
[12] ἐσίγησεν δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου 12
ἐξηγουμένων ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνε-
σιν δι᾽ αὐτῶν. [13] Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη Ἰάκωβος 13
λέγων· Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. [14] Συμεὼν ἐξηγήσατο, 14
καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνό-
ματι αὐτοῦ. [15] καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, 15
* Am. 9, 11. 12. καθὼς γέγραπται· [16] Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω 16
τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν καὶ τὰ κατεσκαμμένα αὐτῆς
ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν, [17] ὅπως ἂν ἐκζητήσωσιν οἱ 17
κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ᾽
οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτούς· λέγει κύριος ὁ ποιῶν
ταῦτα [18] γνωστὰ ἀπ᾽ αἰῶνος. [19] διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν 18 19

---

6. τέ c. BC al. Vg. Aeth. .. Rc. Kn. Sz. Ln. δέ.
7. Hab. ζητήσεως A al. m. — Rc. Kn. Sz. ὁ θεὸς ἐν ἡμῖν ἐξελ. [ἐν ὑμῖν c. AB al. m. Cpt. al. Catit. Chrs. Thphyl. Ir. .. om. 31. 99. Syr. Sah. Vg. ms. .. h. ἡμῖν sine ἐν D* gr. al.]
8. Rc. Kn. Sz. αὐτοῖς δοὺς αὐτοῖς. [om. c. AB al. (om. prius E Sah. Vg.) Did.; etiam aliter pon. et h. ἐπ᾽ αὐτούς D Ct. Hier.]
9. Hab. οὐθέν B al. — 10. om. τὸν θεόν Vg. ms. Ir. ed. Hier. (saepe).
11. Rc. χάριτος κυρίου Ἰησ. Χριστοῦ.
14. Rc. Sz. et Kn. (—) ἐπὶ τῷ ὀνόμ.
17. Ln. om. ὁ ante ποιῶν c. B (in D ὁ** π**οιῶν). — Rc. ταῦτα πάντα.
18. Rc. Kn. γν. ἀπ᾽ αἰῶν. ἐστι τῷ θεῷ πάντα τὰ ἔργα αὐτοῦ. [ea om. c. BC al. m. Cpt. Arm. Sah.] .. Ln. γνωστὸν ἀπ᾽ αἰῶν. τῷ κυρίῳ τὸ ἔργον αὐτοῦ c. AD (sed h. ἀπ᾽ αἰῶν. ἐστιν D Ct. Vg. Ir.)

20 τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν, [20] ἀλλὰ ἐπιστεῖ-
λαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ
21 τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος. [21] Μωϋσῆς γὰρ
ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς
συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος.

22 Τότε ἔδοξεν τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ
τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν
σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν καλούμενον Βαρσαββᾶν
23 καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, [23] γράψαντες διὰ
χειρὸς αὐτῶν· Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἀδελφοὶ τοῖς
κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ
24 ἐθνῶν χαίρειν. [24] ἐπειδὴ ἠκούσαμεν, ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες
ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, οἷς οὐ
25 διεστειλάμεθα, [25] ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμέ-
νοις ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ
26 καὶ Παύλῳ, [26] ἀνθρώποις παραδεδωκόσιν τὰς ψυχὰς αὐτῶν ὑπὲρ
27 τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [27] ἀπεστάλκαμεν
οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ

---

Ct. Vg. Ir. . . h. ἃ ἐστιν γνωστὰ ἀπ' αἰῶν. 32. (s. XIII.) Aeth. et addito αὐτῷ 42. al. Slav. ms. . . in omnib. singg. libri antq. valde var.

20. Ln. om. ἀπό c. BD gr. al. Ld. et om. τοῦ ante πνικτοῦ c. AB al. . . om. καὶ τοῦ πνικτοῦ D Ct. Ir. Tert. Cypr. Ambr. Hier. Aug. al. (Ctitt. ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τ. ἀλισγ. τῶν ἐθνῶν, εἰδωλοθύτου καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας.) Cf. ad v. 29. — add. in f. καὶ ὅσα (ἂν) μὴ θέλουσιν (θέλωσιν) ἑαυτοῖς (αὐτοῖς) γίνεσθαι, ἑτέροις μὴ ποιεῖτε (ποιεῖν) D al. Aeth. Sah. Sl. Ir. Cypr.

22. Om. τῷ ante Παύλ. DGH al. pm. Chrs. Thphyl. — Rc. Kn. Sz. ἐπικαλούμ. et Βαρσαβᾶν. [καλούμ. c. ABDEG al. Ctlit. et Βαρσαββ. c. ABCE al. Cpt. al. Ctlit. Chrs. Am. . . h. Βαραββᾶν D Ct. . . Βαρνάβαν Aeth.]

23. Rc. Kn. Sz. αὐτῶν τάδε [om. c. AB Vg. Cpt.] et καὶ οἱ ἀδελφοί [om. c. ABCD al. Vg. Arm. Or. (vdtr.) Ath. Ir.].

24. Om. ἐξελθόντ. B Arm. . . h. ἐλθόντες G. — Rc. Kn. Sz. post ψυχ. ὑμ. add. λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον. [om. c. ABD al. Cpt. Sah. Aeth. Vg. Ctlit. Ath. Epiph. . . ea post διεστειλ. pon. Ir. . . post περιτέμν. add. δεῖ E Ld.] Id. v. 25. h. ἐκλεξαμένους.

αὐτά. 28 ἔδοξεν γὰρ τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν, μηδὲν πλέον 28
ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν ἐπάναγκες, 29 ἀπέχεσθαι εἰδωλο- 29
θύτων καὶ αἵματος καὶ πνικτῶν καὶ πορνείας, ἐξ ὧν διατηροῦντες
ἑαυτοὺς εὖ πράξετε. ἔῤῥωσθε. 30 Οἱ μὲν οὖν ἀπολυθέντες κατ- 30
ῆλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδωκαν τὴν
ἐπιστολήν. 31 ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. 32 Ἰού- 31 32
δας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ
παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν· 33 ποιήσαντες δὲ 33
χρόνον ἀπελύθησαν μετ᾽ εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀπο-
στείλαντας αὐτούς.

Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκον- 35
τες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ
κυρίου. 36 Μετὰ δέ τινας ἡμέρας εἶπεν πρὸς Βαρνάβαν Παῦλος· 36
Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς κατὰ πόλιν πᾶ-
σαν ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ κυρίου, πῶς ἔχουσιν.
37 Βαρνάβας δὲ ἐβούλετο συμπαραλαβεῖν καὶ Ἰωάννην τὸν καλού- 37
μενον Μάρκον· 38 Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν 38
ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ

---

28. Rc. Kn. Sz. τῷ ἁγ. πν. [τῷ πν. τῷ ἁγ. c. AB al. Clem.] et τῶν ἐπάν. τούτων, Ln. τούτων τῶν ἐπαν. .. om. c. A al. m. Clem. Or. int. Epiph. Cyr. Tert. .. om. τῶν D* al. — h. ἐπ᾽ ἀνάγκαις (nisi ut vdtr αι i. q. ε) ACD** al. Cstitt.

29. Rc. Kn. Sz. pro πνικτῶν [c. A* (vdtr) B al. Clem. (2.) Or. int. et Or. (τὰ πνικτά)] h. πνικτοῦ .. om. καὶ πνικτ. D Ct. Ir. Tert. Cypr. Ambr. Hier. [h. Clem. (2.) Or. int. Or. (ad sensum citat) al.] Cf. ad v. 20. — post πορνείας add. καὶ ὅσα μὴ θέλετε ἑαυτοῖς γίνεσθαι, ἑτέρῳ μὴ ποιεῖν D al. m. Aeth. Sah. Sl. Ir. Cypr. (in singg. inter se diff.) — h. πράξατε CD al .. πράξητε E al.

30. Rc. Kn. Sz. ἦλθον. [κατῆλθ. c. ABCD al. m. Aeth. Vg.]

32. Rc. Ἰούδ. δέ. — 33. Rc. Kn. pro ἀποστ. αὐτ. h. ἀποστόλους.

34. Rc. Kn. Sz. Ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ. [om. c. AB EGH al. pl. Syr. Vg. ms. Am. al. Chrs. Thphyl. .. cdd. qui hab. in singg. var. et alia add.]

36. Rc. ἀδελφ. ἡμῶν.

37. Rc. Kn. Sz. ἐβουλεύσατο. [ἐβούλετο c. ABCE al. m. .. h. ἐβουλεύετο D.] — h. συμπαραλαμβάνειν AC. — Rc. pro καὶ Ἰω. h. τὸν Ἰω. .. plane om. D al.

39 συμπαραλαμβάνειν τοῦτον. 39 ἐγένετο δὲ παροξυσμός, ὥστε ἀπο-
χωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα
τὸν Μάρκον ἐκπλεῦσαι εἰς Κύπρον.
40 Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν ἐξῆλθεν παραδοθεὶς τῇ χάριτι
41 τοῦ κυρίου ὑπὸ τῶν ἀδελφῶν, 41 διήρχετο δὲ τὴν Συρίαν καὶ Κι-
λικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας.

## XVI.

1 Κατήντησεν δὲ εἰς Δέρβην καὶ Λύστραν. καὶ ἰδού, μαθητής
τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πα-
2 τρὸς δὲ Ἕλληνος, 2 ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκο-
3 νίῳ ἀδελφῶν. 3 τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν,
καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς
τόποις ἐκείνοις· ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην
ὑπῆρχεν.
4 Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδοσαν αὐτοῖς φυλάσ-
σειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ πρεσβυτέ-
ρων τῶν ἐν Ἱεροσολύμοις.
5 Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον
6 τῷ ἀριθμῷ καθ' ἡμέραν. 6 διῆλθον δὲ τὴν Φρυγίαν καὶ Γαλα-
τικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν
7 λόγον ἐν τῇ Ἀσίᾳ· 7 ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν ἐπείραζον εἰς
τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰη-
8 9 σοῦ· 8 παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρῳάδα. 9 καὶ
ὅραμα διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ· ἀνὴρ Μακεδών τις ἦν ἑστὼς

38. Rc. Kn. Sz. συμπαραλαβεῖν. [-λαμβάν. c. ABC al. . . h. τοῦτον μὴ εἶναι σὺν αὐτοῖς D.]

39. Rc. Kn. Sz. ἐγέν. οὖν. — h. τότε Βαρνάβας παραλαβὼν τ. Μ. ἔπλευσεν D Ct.

40. Rc. Kn. Sz. τοῦ θεοῦ. — 41. Ln. καὶ τὴν Κιλ. c. BD.

Cap. XVI. 1. Ln. δὲ καὶ εἰς Δ. κ. εἰς Λ. c. AB al. — Rc. γυναικ. τινος.

3. Ln. ὅτι Ἕλλ. ὁ πατὴρ αὐτοῦ ὑπῆρχ. c. ABC al. m. Sah. Vg.

4. Rc. Kn. Sz. παρεδίδουν et καὶ τῶν πρ. τ. ἐν Ἱερουσαλήμ.

6. Rc. Kn. Sz. διελθόντες [διῆλθον c. ABCDE al. pm. Syr. al. Chrs. Epiph. Ath. al.] et τὴν Γαλατ.

7. Rc. Kn. Sz. om. δέ et h. πορεύεσθαι. — Rc. κατὰ τὴν Βιθ. et om. Ἰησοῦ.

9. Rc. Kn. Sz. διὰ τῆς, pon. ἀνήρ τις ἦν Μακ. et om. καί ante παρακ.

καὶ παρακαλῶν αὐτὸν καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν βοήθη-
σον ἡμῖν. 10 ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν 10
εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ θεὸς εὐαγ-
γελίσασθαι αὐτούς.
Ἀναχθέντες οὖν ἀπὸ Τρῳάδος εὐθυδρομήσαμεν εἰς Σαμο- 11
θρᾴκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπολιν, 12 κἀκεῖθεν εἰς Φιλίππους, 12
ἥτις ἐστὶν πρώτη τῆς μερίδος Μακεδονίας πόλις, κολωνία. Ἦμεν
δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. 13 τῇ τε ἡμέρᾳ 13
τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πύλης παρὰ ποταμόν, οὗ ἐνομί-
ζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις
γυναιξίν. 14 καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως 14
Θυατείρων, σεβομένη τὸν θεόν, ἤκουεν· ἧς ὁ κύριος διήνοιξεν τὴν
καρδίαν, προσέχειν τοῖς λαλουμένοις ὑπὸ Παύλου. 15 ὡς δὲ ἐβα- 15
πτίσθη καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσεν λέγουσα· Εἰ κεκρίκατέ με
πιστὴν τῷ κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μένετε· καὶ
παρεβιάσατο ἡμᾶς. 16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς τὴν προσ- 16
ευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα ἀπαντῆσαι ἡμῖν,
ἥτις ἐργασίαν πολλὴν παρεῖχεν τοῖς κυρίοις αὐτῆς μαντευομένη.
17 αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν ἔκραζεν λέγουσα· 17
Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες
καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. 18 τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς 18

---

10. Rc. Kn. Sz. ὁ κύριος. [θεός c. ABCE al. pm. Vg. al.]

11. Hab. ἀναχθ. δέ ADE. (h. τῇ δὲ ἐπαύριον ἀναχθ.) — Rc. Kn. Sz. ἀπὸ τῆς ac τῇ τε. — h. νέαν πόλιν AD**.

12. Rc. Kn. Sz. ἐκεῖθ. τε et τῆς Μακ. — h. ἐν αὐτῇ τῇ D**H al. m. Chrs. Thphyl.

13. H. τῇ δέ D al. Vg. Ld. al. Chrs. Thphyl. — Rc. Kn. Sz. τῆς πόλεως. [πύλης c. ABCD al. Vg. al.] — Ln. ἐνομίζομεν c. A**B. (h. ἐνομίζαμεν C.. ἐδόκει D; videbatur Vg. cdd. lat.) al. Cpt. Aeth. et προσευχήν c. A** C al. Cpt. Aeth.

14. Hab. ἤκουσεν D* gr. G al. m. Vg. Chrs. (comm.) Thphyl. — Rc. Kn. Sz. Ln. ὑπὸ τοῦ Π... om. c. BD.

15. Hab. αὐτὴ καὶ ὁ οἶκ. E al. m. Syr. Vg. ms. al. Chrs. — Rc. Kn. Sz. μείνατε.

16. Rc. Kn. (Sz. per error. h. τήν) om. τήν ante προσευχ. — Rc. Kn. Sz. Πύθωνος.

17. Hab. κατακολουθοῦσα BD gr. al. et om. τῷ B. — Rc. Ln. ὑμῖν ὁδόν. [ἡμῖν c. ACG al. pl. Cpt. Ld. al. Or. Chrs. Thdret. ms. al.]

ἡμέρας. διαπονηθεὶς δὲ Παῦλος καὶ ἐπιστρέψας τῷ πνεύματι εἶ-
πεν· Παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ'
19 αὐτῆς. καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. [19] ἰδόντες δὲ οἱ κύριοι αὐτῆς
ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦ-
λον καὶ τὸν Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας,
20 [20] καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπαν· Οὗτοι οἱ ἄν-
θρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες,
21 [21] καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ
22 ποιεῖν Ῥωμαίοις οὖσιν. [22] καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, καὶ
οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν·
23 [23] πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς ἔβαλον εἰς φυλακήν, παρ-
24 αγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς· [24] ὃς παρ-
αγγελίαν τοιαύτην λαβὼν ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν
25 καὶ τοὺς πόδας ἠσφαλίσατο αὐτῶν εἰς τὸ ξύλον. [25] κατὰ δὲ τὸ
μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν θεόν·
26 ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. [26] ἄφνω δὲ σεισμὸς ἐγένετο μέ-
γας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἠνεῴχθησαν
δὲ παραχρῆμα αἱ θύραι πᾶσαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη.
27 [27] ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς
θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἤμελλεν ἑαυτὸν ἀναιρεῖν,
28 νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. [28] ἐφώνησεν δὲ Παῦλος φωνῇ
μεγάλῃ λέγων· Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν
29 ἐνθάδε. [29] αἰτήσας δὲ φῶτα εἰσεπήδησεν, καὶ ἔντρομος γενόμενος
30 προσέπεσεν τῷ Παύλῳ καὶ Σίλᾳ, [30] καὶ προαγαγὼν αὐτοὺς ἔξω
31 ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ; [31] οἱ δὲ εἶπαν· Πίστευ-
32 σον ἐπὶ τὸν κύριον Ἰησοῦν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. [32] καὶ

---

18. Rc. Kn. Sz. ὁ Παῦλ. et ἐν τῷ ὀνόμ.
19. Ln. om. δέ c. A* (vdtr). .. h. καὶ ἰδόντ. B. — om. τόν ante Σίλ. D al. — 22. Ln. περιρήξ. c. AD.
24. Rc. Kn. Sz. εἰληφώς. [λαβών c. ABCDE al. m.] Iid. αὐτῶν ante ἠσφαλ. pon.; post ἠσφ. pos. c. ABC* al.
26. Rc. Kn. Sz. ἀνεῴχθ. τε. [ἠνεῴχθ. c. BCD al. .. h. ἠνοίχθ. AE al. et δέ c. ABDE al. m.]
27. Ln. τὴν μάχαιρ.
28. Rc. Kn. Sz. Ln. ὁ Π. .. om. c. BC* al. Thphyl.
29. Hab. ἔντρ. ὑπάρχων C*D gr. al. Chrs. — Rc. Kn. Sz. καὶ τῷ Σίλ.
31. Rc. Kn. Sz. Ἰησ. Χριστόν et v. 32. pro σύν h. καί.

ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου σὺν πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ
αὐτοῦ. 33 καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς 33
ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάν-
τες παραχρῆμα· 34 ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον παρέθηκεν 34
τράπεζαν καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ θεῷ. 35 Ἡμέ- 35
ρας δὲ γενομένης ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέγοντες·
Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους. 36 ἀπήγγειλεν δὲ ὁ δεσμο- 36
φύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον· ὅτι ἀπέσταλκαν οἱ
στρατηγοὶ ἵνα ἀπολυθῆτε· νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ.
37 ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· Δείραντες ἡμᾶς δημοσίᾳ ἀκατα- 37
κρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλαν εἰς φυλακήν,
καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ, ἀλλὰ ἐλθόντες αὐτοὶ
ἡμᾶς ἐξαγαγέτωσαν. 38 ἀπήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι 38
τὰ ῥήματα ταῦτα· ἐφοβήθησαν δὲ ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσιν,
39 καὶ ἐλθόντες παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἀπ- 39
ελθεῖν ἀπὸ τῆς πόλεως. 40 ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον 40
πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες παρεκάλεσαν τοὺς ἀδελφούς, καὶ
ἐξῆλθον.

## XVII.

Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν ἦλθον εἰς 1
Θεσσαλονίκην, ὅπου ἦν συναγωγὴ τῶν Ἰουδαίων. 2 κατὰ δὲ τὸ 2
εἰωθὸς τῷ Παύλῳ εἰσῆλθεν πρὸς αὐτοὺς καὶ ἐπὶ σάββατα τρία
διελέξατο αὐτοῖς ἀπὸ τῶν γραφῶν 3 διανοίγων καὶ παρατιθέμενος, 3

---

34. Rc. Kn. Sz. Ln. οἶκ. αὐτοῦ. .. om. c. BC al. m. Leif. — h. ἠγαλλιᾶτο D al. pm. Chrs. Thphyl.

36. Ln. om. τούτους c. BD gr. al. .. om. τ. λόγ. τούτ. Aeth. — Rc. Kn. Sz. ἀπεστάλκασιν. [ἀπέσταλκαν c. AB... h. ἀπέστειλαν C.]

37. Om. ἡμᾶς ante ἐξαγ. H al. pm.; etiam var. pon.

38. Rc. Kn. Sz. ἀνήγγειλ., καὶ ἐφοβ. et v. 39. ἐξελθεῖν τῆς π.

40. Hab. ἀπό pro ἐκ B al. — Rc. εἰς τὴν Λυδ. — Rc. Kn. Sz. ἰδόντ. τοὺς ἀδ. παρεκάλ. αὐτούς.

Cap. XVII. 1. Ln. καὶ τὴν Ἀπ. c. AB al. — h. εἰς τὴν Θεσσ. B. — Rc. Kn. Sz. ἦν ἡ συν.

2. Rc. Kn. Sz. διελέγετο. [διελέξατο c. AB al... h. διελέχθη DE al. Chrs. (comm.)]

*ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι*
4 *οὗτός ἐστιν Χριστὸς Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν.* [4] *καί τινες*
*ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ*
*Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πλῆθος πολύ, γυναικῶν τε τῶν*
5 *πρώτων οὐκ ὀλίγαι.* [5] *ζηλώσαντες δὲ οἱ Ἰουδαῖοι καὶ προσλαβό-*
*μενοι τῶν ἀγοραίων ἄνδρας τινὰς πονηροὺς καὶ ὀχλοποιήσαντες*
*ἐθορύβουν τὴν πόλιν, καὶ ἐπιστάντες τῇ οἰκίᾳ Ἰάσονος ἐζήτουν*
6 *αὐτοὺς προαγαγεῖν εἰς τὸν δῆμον·* [6] *μὴ εὑρόντες δὲ αὐτοὺς ἔσυρον*
*Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες· ὅτι οἱ*
7 *τὴν οἰκουμένην ἀναστατώσαντες οὗτοι καὶ ἐνθάδε πάρεισιν,* [7] *οὓς*
*ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων*
8 *Καίσαρος πράσσουσιν, βασιλέα ἕτερον λέγοντες εἶναι Ἰησοῦν.* [8] *ἐτά-*
9 *ραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα,* [9] *καὶ*
*λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν ἀπέλυσαν*
*αὐτούς.*

10 *Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον*
*καὶ τὸν Σίλαν εἰς Βέροιαν, οἵτινες παραγενόμενοι εἰς τὴν συναγω-*
11 *γὴν τῶν Ἰουδαίων ἀπήεσαν·* [11] *οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν*
*Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας,*
*τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφάς, εἰ ἔχοι ταῦτα οὕτως.*
12 [12] *πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυ-*

---

3. Rc. Kn. Sz. *ὁ Χριστ. Ἰησ.* [om. *ὁ* c. AD al. . . h. *Ἰησ. ὁ Χρ.* E al. Vg. (non Am.) al. . . h. *ὁ Χρ. ὁ Ἰησ.* B. . . h. *ὁ Χριστός* Syr. (teste Wtst.)]
4. Om. *τῷ* ante *Σίλ.* B. — Ln. *καὶ Ἑλλ.* c. AD al. Vg. . . om. *Ἑλλήν.* 15. (s. XI.) 180. (s. XII.) al. Cpt. Thphyl. . . h. *ἦν Ἑλλήνων* Arm. (teste Sz.)
5. Rc. *Ζηλώσ. δὲ οἱ ἀπειθοῦντες* [om. c. ABE al. m. Syr. Vg. al. m. et c. iisd. scr. cetera] *Ἰουδ. καὶ προσλ.* . . Kn. *Προσλαβόμενοι δὲ οἱ Ἰουδαῖοι* c. 142. (s. XII.) . . h. tantum *προσλαβ. δέ* (omissis *οἱ Ἰουδ.*) ed. ap. Mill. 2. (B. 2. Basil.; s. XI. fortasse) . . Sz. *προσλαβ. δὲ οἱ Ἰουδ. οἱ ἀπειθοῦντες* c. GH al. pm. Ar. Sl. ms. . . h. *οἱ δὲ ἀπειθοῦντες Ἰουδ. συστρέψαντες* D. . . al. aliter. — Rc. Kn. Sz. *ἐπιστάντ. τε.* — h. *Ἰάσωνος* ADE al.; plerique sic etiam vv. sqq. — Rc. Kn. Sz. *ἀγαγεῖν.* [*προαγ.* c. AB al. Vg. Ld. al. . . etiam *ἐξαγ.* (D) et *προσαγ.* (E) et *ἀναγ.* leg.]
6. Rc. Kn. Sz. *τὸν Ἰάσονα.*
10. Rc. Kn. Sz. *διὰ τῆς.* [om. c. BD al. . . om. *εὐθ. δ. νυκτ.* A.]
11. Ln. om. *τό* c. ADE al. m. Chrs. — h. *ἔχει* D*E al. m. Thphyl.

γυναικῶν τῶν εὐσχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι· [13] ὡς δὲ ἔγνωσαν 13
οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγ-
γέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες
καὶ ταράσσοντες τοὺς ὄχλους. [14] εὐθέως δὲ τότε τὸν Παῦλον ἐξ- 14
απέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ἕως ἐπὶ τὴν θάλασσαν· ὑπέμει-
νάν τε ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ.

Οἱ δὲ καθιστάνοντες τὸν Παῦλον ἤγαγον ἕως Ἀθηνῶν, καὶ 15
λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα
ἔλθωσιν πρὸς αὐτόν, ἐξῄεσαν. [16] ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου 16
αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεω-
ροῦντος κατείδωλον οὖσαν τὴν πόλιν. [17] διελέγετο μὲν οὖν ἐν τῇ 17
συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ
πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. [18] τινὲς δὲ καὶ τῶν 18
Ἐπικουρείων καὶ Στοϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ, καί τινες
ἔλεγον· Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· Ξένων
δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνά-
στασιν εὐηγγελίζετο. [19] ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πά- 19
γον ἤγαγον, λέγοντες· Δυνάμεθα γνῶναι, τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ
σοῦ λαλουμένη διδαχή; [20] ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς 20
ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι, τίνα θέλει ταῦτα εἶναι.
[21] Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον 21
ηὐκαίρουν ἢ λέγειν τι ἢ ἀκούειν τι καινότερον. [22] σταθεὶς δὲ Παῦ- 22

---

13. Rc. Kn. Sz. om. καὶ ταράσσοντ. [scr. c. ABD al. pm. Syr. utr. al. Vg.]
14. Rc. Kn. Sz. pro ἕως (c. ABE al. m. Vg.) h. ὡς. .. om. D al. m. Syr. al. — ὑπέμειναν c. B al. (h. ἀπέμειναν E) .. Ln. ὑπέμεινεν c. AD al. .. Rc. Kn. Sz. ὑπέμενον et pergt (etiam Ln.) δέ. .. τέ c. ABE al.
15, Rc. Kn. Sz. καθιστῶντες et ἤγαγ. αὐτόν. — h. καὶ τὸν Τιμ. B al.
16. Rc. Kn. Sz. θεωροῦντι. [θεωροῦντος c. ABE al. pm. Chrs. Thdret. al.]
18. Rc. Kn. (Sz. per error. hab.) post δέ om. καί. — Rc. Kn. Sz. κ. τῶν Στ. — Rc. Kn. Sz. αὐτοῖς εὐηγγ. .. Ln. εὐηγγ. αὐτοῖς. .. id om. c. B (om. ὅτι τὸν Ἰ. κ. τ. ἀν. εὐηγγ. D Ct.) al. m. Arm. Syr. p. Sl. ms. Thphyl. .. h. ἀνάστ. αὐτοῦ omisso αὐτοῖς 68. (s. XII.) et al. utrque hab. .. h. ἀνάστ. τῶν νεκρῶν Sah.
19. Ln. om. ἡ ante ὑπό c. BD (h. ἀπό D*).
20. Rc. Kn. Sz. τί ἂν θέλοι. [τίνα θ. c. AB al. .. etiam τί ἂν θέλῃ leg.] — om. ταῦτα E Ld.
21. Rc. Kn. Sz. καὶ (pro ἤ) ἀκούειν (omisso τί) et v. 22. ὁ Παῦλ.

λος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ
23 πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· [23] διερχόμενος γὰρ
καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέ-
γραπτο· Ἀγνώστῳ θεῷ. ὃ οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτο ἐγὼ
24 καταγγέλλω ὑμῖν. [24] ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ
ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς ὑπάρχων κύριος οὐκ ἐν χειροποιή-
25 τοις ναοῖς κατοικεῖ, [25] οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θεραπεύεται
προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσιν ζωὴν καὶ πνοὴν καὶ τὰ
26 πάντα· [26] ἐποίησέν τε ἐξ ἑνὸς πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ
παντὸς προσώπου τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ
27 τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, [27] ζητεῖν τὸν θεόν, εἰ ἄραγε
ψηλαφήσειαν αὐτὸν ἢ εὕροιεν, καίγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου
28 ἡμῶν ὑπάρχοντα. [28] ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν,
ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς ποιητῶν εἰρήκασιν· Τοῦ γὰρ καὶ γέ-
29 νος ἐσμέν. [29] γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ οὐκ ὀφείλομεν νομί-
ζειν, χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως
30 ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. [30] τοὺς μὲν οὖν χρόνους τῆς
ἀγνοίας ὑπεριδὼν ὁ θεὸς τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις, πάν-
31 τας πανταχοῦ μετανοεῖν, [31] καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει
κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισεν, πίστιν
32 παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. [32] ἀκούσαντες δὲ

---

23. Rc. Kn. Sz. ὃν et τοῦτον. [ὃ et τοῦτο c. A*B (Btlj. notat τοῦτο, om. ὃ... Bch., ut saepe, nihil notat.) D Ct. Vg. Or. (non Clem.) Hier.]

25. Rc. Kn. Sz. pro ἀνθρωπίνων (c. ABD al. pm. Vg. Ld. Clem. (2.) Thdret. Ir.) h. ἀνθρώπων. — Pro καὶ τὰ πάντ. [c. ADE (omisso τά) al. pl. Vg. al. Clem. Chrs. al.] h. κατὰ πάντα BG al. pl. Slav. Thdret... etiam παντί, καὶ κατὰ πάντα leg. et plane om. 13. (s. XI.) Syr. Erp.

26. Rc. Kn. Sz. ἑνὸς αἵματος. [om. c. AB al. Vg. Cpt. Sah. Aeth. Clem.] — h. πᾶν γένος 23. al. Vg. Ld. Clem. Thphyl. Ir. — Rc. Kn. Sz. ἐπὶ πᾶν πρόσωπον. [παντὸς πρ. c. ABD al. Clem.] — Rc. προτεταγμ.

27. Rc. ζητ. τὸν κύριον... h. τὸ θεῖον D Clem. Ir. Ambr. [τὸν θ. c. AB al. pm. Syr. utr. Vg. al. Chrs. al.] — Rc. Kn. Sz. καὶ εὕρ. [ἢ c. AD al. Sah. Vg. Clem. Ir.] et καίτοιγε. [καίγε c. BDGH al. pl... h. καίτοι AE Clem.] — h. ὑπάρχοντος E Clem.

28. Om. ποιητῶν D Ct. Cpt. Ir. Aug. Ambr.

30. Rc. Kn. Sz. πᾶσι [πάντας c. ABD** (ἵνα πάντες D*) E al. Vg. al. Ath. Cyr. al.] et v. 31. διότι.

ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· Ἀκουσόμεθά
σου περὶ τούτου καὶ πάλιν. 33 οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου 33
αὐτῶν· 34 τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς 34
καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι Δάμαρις καὶ ἕτε-
ροι σὺν αὐτοῖς.

## XVIII.

Μετὰ ταῦτα χωρισθεὶς ἐκ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον. 1
2 καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, 2
προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα
αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰου-
δαίους ἀπὸ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς, 3 καὶ διὰ τὸ ὁμότεχνον 3
εἶναι ἔμενεν παρ' αὐτοῖς καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τῇ
τέχνῃ. 4 διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπει- 4
θέν τε Ἰουδαίους καὶ Ἕλληνας.

5 Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τι- 5
μόθεος, συνείχετο τῷ λόγῳ ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰου-
δαίοις εἶναι τὸν Χριστὸν Ἰησοῦν. 6 ἀντιτασσομένων δὲ αὐτῶν καὶ 6
βλασφημούντων ἐκτιναξάμενος τὰ ἱμάτια εἶπεν πρὸς αὐτούς· Τὸ
αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς
τὰ ἔθνη πορεύσομαι. 7 καὶ μεταβὰς ἐκεῖθεν εἰσῆλθεν εἰς οἰκίαν τι- 7
νὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν θεόν, οὗ ἡ οἰκία ἦν συνομο-
ροῦσα τῇ συναγωγῇ. 8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσεν τῷ 8

---

32. 33. Rc. Kn. Sz. *πάλιν περὶ τούτου. Καὶ* .. h. *περ. τούτ. πάλ.* omisso *καὶ* D al. Arm. Vg. .. *περ. τούτ. πάλ. Καὶ* E. [*π. τ. καὶ πάλ.* c. AB al. Thphyl.]

34. Ln. om. *ὁ* ante *Ἀρ.* c. B. .. h. *τὶς* D.

Cap. XVIII. 1. Rc. Kn. Sz. *μετὰ δὲ τ. χ. ὁ Παῦλος.*

2. Hab. *τεταχέναι* DE al. m.; etiam *προστετ.* et aliter leg. — om. *Κλαύδ.* B. — Rc. Kn. Sz. *ἐκ τ. Ῥώμ.*

3. Hab. *ἔμεινεν* EGH al. Chrs. Thphyl. — Ln. *ἠργ.* c. AD al. .. h. *εἰργάζοντο* B. — om. *ἦσ. γ. σκ. τ. τέχν.* D Ct. .. Rc. Kn. Sz. *τὴν τέχνην.* [*τῇ τ.* c. ABEG al. m. Chrs.]

5. Rc. *τῷ πνεύματι.* — om. *τοῖς Ἰουδ.* AH. — Rc. Kn. Sz. om. *εἶναι.* [scr. c. ABD al. m. Syr. Vg. al. Bas.]

7. Rc. Kn. Sz. *ἦλθεν.* — om. *ὀνόμ.* A 2. 30. al. Aeth. — om. *Ἰούστ.* 2. 30. (s. XIII.) .. etiam *Τίτου*, *Τίτου Ἰούστ.* (E), *Τιτίου Ἰούστ.* (BD** gr.), *Τίτου υἱοῦ Ἰούστου* leg.

κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκού-
9 οντες ἐπίστευον καὶ ἐβαπτίζοντο. [9] εἶπεν δὲ ὁ κύριος δι' ὁράματος
10 τῷ Παύλῳ· Μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς, [10] διότι
ἐγώ εἰμι μετὰ σοῦ καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι
11 λαός ἐστίν μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. [11] ἐκάθισεν δὲ ἐνιαυτὸν
12 καὶ μῆνας ἓξ διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ θεοῦ. [12] Γαλ-
λίωνος δὲ ἀνθυπάτου ὄντος τῆς Ἀχαΐας κατεπέστησαν ὁμοθυμαδὸν
13 οἱ Ἰουδαῖοι τῷ Παύλῳ καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα, [13] λέγοντες·
ὅτι παρὰ τὸν νόμον ἀναπείθει οὗτος τοὺς ἀνθρώπους σέβεσθαι
14 τὸν θεόν. [14] μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα εἶπεν
ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούρ-
15 γημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἀνεσχόμην ὑμῶν· [15] εἰ
δὲ ζητήματά ἐστιν περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ'
16 ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς ἐγὼ τούτων οὐ βούλομαι εἶναι. [16] καὶ
17 ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. [17] ἐπιλαβόμενοι δὲ πάντες
Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος·
καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν.

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς
ἀποταξάμενος ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα
καὶ Ἀκύλας, κειράμενος ἐν Κεγχρεαῖς τὴν κεφαλήν· εἶχεν γὰρ εὐ-
19 χήν. [19] κατήντησαν δὲ εἰς Ἔφεσον· κἀκείνους κατέλιπεν αὐτοῦ,
αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέξατο τοῖς Ἰουδαίοις.
20 [20] ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι οὐκ ἐπένευσεν,

---

9. Rc. Kn. Sz. *δι' ὁράμ. ἐν νυκτί*. .. Ln. *ἐν νυκτὶ δι' ὁρ.* .. pon. post *Παύλ.* D... h. *τῆς νυκτός* H... om. c. A Syr. Erp.

11. Rc. Kn. Sz. *ἐκάθ. τε* et v. 12. *ἀνθυπατεύοντος*.

14. Rc. Kn. Sz. *οὖν ἦν* [om. c. ABDE al. pm. verss. Thphyl.], *ἠνεσχόμ.* [*ἀνεσχ.* c. AB al.]

15. Rc. Kn. Sz. *ζήτημα* [*ζητήματα* c. ABD**E gr. al. m. Syr. Vg. al. .. h. *ζήτημά τι* 96. (s. XI.)] et *κριτὴς γάρ*.

17. Rc. Kn. Sz. *πάντ. οἱ Ἕλληνες*. [om. c. AB al. Vg. al. Chrs. (comm.); etiam *Ἰουδαῖοι* et *οἱ Ἰουδ.* leg.]

19. Rc. Kn. Sz. *κατήντησεν*. — Ln. pro *αὐτοῦ* h. *ἐκεῖ*. .. om. *κἀκ. κατ. αὐτ.* Sah.; ea post *θέλοντος* (v. 21.) pon. Syr. Erp. — Rc. Kn. Sz. *διελέχθη*. [*διελέξ.* c. AB al. .. h. *διελέγετο* D al. Vg. (non Am.)}

20. Rc. Kn. Sz. *μεῖν. παρ' αὐτοῖς*.

²¹ἀλλὰ ἀποταξάμενος καὶ εἰπών· Πάλιν ἀνακάμψω πρὸς ὑμᾶς 21
τοῦ θεοῦ θέλοντος, ἀνήχθη ἀπὸ τῆς Ἐφέσου· ²²καὶ κατελθὼν 22
εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν κατέβη
εἰς Ἀντιόχειαν· ²³καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθεν, διερχόμενος 23
καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, στηρίζων πάντας
τοὺς μαθητάς.
Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, 24
ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς.
²⁵οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ κυρίου, καὶ ζέων τῷ πνεύ- 25
ματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Ἰησοῦ, ἐπιστά-
μενος μόνον τὸ βάπτισμα Ἰωάννου· ²⁶οὗτός τε ἤρξατο παῤῥησιά- 26
ζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Πρίσκιλλα καὶ Ἀκύ-
λας προσελάβοντο αὐτὸν καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν
τοῦ θεοῦ. ²⁷βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προ- 27
τρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν·
ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσιν διὰ τῆς χά-
ριτος. ²⁸εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ ἐπι- 28
δεικνὺς διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

## XIX.

Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ Παῦλον 1
διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον καὶ εὑρεῖν τινὰς

---

21. Rc. Kn. Sz. ἀλλ' ἀπετάξατο αὐτοῖς εἰπών· [ἀλλὰ ἀποταξάμ. κ. εἰπ. c. ABDE (post ἀποτ. add. αὐτοῖς E) al. m. Vg. al. Thphyl.] Δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· [om. c. ABE al. m. Vg. al... cdd. qui hab. var.] πάλιν δὲ ἀνακ. [om. πάλ. D Ct. Cpt. Sah. .. om. δέ c. ABDE al. m. Vg. al.] et καὶ ἀνήχθ. [om. c. ABD al. m. Vg. al.]
23. Rc. Kn. Sz. ἐπιστηρίζ. [στηρ. c. AB al.]
24. Hab. Ἀπολλώνιος D Ct.; etiam Ἀπελλῆς leg.
25. Rc. Kn. Sz. περὶ τοῦ κυρίου.
26. Rc. Kn. Sz. τὴν τοῦ θεοῦ ὁδ. [τ. ὁδ. τοῦ θ. c. AB al. m. .. om. τοῦ θεοῦ D Ct. et h. τοῦ κυρίου E al. Syr. Vg. (non Am.) al.; etiam τὸν λόγον τοῦ κυρίου leg.]
27. Hab. συνεβάλλετο AD al. Thphyl. — om. διὰ τ. χάρ. D al. Syr. p. Vg. Bas. sel. Aug.
Cap. XIX. 1. 2. Pro ἀνωτ. h. ἀνατολικά 25. (s. XI.) al. Thphyl. — h. κατελθεῖν AE al. m. Hier. Lcif. — Rc. Kn. Sz. καὶ εὑρών τ. μ. εἶπεν πρός.

2 μαθητάς, [2] εἰπέν τε πρὸς αὐτούς· Εἰ πνεῦμα ἅγιον ἐλάβετε πι-
στεύσαντες; οἱ δὲ πρὸς αὐτόν· Ἀλλ' οὐδ' εἰ πνεῦμα ἅγιον ἔστιν
3 ἠκούσαμεν. [3] εἰπέν τε· Εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπαν· Εἰς
4 τὸ Ἰωάννου βάπτισμα. [4] εἶπεν δὲ Παῦλος· Ἰωάννης ἐβάπτισεν βά-
πτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν
5 ἵνα πιστεύσωσιν, τουτέστιν εἰς τὸν Ἰησοῦν. [5] ἀκούσαντες δὲ ἐβαπτί-
6 σθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ· [6] καὶ ἐπιθέντος αὐτοῖς
τοῦ Παύλου χεῖρας ἦλθεν τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλά-
7 λουν τε γλώσσαις καὶ ἐπροφήτευον. [7] ἦσαν δὲ οἱ πάντες ἄνδρες
ὡσεὶ δεκαδύο.
8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς
9 διαλεγόμενος καὶ πείθων περὶ τῆς βασιλείας τοῦ θεοῦ. [9] ὡς δέ τι-
νες ἐσκληρύνοντο καὶ ἠπείθουν κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον
τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισεν τοὺς μαθητάς, καθ'
10 ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου. [10] τοῦτο δὲ ἐγένετο
ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι
11 τὸν λόγον τοῦ κυρίου, Ἰουδαίους τε καὶ Ἕλληνας. [11] Δυνάμεις τε
12 οὐ τὰς τυχούσας ὁ θεὸς ἐποίει διὰ τῶν χειρῶν Παύλου, [12] ὥστε
καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἀποφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ
σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους,
13 τά τε πνεύματα τὰ πονηρὰ ἐκπορεύεσθαι. [13] ἐπεχείρησαν δέ τινες
καὶ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς
ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ, λέ-
14 γοντες· Ὁρκίζω ὑμᾶς τὸν Ἰησοῦν ὃν Παῦλος κηρύσσει. [14] ἦσαν
δέ τινες Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ υἱοὶ τοῦτο ποιοῦντες.

---

2. Rc. Kn. Sz. οἱ δὲ εἶπον πρ. α. et v. 3. εἶπ. τε πρὸς αὐτούς.
4. Rc. Sz. Ἰωάνν. μέν et τὸν Χριστὸν Ἰησ... Kn. utrq. (—)
6. Rc. Kn. Sz. τὰς χεῖρ.
7. Ln. δώδεκα c. ABDE al. m. Chrs. ms. Thphyl.
8. Rc. Kn. Sz. πείθ. τὰ περί et v. 9. Τυράνν. τινός.
10. Rc. et Kn. (—) τ. κυρίου Ἰησοῦ.
12. Rc. Kn. Sz. ἐπιφέρεσθ. [ἀποφέρ. c. ABE al. m. Vg.] — Rc. πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν.
13. Rc. Sz. pro καὶ τῶν (c. ABE al. pm. Syr.) h. ἀπὸ τῶν.. h. καὶ ἀπό H al. Vg. Arm... h. ἐκ D al.; etiam καὶ ἐκ leg. — Rc. ὁρκίζομεν.— Rc. Kn. Sz. ὁ Παῦλ.
14. Ln. δέ τινος c. B (D, mutatis multis) E gr. al. Syr. al. — Rc. Kn. Sz. υἱοί ante Σκ. pon. et h. οἱ τοῦτο π. [postpos. υἱοί c. ABE al. Syr. Vg.

15 ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπεν αὐτοῖς· Τὸν Ἰησοῦν 15
γινώσκω καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ; 16 καὶ 16
ἐφαλόμενος ὁ ἄνθρωπος ἐπ' αὐτούς, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πο-
νηρόν, κατακυριεύσας ἀμφοτέρων ἴσχυσεν κατ' αὐτῶν, ὥστε γυμνοὺς
καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. 17 τοῦτο δὲ 17
ἐγένετο γνωστὸν πᾶσιν, Ἰουδαίοις τε καὶ Ἕλλησιν τοῖς κατοικοῦσιν
τὴν Ἔφεσον, καὶ ἐπέπεσεν φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγα-
λύνετο τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ· 18 πολλοί τε τῶν πεπιστευ- 18
κότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐ-
τῶν. 19 ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς 19
βίβλους κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς
αὐτῶν καὶ εὗρον ἀργυρίου μυριάδας πέντε.

Οὕτως κατὰ κράτος τοῦ κυρίου ὁ λόγος ηὔξανεν καὶ ἴσχυεν. 20

Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι 21
διελθὼν τὴν Μακεδονίαν καὶ τὴν Ἀχαΐαν πορεύεσθαι εἰς Ἱεροσό-
λυμα, εἰπών· ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ Ῥώμην
ἰδεῖν. 22 ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων 22
αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχεν χρόνον εἰς τὴν Ἀσίαν.

Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ 23
τῆς ὁδοῦ. 24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν 24
ναοὺς ἀργυροῦς Ἀρτέμιδος παρείχετο τοῖς τεχνίταις οὐκ ὀλίγην
ἐργασίαν· 25 οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας 25
εἶπεν· Ἄνδρες, ἐπίστασθε, ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐ-

---

al. .. plane om. 13. (s. XI.) 31. 180. .. om. οἱ c. AB 13. 180. al. Syr. (aliter plane h. D.)]

15. Rc. Kn. Sz. om. αὐτοῖς. [scr. c. ABD al. m. Syr. utr. Vg. al. m. Chrs. Thphyl.] — h. τὸν μὲν Ἰησ. BE al.

16. Rc. Kn. Sz. ἐφαλλόμενος [ἐφαλόμ. c. AB al... h. ἐναλλόμενος D] ἐπ' αὐτ. ὁ ἄνθρ. .. om. ἐπ' αὐτ. 69. 105. Arm. .. h. εἰς αὐτ. D Ct. Vg. .. ἐπ' αὐτοῖς E Ld. — Rc. Kn. Sz. καὶ κατακυρ. αὐτῶν. [ἀμφ. c. ABD al. m. Vg. al. ..om. E Ld.] .. h. κατακυριεῦσαν AE al.

17. Ln. ἔπεσεν c. ADE al. Thphyl.

21. Ln. διελθεῖν [c. AD (sed tum hab. et sic ire Ct. .. h. transita Mac. et Ach. ire Vg.) E Thphyl.] et καὶ τὴν Ἀχ. c. ADE.

23. Ln. οὐχ ὀλίγος c. AD.

24. Om. ἀργυροῦς B. — Ln. παρεῖχε c. A*DE al.

26 πορία ἡμῖν ἐστιν· [26] καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον Ἐφέ-
σου ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέ-
στησεν ἱκανὸν ὄχλον, λέγων· ὅτι οὐκ εἰσὶν θεοὶ οἱ διὰ χειρῶν
27 γινόμενοι. [27] οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπ-
ελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν
εἰς οὐθὲν λογισθήσεται, μέλλει τε καὶ καθαιρεῖσθαι τῆς μεγαλειότη-
28 τος αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. [28] ἀκού-
σαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον λέγοντες· Μεγάλη
29 ἡ Ἄρτεμις Ἐφεσίων. [29] καὶ ἐπλήσθη ἡ πόλις συγχύσεως, ὥρμησάν
τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρ-
30 χον Μακεδόνας, συνεκδήμους Παύλου. [30] Παύλου δὲ βουλομένου
31 εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί· [31] τινὲς δὲ
καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν
32 παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. [32] ἄλλοι μὲν οὖν
ἄλλο τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους
33 οὐκ ᾔδεισαν τίνος ἕνεκα συνεληλύθεισαν. [33] ἐκ δὲ τοῦ ὄχλου συν-
εβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ
Ἀλέξανδρος κατασείσας τὴν χεῖρα ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ.
34 [34] ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστιν, φωνὴ ἐγένετο μία ἐκ πάντων,
35 ὡς ἐπὶ ὥρας δύο κραζόντων· Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. [35] κατα-
στείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον φησίν· Ἄνδρες Ἐφέσιοι, τίς
γάρ ἐστιν ἀνθρώπων ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον
36 οὖσαν τῆς μεγάλης Ἀρτέμιδος καὶ τοῦ διοπετοῦς; [36] ἀναντιῤῥήτων
οὖν ὄντων τούτων δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ

---

25. Rc. Kn. Sz. ἡμῶν. [ἡμῖν c. ABDE al. m. Vg. Chrs. (Sz. c. aliis per error. refert eosd. exhibere ὑμῶν.)]

26. Ln. ἀλλὰ καί c. AD gr. al. m. Syr. Vg. ms. al. Chrs.

27. Om. θεᾶς Vg. Sah. — Rc. Kn. Sz. εἰς οὐδὲν (οὐθέν c. AB) λογισθῆναι, μέλλειν τε κ. καθ. τὴν μεγαλειότητα αὐτ. .. pro τέ h. δέ B al. pl. Chrs.; om. al. τέ, al. καί.

29. Rc. Kn. Sz. ἡ πόλις ὅλη. (Kn. et Sz. add. τῆς.) — Rc. τοῦ Παύλ.

30. Rc. Kn. Sz. τοῦ δὲ Π. [om. c. AB al.]

33. Rc. Kn. Sz. προεβίβ. [συνεβίβ. c. ABE al... h. κατεβ. s. παρεβ. D*.] — προβαλόντ. c. AB (ap. Sz.) E al. Chrs. .. Rc. Kn. Sz. Ln. προβαλλόντων.

34. Rc. ἐπιγνόντων. — Bis hab. Μεγάλη ἡ Ἄ. Ἐφεσ. B.

35. Hab. κατασείσας DE al. Thphyl. — Rc. Kn. Sz. ἄνθρωπος. — Rc. μεγάλ. θεᾶς. .

μηδὲν προπετὲς πράσσειν. [37] ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους 37
οὔτε ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν θεὸν ἡμῶν. [38] εἰ μὲν 38
οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσιν πρός τινα λόγον,
ἀγόραιοι ἄγονται καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις.
[39] εἰ δέ τι περαιτέρω ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθή- 39
σεται. [40] καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σή- 40
μερον, μηδενὸς αἰτίου ὑπάρχοντος· περὶ οὗ οὐ δυνησόμεθα ἀπο-
δοῦναι λόγον περὶ τῆς συστροφῆς ταύτης. [41] καὶ ταῦτα εἰπὼν 41
ἀπέλυσεν τὴν ἐκκλησίαν.

## XX.

Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος ὁ Παῦ- 1
λος τοὺς μαθητὰς καὶ παρακαλέσας, ἀσπασάμενος ἐξῆλθεν πορεύε-
σθαι εἰς Μακεδονίαν. [2] διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρα- 2
καλέσας αὐτοὺς λόγῳ πολλῷ ἦλθεν εἰς τὴν Ἑλλάδα· [3] ποιήσας τε 3
μῆνας τρεῖς, γενομένης ἐπιβουλῆς αὐτῷ ὑπὸ τῶν Ἰουδαίων μέλλοντι
ἀνάγεσθαι εἰς τὴν Συρίαν ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μα-
κεδονίας. [4] συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Πύῤῥου 4
Βεροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος καὶ Γάϊος
Δερβαῖος καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τύχικος καὶ Τρόφιμος· [5] οὗ- 5

---

37. Rc. τὴν θεάν. .. h. τὸν θεόν H al. — Ln. ἡμῶν c. ADE** al. Ld. Syr. al.

39. Rc. Kn. Sz. περὶ ἑτέρων. [περαιτέρω c. B al. m. .. h. περ ἕτερον E; si quid autem alterius rei Ld. Vg.; si q. a. ulterius Ct.]

40. Rc. Kn. Sz. Ln. om. οὐ (Rc. Kn. Sz. ὑπάρχοντος, περί et Ln. ὑπάρχοντος περί sine interpunct.). .. scr. c. AG 31. 33. 137. al. pl. Syr. utr. Arm. Slav. ms. Aeth. Ar. pol. Chrs. (text.) Thphyl. — Rc. Kn. Sz. om. περί ante τῆς συστρ. [scr. c. ABE 31. 33. 137. al. pm. Syr. Arm. Slav. ms. Ld. Thphyl. — h. δοῦναι pro ἀποδ. 1. al. pl. Thphyl.

Cap. XX. 1. Hab. μεταπεμψάμενος pro προσκαλ. BE al. m. Cpt. al. Thphyl. — Rc. Kn. Sz. om. παρακαλέσας. [κ. παρ. ἀσπ. c. AB al. Sah. Arm. .. κ. παρ. καὶ ἀσπ. sive κ. παρ. ἀσπ. τε (κ. πολλὰ παρ. ἀσπ. τε D**) E al. pm. Syr. Vg. al. Thphyl.] — Rc. Kn. Sz. πορευθῆναι εἰς τὴν Μακ. .. om. πορεύεσθ. D al. Ct.

3. Hab. γνώμης AE al.

4. Om. ἄχρι τ. Ἀσ. B al. Aeth. Erp. Vg. — Rc. om. Πύῤῥου. .. h. Σωσιπατρ. Βερ. 4*. al. m. Cpt. Demid. al. — h. ὁ Δερβ. A 13. — h. Τιμόθ. Lystrensis Syr. Erp.

6 τοι δὲ προελθόντες ἔμενον ἡμᾶς ἐν Τρῳάδι· [6] ἡμεῖς δὲ ἐξεπλεύσα-
μεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν
πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρι ἡμερῶν πέντε, οὗ διετρίψαμεν
7 ἡμέρας ἑπτά. [7] Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων ἡμῶν
κλάσαι ἄρτον ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπ-
8 αύριον, παρέτεινέν τε τὸν λόγον μέχρι μεσονυκτίου· [8] ἦσαν δὲ λαμ-
9 πάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν συνηγμένοι. [9] καθεζόμενος
δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος
ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς
ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός.
10 [10] καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπεν·
11 Μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. [11] ἀναβὰς δὲ
καὶ κλάσας τὸν ἄρτον καὶ γευσάμενος, ἐφ᾽ ἱκανόν τε ὁμιλήσας
12 ἄχρι αὐγῆς, οὕτως ἐξῆλθεν. [12] ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ
13 παρεκλήθησαν οὐ μετρίως. [13] Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον
ἀνήχθημεν ἐπὶ τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν
14 Παῦλον· οὕτως γὰρ διατεταγμένος ἦν μέλλων αὐτὸς πεζεύειν. [14] ὡς
δὲ συνέβαλλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς
15 Μιτυλήνην, [15] κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ κατηντήσαμεν
ἄντικρυς Χίου, τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, τῇ δὲ ἐχο-
16 μένῃ ἤλθομεν εἰς Μίλητον. [16] κεκρίκει γὰρ ὁ Παῦλος παραπλεῦ-
σαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ·
ἔσπευδεν γάρ, εἰ δυνατὸν εἴη αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς
γενέσθαι εἰς Ἱεροσόλυμα.

---

5. Rc. Kn. Sz. om. *δέ*. — h. *προσελθ.* AE gr. G al. pl.
6. Hab. *πεμπταῖοι* pro *ἄχρ. ἡμ. π.* D Ct. — h. *ὅπου* AE al. .. *ἐν ᾗ καί* D.
7. Rc. *συνηγμ. τῶν μαθητῶν τοῦ κλ.* et v. 8. *οὗ ἦσαν.*
9. Rc. Kn. Sz. *καθήμενος δέ*. — h. *ὑπὸ τ. ὕπν.* DH al. m. Chrs.
11. Rc. Kn. Sz. om. *τόν*. [scr. c. ABCD* al. Thphyl.]
13. Hab. *προσελθ.* AEH al. pl. Chrs. Thphyl. .. *κατελθ.* D Syr. Erp. .. al. aliter. — Rc. Kn. Sz. *εἰς τὴν Ἄ.* [*ἐπί* c. ABCE al.]
14. Rc. Kn. Sz. *συνέβαλεν.* [*συνέβαλλεν* c. ABE al.]
15. Hab. *ἑσπέρᾳ* pro *ἑτέρᾳ* B al. — Rc. Kn. Sz. pro *τῇ δὲ ἐχ.* (c. ABCE al. .. *καὶ τῇ ἐχ.* 37. al. m. Cpt. Vg. Ld. al. Hier.) h. *καὶ μείναντες ἐν Τρωγυλλίῳ τῇ ἐχ.* .. h. *Τρωγυλίᾳ* D gr. .. *Τρογυλίῳ* G al. m.; etiam *Στρογγυλίῳ*, *Τρογγυλίῳ* et aliter leg.
16. Rc. Kn. Sz. *ἔκρινε* [*κεκρίκει* c. ABCDE al. m.] et *ἦν αὐτ.* [*εἴη* c. ABCE al. m. .. om. *εἰ δυν. ε. α.* H .. pro iis h. *εἰς* D Ct. Aeth.]

Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον μετεκαλέσατο τοὺς 17
πρεσβυτέρους τῆς ἐκκλησίας· [18] ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, 18
εἶπεν αὐτοῖς· Ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς
ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην,
[19] δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ δακρύων 19
καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰου-
δαίων· [20] ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖ- 20
λαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, [21] διαμαρ- 21
τυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν τὴν εἰς θεὸν μετάνοιαν καὶ
πίστιν τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν. [22] καὶ νῦν ἰδού, δεδεμένος 22
ἐγὼ τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλήμ, τὰ ἐν αὐτῇ συναντή-
σοντά μοι μὴ εἰδώς, [23] πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν 23
διαμαρτύρεταί μοι λέγον, ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν.
[24] ἀλλ' οὐδενὸς λόγου ποιοῦμαι τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς τε- 24
λειῶσαι τὸν δρόμον μου καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ
κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ.
[25] καὶ νῦν ἰδού, ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου 25
ὑμεῖς πάντες ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν. [26] διὸ μαρ- 26
τύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ

---

18. Ln. post πρὸς αὐτ. add. ὁμοῦ ὄντων αὐτῶν c. A. . . h. ὁμόσε ὄντων (ὅμως ἐόντων D*) αὐτῶν D**. . . ὁμοθυμαδὸν E al. . . et simul essent Vg.

19. Rc. πολλῶν δακρ. — 20. om. ὑμᾶς D Ct. Thphyl. Lcif. Hier.

21. Rc. Kn. Sz. Ln. εἰς τὸν θεόν. . . om. c. BCE al. Bas. Chrs. Thphyl. — Ln. om. τὴν post πίστιν c. ACD (D h. διὰ τοῦ κυρ. ἡ. Ἰ. Χρ.) al. m. — Rc. Kn. Sz. in f. add. Χριστόν.

22. Hab. συναντήσαντα AD gr. E al. . . συμβησόμενα C al.

23. Hab. διεμαρτύρατο AE al. — Rc. om. μοί. — h. λέγων DEG al. pl.

24. οὐδ. λόγου ποι. τ. ψ. τιμ. ἐμ. c. BC. . . Rc. Kn. Sz. οὐδ. λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου (om. μοῦ ABCD**G al. m. Ct. Chrs.) τιμ. ἐμ. . . Ln. οὐδ. λόγον ἔχω, οὐδὲ ποιοῦμαι τ. ψ. τιμ. ἐμ. c. A al. D (sed λόγου D** et ἔχω μοι hab., tum ἐμαυτοῦ D*; nihil horum cura est mihi, neq. habeo ipsam animam caram mihi, quam etc. Ct.). . . h. nihil hor. vereor, nec facio anim. meam pretiosiorem quam me, dummodo Vg. . . h. οὐδένα λόγον ποιοῦμαι τῆς ψυχῆς μου Syr. Arr. Aeth. . . οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχ. Chrs. (comm.) . . al. aliter. — h. ὥστε E al. m. . . τοῦ D. — h. τελειώσω B. — Rc. Kn. Sz. δρόμ. μ. μετὰ χαρᾶς.

25. Rc. Kn. Sz. in f. add. τοῦ θεοῦ et v. 26. h. ἐγώ pro εἰμί.

27 αἵματος πάντων· [27] οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι πᾶ-
28 σαν τὴν βουλὴν τοῦ θεοῦ ὑμῖν. [28] προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ
ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποι-
μαίνειν τὴν ἐκκλησίαν τοῦ κυρίου, ἣν περιεποιήσατο διὰ τοῦ αἵμα-
29 τος τοῦ ἰδίου. [29] ἐγὼ οἶδα, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου
30 λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου, [30] καὶ ἐξ ὑμῶν
αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾶν
31 τοὺς μαθητὰς ὀπίσω ἑαυτῶν. [31] διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι
τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν
32 ἕνα ἕκαστον. [32] καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς τῷ θεῷ καὶ τῷ
λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ οἰκοδομῆσαι καὶ δοῦναι
33 κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν. [33] ἀργυρίου ἢ χρυσίου ἢ
34 ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· [34] αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις
35 μου καὶ τοῖς οὖσιν μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. [35] πάντα
ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθε-
νούντων, μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, ὅτι αὐτὸς
36 εἶπεν· Μακάριόν ἐστιν μᾶλλον διδόναι ἢ λαμβάνειν. [36] καὶ ταῦτα
37 εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς προσηύξατο. [37] ἱκα-
νὸς δὲ κλαυθμὸς ἐγένετο πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχη-

---

28. Rc. Kn. Sz. pro κυρίου [c. AB (etenim θεοῦ lectionem nec testatur Btlj. et diserte abdicat Bch.) CDE al. m. Cpt. Sah. Arm. Ct. Ld. al. Cstit. Eus. Ath. (sed var. mss.; etiam κυρίου et Χριστοῦ leg.) Didym. Chrs. (sed var.) Ir. int. Lcif. Hier. Aug. al.] h. θεοῦ c. 4. (s. XV.) 22. (s. IX.) al. m. Vg. (etiam Am.) Syr. p. (in m. κυρίου) Epiph. (2.) [Bas. et θ. et Χριστοῦ h.] Ambr. Fulg. al. .. h. κυρίου καὶ θεοῦ GH al. pl. Slav... etiam κυρίου θεοῦ, θεοῦ καὶ κυρίου, Χριστοῦ (Or., sed 1. hab. τὴν ἐκκλησ. nullo addito genit.) leg. — Rc. τοῦ ἰδίου αἵματος.

29. Rc. Kn. Sz. ἐγὼ γὰρ οἶδα τοῦτο et v. 30. in f. αὐτῶν.

31. Add. in f. ὑμῶν DE al. m. Syr. Vg. al. m. Bas. Lcif. al.

32. Rc. Kn. Sz. ὑμᾶς, ἀδελφοί et ἐποικοδομ. [οἰκοδομ. c. ABCDE al. m. (improbante Chrs.) .. add. ὑμᾶς DE al. Syr. al.], tum post δοῦναι add. ὑμῖν. [om. c. ABDE al. Vg. al.] — h. τὴν κληρ. (addito αὐτοῦ A) ACE.

33. Ln. om. ἢ prius c. B (ap. Btlj.; sed dubium est)... h. καί D Vg. (non Am.) Ld.

34. Rc. αὐτοὶ δέ.

35. Ln. πάντα c. versu 34. cjgit... h. πᾶσιν D*, καὶ πάντ. CD** al. pm. Syr. — h. τὸν λόγον 4. al. pm. Chrs... τοῦ λόγου 26. al. Vg. al.

λον τοῦ Παύλου κατεφίλουν αὐτόν, 38 ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ 38
λόγῳ ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσιν τὸ πρόσωπον αὐτοῦ θεωρεῖν.
προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

## XXI.

Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐτῶν, 1
εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ, τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον,
κἀκεῖθεν εἰς Πάταρα. 2 καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινί- 2
κην, ἐπιβάντες ἀνήχθημεν. 3 ἀναφανέντες δὲ τὴν Κύπρον καὶ κατα- 3
λιπόντες αὐτὴν εὐώνυμον ἐπλέομεν εἰς Συρίαν, καὶ κατήλθομεν εἰς
Τύρον· ἐκεῖσε γὰρ τὸ πλοῖον ἦν ἀποφορτιζόμενον τὸν γόμον. 4 ἀν- 4
ευρόντες δὲ τοὺς μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά, οἵτινες
τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἐπιβαίνειν εἰς Ἱεροσόλυμα.
5 ὅτε δὲ ἐγένετο ἐξαρτίσαι ἡμᾶς τὰς ἡμέρας, ἐξελθόντες ἐπορευό- 5
μεθα προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶν καὶ τέκνοις ἕως
ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσ-
ευξάμενοι 6 ἀπησπασάμεθα ἀλλήλους, καὶ ἀνέβημεν εἰς τὸ πλοῖον, 6
ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. 7 Ἡμεῖς δὲ τὸν πλοῦν δια- 7
νύσαντες ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα, καὶ ἀσπασά-
μενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ᾽ αὐτοῖς. 8 τῇ δὲ 8
ἐπαύριον ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελθόντες εἰς
τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτά, ἐμεί-
ναμεν παρ᾽ αὐτῷ. 9 τούτῳ δὲ ἦσαν θυγατέρες τέσσαρες παρθένοι 9
προφητεύουσαι. 10 ἐπιμενόντων δὲ ἡμέρας πλείους κατῆλθέν τις 10
ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος, 11 καὶ ἐλθὼν πρὸς 11

---

Cap. XXI. 1. Rc. *Κῶν.* — Ln. om. *τήν* ante *Ῥόδ.* c. CD al.

3. Om. *καί* ante *καταλιπ.* A al. Vg. (non Am.) — Rc. Kn. Sz. *κατήχθημεν.* [*κατήλθομ.* c. ABCE al. Vg.]

4. Rc. Kn. Sz. *καὶ ἀνευρ.* [*ἀν. δέ* c. ABC*E al. m. Vg.] — om. *τούς* GH al. pl. Chrs. Thphyl. — Ln. pro *αὐτοῦ* h. *αὐτοῖς* c. AEG al. Thphyl. . . . etiam *πρὸς αὐτούς, ἐκεῖ* leg. ac pon. *αὐτοῦ* ante *τοὺς μαθ.* Syr. Erp. . . plane om. 28. (s. XII.) — Rc. Kn. Sz. pro *ἐπιβαίν.* (c. ABC al. Thphyl.) h. *ἀναβαίν.*

5. 6. Rc. Kn. Sz. *προσηυξάμεθα. Καὶ ἀσπασάμενοι ἀλλ.* [*προσευξάμενοι ἀπησπασ.* (*ἀπησπάσμεθα* A) *ἀλλ. καί* c. ABCE al.] *ἐπέβημ.* . . Ln. *ἐνέβημ.* c. BF al. Chrs. . . *ἀνέβημ.* c. AC al. Thyhyl.

8. Rc. *ἐξελθόντ. οἱ περὶ τὸν Παῦλον* et *τοῦ ὄντος.*

10. Rc. Kn. Sz. *δὲ ἡμῶν.* [om. c. ABH al. Bas.]

ἡμᾶς καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας ἑαυτοῦ τοὺς πόδας
καὶ τὰς χεῖρας εἶπεν· Τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· Τὸν ἄνδρα,
οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν ἐν Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι
12 καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. [12] ὡς δὲ ἠκούσαμεν ταῦτα,
παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν αὐτὸν
13 εἰς Ἱερουσαλήμ. [13] τότε ἀπεκρίθη ὁ Παῦλος· Τί ποιεῖτε κλαίοντες
καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι
ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόμα-
14 τος τοῦ κυρίου Ἰησοῦ. [14] μὴ πειθομένου δὲ αὐτοῦ ἡσυχάσαμεν
εἰπόντες· Τοῦ κυρίου τὸ θέλημα γινέσθω.
15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι ἀνεβαίνομεν εἰς
16 Ἱεροσόλυμα· [16] συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας
σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν Μνάσωνί τινι Κυπρίῳ, ἀρ-
χαίῳ μαθητῇ.
17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἀπεδέξαντο ἡμᾶς
18 οἱ ἀδελφοί. [18] τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰά-
19 κωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. [19] καὶ ἀσπασάμενος
αὐτοὺς ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνε-
20 σιν διὰ τῆς διακονίας αὐτοῦ. [20] οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν
θεόν, εἶπόν τε αὐτῷ· Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν
ἐν τοῖς Ἰουδαίοις τῶν πεπιστευκότων καὶ πάντες ζηλωταὶ τοῦ νό-
21 μου ὑπάρχουσιν· [21] κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν
διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη Ἰουδαίους, λέγων μὴ
22 περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς ἔθεσιν περιπατεῖν. [22] τί

11. Rc. Kn. Sz. δήσ. τε αὐτοῦ τ. χεῖρ. κ. τ. πόδας.

13. Rc. Kn. Sz. ἀπεκρ. δέ. [τότε ἀπεκρ. c. ABCE al. Syr. Vg. al. .. h. εἶπεν δὲ πρὸς ἡμ. ὁ Π. D Ct. .. Ln. post Παῦλ. add. καὶ εἶπεν c. AE al. Syr. Vg. al.] — add. in f. Χριστοῦ CD al. Syr. al. Cyr. al.

14. Rc. Kn. Sz. τ. θέλ. τοῦ κυρ. γενέσθω.

15. Rc. Sz. ἀποσκευασ. [ἐπισκ. c. ABEG al. pm... h. παρασκ. C al... ἀποταξάμενοι D.]

17. Rc. Kn. Sz. ἐδέξαντο. [ἀπεδ. c. ABCE al. m.]

20. Rc. Sz. τὸν κύριον. [θεόν c. ABCEG al. pm. Syr. Vg. al. Chrs. Thphyl.] — Ln. pro εἶπ. τε h. εἰπόντες c. CD Ct. (sed om. αὐτῷ D Ct.) al. m. Syr. p. Chrs. — Rc. Kn. Sz. pro ἐν τ. Ἰουδ. (c. ABCE al. m. Vg. Aeth. .. h. ἐν τῇ Ἰουδαίᾳ D Ct. Syr. Sah.) h. Ἰουδαίων. .. etiam τῶν Ἰουδ. leg. et plane om.

21. Rc. Kn. Sz. πάντας Ἰουδαίους.

οὖν ἐστιν; πάντως ἀκούσονται ὅτι ἐλήλυθας. [23] τοῦτο οὖν ποίη-
σον ὅ σοι λέγομεν. εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες 23
ἐφ' ἑαυτῶν· [24] τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ 24
δαπάνησον ἐπ' αὐτοῖς ἵνα ξυρήσωνται τὴν κεφαλήν· καὶ γνώσον-
ται πάντες, ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοι-
χεῖς καὶ αὐτὸς φυλάσσων τὸν νόμον. [25] περὶ δὲ τῶν πεπιστευκό- 25
των ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν κρίναντες φυλάσσεσθαι αὐτοὺς τό
τε εἰδωλόθυτον καὶ αἷμα καὶ πνικτὸν καὶ πορνείαν. [26] τότε ὁ
Παῦλος παραλαβὼν τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς 26
ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν
ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου
αὐτῶν ἡ προσφορά.

Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς 27
Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεον πάντα τὸν
ὄχλον καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας, [28] κράζοντες· Ἄνδρες 28
Ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ
καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων·
ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ κεκοίνωκεν τὸν ἅγιον
τόπον τοῦτον. [29] ἦσαν γὰρ προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον 29
ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ
Παῦλος. [30] ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, 30
καὶ ἐπιλαβόμενοι τοῦ Παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐ-
θέως ἐκλείσθησαν αἱ θύραι. [31] ζητούντων τε αὐτὸν ἀποκτεῖναι 31
ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης, ὅτι ὅλη συγχύνεται Ἱερου-
σαλήμ· [32] ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχας 32
κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρα-

---

22. Rc. Kn. Sz. Ln. πάντ. δεῖ πλῆθος συνελθεῖν (h. συν. πλ. Ln.) ἀκούσ. γὰρ ὅτι. . . ea om. c. B al. Syr. utr. Cpt. Sah. al. . . etiam πάντ. om.; etiam δεῖ οὖν πλ. συν. post ἐλήλ. pon.; etiam συν. om.

24. Ln. ἐπ' αὐτούς c. A al. . . h. εἰς αὐτούς D Ct. — Rc. καὶ γνῶσι.

25. Ln. ἀπεστείλ. — Rc. Kn. Sz. κρίν. μηδὲν τοιοῦτον τηρεῖν αὐτοὺς εἰ μὴ φυλ. [om. c. AB al. Syr. Cpt. Sah. Vg. al.] et τὸ αἷμ. [om. c. ABD.] — om. κ. πνικτόν D Ct. Sah. Aug. Hier.; etiam καί om.; καὶ τό leg.; var. pon.

28. Rc. Kn. Sz. πανταχοῦ. [πανταχῇ c. ABCDE al. m.]

31. Rc. Kn. Sz. ζητοῦντ. δέ et συγκέχυται.

32. Ln. λαβών c. B Ct. — Rc. Kn. Sz. ἑκατοντάρχους.

33 τιώτας ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. [33] τότε ἐγγίσας ὁ χι-
λίαρχος ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσεν δεθῆναι ἁλύσεσιν δυσίν,
34 καὶ ἐπυνθάνετο, τίς εἴη καὶ τί ἐστιν πεποιηκώς. [34] ἄλλοι δὲ ἄλλο
τι ἐπεφώνουν ἐν τῷ ὄχλῳ· μὴ δυναμένου δὲ αὐτοῦ γνῶναι τὸ ἀσφα-
λὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.
35 [35] ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐ-
36 τὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου· [36] ἠκολούθει
37 γὰρ τὸ πλῆθος τοῦ λαοῦ, κράζοντες· Αἶρε αὐτόν. [37] μέλλων τε
εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ· Εἰ
ἔξεστίν μοι εἰπεῖν τι πρὸς σέ; ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις;
38 [38] οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστα-
τώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας
39 τῶν σικαρίων; [39] εἶπεν δὲ ὁ Παῦλος· Ἐγὼ ἄνθρωπος μέν εἰμι
Ἰουδαῖος, Ταρσεύς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης·
40 δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. [40] ἐπιτρέ-
ψαντος δὲ αὐτοῦ ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισεν
τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης προσεφώνησεν τῇ
Ἑβραΐδι διαλέκτῳ λέγων·

## XXII.

1 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς
2 νυνὶ ἀπολογίας. [2] ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσ-
3 εφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν. καί φησιν· [3] Ἐγώ Act. 9.
εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνα- 3 sqq. et 26.
τεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ, παρὰ τοὺς πόδας Γαμαλιὴλ 12 sqq.

---

33. Hab. ἐγγίσ. δέ H al. pl. Syr. Sl. Thphyl... tantum ἐγγίσας 43. (s. XI.); etiam ἐγγ. οὖν, τότε ἐγγ. δέ leg. — Rc. Kn. Sz. τίς ἂν εἴη. [om. c. ABD al.]

34. Rc. Kn. Sz. ἄλλο τι ἐβόων et μὴ δυνάμενος δὲ γνῶναι. [utrque contra ABDE al.]

36. Rc. Kn. Sz. κράζον. [κράζοντες c. ABE gr. al. m. Syr. al.]

37. Om. ὁ Παῦλ. D Ct.; ante εἰς pon. Arm. — om. τι DGH al. m. Syr. Tol. al.

40. Pro Ἑβρ. h. ἰδίᾳ A.

Cap. XXII. 1. Rc. νῦν.

2. Hab. προσφωνεῖ DE al. Am. cdd. lat... προσεφώνησεν G al. m.

3. Rc. Kn. Sz. ἐγὼ μέν. [om. c. ABDE al. Sah. Vg.]

πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπ-
άρχων τοῦ θεοῦ καθὼς πάντες ὑμεῖς ἐστὲ σήμερον· [4] ὃς ταύτην 4
τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυ-
λακὰς ἄνδρας τε καὶ γυναῖκας, [5] ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι 5
καὶ πᾶν τὸ πρεσβυτέριον, παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς
τοὺς ἀδελφοὺς εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε
ὄντας δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα τιμωρηθῶσιν. [6] ἐγένετο δέ 6
μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαί-
φνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, [7] ἔπεσά 7
τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαούλ, Σαούλ,
τί με διώκεις; [8] ἐγὼ δὲ ἀπεκρίθην· Τίς εἶ, κύριε; εἶπέν τε πρὸς 8
ἐμέ· Ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος ὃν σὺ διώκεις. [9] οἱ δὲ σὺν 9
ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ
λαλοῦντός μοι. [10] εἶπον δέ· Τί ποιήσω, κύριε; ὁ δὲ κύριος εἶπεν 10
πρὸς μέ· Ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται
περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι. [11] ὡς δὲ οὐκ ἐνέβλεπον 11
ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συν-
όντων μοι ἦλθον εἰς Δαμασκόν. [12] Ἀνανίας δέ τις, ἀνὴρ κατὰ 12
τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων,
[13] ἐλθὼν πρὸς ἐμὲ καὶ ἐπιστὰς εἶπέν μοι· Σαοὺλ ἀδελφέ, ἀνά- 13
βλεψον. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. [14] ὁ δὲ εἶπεν· 14
Ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα
αὐτοῦ καὶ ἰδεῖν τὸν δίκαιον καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος
αὐτοῦ, [15] ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους ὧν ἑώρα- 15
κας καὶ ἤκουσας. [16] καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι καὶ 16
ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ.

---

5. Om. καὶ ante ἐπιστολ. D 3. Syr. Erp. Aeth.
8. Rc. Kn. Sz. h. v. et v. 13. πρ. μέ. [ἐμέ c. AB.]
9. Rc. Kn. Sz. ἐθεάσαντ. καὶ ἔμφοβοι ἐγένοντο. [om. c. ABH al. Syr. Arm. Vg. al.; etiam καὶ ἔμφ. γενόμενοι leg.]
10. Om. κύριος D Sah. Aeth.
11. Hab. (οὐδέν B) ἔβλεπον BE al.; etiam ἀνέβλ. leg.
12. Rc. Kn. Sz. ἀνὴρ εὐσεβής... Ln. εὐλαβής... om. c. A Vg.; etiam ante ἀνήρ pon.
13. Cf. ad v. 8.
16. Rc. pro αὐτοῦ h. τοῦ κυρίου.

17 [17] *ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ καὶ προσευχομένου*
18 *μου ἐν τῷ ἱερῷ γενέσθαι με ἐν ἐκστάσει* [18] *καὶ ἰδεῖν αὐτὸν λέγοντά*
*μοι· Σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱερουσαλήμ, διότι οὐ παρα-*
19 *δέξονταί σου μαρτυρίαν περὶ ἐμοῦ.* [19] *κἀγὼ εἶπον· Κύριε, αὐτοὶ*
*ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγω-*
20 *γὰς τοὺς πιστεύοντας ἐπὶ σέ·* [20] *καὶ ὅτε ἐξεχύνετο τὸ αἷμα Στε-*
*φάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν*
21 *καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν.* [21] *καὶ εἶπεν*
*πρός με· Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε.*
22 [22] *Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φω-*
*νὴν αὐτῶν λέγοντες· Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκεν*
23 *αὐτὸν ζῆν.* [23] *κραυγαζόντων τε αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια*
24 *καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,* [24] *ἐκέλευσεν ὁ χιλίαρχος*
*εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν, εἴπας μάστιξιν ἀνετάζεσθαι*
25 *αὐτόν, ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ.* [25] *ὡς δὲ*
*προέτειναν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπεν πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον*
*ὁ Παῦλος· Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν*
26 *μαστίζειν;* [26] *ἀκούσας δὲ ὁ ἑκατοντάρχης προσελθὼν τῷ χιλιάρχῳ*
*ἀπήγγειλεν, λέγων· Τί μέλλεις ποιεῖν; ὁ γὰρ ἄνθρωπος οὗτος Ῥω-*
27 *μαῖός ἐστιν.* [27] *προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· Λέγε μοι,*
28 *σὺ Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη· Ναί.* [28] *ἀπεκρίθη ὁ χιλίαρχος· Ἐγὼ*
*πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος*
29 *ἔφη· Ἐγὼ δὲ καὶ γεγέννημαι.* [29] *εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ*

---

17. Hab. *κ. προσευχομένῳ* (omisso *μοῦ*) 93. (s. XV.) 95. (s. XIV.)
18. Rc. Kn. Sz. *τὴν μαρτυρ.* [om. c. AB al.]
20. Rc. Kn. Sz. *ἐξεχεῖτο.* — om. *Στεφάν.* A 68; post *μάρτ. σ.* pon. 38. (omisso *σοῦ*) 73. — Rc. et Kn. (—) *συνευδ. τῇ ἀναιρέσει αὐτοῦ.* — om. *καί* ante *φυλάσσ.* GH al. pm. Thphyl.
22. Rc. *καθῆκον.*
23. Rc. Kn. Sz. *κραυγ. δέ.* [*τέ* c. ABC.] — h. *ῥιπτόντων* DEGH al. m. Thphyl. — h. *εἰς τὸν οὐρανόν* D Syr.
24. Rc. *αὐτὸν ὁ χιλ. ἄγεσθαι.* — Rc. Kn. Sz. *εἰπών.* [*εἴπας* c. ABC DE al.]
25. Rc. *προέτεινεν.* [*προέτειναν* c. BG al. pm. Chrs. .. h. *προέτεινον* AE al. Syr. utr. Vg. al. m .. *προσέτειναν* CD al. Cpt.] — om. *ὁ Παῦλ.* D.
26. Rc. *ὅρα, τί μέλλ.* et v. 27. *εἰ σύ.*
28. Rc. Kn. Sz. *ἀπεκρ. τε* . . . Ln. *ἀπ. δέ* . . om. c. A al. . . h. *καὶ ἀπ.* D.

οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπι-
γνοὺς ὅτι Ῥωμαῖός ἐστιν καὶ ὅτι αὐτὸν ἦν δεδεκώς.

## XXIII.

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλές, τὸ τί 30
κατηγορεῖται ὑπὸ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν καὶ ἐκέλευσεν συν-
ελθεῖν τοὺς ἀρχιερεῖς καὶ πᾶν τὸ συνέδριον, καὶ καταγαγὼν τὸν
Παῦλον ἔστησεν εἰς αὐτούς. (XXIII.) 1 ἀτενίσας δὲ τῷ συνεδρίῳ 1
ὁ Παῦλος εἶπεν· Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ
πεπολίτευμαι τῷ θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. 2 ὁ δὲ ἀρχιερεὺς Ἀνα- 2
νίας ἐπέταξεν τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα. 3 τότε 3
ὁ Παῦλος πρὸς αὐτὸν εἶπεν· Τύπτειν σε μέλλει ὁ θεός, τοῖχε κε-
κονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρα-
νομῶν κελεύεις με τύπτεσθαι; 4 οἱ δὲ παρεστῶτες εἶπον· Τὸν ἀρ- 4
χιερέα τοῦ θεοῦ λοιδορεῖς; 5 ἔφη τε ὁ Παῦλος· Οὐκ ᾔδειν, ἀδελφοί, 5
Ex. 22, 28. ὅτι ἔστιν ἀρχιερεύς· γέγραπται γάρ· ὅτι ἄρχοντα τοῦ λαοῦ σου
οὐκ ἐρεῖς κακῶς. 6 γνοὺς δὲ ὁ Παῦλος, ὅτι τὸ ἓν μέρος ἐστὶν Σαδ- 6
δουκαίων τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· Ἄν-
δρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίων· περὶ ἐλπίδος
καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. 7 τοῦτο δὲ αὐτοῦ λαλήσαν- 7
τος ἐγένετο στάσις τῶν Φαρισαίων καὶ Σαδδουκαίων, καὶ ἐσχίσθη
τὸ πλῆθος. 8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσιν μὴ εἶναι ἀνάστασιν 8
μήτε ἄγγελον μήτε πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσιν τὰ ἀμφό-
τερα. 9 ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες τινὲς τῶν Φα- 9

---

30. Rc. Kn. Sz. pro ὑπό [c. ABCE al. pm.] h. παρά. — Rc. et Kn. (—) ἔλυσ. αὐτ. ἀπὸ τῶν δεσμῶν. — Rc. pro συνελθ. h. ἐλθεῖν et ὅλον τὸ συνέδρ. αὐτῶν.

Cap. XXIII. 5. Rc. Kn. Sz. om. ὅτι ante ἄρχοντα.

6. Hab. ἔκραζεν B al. Syr. — Rc. Kn. Sz. υἱὸς Φαρισαίου.

7. Ln. pro λαλήσ. h. εἰπόντος c. AE al. .. h. λαλοῦντος B al. — Rc. Kn. Sz. καὶ τῶν Σαδδ. [om. c. ABC al. m... h. τ. Σαδδ. καὶ Φαρ. E al. .. om. κ. Σαδδ. 64. al. m.]

8. Ln. om. μέν c. B Sah. Vg. Ld. — Rc. Kn. Sz. μηδὲ ἀγγ. μήτε πν. [μήτε bis c. ABCE al. m.]

9. Rc. Kn. Sz. οἱ γραμματεῖς τοῦ μέρους τῶν Φαρ. [τινὲς τ. Φαρ. c. AE al. Cpt. Vg. .. h. τινὲς τῶν γραμματέων τοῦ μέρ. τ. Φαρ. BC al.

ρισαίων διεμάχοντο λέγοντες· Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀν-
10 θρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος; [10] πολλῆς
δὲ γενομένης στάσεως εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦ-
λος ὑπ᾽ αὐτῶν, ἐκέλευσεν τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν
11 ἐκ μέσου αὐτῶν ἀπάγειν τε εἰς τὴν παρεμβολήν. [11] τῇ δὲ ἐπιούσῃ
νυκτὶ ἐπιστὰς αὐτῷ ὁ κύριος εἶπεν· Θάρσει· ὡς γὰρ διεμαρτύρω
τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτως σε δεῖ καὶ εἰς Ῥώμην μαρ-
τυρῆσαι.

12 Γενομένης δὲ ἡμέρας ποιήσαντες συστροφὴν οἱ Ἰουδαῖοι ἀν-
εθεμάτισαν ἑαυτούς, λέγοντες μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀπο-
13 κτείνωσιν τὸν Παῦλον. [13] ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην
14 τὴν συνωμοσίαν ποιησάμενοι, [14] οἵτινες προσελθόντες τοῖς ἀρχιε-
ρεῦσιν καὶ τοῖς πρεσβυτέροις εἶπαν· Ἀναθέματι ἀνεθεματίσαμεν
ἑαυτούς, μηδενὸς γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.
15 [15] νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ, ὅπως
καταγάγῃ αὐτὸν εἰς ὑμᾶς ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον
τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν ἕτοιμοί ἐσμεν τοῦ
16 ἀνελεῖν αὐτόν. [16] Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνε-
δρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν ἀπήγγειλεν
17 τῷ Παύλῳ. [17] προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρ-
χων ἔφη· Τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει
18 γὰρ ἀπαγγεῖλαί τι αὐτῷ. [18] ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγεν
πρὸς τὸν χιλίαρχον, καί φησιν· Ὁ δέσμιος Παῦλος προσκαλεσά-
μενός με ἠρώτησεν τοῦτον τὸν νεανίσκον ἀγαγεῖν πρὸς σέ, ἔχοντά
19 τι λαλῆσαί σοι. [19] ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος

---

m. Syr. p. al. Did. al. .. γραμματεῖς τοῦ μέρ. τ. Φ. H al. pm.; etiam τινὲς γραμματεῖς τοῦ μέρ. τ. Φ. atque aliter leg.] — Rc. in f. add. μὴ θεομαχῶμεν.

10. Ln. pro εὐλαβ. h. φοβηθεὶς c. ABCE al. m. Chrs. Thphyl. — h. καταβῆναι καὶ GH al. pl. Syr. p. Vg. al. — Rc. Kn. Sz. ἄγειν. [ἀπάγ. c. AE Vg. Chrs.]

11. Rc. et Kn. (—) Θάρσει, Παῦλε.

12. Rc. ποιήσ. τινες τῶν Ἰουδαίων συστρ. — h. ἀνέλωσιν τὸν Π. A al. Chrs.

13. Rc. Kn. Sz. πεποιηκότες. [ποιησάμ. c. ABCE al. m.]

15. Rc. Kn. Sz. ὅπως αὔριον [Kn. (αὔρ.)] αὐτ. καταγ. πρὸς ὑμ.

16. Rc. Kn. Ln. τὴν ἐνέδραν. [τὸ ἔνεδρ. c. BGH al. pl. Chrs. Thphyl.]

18. Rc. Kn. Sz. νεανίαν, etiam v. 22. [νεανίσκ. c. ABE al. m.]

*καὶ ἀναχωρήσας κατ' ἰδίαν ἐπυνθάνετο· Τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖ-*
*λαί μοι;* [20] *εἶπεν δέ· ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε,* 20
*ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον ὡς μέλλων*
*τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ.* [21] *σὺ οὖν μὴ πεισθῇς* 21
*αὐτοῖς· ἐνεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαρά-*
*κοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτούς, μήτε φαγεῖν μήτε πιεῖν ἕως*
*οὗ ἀνέλωσιν αὐτόν, καὶ νῦν εἰσὶν ἕτοιμοι, προσδεχόμενοι τὴν ἀπὸ*
*σοῦ ἐπαγγελίαν.* [22] *ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσεν τὸν νεανίσκον,* 22
*παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός μέ.*
[23] *Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν· Ἑτοι-* 23
*μάσατε στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν ἕως Καισαρείας,*
*καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης*
*ὥρας τῆς νυκτός,* [24] *κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν* 24
*Παῦλον διασώσωσιν πρὸς Φήλικα τὸν ἡγεμόνα,* [25] *γράψας ἐπι-* 25
*στολὴν περιέχουσαν τὸν τύπον τοῦτον·* [26] *Κλαύδιος Λυσίας τῷ* 26
*κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.* [27] *τὸν ἄνδρα τοῦτον συλλημφθέντα* 27
*ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν ἐπιστὰς*
*σὺν τῷ στρατεύματι ἐξειλάμην, μαθὼν ὅτι Ῥωμαῖός ἐστιν·* [28] *βου-* 28
*λόμενός τε ἐπιγνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγα-*
*γον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν,* [29] *ὃν εὗρον ἐγκαλούμενον περὶ* 29
*ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν*
*ἔχοντα ἔγκλημα.* [30] *μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα* 30
*ἔσεσθαι, ἐξαυτῆς ἔπεμψα πρὸς σέ, παραγγείλας καὶ τοῖς κατηγό-*
*ροις λέγειν αὐτοὺς ἐπὶ σοῦ.* [31] *Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ* 31

---

20. Rc. Kn. Sz. *μέλλοντες* [*μέλλων* c. ABE al. Cpt. al. .. h. *μελλόντων* 36. al. m. Chrs... *μέλλοντα* H al. et aliter leg.]
22. Cf. ad v. 18. — h. *πρ. ἐμέ* B.
23. Ln. *δεξιοβόλους* c. A et ed. ap. Erasm.; lancearios Vg. Ld. al.— pro *ἑβδομήκ.* h. *ἑκατόν* 137. Aeth. Sah. ac pro *διακοσ.* poster. h. *ὀγδοήκοντα* Ar. pol.
25. Ln. *ἔχουσαν* c. BE al... om. *περ. τὸν τύπ. τ.* Sah.
27. Rc. Kn. Sz. *ἐξειλόμην αὐτόν.* [utrque contra ABE al. m.]
28. Rc. Kn. Sz. *βουλ. δὲ γνῶναι.*
30. Rc. Kn. Sz. *μέλλειν ἔσεσθαι* [om. c. ABE al. m.] *ὑπὸ τῶν Ἰουδαίων* [om. c. B al. Syr. p. Cpt. Aeth... pro iis Ln. h. (omisso *ἐξαυτῆς*) *ἐξ αὐτῶν* c. AE al.], pro *αὐτούς* h. *τὰ πρὸς αὐτόν* [ea om. c. A 13. Vg... om. *τά* B.. etiam *αὐτοῦ* et aliter leg... *αὐτούς* c. AG 13.] et in f. add. *ἔῤῥωσο.* [om. c. AB 13. Cpt. Vg. ms. Am. al... h. *ἐῤῥῶσθε* H al.]

διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον ἤγαγον διὰ νυκτὸς
32 εἰς τὴν Ἀντιπατρίδα· 32 τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς ἀπ-
33 έρχεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν. 33 οἵτινες
εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ
34 ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ. 34 ἀναγνοὺς δὲ καὶ
ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστίν, καὶ πυθόμενος ὅτι ἀπὸ Κι-
35 λικίας· 35 Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου
παραγένωνται, κελεύσας ἐν τῷ πραιτωρίῳ Ἡρῴδου φυλάσσεσθαι
αὐτόν.

## XXIV.

1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ πρε-
σβυτέρων τινῶν καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν
2 τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. 2 κληθέντος δὲ αὐτοῦ ἤρξατο κατηγο-
3 ρεῖν ὁ Τέρτυλλος λέγων· 3 Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ
καὶ διορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας,
πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πά-
4 σης εὐχαριστίας. 4 ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ
5 ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. 5 εὑρόντες γὰρ τὸν
ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσεις πᾶσιν τοῖς Ἰουδαίοις τοῖς
κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέ-
6 σεως, 6 ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν,

---

31. Rc. Kn. Sz. *διὰ τῆς νυκτ.* et v. 32. *πορεύεσθαι σὺν α.*

34. Rc. et Kn. (—) *ἀναγν. δὲ ὁ ἡγεμών.*

35. Rc. Kn. Sz. *ἐκέλευσέ τε αὐτὸν ἐν τ. πρ. τοῦ* [Ln. quoque *τοῦ*. .. om. c. B (hab. *τῷ Ἡρ.*) GH al. pm. Chrs. Euthal. Thphyl.] *Ἡρ. φυλ.*

Cap. XXIV. 1. Rc. Kn. Sz. *τῶν πρεσβ.* [*πρ. τινῶν* c. ABE al. m. Syr. p. Vg. al. Thphyl.]

3. Rc. Kn. Sz. *κατορθωμ.* [*διορθ.* c. ABE al. m. Chrs. ms.]

5. Rc. Kn. Sz. *στάσιν.* [*στάσεις* c. ABE al. m. Cpt. Vg. Chrs. al.]

6. 7. 8. Rc. Kn. Sz. in fine v. 6. add. *καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν.* 7. *Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε,* 8. *Κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σέ· παρ' οὗ* etc. [ea om. c. ABC (vdtr) GH al. pm. Cpt. Sah. Slav. Vg. ms. Tol. . . cdd. qui hab. in singg. valde var.]

[8] παρ᾽ οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπι- 8
γνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. [9] συνεπέθεντο δὲ καὶ οἱ 9
Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν. [10] ἀπεκρίθη τε ὁ Παῦ- 10
λος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· Ἐκ πολλῶν ἐτῶν
ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθύμως τὰ περὶ
ἐμαυτοῦ ἀπολογοῦμαι, [11] δυναμένου σου ἐπιγνῶναι, ὅτι οὐ πλείους 11
εἰσίν μοι ἡμέραι δεκαδύο ἀφ᾽ ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσα-
λήμ. [12] καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ 12
ἐπίστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν
πόλιν· [13] οὐδὲ παραστῆσαι δύνανταί σοι περὶ ὧν νυνὶ κατηγοροῦ- 13
σίν μου. [14] ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν 14
αἵρεσιν οὕτως λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων πᾶσιν τοῖς κατὰ
τὸν νόμον καὶ τοῖς προφήταις γεγραμμένοις, [15] ἐλπίδα ἔχων εἰς τὸν 15
θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι
δικαίων τε καὶ ἀδίκων. [16] ἐν τούτῳ καὶ αὐτὸς ἀσκῶ ἀπρόσκοπον 16
συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς ἀνθρώπους διὰ παντός.
[17] δι᾽ ἐτῶν δὲ πλειόνων ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου 17
παρεγενόμην καὶ προσφοράς, [18] ἐν αἷς εὗρόν με ἡγνισμένον ἐν τῷ 18
ἱερῷ, οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου, τινὲς δὲ ἀπὸ τῆς Ἀσίας
Ἰουδαῖοι, [19] οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν 19
πρὸς ἐμέ. [20] ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, τί εὗρον ἀδίκημα στάντος 20

---

8. Hab. παρ᾽ ᾧ E al. .. παρ᾽ ὧν 8. al. m. — om. αὐτός A. .. etiam αὐτοῦ et αὐτούς leg.
9. Rc. συνέθεντο. — 10. Rc. Kn. Sz. ἀπεκρ. δέ et εὐθυμότερον.
11. Rc. Kn. Sz. γνῶναι. — Rc. ἢ δεκαδ. — Ln. δώδεκα et εἰς Ἱερ.
12. Rc. Kn. Sz. ἐπισύστασιν. [ἐπίστασ. c. ABE al.]
13. Rc. Kn. Sz. οὔτε, om. σοί, pro νυνί h. νῦν.
14. Rc. καὶ ἐν τοῖς πρ. .. Sz. (per error. habere vdtr) Kn. κ. τοῖς ἐν τοῖς πρ. c. E al. pm. .. om. πᾶσιν et τόν ante νόμ. et h. ἐν τοῖς πρ. B ap. Btlj. [τοῖς πρ. c. AGH al. pl. Vg. Cpt.]
15. Rc. Kn. Sz. post ἔσεσθ. add. νεκρῶν. [om. c. ABC al. Vg. al.]
16. Rc. Sz. ἐν τούτῳ δέ. — h. ἔχων GH al. pl. Chrs.
17. Om. παρεγεν. A... Rc. Kn. Sz. pon. ante ἐλεημ.
18. Rc. Kn. (Sz. per error. habere vdtr αἷς) pro αἷς (c. ABCE al. pm.) h. οἷς. — Rc. om. δέ post τινές.
19. Hab. δεῖ BGH al. pm. Slav. Chrs. (comm.) — Rc. Kn. Sz. πρ. με.
20. Sz. per error. om. οὗτοι. — Rc. εἴ τι. — Rc. Kn. Sz. εὗρ. ἐν ἐμοί. [om. c. AB al.; etiam post ἀδίκ. pon.]

21 μου ἐπὶ τοῦ συνεδρίου, [21] ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς ἔκραξα ἐν
αὐτοῖς ἑστώς· ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον
22 ἐφ᾽ ὑμῶν. [22] ἀνεβάλετο δὲ αὐτοὺς ὁ Φῆλιξ, ἀκριβέστερον εἰδὼς
τὰ περὶ τῆς ὁδοῦ, εἴπας· Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, δια-
23 γνώσομαι τὰ καθ᾽ ὑμᾶς· [23] διαταξάμενος τῷ ἑκατοντάρχῃ τηρεῖ-
σθαι αὐτόν, ἔχειν τε ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ
ὑπηρετεῖν αὐτῷ.
24 Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ
τῇ γυναικί, οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον καὶ ἤκουσεν
25 αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως. [25] διαλεγομένου δὲ
αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλ-
λοντος ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· Τὸ νῦν ἔχον πορεύου·
26 καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε, [26] ἅμα καὶ ἐλπίζων ὅτι
χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου· διὸ καὶ πυκνότερον
27 αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. [27] διετίας δὲ πληρωθείσης
ἔλαβεν διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων τε χάριτα κατα- Act 25. 9.
θέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ κατέλιπεν τὸν Παῦλον δεδεμένον.

## XXV.

1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς
2 Ἱεροσόλυμα ἀπὸ Καισαρείας, [2] ἐνεφάνισάν τε αὐτῷ οἱ ἀρχιερεῖς

---

21. Hab. ἐκέκραξα A al. pm. Thphyl. — Rc. Kn. Sz. ὑφ᾽ ὑμ. [ἐφ᾽ ὑμ. c. ABC al. Syr.]
22. Rc. Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ, ἀνεβάλ. αὐτούς. — Rc. Kn. Sz. εἰπών. [εἴπας c. ABC.]
23. Rc. Kn. Sz. διαταξ. τε. [om. c. ABCE al. m. . . h. δέ G.] — Rc. τηρεῖσθ. τὸν Παῦλον. — Rc. Kn. Sz. ἢ προσέρχεσθαι αὐτῷ. [om. c. ABCE al. Syr. utr. Vg. al.]
24. Rc. τ. γυναικ. αὐτοῦ. . . Ln. τῇ ἰδίᾳ γυν. c. B al. m. . . τ. ἰδίᾳ γυν. αὐτοῦ A al. [om. plane c. CG al. pl.] — Rc. Kn. om. Ἰησοῦν. [scr. c. BEG al. pl. Syr. p. Vg. al. m. Chrs. Thphyl.]
25. Hab. τοῦ μέλλ. κρίμ. C al. Chrs. . . Rc. Kn. μέλλ. ἔσεσθαι. [om. c. ABCE al. m.] — h. παραλαβών A. . . λαβών 13. al. m. Chrs.
26. Rc. ἅμα δὲ καί, tum Παύλ. ὅπως λύσῃ αὐτόν, Kn. (ὅπ. λ. αὐτ.)
27. Hab. θέλ. δέ 13. al. m. Syr. Vg. Ld. al. Chrs. Thphyl. — Rc. Kn. Sz. χάριτας. [χάριτα c. ABC al. (h. χάριν EG al. m. Chrs. Thphyl.) Syr. Vg. Ld. al.]

Cap. XXV. 2. Rc. Kn. Sz. ἐνεφ. δὲ αὐτ. ὁ ἀρχιερεύς. [τέ c. ABC al.

καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν
αὐτὸν [3] αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν 3
εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.
[4] ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον εἰς Καισά- 4
ρειαν, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι· [5] Οἱ οὖν ἐν ὑμῖν, 5
φησίν, δυνατοὶ συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ ἄτοπον,
κατηγορείτωσαν αὐτοῦ. [6] διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας οὐ πλείους 6
ὀκτὼ ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ
τοῦ βήματος ἐκέλευσεν τὸν Παῦλον ἀχθῆναι. [7] παραγενομένου δὲ 7
αὐτοῦ περιέστησαν αὐτὸν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰου-
δαῖοι, πολλὰ καὶ βαρέα αἰτιώματα καταφέροντες, ἃ οὐκ ἴσχυον
ἀποδεῖξαι [8] τοῦ Παύλου ἀπολογουμένου· ὅτι οὔτε εἰς τὸν νόμον 8
τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι ἥμαρτον.
Act. 24, 27. [9] ὁ Φῆστος δέ, θέλων τοῖς Ἰουδαίοις χάριν καταθέσθαι, ἀποκρι- 9
θεὶς τῷ Παύλῳ εἶπεν· Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ
τούτων κριθῆναι ἐπ᾽ ἐμοῦ; [10] εἶπεν δὲ ὁ Παῦλος· Ἐπὶ τοῦ βή- 10
ματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν
ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. [11] εἰ μὲν οὖν ἀδικῶ καὶ 11
ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ
οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσίν μου, οὐδείς με δύναται αὐτοῖς
χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι. [12] τότε ὁ Φῆστος συλ- 12
λαλήσας μετὰ τοῦ συμβουλίου ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι,
ἐπὶ Καίσαρα πορεύσῃ.
Ἡμερῶν δὲ διαγενομένων τινῶν Ἀγρίππας ὁ βασιλεὺς καὶ 13
Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον.

---

Syr. Vg. Chrs. et οἱ ἀρχ. c. ABEG al. m. Syr. Vg. al. m. Chrs. (text.); etiam ὅ τε ἀρχ. leg. (Chrs. comm.)

4. Rc. Kn. Sz. ἐν Καισαρείᾳ.

5. Rc. Kn. Sz. pro ἄτοπον [scr. c. ABE al. Arm. Vg. Slav. .. etiam τούτῳ ἄτοπον leg. et ἄτοπ. ante ἐν τῷ pon.] h. τούτῳ.

6. Rc. ἡμέρ. πλείους ἢ δέκα. (Sz. οὐ πλ. ὀ. ἢ δέκ. per err. hab. vdtr.)

7. Rc. Kn. Sz. om. αὐτόν [scr. c. ABC al. m. (etiam αὐτῷ leg. ut E.) Syr. Arm. Vg. Thphyl.] et h. αἰτ. (Rc. Kn. αἰτιάματα contra ABCEGH al. pl. Chrs. Thphyl.) φέροντες κατὰ τοῦ Παύλου.

8. Rc. Kn. Sz. ἀπολογούμ. αὐτοῦ et v. 9. κρίνεσθαι.

10. Hab. ἠδίκηκα B.

11. Rc. Kn. Sz. pro οὖν (c. ABCE al. m. Cpt. Slav.) h. γάρ.

13. Hab. ἀσπασάμενοι AE gr. al. pm. Aeth. Thphyl.

14 [14] ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ
ἀνέθετο τὰ κατὰ τὸν Παῦλον λέγων· Ἀνήρ τίς ἐστιν καταλελειμ-
15 μένος ὑπὸ Φήλικος δέσμιος, [15] περὶ οὗ γενομένου μου εἰς Ἱεροσό-
λυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων,
16 αἰτούμενοι κατ᾽ αὐτοῦ καταδίκην· [16] πρὸς οὓς ἀπεκρίθην· ὅτι
οὐκ ἔστιν ἔθος Ῥωμαίοις, χαρίζεσθαί τινα ἄνθρωπον πρὶν ἢ ὁ
κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους τόπον τε ἀπο-
17 λογίας λάβοι περὶ τοῦ ἐγκλήματος. [17] συνελθόντων οὖν αὐτῶν ἐν-
θάδε ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ
18 βήματος ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα· [18] περὶ οὗ σταθέντες οἱ
19 κατήγοροι οὐδεμίαν αἰτίαν ἔφερον ὧν ἐγὼ ὑπενόουν πονηρῶν, [19] ζη-
τήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτὸν καὶ
20 περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. [20] ἀπο-
ρούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτων ζήτησιν ἔλεγον, εἰ βούλοιτο
21 πορεύεσθαι εἰς Ἱεροσόλυμα κἀκεῖ κρίνεσθαι περὶ τούτων. [21] τοῦ
δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ
διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς
22 Καίσαρα. [22] Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον· Ἐβουλόμην καὶ
αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. Αὔριον, φησίν, ἀκούσῃ αὐτοῦ.
23 Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης
μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν
τε χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ᾽ ἐξοχὴν τῆς πόλεως, καὶ κε-
24 λεύσαντος τοῦ Φήστου ἤχθη ὁ Παῦλος. [24] καί φησιν ὁ Φῆστος·
Ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε
τοῦτον περὶ οὗ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε

---

14. Hab. διέτριβεν H al. pm. Aeth. Ar. Thphyl.
15. Rc. Kn. Sz. δίκην. [καταδίκ. c. ABC al. m. Bas.]
16. Pro τινά h. τινί C al. Ath. Bas. Thdret. — Rc. Kn. Sz. ἄνθρ. εἰς ἀπώλειαν. [om. c. ABCE al. Cpt. Vg. al. Ath. Bas. Thdret.]
17. Om. αὐτῶν B al.; post ἐνθάδε pon. C al.
18. Rc. Kn. Sz. ἐπέφερον [ἔφερ. c. ABCEG al. m.], ὧν ὑπ. ἐγώ. .. Ln. add. in f. πονηράν c. AC al. Syr. utr. Am. al. .. πονηρῶν c. B (ap. Bch. et Btlj.) E al. Ld.
20. Om. εἰς ante τὴν περί AH al. m... h. περὶ τήν 4. al. Chrs. — Rc. Kn. Sz. περὶ τούτου. [τούτων c. ABCEG al. pm. Syr. al.]
21. Rc. Kn. Sz. πέμψω et 22. ἔφη· Ἐβουλ. tum ὁ δέ· Αὔρ.
23. Rc. Kn. Sz. τοῖς χιλ. et οὖσι τῆς πόλ.

Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι.
[25] ἐγὼ δὲ κατελαβόμην μηδὲν ἄξιον αὐτὸν θανάτου πεπραχέναι, 25
αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστὸν ἔκρινα πέμπειν.
[26] περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον 26
αὐτὸν ἐφ᾽ ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως
τῆς ἀνακρίσεως γενομένης σχῶ τί γράψω· [27] ἄλογον γάρ μοι δοκεῖ, 27
πέμποντα δέσμιον μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι.

## XXVI.

Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι περὶ 1
σεαυτοῦ λέγειν. τότε ὁ Παῦλος ἐκτείνας τὴν χεῖρα ἀπελογεῖτο·
[2] Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, 2
ἥγημαι ἐμαυτὸν μακάριον ἐπὶ σοῦ μέλλων σήμερον ἀπολογεῖσθαι,
[3] μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε 3
καὶ ζητημάτων· διὸ δέομαι μακροθύμως ἀκοῦσαί μου. [4] τὴν μὲν 4
οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ
ἔθνει μου ἔν τε Ἱεροσολύμοις, ἴσασιν πάντες οἱ Ἰουδαῖοι, [5] προ- 5
γινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσιν μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκρι-
βεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος· [6] καὶ 6
νῦν ἐπ᾽ ἐλπίδι τῆς εἰς τοὺς πατέρας ἡμῶν ἐπαγγελίας γενομένης
ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος, [7] εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν 7
ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ
ἧς ἐλπίδος ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ. [8] τί ἄπιστον κρί- 8

---

24. Ln. βοῶντες c. AB.
25. Rc. Kn. Sz. καταλαβόμενος [κατελαβ. c. ABCE al. Vg.] μ. ἄξ. θαν. αὐτ. πεπρ. καὶ [om. c. ABCE al. Vg.] αὐτ. δέ et in f. add. αὐτόν. [om. c. ABC al. Arm. Vg.]
26. Hab. γράψοι τῷ κυρ. B al. — Rc. Kn. Sz. in f. γράψαι. [γράψω c. ABC al. Thphyl.]
Cap. XXVI. 1. Rc. Kn. Sz. ὑπὲρ σεαυτ. [περί c. ACE al. m.]
3. Om. πάντων A al. Aeth. — h. Ἰουδαίων AE al. — post ζητημ. h. ἐπιστάμενος AC al. Slav. ms. Oec.; id alii aliter pon.; alii hab. εἰδώς. — Rc. Kn. Sz. δέομ. σου. [om. c. ABE al. Arm. Vg.]
4. Om. τήν ante ἐκ νεότ. BH al. — Rc. Kn. Sz. om. τέ. — Ln. om. οἱ ante Ἰουδ. c. BE al.— 5. Ln. θρησκίας. Sic semper.
6. Rc. Kn. Sz. τῆς πρὸς τούς. — Rc. om. ἡμῶν.
7. Hab. καταντήσειν B. — Rc. Kn. Sz. ἐγκαλ., βασ. Ἀγρίππα, ὑπὸ (Rc. add. τῶν) Ἰουδ... om. plane βασιλ. A al.

9 *νεται παρ' ὑμῖν εἰ ὁ θεὸς νεκροὺς ἐγείρει;* 9 *ἐγὼ μὲν οὖν ἔδοξα*
*ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία*
10 *πρᾶξαι·* 10 *ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλούς τε τῶν*
*ἁγίων ἐγὼ ἐν φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξ-*
11 *ουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον,* 11 *καὶ*
*κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον*
*βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς ἐδίωκον ἕως καὶ εἰς*
12 *τὰς ἔξω πόλεις.* 12 *ἐν οἷς πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξ-* Act. 9,
13 *ουσίας καὶ ἐπιτροπῆς τῶν ἀρχιερέων,* 13 *ἡμέρας μέσης κατὰ τὴν* 3 sqq. et 22,
*ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου* 6 sqq.
14 *περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους·* 14 *πάντων*
*τε καταπεσόντων ἡμῶν εἰς τὴν γῆν ἤκουσα φωνὴν λέγουσαν πρὸς*
*με τῇ Ἑβραΐδι διαλέκτῳ· Σαούλ, Σαούλ, τί με διώκεις; σκληρόν*
15 *σοι πρὸς κέντρα λακτίζειν.* 15 *ἐγὼ δὲ εἶπα· Τίς εἶ, κύριε; ὁ δὲ*
16 *κύριος εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις.* 16 *ἀλλὰ ἀνάστηθι*
*καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχει-*
*ρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί*
17 *σοι,* 17 *ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ ἐκ τῶν ἐθνῶν, εἰς οὓς*
18 *ἐγὼ ἀποστέλλω σε* 18 *ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι*
*ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν θεόν,*
*τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις*
19 *πίστει τῇ εἰς ἐμέ.* 19 *ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς*
20 *τῇ οὐρανίῳ ὀπτασίᾳ,* 20 *ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτόν τε καὶ*

---

**10.** Rc. Kn. Sz. post *πολλ.* om. *τέ.* [scr. c. ACE al. Thphyl.] — Rc. Kn. om. *ἐν* ante *φυλακ.* [scr. c. ABCEG al. pm. Vg.]

**12.** Rc. Kn. Sz. *ἐν οἷς καί.* [om. c. ABCE al. m. Vg. Cpt. al. Thphyl.] — Ln. om. *τήν* c. AE. — Rc. Kn. Sz. *τῆς παρὰ τῶν ἀρχ.* [om. c. AB (ap. Bch. et Btlj. om. tantum *παρά*) E al. Syr. Arr. Vg.]

**14.** Rc. Kn. Sz. *πάντ. δέ.* — Ln. om. *ἡμῶν* c. B. — Rc. Kn. Sz. *φων. λαλοῦσαν πρ. με καὶ λέγ.* contra ABCE (om. *καὶ λέγουσ.* H) al. pm. Syr. utr. Vg. al.

**15.** Rc. Kn. Sz. om. *κύριος.* [scr. c. ABCE al. pl. Syr. utr. Vg. al. Thphyl.]

**17.** Rc. Kn. Sz. om. *ἐκ* poster. [scr. c. ABE al.] — Rc. Sz. pro *ἐγώ* h. *νῦν*... h. *νῦν ἐγώ* Vg. Thphyl.

**18.** Hab. *ἀποστρ.* AH al. pm.; etiam *ὑποστρ.* leg. — h. *καὶ ἀπὸ τῆς* CEG al.

**20.** Rc. Kn. Sz. post *πρῶτ.* om. *τέ.* [scr. c. AB al.]

*Ἱεροσολύμοις εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν*
*ἀπήγγελον μετανοεῖν καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετα-*
*νοίας ἔργα πράσσοντας.* [21] *ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβό-* 21
*μενοι ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι.* [22] *ἐπικουρίας οὖν τυ-* 22
*χὼν τῆς ἀπὸ τοῦ θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρό-*
*μενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται*
*ἐλάλησαν μελλόντων γίνεσθαι καὶ Μωϋσῆς,* [23] *εἰ παθητὸς ὁ Χρι-* 23
*στός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν*
*τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν.* [24] *ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου* 24
*ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ φησίν· Μαίνῃ, Παῦλε· τὰ πολλά σε*
*γράμματα εἰς μανίαν περιτρέπει.* [25] *ὁ δὲ Παῦλος· Οὐ μαίνομαι,* 25
*φησίν, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα*
*ἀποφθέγγομαι.* [26] *ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς* 26
*ὃν καὶ παῤῥησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ*
*πείθομαι· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.* [27] *πιστεύεις,* 27
*βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.* [28] *ὁ δὲ* 28
*Ἀγρίππας πρὸς τὸν Παῦλον· Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν*
*ποιῆσαι.* [29] *ὁ δὲ Παῦλος· Εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ* 29
*ἐν μεγάλῳ οὐ μόνον σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σή-*
*μερον γενέσθαι τοιούτους ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν*
*τούτων.* [30] *ἀνέστη τε ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε Βερνίκη καὶ* 30
*οἱ συγκαθήμενοι αὐτοῖς,* [31] *καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλ-* 31
*λήλους λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄν-*

---

**20. Ln.** *ἐν Ἱεροσ.* **[c. AE al. m. Thphyl.], tum om.** *εἰς* **c. AB. — h.** *ἀπαγγέλλων* **G al. m.; etiam** *ἀπαγγέλλω, ἀπήγγειλα* **et aliter leg.**

**22. Rc. Kn. Sz.** *τῆς παρὰ τοῦ θ.* **— Rc. Sz.** *μαρτυρούμενος.*

**23. Rc. Kn. Sz. om.** *τέ.* **[scr. c. ABE gr. al. m, Chrs. Thphyl.]**

**24. Rc. Kn. Sz.** *ἔφη* **et v. 25. om.** *Παῦλος.*

**26. Rc. Kn. Sz.** *οὐ πείθ. οὐδέν.* **[om. c. AE al. m. . . h.** *οὐθέν* **omisso** *τὶ* **B. . . om. alii** *οὐ*, **etiam** *οὐδὲν πείθ.* **pon.]**

**28. Rc. Kn. Sz.** *ἔφη· Ἐν* **et pro** *ποιῆσ.* **(c. AB al. Syr. p. in m.) h.** *γενέσθαι.*

**29. Rc. Kn. Sz.** *Παῦλ. εἶπεν* **et pro** *μεγάλ.* **(c. AB al. Vg. Arm.) h.** *πολλῷ.*

**30. Rc.** *καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη.* **[***ἀν. τε* **c. AB al.; etiam** *καὶ ταῦτα εἰπόντος ἀνέστη, ἀνέστη δέ, καὶ ἀνέστη* **leg.]**

32 θρωπος οὗτος. [32] Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· Ἀπολελύσθαι
ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπικέκλητο Καίσαρα.

## XXVII.

1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν
τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι
2 Ἰουλίῳ σπείρης Σεβαστῆς. [2] ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ,
μέλλοντι πλεῖν εἰς τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν ὄντος
3 σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως· [3] τῇ τε ἑτέρᾳ
κατήχθημεν εἰς Σιδῶνα, φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ
χρησάμενος ἐπέτρεψεν πρὸς τοὺς φίλους πορευθέντι ἐπιμελείας τυ-
4 χεῖν. [4] κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ
5 τοὺς ἀνέμους εἶναι ἐναντίους, [5] τό τε πέλαγος τὸ κατὰ τὴν Κιλι-
κίαν καὶ Παμφυλίαν διαπλεύσαντες κατήλθομεν εἰς Μύῤῥα τῆς
6 Λυκίας. [6] Κἀκεῖ εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλεξανδρῖνον πλέον
7 εἰς τὴν Ἰταλίαν ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. [7] ἐν ἱκαναῖς δὲ ἡμέραις
βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσ-
εῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλ-
8 μώνην, [8] μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς τόπον τινὰ
9 καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασέα. [9] Ἱκανοῦ
δὲ χρόνου διαγενομένου καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς διὰ
10 τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος [10] λέ-
γων αὐτοῖς· Ἄνδρες, θεωρῶ, ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας
οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν

---

32. Rc. Kn. Sz. ἐπεκέκλ. [ἐπικέκλ. c. A al. m. Thphyl.]

Cap. XXVII. 1. Hab. παρεδίδου A al. Demid. Syr. Erp. Thphyl.

2. Rc. Sz. μέλλοντες. [μέλλοντι c. AB al. m. Syr. utr. Vg. ms. al.] — Ln. εἰς τούς c. AB al. Thphyl.; etiam ἐπί leg.; circa Vg. al.

3. Rc. Kn. Sz. πορευθέντα. [πορευθέντι c. AB al. Thphyl.]

5. Rc. Kn. Sz. Μύρα [Μύῤῥα c. B], etiam Μῦρα, Σμύρναν, Μοίρων (H), Λύστρα (A Vg. al.) leg.

6. Hab. κἀκεῖθεν A al. — Rc. Kn. Sz. ἑκατόνταρχος.

8. Λασέα c. B 73. (s. XI.) 21. (s. XII.) 31. 45. Cpt. .. Rc. Kn. Sz. Λασαία... Ln. Ἄλασσα c. A 40. 96. Syr. p. in m. .. etiam Λασία, Λεσαία leg.; Thalassa Vg. Aeth.

10. Rc. φόρτου.

*μέλλειν ἔσεσθαι τὸν πλοῦν. 11 ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ* 11
*καὶ τῷ ναυκλήρῳ μᾶλλον ἐπείθετο ἢ τοῖς ὑπὸ Παύλου λεγομένοις.*
*12 ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ* 12
*πλείονες ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴπως δύναιντο καταν-*
*τήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα*
*κατὰ λίβα καὶ κατὰ χῶρον. 13 Ὑποπνεύσαντος δὲ νότου δόξαντες* 13
*τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρή-*
*την. 14 μετ᾽ οὐ πολὺ δὲ ἔβαλεν κατ᾽ αὐτῆς ἄνεμος τυφωνικὸς ὁ* 14
*καλούμενος εὐρακύλων· 15 συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ* 15
*δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ ἐπιδόντες ἐφερόμεθα. 16 νησίον* 16
*δέ τι ὑποδραμόντες καλούμενον Καῦδα ἰσχύσαμεν μόλις περικρα-*
*τεῖς γενέσθαι τῆς σκάφης, 17 ἣν ἄραντες βοηθείαις ἐχρῶντο, ὑπο-* 17
*ζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσιν,*
*χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο, 18 σφοδρῶς τε χειμαζο-* 18
*μένων ἡμῶν τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο. 19 καὶ τῇ τρίτῃ αὐτόχειρες* 19
*τὴν σκευὴν τοῦ πλοίου ἔῤῥιψαν· 20 μήτε δὲ ἡλίου μήτε ἄστρων* 20
*ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικει-*
*μένου, λοιπὸν περιῃρεῖτο ἐλπὶς πᾶσα τοῦ σώζεσθαι ἡμᾶς. 21 Πολ-* 21
*λῆς τε ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν*
*εἶπεν· Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι*
*ἀπὸ τῆς Κρήτης κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν.*
*22 καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδε-* 22
*μία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ πλοίου. 23 παρέστη γάρ μοι ταύτῃ* 23
*τῇ νυκτὶ τοῦ θεοῦ οὗ εἰμι ἐγώ, ᾧ καὶ λατρεύω, ἄγγελος 24 λέγων·* 24
*Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι, καὶ ἰδού, κεχά-*

11. Rc. *ἑκατόνταρχος* et Rc. Kn. Sz. *ὑπὸ τοῦ Π.*
12. Rc. Kn. Sz. *πλείους.* — Rc. Kn. *κἀκεῖθεν.*
13. Rc. Sz. (c. Vg.) *Ἄσσον.*
14. Rc. Kn. Sz. pro *εὐρακύλων* (c. AB; Euroaquilo Vg. *εὐρακήλων* Sah.) h. *εὐροκλύδων* (ita B** 133.). Etiam *εὐρυκλύδων* (40. s. XI.), *εὐρακλύδων*, *εὐροκοίδων*, *εὐρακύκλων* et aliter leg.
16. Rc. Kn. Sz. pro *Καῦδα* (c. B Syr. Aeth. Vg. et similiter al.) h. *Κλαύδην*. . . h. *Κλα*········ (sic) A; etiam *Κλαύδα*, *Κλαύδαν*, *Κλαύδῃ* leg.
17. Pro *τὸ σκεῦος* leg. *τὰ ἱστία* (Chrs.) et *τὸ ἱστίον.*
18. Rc. Kn. Sz. *σφοδρ. δέ* et 19. *ἐῤῥίψαμεν.*
21. Rc. Kn. Sz. *πολλ. δέ.* [*τέ* c. ABC al. Syr. Vg.]
23. Rc. Kn. Sz. *ἄγγελος* [post *λατρ.* c. ABC* al.] *τοῦ θ.* et om. *ἐγώ.* [scr. c. AC al. Cpt. Aeth. Arm. Vg.]

25 ρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. [25] διὸ εὐθυ-
μεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ, ὅτι οὕτως ἔσται καθ' ὃν
26 τρόπον λελάληταί μοι. [26] εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.
27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐπεγένετο διαφερομένων ἡμῶν
ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν
28 τινὰ αὐτοῖς χώραν. [28] καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι, βραχὺ
δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε·
29 [29] φοβούμενοί τε μήπου κατὰ τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύ-
30 μνης ῥίψαντες ἀγκύρας τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι. [30] Τῶν
δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν
σκάφην εἰς τὴν θάλασσαν προφάσει ὡς ἐκ πρώρας ἀγκύρας μελ-
31 λόντων ἐκτείνειν, [31] εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς
στρατιώταις· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι
32 οὐ δύνασθε. [32] τότε ἀπέκοψαν οἱ στρατιῶται τὰ σχοινία τῆς σκά-
33 φης καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. [33] Ἄχρι δὲ οὗ ἡμέρα ἤμελλεν γί-
νεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων·
Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι δια-
34 τελεῖτε, μηθὲν προσλαβόμενοι. [34] διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν
τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς
35 γὰρ ὑμῶν θρὶξ ἀπὸ τῆς κεφαλῆς ἀπολεῖται. [35] εἴπας δὲ ταῦτα
καὶ λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων καὶ κλά-
36 σας ἤρξατο ἐσθίειν. [36] εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ
37 προσελάβοντο τροφῆς. [37] ἤμεθα δὲ αἱ πᾶσαι ψυχαὶ ἐν τῷ πλοίῳ
38 διακόσιαι ἑβδομήκοντα ἕξ. [38] κορεσθέντες δὲ τροφῆς ἐκούφιζον

---

27. Rc. Kn. Sz. ἐγένετο. [ἐπεγέν. c. A al. Vg.] — Ln. προσανέχειν c. B [Barb. 1]; apparere Vg.

28. Om. καὶ πάλ. βολίσ. 24. (s. XI.) 67. (s. XIV.) Vg. .. h. tantum πάλιν Syr.

29. μήπου c. BC al. cdd. lat. Thphyl. .. Rc. Kn. Sz. μήπως. .. Ln. c. A μήπω. .. etiam μή leg. — Rc. Kn. Sz. pro κατά c. ABC al. Thphyl. h. εἰς. — Rc. ἐκπέσωσιν.

30. Ln. πρώρης c. A. — Rc. Kn. Sz. μελλ. ἀγκ. contra ABC al.

33. Rc. Kn. Sz. μηδέν. [μηθέν c. AB al.; Ln. v. 34. οὐθενός c. A.] — Ln. προσλαμβανόμενοι c. A al.

34. Rc. προσλαβεῖν. — h. ἡμετέρας A al. Syr. p. — Rc. Kn. Sz. pro ἀπό c. ABC al. m. h. ἐκ et Rc. Kn. pro ἀπολ. h. πεσεῖται.

35. Rc. Kn. Sz. εἰπών [εἴπας c. ABC al.], et 37. ἦμεν. [ἤμεθα c. AB al.]

38. Hab. τῆς τροφ. GH al. Chrs.

*τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. 39 Ὅτε δὲ* 39
*ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατενόουν*
*ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύοντο, εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον.*
*40 καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέν-* 40
*τες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμωνα*
*τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. 41 περιπεσόντες δὲ εἰς τό-* 41
*πον διθάλασσον ἐπέκειλαν τὴν ναῦν, καὶ ἡ μὲν πρῷρα ἐρείσασα*
*ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας. 42 Τῶν δὲ* 42
*στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν, μή*
*τις ἐκκολυμβήσας διαφύγῃ· 43 ὁ δὲ ἑκατοντάρχης, βουλόμενος δια-* 43
*σῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέν*
*τε τοὺς δυναμένους κολυμβᾶν ἀποῤῥίψαντας πρώτους ἐπὶ τὴν γῆν*
*ἐξιέναι, 44 καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων* 44
*τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ*
*τὴν γῆν.*

## XXVIII.

*Καὶ διασωθέντες τότε ἐπέγνωμεν, ὅτι Μελίτη ἡ νῆσος κα-* 1
*λεῖται. 2 οἵ τε βάρβαροι παρεῖχαν οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν* 2
*ἡμῖν· ἀνάψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν*
*ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος. 3 Συστρέψαντος δὲ τοῦ* 3
*Παύλου φρυγάνων τι πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν, ἔχιδνα*
*ἀπὸ τῆς θέρμης διεξελθοῦσα καθῆψεν τῆς χειρὸς αὐτοῦ. 4 ὡς δὲ* 4

---

39. Rc. Kn. Sz. *ἐβουλεύσαντο.* [*ἐβουλεύοντο* c. BC al. m. . . h. *ἐβούλοντο* A al.] — h. *εἰ δυνατόν* CH al. pl. Syr. al. Chrs.

40. Rc. Kn. Sz. *ἀρτέμονα.* [*ἀρτέμωνα* c. AB al. pm.]

41. Rc. Kn. Sz. *ἐπώκειλαν.* [*ἐπέκειλ.* c. AB*C al.] — Ln. *ἔμενεν* c. A al. — Rc. Kn. Sz. in f. add. *τῶν κυμάτων.* [om. c. AB. maris Vg.]

42. Rc. *διαφύγοι.*

43. Rc. Kn. Sz. *ἑκατόνταρχος.* — h. *ἐκκολυμβᾶν* B.

Cap. XXVIII. 1. Rc. Kn. Sz. *ἐπίγνωσαν.* [*ἐπέγνωμεν* c. AB al. Syr. utr. Vg. al.]

2. Rc. Kn. Sz. *οἱ δὲ βάρβ.* [*τέ* c. ABC al. Thphyl.] — Ln. *ἅψαντες* c. AB al. — om. *πάντας* A Aeth.; etiam post *ὑμᾶς* pon.

3. Rc. Kn. Sz. om. *τὶ* [scr. c. ABC al. Vg. (non Am.) Thphyl.], pro *ἀπό* [c. ABCGH al. pm. Vg. Thphyl.] h. *ἐκ.* — Rc. Kn. Ln. *ἐξελθοῦσα.* [*διεξ.* c. AGH al. pl. Chrs. (text.) Thphyl.] — h. *καθήψατο* C al. pm. Chrs. al.

εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, πρὸς
ἀλλήλους ἔλεγον· Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν
5 διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν. [5] ὁ μὲν οὖν
6 ἀποτιναξάμενος τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν· [6] οἱ δὲ
προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω νεκρόν.
ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον
7 εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον αὐτὸν εἶναι θεόν. [7] Ἐν
δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία τῷ πρώτῳ τῆς νήσου,
ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως
8 ἐξένισεν. [8] ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεν-
τερίῳ συνεχόμενον κατακεῖσθαι, πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ
9 προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. [9] τούτου
δὲ γενομένου καὶ οἱ λοιποὶ οἱ ἐν τῇ νήσῳ ἔχοντες ἀσθενείας προσ-
10 ήρχοντο καὶ ἐθεραπεύοντο, [10] οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς
καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὰς χρείας.

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν
12 τῇ νήσῳ, Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις. [12] καὶ καταχθέν-
13 τες εἰς Συρακούσας ἐπεμείναμεν ἡμέρας τρεῖς, [13] ὅθεν περιελθόν-
τες κατηντήσαμεν εἰς Ῥήγιον. καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου
14 νότου δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, [14] οὗ εὑρόντες ἀδελφοὺς
παρεκλήθημεν παρ᾽ αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως
15 εἰς τὴν Ῥώμην ἤλθομεν. [15] κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ
περὶ ἡμῶν ἦλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ
Τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ θεῷ ἔλα-
βεν θάρσος.

16 Ὅτε δὲ εἰσήλθομεν εἰς Ῥώμην, ἐπετράπη τῷ Παύλῳ μένειν

---

5. Rc. Kn. Ln. ἀποτινάξας. [-ξάμενος c. AGH al. pl.]
8. Rc. Kn. Sz. δυσεντερίᾳ [-ρίῳ c. ABGH al.]
9. Rc. Kn. Sz. pro δέ [c. AB al. m. Cpt. Syr. p. Chrs.] h. οὖν.
10. Rc. Kn. Sz. τὴν χρείαν. [τὰς χρ. c. AB al.]
12. Ln. ἡμέραις τρισὶν c. B. triduo Vg.
14. Rc. Kn. Sz. ἐπ᾽ αὐτ. [παρ᾽ α. c. AB al. pm.] — h. ἐπιμείναντες: H al. Thphyl. — Ln. ἤλθ. εἰς Ῥώμ. c. A al. (sic pon. etiam Vg.)
15. Om. τὰ περὶ ἡμ. Syr. Erp. Aeth. Vg. — Rc. Kn. Sz. ἐξῆλθ. [ἦλθ. c. AB al.] — h. ἀπάντ. ἡμῶν 4. al. pm. Thphyl. Oec.
16. Rc. Kn. Sz. ἤλθομεν. [εἰσῆλθ. c. AB al. Syr. cdd. lat. al.] — Rc. Kn. Sz. post Ῥώμ. h. ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμί-

καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. [17]Ἐγένετο δὲ 17
μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων
πρώτους· συνελθόντων δὲ αὐτῶν ἔλεγεν πρὸς αὐτούς· Ἐγώ, ἄν-
δρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσιν τοῖς
πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν
Ῥωμαίων, [18]οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι διὰ τὸ 18
μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί· [19]ἀντιλεγόντων δὲ 19
τῶν Ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ
ἔθνους μου ἔχων τι κατηγορεῖν. [20]διὰ ταύτην οὖν τὴν αἰτίαν 20
παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος
τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. [21]οἱ δὲ πρὸς αὐ- 21
τὸν εἶπαν· Ἡμεῖς οὔτε γράμματα ἐδεξάμεθα περὶ σοῦ ἀπὸ τῆς
Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλά-
λησέν τι περὶ σοῦ πονηρόν. [22]ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ 22
φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν ἡμῖν ἐστιν ὅτι
πανταχοῦ ἀντιλέγεται. [23]Ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἦκον πρὸς 23
αὐτὸν εἰς τὴν ξενίαν πλείονες· οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν
βασιλείαν τοῦ θεοῦ, πείθων τε αὐτοὺς περὶ τοῦ Ἰησοῦ ἀπό τε
τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.
[24]καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν· [25]ἀσύμ- 24 25
φωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο εἰπόντος τοῦ Παύλου
ῥῆμα ἕν· ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησεν διὰ Ἠσαΐου
Es. 6, 9. 10. τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν [26]λέγον· Πορεύθητι πρὸς 26
Mt. 13, 14. 15. τὸν λαὸν τοῦτον καὶ εἰπόν· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ
Jo. 12, βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· [27]ἐπαχύνθη γὰρ ἡ καρδία 27
40. τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλ-

---

ους τῷ στρατοπεδάρχῃ, τῷ δὲ Π. ἐπετράπ. [om. c. AB al. Syr. (Syr. p. c. asterisco h.) Erp. Cpt. Arm. Vg. Chrs.]

17. Rc. pro αὐτόν [c. AB al. m. Vg. al.] h. τὸν Παῦλον.

19. Rc. Kn. Sz. κατηγορῆσαι. [κατηγορεῖν c. AB al.]

23. Ln. ἦλθον πρός c. AB al. m. — Rc. Kn. Sz. τὰ περί. [om. c. ABH al. m. Syr. utr. Erp. Vg.]

25. Rc. Kn. Sz. ἡμῶν. [ὑμῶν c. AB al. pm. Syr. Vg. ms. Slav. Ath. Bas. Did. al.]

26. Hab. λέγων B al. — Rc. Sz. εἰπέ. [εἰπόν c. ABEH al. pl. Chrs.] — h. ἀκούσητε et βλέψητε AEG al. m.

27. Hab. τ. ὠσ. αὐτῶν βαρ. A al. Syr. Tol. al.

μοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς
ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν καὶ
28 ἰάσωμαι αὐτούς. [28] γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν
ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ θεοῦ· αὐτοὶ καὶ ἀκούσονται.
30 Ἔμεινεν δὲ διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο
31 πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, [31] κηρύσσων τὴν βασι-
λείαν τοῦ θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ
μετὰ πάσης παῤῥησίας ἀκωλύτως.

---

27. Hab. ἐπιστρέψουσιν AE et ἰάσομαι AG al. pm.
28. Rc. Kn. Sz. om. τοῦτο. [scr. c. AB al. m. Syr. Vg. Ld. al. Chrs.]
29. Rc. Kn. Sz. Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. [om. c. ABE al. Syr. Cpt. Arm. Erp. Vg. ms. Am. Demid. Ld.]
30. Hab. ἐνέμεινεν B al.; etiam ἐπέμ. leg. — Rc. et Kn. (—) ἔμ. δὲ ὁ Παῦλος.

# ΕΠΙΣΤΟΛΑΙ ΠΑΥΛΟΥ.

## ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος ἀφωρισμένος 1
εἰς εὐαγγέλιον θεοῦ, 2 ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ 2
ἐν γραφαῖς ἁγίαις, 3 περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρ- 3
ματος Δαυὶδ κατὰ σάρκα, 4 τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει 4
κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ
τοῦ κυρίου ἡμῶν, 5 δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπ- 5
ακοὴν πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ,
6 ἐν οἷς ἐστὲ καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ, 7 πᾶσιν τοῖς οὖσιν 6 7
ἐν Ῥώμῃ ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις. χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ περὶ 8
πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.
9 μάρτυς γάρ μου ἐστὶν ὁ θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου 9
ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν
ποιοῦμαι 10 πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος, εἴπως ἤδη 10
ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς.

---

Cap. I. 3. Hab. γεννωμένου 38 al. cdd. lat. ap. Aug.

4. Hab. προορισθέντος Mcell. ap. Eus. Thdtiani ap. Epiph. Vg. d. e. Ir. al. — pro κατ. πν. h. καὶ πνεύματι Chrs. (text.) Syr. Erp.

7. Om. ἐν Ῥώμ. G g. — om. ἀγαπ. θ. E 82. e. . . h. ἐν ἀγάπῃ θεοῦ G d. g. Am. Ambrst. ms.

8. Rc. Kn. Sz. pro περί (c. ABCD* al. m. Damsc.) h. ὑπέρ.

9. Hab. γάρ μοι D* G al. Syr. Vg. It. al.

11 [11] ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματι-
12 κὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς, [12] τοῦτο δέ ἐστιν συμπαρακληθῆναι
13 ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ. [13] οὐ
θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν
πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ
14 καὶ ἐν ὑμῖν καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. [14] Ἕλλησίν τε καὶ
15 βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί· [15] οὕτως τὸ
16 κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι. [16] οὐ
γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σω- Rom. 2, 9.
17 τηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. [17] δι-
*καιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν,
καθὼς γέγραπται· Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. *Hab. 2, 4. Heb. 10, 38.
18 Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέ- Eph. 5, 6.
βειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόν-
19 των, [19] διότι τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ θεὸς
20 γὰρ αὐτοῖς ἐφανέρωσεν. [20] τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κό-
σμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύ-
21 ναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· [21] διότι
γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ'
ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνε-
22 23 τος αὐτῶν καρδία· [22] φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν [23] καὶ
ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρ-
24 τοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. [24] Διὸ
παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν
εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς,
25 [25] οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει καὶ

---

12. Hab. τοῦτ' ἔστ. A Vg. It. (id est hoc enim est g.)
13. Hab. οὐκ οἴμαι δέ D*EG It. Ambrst. — om, καί post σχῶ G al. Arr. Aeth. g. cdd. lat.
15. Hab. ὃ ἐπ' ἐμέ G et om. τοῖς ἐν Ῥ. G g.
16. Rc. τὸ εὐαγγ. τοῦ Χριστοῦ, qd Kn. (—). — om. εἰς σωτηρ. G g. — Ln. (πρῶτον).. om. B G g. Tert. (sed hab. Or. et Ruf. dis.)
17. Hab. ἐκ πίστ. μου ζήσ. C* Syr. p. Eus. Hier.
19. Hab. ὅτι τό D*EG 78. Chrs. — Rc. ὁ γὰρ θεός.
23. Hab. ἠλλάξαντο 4. al. Or. (saepe, sed etiam ἤλλαξαν) Eus. Cyr. al.
24. Rc. Kn. Sz. διὸ καί. [om. c. ABC al. Syr. Arm. Vg. Or. al. m.] — Ln. ἐν αὐτοῖς c. AB (sic hab. B etiam v. 27.) D* al. m. Syr.

*ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν*
*εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.* 26 *διὰ τοῦτο παρέδωκεν αὐτοὺς* 26
*ὁ θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν*
*τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν,* 27 *ὁμοίως δὲ καὶ οἱ ἄρ-* 27
*σενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ*
*ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσιν τὴν ἀσχημοσύνην*
*κατεργαζόμενοι καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν*
*ἑαυτοῖς ἀπολαμβάνοντες.* 28 *καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν* 28
*ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν,*
Gal. 5, 19. 1 Cor. 6, 9. 10. 2 Tim. 3, 2sqq. *ποιεῖν τὰ μὴ καθήκοντα,* 29 *πεπληρωμένους πάσῃ ἀδικίᾳ, κακίᾳ,* 29
*πονηρίᾳ, πλεονεξίᾳ, μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κα-*
*κοηθείας,* 30 *ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερ-* 30
*ηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς,* 31 *ἀσυν-* 31
*έτους, ἀσυνθέτους, ἀστόργους, ἀνελεήμονας·* 32 *οἵτινες τὸ δικαίωμα* 32
*τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου*
*εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσιν τοῖς πράσ-*
*σουσιν.*

## II.

*Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ* 1
*κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις*
*ὁ κρίνων.* 2 *οἴδαμεν δέ, ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστιν κατὰ ἀλή-* 2
*θειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας·* 3 *λογίζῃ δὲ τοῦτο, ὦ ἄν-* 3
*θρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι*

---

27. Rc. Kn. Sz. *τὲ καί.* [*δέ* c. AD*G al. m. Syr. p. Vg. It. Clem. Ath. Chrs. al. m. . . plane om. C al. Ruf. (1; 1. autem) Hier.]
28. Om. *ὁ θεός* A 2. Gr. nyss. al.; ante *αὐτούς* pon. Chrs.
29. Rc. Kn. Sz. post *ἀδικίᾳ* add. *πορνείᾳ* [om. c. ABC (post *κακίᾳ* omisso *πονηρίᾳ* pon. D*EG al. Clem. rom. Ruf.) al. Cpt. Aeth. Ephr. Bas. al.] et pergt *πονηρ., πλεον., κακ.*
31. Rc. Kn. Sz. post *ἀστόργ.* add. *ἀσπόνδους.* [om. c. ABD*EG al. Cpt. d. e. g. Ephr. al. m.; etiam ante *ἀστόργ.* leg.]
32. Post *ἐπιγν.* add. *οὐκ ἐνόησαν* DE Bas.; *οὐκ ἔγνωσαν* G Vg. It. Leif. al.; ex iisd. tum hab. *οὐ μόν. γάρ, οὐ μόν. δέ, καὶ οὐ μόν.* — h. *ποιοῦντες* et *συνευδοκοῦντες* B et bis addito *οἱ* cdd. ap. Isid. Arm. Vg. It.[3] Clem. rom. (vdtr.) Ephr. (1.) Cypr. Leif. al.
Cap. II. 2. Hab. *οἴδ. γάρ* C al. Arm. Vg. d. e. Chrs. . . om. 32. Aeth.

4 σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ θεοῦ; [4] ἢ τοῦ πλούτου τῆς χρηστότητος
αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν
5 ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; [5] κατὰ δὲ τὴν
σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀρ-
6 γὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ θεοῦ· [6] ὃς
7 ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, [7] τοῖς μὲν καθ' ὑπομονὴν
ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσιν ζωὴν αἰώ-
8 νιον· [8] τοῖς δὲ ἐξ ἐριθείας καὶ ἀπειθοῦσιν τῇ ἀληθείᾳ, πειθομέ-
9 νοις δὲ τῇ ἀδικίᾳ, ὀργὴ καὶ θυμός. [9] θλῖψις καὶ στενοχωρία ἐπὶ
πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου Rom. 1, 16.
10 τε πρῶτον καὶ Ἕλληνος· [10] δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ
ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.
11 Οὐ γάρ ἐστιν προσωποληψία παρὰ τῷ θεῷ. [12] ὅσοι γὰρ
12 ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρ-
13 τον, διὰ νόμου κριθήσονται. [13] οὐ γὰρ οἱ ἀκροαταὶ νόμου δίκαιοι
14 παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ νόμου δικαιωθήσονται· [14] ὅταν
γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῶσιν, οὗτοι
15 νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσὶν νόμος, [15] οἵτινες ἐνδείκνυνται τὸ
ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης
αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγο-
16 ρούντων ἢ καὶ ἀπολογουμένων [16] ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ
κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χρι-
17 στοῦ. [17] εἰ δὲ σὺ Ἰουδαῖος ἐπονομάζῃ καὶ ἐπαναπαύῃ νόμῳ καὶ

---

5. Pro ἀποκαλ. h. ἀνταποδόσεως A Aeth. Caes. arel. — Kn. καὶ δικαιοκρ. c. D** al. pl. Syr. p. al. Or. (2; om. 3.) Eus. Ephr. Bas. al. m.

8. Rc. Kn. Sz. ἀπειθ. μέν. [om. c. BD*G Vg. It. (hab. Ruf. ter.)] — Rc. Sz. θυμὸς κ. ὀργή.

9. Hab. Ἰουδαίῳ τ. πρ. κ. Ἕλληνι G al. d.* g.

10. Om. δέ D al. m. (hab. quinquies Ruf.)

13. Rc. Kn. Sz. bis τοῦ νόμ. [om. c. ABDG al. Damsc. (om. poster. etiam E.)] — Ln. (τῷ) .. om. BD*. (om. D* etiam v. 14.)

14. Rc. Kn. Sz. pro ποιῶσιν (c. AB al. Clem. Or. Damsc.) h. ποιῇ. .. h. ποιοῦσιν D*G al. .. ποιεῖ I al. — pro οὗτοι h. οἱ τοιοῦτοι G Vg. It. Or. (1.) al.

16. Ln. pro ὅτε h. ᾗ c. AB al. cdd. lat. Cyr. al. (Ruf. ὅτε quater.) — om. μου 37. (s. XIV.) d. Tert. .. om. κατὰ τ. εὐαγγ. μου 42. 43. (s. XIII.)

17. Rc. ἴδε, σύ. [Sz. confundit lectiones; hab. εἰ δέ ABDE al. pl. Syr. Vg. al. Clem. al. m.] — Rc. Kn. Sz. τῷ νόμῳ.

καυχᾶσαι ἐν θεῷ 18 καὶ γινώσκεις τὸ θέλημα καὶ δοκιμάζεις τὰ 18
διαφέροντα κατηχούμενος ἐκ τοῦ νόμου, 19 πέποιθάς τε σεαυτὸν 19
ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, 20 παιδευτὴν ἀφρόνων, 20
διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς
ἀληθείας ἐν τῷ νόμῳ· 21 ὁ οὖν διδάσκων ἕτερον σεαυτὸν οὐ δι- 21
δάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν κλέπτεις; 22 ὁ λέγων μὴ μοι- 22
χεύειν μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα ἱεροσυλεῖς; 23 ὃς ἐν 23
νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμά-
* Es. 52, 6. ζεις; 24 τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς 24
ἔθνεσιν, καθὼς γέγραπται. 25 περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον 25
πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία
γέγονεν. 26 ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυ- 26
λάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται,
27 καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα σὲ τὸν 27
διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου; 28 οὐ γὰρ ὁ ἐν 28
τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περι-
τομή· 29 ἀλλὰ ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας 29
ἐν πνεύματι οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ' ἐκ
τοῦ θεοῦ.

## III.

Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περι- 1
τομῆς; 2 πολὺ κατὰ πάντα τρόπον. πρῶτον μὲν ὅτι ἐπιστεύθησαν 2
τὰ λόγια τοῦ θεοῦ. 3 τί γὰρ εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία 3
αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; 4 μὴ γένοιτο· γινέσθω δὲ 4
ὁ θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς γέγραπται·
* Ps. 51, 4. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρί-
(6.) νεσθαί σε. 5 εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν, 5
τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄν-
θρωπον λέγω. 6 μὴ γένοιτο· ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον; 6
7 εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν 7
εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι; 8 καὶ 8
μὴ καθὼς βλασφημούμεθα καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν·

---

Cap. III. 2. Rc. Kn. Sz. *μὲν γάρ.* [om. c. BD*EG al.]
7. Hab. *εἰ δέ* A al. Cpt. Vg. ms. Har. Damsc.
8. Om. *καί* ante *καθώς* B al. Ar. pol.

ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρῖμα ἔν-
δικόν ἐστιν.
9 Τί οὖν; προεχόμεθα; οὐ πάντως· προῃτιασάμεθα γὰρ Ἰου-
10 δαίους τε καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι, [10] καθὼς γέ-
11 γραπται· ὅτι οὐκ ἔστιν δίκαιος οὐδὲ εἷς, [11] οὐκ ἔστιν ὁ συνίων, * Ps. 14.
12 οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν· [12] πάντες ἐξέκλιναν, ἅμα ἠχρειώ- 1-3.
13 θησαν· οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. [13] τάφος * Ps. 5, 9.
ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς (10.) et 140, 3. (4.)
14 ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. [14] ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας * Ps. 10, 7.
15 16 γέμει. [15] ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα, [16] σύντριμμα καὶ * Es. 59, 7. 8.
17 ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, [17] καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν.
18 19 [18] οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. [19] οἴ- * Ps. 36.
δαμεν δέ, ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν 1. (2.)
20 στόμα φραγῇ καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ. [20] διότι
ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ
γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.
21 Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται μαρτυρου-
22 μένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, [22] δικαιοσύνη δὲ θεοῦ Rom.
διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πι- 10, 12.
23 στεύοντας. οὐ γάρ ἐστιν διαστολή· [23] πάντες γὰρ ἥμαρτον καὶ
24 ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ, [24] δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ
25 χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, [25] ὃν προέθετο
ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν
τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρ-

---

8. Om. ὅτι G al. Vg. g. Aug. al.

9. Hab. τί οὖν προκατέχομεν περισσόν (sine οὐ πάντ.) D*G Syr. Erp. Chrs. ms. . . τί οὖν προκατεχόμεθα; οὐ πάντ. E.

11. Ln. om. ὁ ante συνίων c. ABG al. . . et h. (ὁ) ἐκζ. . . om. B (hab. ζητῶν) G.

12. Hab. ὁ ποιῶν D. — om. οὐκ ἔστ. ante ἕως B 67**. Syr.

14. Ln. ὧν τὸ στ. (αὐτῶν) c. B 17.

22. Ln. om. Ἰησ. c. B ap. Btlj. (ap. Bch. et Sz. om. Ἰησ. Χριστ.) Tert. (vdtr.) . . h. ἐν Χριστῷ Ἰησοῦ A. — Ln. om. καὶ ἐπὶ πάντας c. ABC al. Cpt. Aeth. Arm. Erp. Clem. Or. (non adstricte citat.) Cyr. Aug. (hab. Ruf. in text.; om. in comm.) . . om. εἰς πάντ. καί Am. Flor. Mar. . . h. vel pro καί Ambrst.

25. Rc. Kn. Sz. διὰ τῆς πίστ. [om. c. (om. διὰ πίστ. A Chrs.) CDFG al. Or. (3.) Eus. Bas. al.] — h. ἑαυτοῦ αἵματ. B al.

τημάτων [26] ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ,, πρὸς τὴν ἔνδειξιν τῆς δικαιο- 26
σύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον καὶ δι-
καιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.

Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. διὰ ποίου νόμου; τῶν ἔρ- 27
γων; οὐχί, ἀλλὰ διὰ νόμου πίστεως. [28] λογιζόμεθα γὰρ δικαιοῦ- 28
σθαι πίστει ἄνθρωπον χωρὶς ἔργων νόμου. [29] ἢ Ἰουδαίων ὁ θεὸς 29
μόνον, οὐχὶ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν, [30] εἴπερ εἷς ὁ θεὸς ὃς δι- 30
καιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.
[31] νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νό- 31
μον ἱστάνομεν.

## IV.

Τί οὖν ἐροῦμεν εὑρηκέναι Ἀβραὰμ τὸν προπάτορα ἡμῶν κατὰ 1
σάρκα; [2] εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' 2
* Gn. 15, 6. Gal. 3, 6. Jac. 2, 23. οὐ πρὸς θεόν. [3] τί γὰρ ἡ γραφὴ λέγει; Ἐπίστευσεν δὲ Ἀβραὰμ 3
τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. [4] τῷ δὲ ἐργαζομένῳ 4
ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα· [5] τῷ δὲ 5
μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λο-
γίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην. [6] καθάπερ καὶ Δαυὶδ λέ- 6
γει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην
* Ps. 32, 1. 2. χωρὶς ἔργων· [7] Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύ- 7
φθησαν αἱ ἁμαρτίαι· [8] μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος 8
ἁμαρτίαν. [9] ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ 9

---

26. Rc. Kn. Sz. om. τήν ante ἔνδειξ. [scr. c. ACD* al. Clem. Cyr.] — om. Ἰησοῦ FG al. e. g. .. h. Ἰησοῦν D gr. I al. pl. Clem.; etiam Jesu Christi et aliter leg.

28. Rc. pro γάρ [c. AD*FG al. m. Vg. It. al. Cyr. Damsc. Ruf. (in text. et comm.) al.] h. οὖν.

29. Hab. μόνων 23. al. m. Clem. (2.) al. — Rc. οὐχὶ δὲ καί.

30. Rc. Kn. Sz. ἐπείπερ. [εἴπερ c. ABC al. Clem. Or. al.]

31. Rc. Kn. Sz. ἱστῶμεν. [ἱστάν. c. ABC (D* περιστάνομεν) F (G στάνομεν initio lineae) al. Or. Cyr. al.]

Cap. IV. 1. Rc. Kn. Sz. πατέρα. [προπάτορα c. ABC al. Syr. al. Eus. Cyr. al.] — pro εὑρ. h. εὐηρεστηκέναι 4. in m. (s. XV.) 23. in m. (s. XI.)

2. Rc. Kn. Sz. τὸν θεόν. [om. c. ABD*G.]

3. Om. δέ D*G al. Vg. It. Chrs. — 4. Rc. κατ. τὸ ὀφείλ.

8. Hab. οὗ pro ᾧ BG gr. 67.**

τὴν ἀκροβυστίαν; λέγομεν γάρ· ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις
10 εἰς δικαιοσύνην. [10] πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι ἢ ἐν ἀκρο-
11 βυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ. [11] καὶ σημεῖον ᵃ Gn.17, 11.
ἔλαβεν περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν
τῇ ἀκροβυστίᾳ, εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόν-
των διὰ ἀκροβυστίας, εἰς τὸ λογισθῆναι αὐτοῖς τὴν δικαιοσύνην,
12 [12] καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ
τοῖς στοιχοῦσιν τοῖς ἴχνεσιν τῆς ἐν ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς
13 ἡμῶν Ἀβραάμ. [13] οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ
τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι κόσμου, ἀλλὰ διὰ
14 δικαιοσύνης πίστεως. [14] εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένω- Gal. 3, 18.
15 ται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία. [15] ὁ γὰρ νόμος ὀργὴν
16 κατεργάζεται· οὗ δὲ οὐκ ἔστιν νόμος, οὐδὲ παράβασις. [16] διὰ
τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγ-
γελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ
17 τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστιν πατὴρ πάντων ἡμῶν — [17] καθὼς
γέγραπται· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· — κατέναντι ᵃ Gn.17, 5.
οὗ ἐπίστευσεν θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος
18 τὰ μὴ ὄντα ὡς ὄντα. [18] ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν εἰς
τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον· Οὕ- ᵃ Gn.15, 5.
19 τως ἔσται τὸ σπέρμα σου, [19] καὶ μὴ ἀσθενήσας τῇ πίστει κατενόη-
σεν τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων,

---

9. Ln. (ὅτι)... om. BD* al.
10. Om. ὄντι FG Syr. Vg. It. Cyr. al.
11. Hab. περιτομήν AC (vdtr.) al. m. Syr. utr. Or. in Schol. Eus. al. m. — om. τῇ ante ἀκροβ. DFG al. Damsc. — Rc. Kn. Sz. καὶ αὐτοῖς. [om. c. AB al. m. Ar. pol. Vg. ms. Or. in Schol. Cyr. Damsc.] — pro τὴν δικ. h. εἰς δικ. A al. Syr. Vg. e. Cyr. .. om. τήν C** D* al.
12. Rc. Kn. Sz. ἐν τῇ ἀκροβ. [om. c. ABCDFG al. pm. Cyr. al.]... Sz. τῆς πίστ. τῆς ἐν τῇ ἀκροβ. c. I al. pl. Thdret. al.
13. Rc. et Kn. (—) τοῦ κόσμ. — 14. om. καί E Vg. d. e. Ambrst.
15. Rc. Kn. Sz. οὗ γάρ. [δέ c. ABC al. Cpt. Thdret. Ruf.]
16. Om. μόνον et sequens καί FG d. e. g.
17. Hab. ἐπίστευσας FG Syr. Vg. ms. It. Ambrst.
18. Ln. ἐφ' ἐλπ. c. C* DF.
19. Hab. ἐν τῇ πίστ. D* EFG al. Syr. d. Vg. (Sz. per error. om. τῇ.) — Rc. Kn. Sz. οὐ κατενόησε. [om. c. ABC al. Syr. Erp. Cpt. Am. Chrs. al.; etiam ὡς et licet leg.] et ἤδη νενεκρ. .. Ln. (ἤδη) .. om. c.

*καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάῤῥας·* 20 *εἰς δὲ τὴν ἐπαγγελίαν* 20
*τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει*
*δοὺς δόξαν τῷ θεῷ,* 21 *πληροφορηθείς, ὅτι ὃ ἐπήγγελται δυνατός* 21
*ἐστιν καὶ ποιῆσαι.* 22 *διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.* 22
23 *οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ,* 24 *ἀλλὰ* 23 24
*καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγεί-*
*ραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν,* 25 *ὃς παρεδόθη διὰ τὰ* 25
*παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.*

## V.

*Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν* 1
Eph. 2, 18 et 3, 12. *διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,* 2 *δι' οὗ καὶ τὴν προσαγωγὴν* 2
*ἐσχήκαμεν εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα*
*ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ.* 3 *οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώ-* 3
*μεθα ἐν ταῖς θλίψεσιν, εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργά-*
*ζεται,* 4 *ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα·* 5 *ἡ δὲ ἐλπὶς* 4 5
*οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις*
*ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.* 6 *ἔτι γὰρ Χριστὸς* 6
*ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν·* 7 *μό-* 7

---

BFG al. Syr. Erp. Aeth. It. Vg. ms. Am. (Vg. ed. *ἤδη* c. *ἑκατ.* cjgit.) Chrs. Epiph. Ruf.

21. Rc. Kn. Sz. Ln. *καὶ πληροφ.* .. om. c. D*EFG al. Vg. It. Ambrst. al.; h. sed Arm.

22. Ln. *διὸ (καί)*... om. BD*FG al. Syr. Erp. g.

25. Hab. *δικαιοσύνην* D**E al. pm. Cyr.

Cap. V. 1. Sz. Ln. *ἔχωμεν* c. ACDI al. pm. Syr. Vg. It. al. Chrs. Ruf. al. m.

2. Rc. Kn. Sz. *ἐσχήκ. τῇ πίστει.* [om. c. BDFG al. Aeth. It. Aug. al... h. *ἐν τ. πίστ.* A al. Chrs. (1.) Thphyl.] — h. *καυχώμενοι* B (ap. Btlj.) 4*.

3. Hab. *καυχώμενοι* C 80. Or. Tert.

6. Pro *ἔτι γάρ* h. *εἴγε* B (ap. Bch. et Btlj.) Barb. 1. ap. Mill. Cpt. Erp... *εἰ γάρ* Isid. Aug. .. *εἰ δέ* (*γάρ* addito?) I. .. *εἰς τί γάρ* FG. .. *ὅτι* Ar. pol. .. si igitur Syr. .. ut quid enim Vg. It. Ir. Ambrst. [Adhuc enim Chr. cum essemus infirmi secundum tempus etc. Ruf. (text. et comm.)... in A · · *τι γάρ* habetur.] — Ln. post *ἀσθενῶν* add. *ἔτι* c. ABCD*FG al. Cpt. Syr. Ar. pol. Vg. It. Epiph. Isid. Damsc. Mcion. Ir. al. (lectionaria quae *ἔτι* h. l. habeant non citantur.)

λις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα
8 τις καὶ τολμᾷ ἀποθανεῖν· [8] συνίστησιν δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς
ἡμᾶς ὁ θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν
9 ἀπέθανεν· [9] πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐ-
10 τοῦ σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. [10] εἰ γὰρ ἐχθροὶ ὄν-
τες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ
11 μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ, [11] οὐ μόνον
δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.
12 Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κό-
σμον εἰσῆλθεν καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς
πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον·
13 [13] ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ, ἁμαρτία δὲ οὐκ ἐλλογεῖ-
14 ται μὴ ὄντος νόμου· [14] ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ
μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι
15 τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστιν τύπος τοῦ μέλλοντος. [15] ἀλλ'
οὐχ ὡς τὸ παράπτωμα οὕτως καὶ τὸ χάρισμα· εἰ γὰρ τῷ τοῦ ἑνὸς
παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ
θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ
16 εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν. [16] καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαν-
τος τὸ δώρημα· τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ

---

7. Om. v. Ir. .. post v. 8. pon. Or.

8. (Sz. om. per error. εἰς ante ἡμᾶς.) — om. ὁ θεός B. .. pon. ante εἰς DFG al. Vg. It. Thdret. al. — om. ἔτι 109. (s. XI.) Arr. Dial. c. Mc.; etiam εἰ, εἰ ἔτι (FG gr.), καὶ ἔτι leg.

9. Om. οὖν DFG al. Arm. Vg. ms. It. Chrs. Dial. c. Mc. Ir. Cypr. Hil. al.

11. Hab. καυχώμεθα l al. pl. Vg. It. al. Thphyl. al. .. καυχῶμεν FG.

12. Post ἀνθρώπους om. ὁ θάνατος DEFG al. (Syr. p. c. ast.) It. Aug. (et om. et hab.) Ambr. al.; etiam post διῆλθεν pon.

14. Om. μή 62. 63. al.; cdd. ap. Ruf.; cdd. lat. et gr. ap. Ambr.; cdd. lat. ap. Aug. (graecos dicit fere omnes μή habere) Cyr. Ruf. (dis.) Ambr. (dis.) Tert. Cypr. [Habent Or. (1. ubi accurate totum locum citat; 1. alludens ad locum om.) Ath. Chrs. Ir. Hier. al.]

15. Om. ἐν ante χάριτι FG gr.

16. Hab. ἁμαρτήματος DEFG al. Syr. Erp. Vg. (non Am.) It. Thdret. (text.; non comm.) Ruf. al.

χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. 17 εἰ γὰρ ἐν ἑνὶ 17
παραπτώματι ὁ θάνατος ἐβασίλευσεν διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον
οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμ-
βάνοντες ἐν ζωῇ βασιλεύσουσιν διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. 18 Ἄρα 18
οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατά-
κριμα, οὕτως καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς
δικαίωσιν ζωῆς· 19 ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώ- 19
που ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτως καὶ διὰ τῆς ὑπ-
ακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. 20 νόμος δὲ 20
παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ ἐπλεόνασεν ἡ
ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, 21 ἵνα ὥσπερ ἐβασίλευσεν ἡ 21
ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτως καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιο-
σύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

## VI.

Τί οὖν ἐροῦμεν; ἐπιμένωμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεο- 1
νάσῃ; 2 μὴ γένοιτο. οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζή- 2
σομεν ἐν αὐτῇ; 3 ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν 3
Col. 2, 12. Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; 4 συνετάφημεν οὖν 4
αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη
Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτως καὶ ἡμεῖς ἐν
καινότητι ζωῆς περιπατήσωμεν. 5 εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ 5
ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα,
6 τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, 6
ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς
τῇ ἁμαρτίᾳ· 7 ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. 7
2 Tim. 2, 11. 8 εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν 8
αὐτῷ, 9 εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. 9

---

17. ἐν ἑνί c. AFG g. . . h. ἐν τῷ ἑνί DE. . . Ln. (ἐν τῷ) ἑνί. . . Rc. Kn. Sz. τῷ τοῦ ἑνός. . . h. ἐν ἑνός 47. Or. . . τῷ 44. — Ln. (τῆς δωρεᾶς). . . om. B Or. (alibi om. τῆς δικαιοσ.; ita etiam C) Chrs. (comm.) Ir. al.; etiam τὴν δωρεάν leg.; etiam καὶ τῆς δικαιοσ. pergitur.

18. Hab. τὸ παράπτωμα FG al. et τὸ δικαίωμα DEF (h. καὶ δικ.) G.

Cap. VI. 1. Rc. Kn. Sz. ἐπιμενοῦμεν. [contra ABCDEFG gr. al. pm.]

2. Hab. οἵτ. γάρ FG al. Syr. utr. Ar. Vg. It. Ruf. al. et ζήσωμεν CGI al. m.

8. Hab. συζήσ. τῷ Χριστῷ DEFG al. Syr. Vg. It. cdd.

10 θάνατος αὐτοῦ οὐκέτι κυριεύει. 10 ὃ γὰρ ἀπέθανεν, τῇ ἁμαρτίᾳ
11 ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. 11 οὕτως καὶ ὑμεῖς λο-
γίζεσθε ἑαυτοὺς νεκροὺς μὲν τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν
12 Χριστῷ Ἰησοῦ. 12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ
13 ὑμῶν σώματι εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις αὐτοῦ, 13 μηδὲ
παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παρα-
στήσατε ἑαυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη ὑμῶν
14 ὅπλα δικαιοσύνης τῷ θεῷ. 14 ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ Gal. 5, 18.
γάρ ἐστε ὑπὸ νόμον, ἀλλὰ ὑπὸ χάριν.
15 Τί οὖν; ἁμαρτήσωμεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον ἀλλὰ ὑπὸ
16 χάριν; μὴ γένοιτο. 16 οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δού-
λους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς
17 θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην; 17 χάρις δὲ τῷ θεῷ, ὅτι ἦτε
δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε
18 τύπον διδαχῆς· 18 ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας ἐδουλώ-
19 θητε τῇ δικαιοσύνῃ. 19 ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς
σαρκὸς ὑμῶν. ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ
ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτως νῦν παραστή-
20 σατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. 20 ὅτε γὰρ
21 δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. 21 τίνα
οὖν καρπὸν εἴχετε τότε; ἐφ' οἷς νῦν ἐπαισχύνεσθε· τὸ γὰρ τέλος
22 ἐκείνων θάνατος. 22 νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας,
δουλωθέντες δὲ τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ

---

11. Rc. *μὲν εἶναι.* [om. c. ADEFG al. Aeth. Tert.; post *ἑαυτούς* pon. BC.] — Rc. et Kn. (—) in f. add. *τῷ κυρίῳ ἡμῶν.* [om. c. ABDE FG al. Syr. p. It. Am. Bas. al. m. (hab. Ruf. Ambr. dis.)]

12. Rc. *ὑπακ. αὐτῇ ἐν ταῖς* etc. .. Sz. pro *ταῖς ἐπιθ. αὐτ.* [c. ABC* al. Syr. Vg. Har. Tol. al. m. Or. (2.) Hier. Ruf. al. m.] h. *αὐτῇ* c. DEFG d.** g. Ir. Tert. .. h. *ὑπακ.* omissis omnibus 178. (s. XII.) d.* e. Ambr. Faust.

13. Ln. *ὡσεὶ ἐκ* c. ABC al. Meth. ap. Epiph. Damsc.

15. Rc. Kn. Sz. *ἁμαρτήσομεν.* [*-σωμεν* c. ABCDEI al. pm. Clem. Thdret.] .. h. *ἡμαρτήσαμεν* G g. e.** Am. Har.

16. Hab. *ἢ οὐκ* D*FG d. g. Flor. Har.* — om. *εἰς θάνατ.* DE Syr. d. e. al. Aug.

19. Pro *δοῦλα* bis h. *δουλεύειν* FG Vg. It. PP. lat. pl.; pro poster. h. *ὅπλα* A. — om. *εἰς τ. ἀνομίαν* B al. Syr. Erp.

21. Ln. *τὸ μὲν γάρ* c. BD*FG al. Syr. p. Thdret.

δὲ τέλος ζωὴν αἰώνιον. [23] τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· 23
τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
ἡμῶν.

## VII.

Ἢ ἀγνοεῖτε, ἀδελφοί, γινώσκουσιν γὰρ νόμον λαλῶ, ὅτι 1
ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; [2] ἡ γὰρ 2
ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ
ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. [3] ἄρα οὖν ζῶντος 3
τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ
ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι
αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. [4] ὥστε, ἀδελφοί μου, 4
καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστου,
εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρπο-
φορήσωμεν τῷ θεῷ. [5] ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα 5
τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς
τὸ καρποφορῆσαι τῷ θανάτῳ· [6] νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ 6
νόμου ἀποθανόντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν
καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος.

Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρ- 7
τίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου. τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν,
*Ex. 20, 17. εἰ μὴ ὁ νόμος ἔλεγεν· Οὐκ ἐπιθυμήσεις. [8] ἀφορμὴν δὲ λαβοῦσα 8
ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν·
χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά. [9] ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· 9
ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, [10] ἐγὼ δὲ ἀπέθανον, 10
καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον. [11] ἡ γὰρ 11
ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέν με καὶ δι'
αὐτῆς ἀπέκτεινεν. [12] ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία 12
καὶ δικαία καὶ ἀγαθή. [13] τὸ οὖν ἀγαθὸν ἐμοὶ ἐγένετο θάνατος; 13
μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία· ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ

---

Cap. VII. 6. Γc. ἀποθανόντος . . . h. τοῦ θανάτου DEFG Vg. (Am.* morientes) It.; cdd. ap. Ruf. (Ruf. dis. improbat.) Tert. Hier. — Ln. (ἡμᾶς). . . om. BFG al.

9. Hab. ἔζην B. — 10. Kn. αὐτὴ εἰς θάν.

13. Rc. Kn. Sz. γέγονε. [ἐγένετο c. ABCDE al. Meth. Damsc. . . h. est d. g. Hier. Ruf. . . om. FG.]

μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτω-
14 λὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. [14] οἴδαμεν γάρ, ὅτι ὁ νόμος πνευ-
ματικός ἐστιν· ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρ-
15 τίαν. [15] ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω πράσσω,
16 ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. [16] εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμ-
17 φημι τῷ νόμῳ ὅτι καλός· [17] νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, Rom. 7, 20.
18 ἀλλὰ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. [18] οἶδα γάρ, ὅτι οὐκ οἰκεῖ ἐν
ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν. τὸ γὰρ θέλειν παράκει-
19 ταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ· [19] οὐ γὰρ ὃ θέλω
20 ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. [20] εἰ δὲ Rom. 7, 17.
ὃ οὐ θέλω, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ
21 οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. [21] εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι
22 ἐμοὶ ποιεῖν τὸ καλὸν ὅτι ἐμοὶ τὸ κακὸν παράκειται· [22] συνήδομαι
23 γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, [23] βλέπω δὲ ἕτε-
ρον νόμον ἐν τοῖς μέλεσίν μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός
μου καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς
24 μέλεσίν μου. [24] ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ
25 σώματος τοῦ θανάτου τούτου; [25] χάρις τῷ θεῷ διὰ Ἰησοῦ Χρι-
στοῦ τοῦ κυρίου ἡμῶν· ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοΐ δουλεύω
νόμῳ θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.

---

14. Hab. οἴδ. δέ (plane om. Arm. Hier.) ADE al. Or. (1.) Cyr. Ruf. al. — Rc. Kn. σαρκικός. [σάρκινος c. ABCDEFGI al. m. Meth. Ephr. Gr. nyss. Bas. al.]

15. Rc. Kn. Sz. Ln. τοῦτο πράσσω (pro eo ποιῶ, pro ποιῶ sequenti πράσσω leg.)... om. c. DEFG It. PP. lat.

17. Hab. ἐνοικοῦσ. B Ambrst.

18. Hab. τὸ ἀγαθ. FG al. Cyr. — Rc. Kn. Sz. pro οὔ in f. [c. ABC al. Cpt. Arm. (in m. οὐχ εὑρ.) Meth. Procl. ap. Epiph. Cyr. cdd. gr. ap. Aug.] h. οὐχ εὑρίσκω... h. οὐ γινώσκω 73. (s. XI.) .. οὐκ ἔχω Aeth.

20. Rc. Kn. Sz. θέλω ἐγώ. [om. c. BCDEG al. m. Vg. It. al. Cyr. al.; etiam var. pon.]

21. Om. ὅτι ἐμ. τὸ κ. παράκ. FG g.

23. Hab. μὲ ἐν τῷ νόμ. DEFG al. m. Vg. It. al. Clem. al. m... h. ἀντιστρ. καὶ αἰχμ. (om. μέ) τῷ νόμ. τοῦ νοός μου τῷ ὄντι A.

25. Pro χάρις [c. B 213. Or. (1; 1. εὐχαριστῶ) Rc. Kn. Sz. εὐχαριστῶ... h. χάρις δέ C al. m. Cpt. al. Meth. Cyr. al. .. ἡ χάρ. τοῦ θεοῦ DE Vg. Ruf. Aug. al... ἡ χάρ. κυρίου FG. — om. μέν FG 10. Vg. It. PP. lat.

# VIII.

*Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ·* [2] *ὁ γὰρ* 1 2
*νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέν με*
*ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.* [3] *τὸ γὰρ ἀδύνατον* 3
*τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν*
Phil. 2, 7. *πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρι-*
*νεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκί,* [4] *ἵνα τὸ δικαίωμα τοῦ νόμου πλη-* 4
*ρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα.*
[5] *οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν, οἱ δὲ κατὰ*
*πνεῦμα τὰ τοῦ πνεύματος·* [6] *τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος,*
*τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη.* [7] *διότι τὸ φρόνημα* 7
*τῆς σαρκὸς ἔχθρα εἰς θεόν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσε-*
*ται· οὐδὲ γὰρ δύναται.* [8] *οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύ-* 8
*νανται.* [9] *ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, εἴπερ* 9
*πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει,*
*οὗτος οὐκ ἔστιν αὐτοῦ.* [10] *εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα* 10
1 Cor. 6, 14. *νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην.* [11] *εἰ δὲ* 11
*τὸ πνεῦμα τοῦ ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ*
*ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν*
*διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν.*

---

**Cap. VIII. 1. Om. *νῦν* D* gr. Syr. al. Chrs. (1.) al.; etiam post *κατ.* pon. — Rc. et Kn. (—) in f. add. *μὴ κατὰ σάρκα περιπατοῦσιν* [haec sola h. AD** (D*** gr. add. *ἀλλὰ κατὰ πνεῦμα*) Syr. Vg. d. al. Bas. Chrs. (dis.) al.] *ἀλλὰ κατὰ πνεῦμα.* [om. c. BCD*FG al. Cpt. d.* g. al. Or. in Schol. Ath. Dial. c. Mc. al.]**

**2. Pro *μέ* h. *σέ* BG Syr. g. Chrs. Aug. . . *ἡμᾶς* Erp. Dial. c. Mc.**

**3. Om. *καὶ περὶ ἁμαρτ.* 34. al. Pseudo-Chrs. . . om. *καί* Syr. Or. Did. Hil. Ambrst.**

**10. Om. *εἰ δὲ Χρ. ἐν ὑμ.* FG g. — h. *πν. ζῇ* FG Arm. Vg. (non Am.) g. Har.**; etiam *ζῶν* leg.**

**11. Rc. Kn. Sz. om. *τόν* ante *Ἰησ.* [scr. c. AB al.] tum h. *τὸν Χριστ.* . . Ln. *Χρ.* (*Ἰησοῦν*) [om. *τόν* c. ABCDFG.] .. add. *Ἰησ.* s. ante *Χρ.* (ut C Syr. Vg.) s. post *Χρ.* ACDE** al. Syr. Vg. d. e. al. Ath. Did. Ruf. al. .. etiam *τὸν κύριον* et *τὸν Ἰησοῦν* et aliter leg. — Kn. Sz. *διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα* c. DEFGI al. pl. Syr. Erp. Sah. Vg. It. Or. (3.) Meth. ap. Phot. Thdret. Ir. Tert. Ruf. al. [*διὰ τοῦ* etc. c. ABC (hab. *αὐτῷ*) al. octo. (In Dial. c. Maced. omnia vett. explaria ita habere**

12 Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ κατὰ
13 σάρκα ζῆν. [13] εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ
14 δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. [14] ὅσοι
15 γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι υἱοί εἰσιν θεοῦ. [15] οὐ γὰρ ἐλά-
βετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ ἐλάβετε πνεῦμα υἱο-
16 θεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ πατήρ. [16] αὐτὸ τὸ πνεῦμα συμ-
17 μαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ. [17] εἰ δὲ τέκνα, Gal. 4. 7.
καὶ κληρονόμοι· κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ,
εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.
18 Λογίζομαι γάρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ
19 πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. [19] ἡ γὰρ
ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ
20 ἀπεκδέχεται. [20] τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα
21 ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι, [21] ὅτι καὶ αὐτὴ ἡ κτίσις
ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν
22 τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ. [22] οἴδαμεν γάρ, ὅτι πᾶσα ἡ κτί-
23 σις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν· [23] οὐ μόνον δέ, ἀλλὰ
καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ αὐτοὶ ἐν ἑαυ-
τοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ
24 σώματος ἡμῶν. [24] τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη

---

affirmat Orthod. contradicente Maced.) Slav. Clem. Hipp. Ath. Bas. Epiph. Did. Cyr. alex. et hier. (utrque h. Chrs. Aug. Ambr.)]

13. Pro τοῦ σώματ. h. τῆς σαρκός DEFG al. Vg. It. Slav. Or. (2; τ. σώμ. 5.) Ir. Tert. Cypr. Did. Ruf. al. m.

14. Rc. Kn. Sz. οὗτ. εἰσ. υἱοὶ θεοῦ. .. h. οὗτ. υἱ. θ. εἰσ. ACD al. Vg. ms. d. e. Or. (1.) Did. al. [οὗτ. υἱ. εἰσ. θ. c. BFG Syr. Am. g. Demid. Or. (1.) Hil. Ruf. al. .. om. εἰσ. Sah.]

18. Pro γάρ h. δέ A g. Aeth.

21. Hab. διότι D*FG al.

22. Hab. στενάζει 33. 35. Vg. d. Or. al. et ὠδίνει FG al. Vg. d. g. Flor. Aug. al.

23. Rc. Kn. Sz. ἔχοντες, καὶ ἡμεῖς αὐτοί. .. Ln. ἔχοντ. (ἡμεῖς) καὶ αὐτοί c. AC al. Cpt. Damsc. .. h. ἀλλὰ καὶ ἡμεῖς αὐτοί τ. ἀπ. τ. πν. ἔχ. αὐτοί DFG. .. ἀλλ. καὶ ἡμεῖς αὐτοί τ. ἀπ. τ. πν. ἔχ. καὶ αὐτοί 31. (s. XI.) 93. (s. X.) Vg. Aug. Ruf. .. ἀλλ. καὶ αὐτοί, οἱ τ. ἀπ. τ. πν. ἔχ. καὶ ἡμεῖς αὐτοί 67*. 77. 87. al. Thphyl. in text. .. al. aliter. .. ἀλλ. κ. αὐτοὶ τ. ἀπ. τ. πν. ἔχ. κ. αὐτοί scr. c. B Epiph. — om. υἱοθεσ. DFG al. d. g.

οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; 25 εἰ δὲ ὃ οὐ 25
βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.
Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται τῇ ἀσθενείᾳ 26
ἡμῶν. τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ
τὸ πνεῦμα ὑπερεντυγχάνει στεναγμοῖς ἀλαλήτοις· 27 ὁ δὲ ἐρευνῶν 27
τὰς καρδίας οἶδεν τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ θεὸν
ἐντυγχάνει ὑπὲρ ἁγίων. 28 οἴδαμεν δέ, ὅτι τοῖς ἀγαπῶσιν τὸν θεὸν 28
πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.
29 ὅτι οὓς προέγνω, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ 29
υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς·
30 οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τού- 30
τους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.
Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' 31
ἡμῶν; 32 ὅσγε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλὰ ὑπὲρ ἡμῶν πάν- 32
των παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χα-
ρίσεται; 33 τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ; θεὸς ὁ δικαιῶν· 33
34 τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ ἐγερθείς, 34
ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν; 35 τίς 35
ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία
ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; 36 καθὼς 36

---

24. Ln. om. *καί* ante *ἐλπίζ.* c. BFG (etiam D; hab. ὃ γ. βλ. τίς ἀπομένει; .. h. ὑπομένει A Cyr.) al. Syr. Vg. d. g. Cypr. Aug. Ruf. al.

26. Rc. Kn. Sz. *ταῖς ἀσθενείαις.* [τῇ ἀσθ. c. ABCD al. m. Syr. Erp. Vg. d. Cyr. hr. Damsc. Ruf. al... h. *τῆς δεήσεως* FG.] — h. *προσευξόμεθα* DI al. pl. Or. Gr. naz. al... *προσευχόμεθα* FG. — Rc. Kn. Sz. *ὑπερεντ. ὑπὲρ ἡμῶν.* [om. c. ABDFG al. Arm. d. g. Or. (3; add. *τῷ θεῷ*) Epiph. (1.) al.; etiam *ὑπ. ἁγίων* leg.]

28. Ln. *συνεργ. ὁ θεός* c. AB Or. (et hab. et om.) et *τὸ ἀγαθ.* c. I al. pm. Clem. Or. (2; om. 4.) al.

32. Hab. *ὃς οὐδὲ υἱοῦ ἰδίου ἐφείσ.* et om. *τά* D*FG.

33. Kn. Ln. *ὁ δικαιῶν; τίς* sic interpgt.

34. Ln. *Χρ.* (*Ἰησοῦς*) c. ACFG al. m. Vg. g. al. Did. Cyr. Ruf. al. — Rc. Kn. Sz. *καὶ ἐγερθ.* [om. c. ABC al. m. Syr. Cpt. Did. Cyr. Damsc. Ruf.] *ὃς καί.* [Ln. (*καί*) .. om. c. AC al. m. Cpt. Vg. (non Am.) d. Har.* Did. Cyr. Chrs. Ir. Ruf. al. m.] .. h. *ἐγερθ. ἐκ νεκρῶν* AC al. Cpt. al. Ath. Chrs. al.

35. Hab. *τοῦ θεοῦ* B (add. *τῆς ἐν Χριστῷ Ἰησοῦ*) al. Schol. Slav. Flor. Ephr. Bas. Epiph. Ruf. al. [τ. *Χρ.* Or. (3; *τ. θεοῦ* 1.) Chrs. (dis.) Tert. Cypr.]

γέγραπται· ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλο- *Ps. 44, 22.
37 γίσθημεν ὡς πρόβατα σφαγῆς. [37] ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερ- (23.)
38 νικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. [38] πέπεισμαι γάρ, ὅτι οὔτε
θάνατος οὔτε ζωή, οὔτε ἄγγελοι οὔτε ἀρχαί, οὔτε ἐνεστῶτα οὔτε
39 μέλλοντα, οὔτε δυνάμεις [39] οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτί-
σις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς
ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

## IX.

1 Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης
2 μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ, [2] ὅτι λύπη μοί ἐστιν
3 μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου· [3] ηὐχόμην γὰρ ἀνά-
θεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου,
4 τῶν συγγενῶν μου κατὰ σάρκα, [4] οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ
υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λα-
5 τρεία καὶ αἱ ἐπαγγελίαι, [5] ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ
κατὰ σάρκα. ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας,
6 ἀμήν. [6] Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ. οὐ γὰρ
7 πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· [7] οὐδ' ὅτι εἰσὶν σπέρμα *Gn. 21,
Ἀβραάμ, πάντες τέκνα, ἀλλ'· Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. 12.
8 [8] τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ θεοῦ, ἀλλὰ
9 τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. [9] ἐπαγγελίας γὰρ
ὁ λόγος οὗτος· Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ *Gn. 18. 10.

---

37. Hab. διὰ τὸν ἀγαπήσαντα ἡμ. DEFG al. Slav. Vg. It. Hil. Lcif. Hier. al. [τοῦ etc. Clem. Or. Chrs. Bas. Ruf. Aug.]

38. Hab. ἄγγελος DEFG al. It. Ambrst. — post ἀρχαί add. οὔτε ἐξουσίαι C al. m. Ephr. Bas. Or. int. al. .. ante οὔτ. ἀρχ. h. οὔτε ἐξουσία DE .. al. aliter. — Rc. οὔτ. δυνάμ. οὔτ. ἐνεστ. οὔτ. μέλλ.

39. Om. τὶς DEFG al. Syr. utr. Vg. It. PP. lat.

Cap. IX. 1. Hab. σὺν πνεύμ. ἁγ. FG.

3. Rc. Kn. Sz. αὐτὸς ἐγ. ἀνάθ. εἶν. [contra ABDEFG al. It. Syr. p. Chrs. Ruf.] — h. ὑπό DEG al. — h. συγγεν. μου (om. μοῦ D*G d. g. Cyr. Aug. al.) τῶν DEFG al. Syr. Cyr. Thdret.

4. Ln. ἡ διαθήκη c. BD gr. E gr. FG gr. Vg. Chrs. ms. Cypr. Ruf. ms. — h. ἡ ἐπαγγελία D gr. E gr. FG (om. ἡ FG.)

5. Om. ἐπὶ πάντ. Aeth. .. h. ἐπὶ πάντας Cyr. (2.) Ir. Victorin. — om. θεός Ephr.; ante ἐπὶ π. pon. Syr. Erp. Ir. — om. ἀμήν PP. lat.

6. Hab. in f. Ἰσραηλῖται DFG al. Vg. It. (non Tol.) Gr. nyss. al.

Σάῤῥᾳ υἱός. [10] οὐ μόνον δέ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην 10
ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. [11] μήπω γὰρ γεννηθέντων μηδὲ 11
πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ
* Gn.25, θεοῦ μένῃ, οὐκ ἐξ ἔργων ἀλλ' ἐκ τοῦ καλοῦντος, [12] ἐῤῥέθη αὐτῇ· 12
23. * Mal.1, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, [13] καθὼς γέγραπται· Τὸν 13
2. 3. Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα.
Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ θεῷ; μὴ γένοιτο. [15] τῷ 14 15
* Ex.33, Μωϋσεῖ γὰρ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰ-
19. κτείρω. [16] ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ 16
* Ex. 9, ἐλεῶντος θεοῦ. [17] λέγει γὰρ ἡ γραφὴ τῷ Φαραώ· ὅτι εἰς αὐτὸ 17
16. τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου καὶ
ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. [18] ἄρα οὖν ὃν θέλει 18
ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. [19] ἐρεῖς μοι οὖν· Τί οὖν ἔτι μέμφε- 19
* Es.45, ται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν; [20] ὦ ἄνθρωπε, 20
9. μενοῦνγε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα
τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως; [21] ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κε- 21
ραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τι-
μὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; [22] εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι 22
τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακρο-
θυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, [23] καὶ ἵνα γνω- 23
ρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοί-
μασεν εἰς δόξαν, [24] οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων 24

---

11. Rc. Kn. Sz. pro φαῦλον [c. AB al. m. Or. Cyr. Damsc.] h. κακόν. — Rc. τοῦ θεοῦ πρόθεσ.
12. Rc. Kn. Sz. ἐῤῥήθη. [ἐῤῥέθη c. ADEFG al.] Sic etiam v. 26.
13. Hab. καθάπερ B Or.
15. Rc. Kn. Sz. τῷ γὰρ Μωϋσῇ (Μωσῇ Rc.). [τ. Μ. γάρ c. BDFGI et -σεῖ c. BG al.]
16. Rc. Kn. Sz. ἐλεοῦντος. [ἐλεῶντος c. AB*D (ap. Wtst.) EFG.]
18. Hab. ἐλεᾷ c. D*FG.
19. Rc. Kn. Sz. οὖν μοι [μοὶ οὖν c. AB al.] et om. οὖν post τί. [scr. c. BDEFG d. g. Hier. Ruf.] — Rc. om. γάρ et Ln. (γάρ). [scr. c. ADE FGI al. pl. Syr. utr. Vg. It. (exc. g.) al. m. Or. Chrs. al. m.]
20. Om. μενοῦνγ. D*EFG Vg. It. Hier. Ruf. al. .. Rc. Kn. Sz. ante ὦ pon.; postpos. c. AB (h. μενοῦν) al. Damsc. [μεν. ὦ ἄνθ. Or.]
23. Om. καί 5. al. m. Vg. Cpt. Arm. Or. Hier. Ruf. al. — h. τὸ πλοῦτος FG. — Sz. δόξαν; (sic interpg.)

25 ἀλλὰ καὶ ἐξ ἐθνῶν, [25] ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· Καλέσω τὸν οὐ * Hos.
26 λαόν μου λαόν μου καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην· [26] καὶ 2, 23.
ἔσται ἐν τῷ τόπῳ οὗ ἐῤῥέθη αὐτοῖς· Οὐ λαός μου ὑμεῖς, ἐκεῖ * Hos. 1, 10.
27 κληθήσονται υἱοὶ θεοῦ ζῶντος. [27] Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ
Ἰσραήλ· Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θα- * Es. 10, 22. 23.
28 λάσσης, τὸ ὑπόλειμμα σωθήσεται. [28] λόγον γὰρ συντελῶν καὶ
29 συντέμνων ποιήσει κύριος ἐπὶ τῆς γῆς. [29] καὶ καθὼς προείρηκεν
Ἡσαΐας· Εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σό- * Es. 1. 9.
δομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν.
30 Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην κατ-
31 έλαβεν δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως, [31] Ἰσραὴλ δὲ
32 διώκων νόμον δικαιοσύνης εἰς νόμον οὐκ ἔφθασεν. [32] διὰ τί; ὅτι
οὐκ ἐκ πίστεως ἀλλ' ὡς ἐξ ἔργων· προσέκοψαν τῷ λίθῳ τοῦ προσ-
33 κόμματος, [33] καθὼς γέγραπται· Ἰδού, τίθημι ἐν Σιὼν λίθον προσ- * Es. 28. 16.
κόμματος καὶ πέτραν σκανδάλου, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ
καταισχυνθήσεται.

## X.

1 Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις πρὸς
2 τὸν θεὸν ὑπὲρ αὐτῶν εἰς σωτηρίαν. [2] μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι
3 ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· [3] ἀγνοοῦντες γὰρ τὴν
τοῦ θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιο-

---

25. Om. *ἐν* B Aug. — 26. cf. ad v. 12.
27. Rc. Kn. Sz. *κατάλειμμ.* [*ὑπόλ.* c. AB Eus.]
28. Rc. Kn. Sz. post *συντέμν.* add. *ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον.* [om. c. AB al. Syr. Erp. Cpt. Eus. (1.) Damsc. Aug. (2.)... h. *λόγον γὰρ συντετμημένον ποιήσει* Aeth. Thdret.]
31. Rc. Kn. Sz. *εἰς νόμ. δικαιοσύνης.* [om. c. ABDEF (c. obelo) G al. Cpt. It. Damsc. Procop. Or. int. (hom. in Judic.) Ruf. (in text. et comm.) al... h. Hier. Aug. Pel.]
32. Rc. Kn. Sz. *ἔργων νόμου* [om. c. ABFG al. Cpt. Vg. g. Har. Ruf. Hier. al.] et *προσέκ. γάρ.* [om. c. ABD*FG Cpt. It. Am. Vg. ms. Ruf.]
33. Rc. Kn. Sz. *καὶ πᾶς ὁ.* [om. c. ABDEFG al. Syr. Cpt. It. Or. Ruf. al.]
Cap. X. 1. Rc. Kn. Sz. *ἡ πρός.* [om. c. ABDEFG al. Cyr. — Rc. *ὑπὲρ τοῦ Ἰσραήλ,* tum *ἐστὶν εἰς,* qd Kn. (—)
3. Hab. *ἀγν. δέ* A al. — Rc. Kn. Sz. *ἰδίαν δικαιοσύνην.* [om. c. ABD gr. E al. Cpt. Arm. Vg. e. Clem. Cyr. Bas. al. m.]

σύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν. 4 τέλος γὰρ νόμου Χριστὸς εἰς 4
* Lv.18, 5. δικαιοσύνην παντὶ τῷ πιστεύοντι. 5 Μωϋσῆς γὰρ γράφει τὴν δι- 5
καιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζή-
* Dt.30, 11-14. σεται ἐν αὐτοῖς. 6 ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει· Μὴ 6
εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ'
ἔστιν Χριστὸν καταγαγεῖν· 7 ἤ· Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; 7
τοῦτ' ἔστιν Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. 8 ἀλλὰ τί λέγει; Ἐγγύς 8
σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τοῦτ'
ἔστιν τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν. 9 ὅτι ἐὰν ὁμολογήσῃς ἐν 9
τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου
ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· 10 καρδίᾳ γὰρ πι- 10
στεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.
* Es.28, 16. 11 λέγει γὰρ ἡ γραφή· Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυν- 11
θήσεται. 12 οὐ γάρ ἐστιν διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ 12
αὐτὸς κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους
* Joel.2, 32. αὐτόν. 13 Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθή- 13
σεται. 14 πῶς οὖν ἐπικαλέσωνται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ 14
πιστεύσωσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσωσιν χωρὶς κηρύσσον-
τος; 15 πῶς δὲ κηρύξωσιν, ἐὰν μὴ ἀποσταλῶσιν; καθὼς γέγραπται· 15
* Es.52, 7. Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά. 16 ἀλλ' οὐ πάν- 16
* Es.53, 1. τες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· Κύριε, τίς ἐπί-

---

5. Hab. γράφει ὅτι τὴν δικ. ἐκ πίστ. ὁ ποιήσ. ἄνθρ. ζήσ. ἐν αὐτῇ A. .. γράφ. ὅτι τὴν δικ. τὴν ἐκ τ. νόμ. ὁ π. etc. D* gr. al. Cpt. Vg. Damsc. Ruf. al. .. om. τὴν δικ. τ. ἐκ τ. νόμ. Aeth. .. om. αὐτά AD gr. E al. Cpt. Vg. Damsc. Ruf. al. .. om. ἄνθρ. FG Syr. Erp. g. Chrs. Hil. .. h. ἐν αὐτῇ AB al. Cpt. Vg. e. Damsc. Ruf. al. .. hinc LN. ἐν αὐτῇ.

8. Add. ἡ γραφή s. ante τί s. post λέγει DEFG al. m. vv. m. Or. (4.) Cyr. Ruf. al. m.

9. Post ὁμολογ. add. τὸ ῥῆμα et tum hab. ὅτι κύριος Ἰησοῦς B Clem.

14. Rc. KN. Sz. ἐπικαλέσονται [-σωνται c. ABDEFG al.], πιστεύσουσιν [-σωσιν c. BDEFG al.], ἀκούσουσι. [-σωσιν c. AB al. m. Chrs. ms. .. h. ἀκούσονται DEFG al. m.]

15. Rc. KN. Sz. κηρύξουσιν. [-ξωσιν c. ABDEI al. Chrs. ms. .. h. κηρύσσουσιν FG.] — h. καθάπερ B. — Rc. KN. Sz. εὐαγγελ. εἰρήνην, τῶν εὐαγγελιζομένων [om. c. ABC al. Cpt. Sah. Aeth. Clem. Or. Damsc. Ruf. (1. in text. et 3. in comm.)] τὰ [om. c. ABCDEG al. Or. Damsc.] ἀγαθά.

17 στευσεν τῇ ἀκοῇ ἡμῶν; [17] ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ
18 ῥήματος θεοῦ. [18] ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; μενοῦνγε· Εἰς * Ps. 19.
πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς 4. (5.)
19 οἰκουμένης τὰ ῥήματα αὐτῶν. [19] ἀλλὰ λέγω, μὴ Ἰσραὴλ οὐκ ἔγνω;
πρῶτος Μωϋσῆς λέγει· Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ * Dt. 32. 21.
20 ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. [20] Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· * Es. 65. 1. 2.
Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερω-
21 τῶσιν. [21] πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· Ὅλην τὴν ἡμέραν ἐξεπέτασα
τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.

## XI.

1 Λέγω οὖν, μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο· * Ps. 94. 14.
καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενια-
2 μίν. [2] οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. ἢ οὐκ
οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ
3 Ἰσραήλ· [3] Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστή- * 1 Rg. 19, 10.
ριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος καὶ ζητοῦσιν τὴν
4 ψυχήν μου. [4] ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ * 1 Rg. 19, 18.
5 ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. [5] οὕ-
τως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν·
6 [6] εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων, ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις.

---

17. Ln. pro θεοῦ h. χριστοῦ c. BD*E al. Cpt. Sah. Vg. d. e. Aug. .. h. Dei Christi Beda... plane om. FG g. Hil. [θεοῦ h. Clem. Ruf.]

20. Om. ἀποτολμ. καί DEFG al. — Ln. εὑρέθ. (ἐν) c. BD*FG Sah. inter eos d. e. g. — h. ἐγενόμ. ἐν B Ruf.

21. Hab. ἐπὶ λαόν DE Just. Clem. .. εἰς 76. — om. κ. ἀντιλ. FG g. Hil. .. h. κ. λέγοντα D*E gr.

Cap. XI. 1. Hab. τὴν κληρονομίαν αὐτοῦ FG g. Hil. al. — Ln. αὐτοῦ (ὃν προέγνω); c. AD 76. d. Chrs. al.; tum h. Βενιαμείν.

2. Rc. Ἰσραήλ, λέγων.

3. Rc. Kn. Sz. καὶ τὰ θυσ. [om. c. ABFG al. Cpt. Sah. Vg. It. Eus. Ruf. al.]

6. Rc. Kn. in f. add. εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ (om. ἐστί B.) χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον (h. ἐστ. χάρις B.). [om. c. ACDEFG 47. (h. in m.) Cpt. Sah. Arm. Aeth. (post ἔργων add. εἰ δὲ ἐξ ἔργων) Vg. It. Chrs. (comm.) Thdret. (comm.) Damsc. Ruf. Ambrst. Latini omnes. .. om. ἐπεὶ ἡ χάρις usque ἔργων 48.* 57; pro γίνεται h. ἐστίν 54. Chrs. Vg. d. e. PP. lat. .. om. εἰ δὲ ἐξ ἔργ. οὐκ. ἐστ. χάρ. 17. (vdtr.) 52. 54*. et ἐπεὶ τὸ ἔργον usq. ἔργον 4*.]

7 τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραήλ, τοῦτο οὐκ ἐπέτυχεν; ἡ δὲ ἐκλογὴ 7
* Dt. 29, 4. ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν, 8 καθὼς γέγραπται· Ἔδωκεν 8
* Es. αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν
29, 11. καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας. 9 καὶ Δαυὶδ 9
* Ps. 69, 22. 23. λέγει· Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν καὶ
(23. 24.) εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτοῖς, 10 σκοτισθήτωσαν οἱ 10
ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς
σύγκαμψον.

Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσιν; μὴ γένοιτο· ἀλλὰ τῷ 11
αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι
αὐτούς. 12 εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου καὶ τὸ 12
ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν.
13 ὑμῖν δὲ λέγω τοῖς ἔθνεσιν, ἐφ᾽ ὅσον μὲν οὖν εἰμὶ ἐγὼ ἐθνῶν 13
ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, 14 εἴπως παραζηλώσω μου 14
τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐτῶν. 15 εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν 15
καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις εἰ μὴ ζωὴ ἐκ νεκρῶν; 16 εἰ 16
δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ
κλάδοι. 17 εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος 17
ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιό-
τητος τῆς ἐλαίας ἐγένου, 18 μὴ κατακαυχῶ τῶν κλάδων· εἰ δὲ κατα- 18
καυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ᾽ ἡ ῥίζα σέ. 19 ἐρεῖς 19
οὖν· Ἐξεκλάσθησαν οἱ κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. 20 καλῶς. 20
τῇ ἀπιστίᾳ ἐκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας. μὴ ὑψηλοφρό-
νει, ἀλλὰ φοβοῦ· 21 εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ 21

---

7. Hab. ἐπεζήτει FG al. Syr. Arr. Vg. It. Chrs. Ruf. al. — Rc. τούτου οὐκ ἐπέτ. — h. ἐπηρώθησαν 66**. (s. XVI.) excaecati sunt Vg. It. PP. lat.

13. Rc. Kn. Sz. ὑμῖν γάρ [δέ c. AB al. Syr. Cpt. Damsc. Thdret. ms... om. plane Aeth.] et h. μέν sine οὖν [add. c. ABC... om. μὲν οὖν DEFG al.]. — om. ἐγώ A al. Arm. Thdret.; ante εἰμί pon. FG Cyr. — h. δοξάσω G al. Vg. It. Ruf. al.

17. Hab. συγκοιν. ἐγένου τῆς πιότητ. τῆς ἐλαίας D*FG d. g. Ir. int... om. καί ante πιότ. BC Cpt. Damsc... om. καὶ τ. πιότητ. Ambrst.

18. Hab. εἰ δὲ σὺ καυχᾶσαι D*FG d. g. Hil. Ambrst.

19. Pro ἐξεκλ. h. εἰ κλάσθησ. FG g. — Kn. Sz. Ln. om. οἱ ante κλάδ. c. ACFGI al. pl. Chrs. al.

20. Rc. Kn. Sz. ἐξεκλάσθ. [ἐκλάσθ. c. BD*FG.] — Ln. ὑψηλὰ φρ. c. AB. (non Or.)

22 ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσεται. [22] ἴδε οὖν χρηστότητα καὶ
ἀποτομίαν θεοῦ. ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομία, ἐπὶ δὲ σὲ χρη-
στότης θεοῦ, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ,
23 [23] κἀκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσιν τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται·
24 δυνατὸς γάρ ἐστιν ὁ θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς. [24] εἰ γὰρ σὺ
ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεν-
τρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεν-
τρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ.
25 Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο,
ἵνα μὴ ἦτε ἐν ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ
26 γέγονεν ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, [26] καὶ οὕτως
πᾶς Ἰσραὴλ σωθήσεται, καθὼς γέγραπται· Ἥξει ἐκ Σιὼν ὁ ῥυό- [a] Es. 59, 20. 21.
27 μενος, ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· [27] καὶ αὕτη αὐτοῖς ἡ παρ' [a] Jer. 31, 33. 34.
28 ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. [28] κατὰ μὲν
τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ
29 τοὺς πατέρας· [29] ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις
30 τοῦ θεοῦ. [30] ὥσπερ γὰρ ὑμεῖς ποτε ἠπειθήσατε τῷ θεῷ, νῦν δὲ
31 ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, [31] οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν
32 τῷ ὑμετέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ ἐλεηθῶσιν· [32] συνέκλεισεν γὰρ ὁ
33 θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. [33] ὦ
βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὰ
34 κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. [34] τίς γὰρ ἔγνω [a] Es. 40, 13.
35 νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; [35] ἢ τίς προέδωκεν

---

21. Ln. om. *μήπως* c. ABC al. Cpt. Damsc. Ruf. Aug. [hab. Chrs. dis.] — Rc. *φείσηται*.

22. Rc. Kn. Sz. pro *ἀποτομία* [c. AB 67.** Or. Damsc.] h. *ἀποτομίαν* et pro *χρηστότης θεοῦ* [c. ABCD (et omisso *θεοῦ* 67.** Or. .. add. *θεοῦ* etiam Cpt. Arm. Vg.) d. Eus. Damsc. Pel.] h. *χρηστότητα*. (Sic.Clem.)

25. Rc. Kn. Sz. *παρ' ἑαυτ.* [*ἐν* c. AB Damsc. . . om. FG al. Vg. d. g. Hil. Hier. al.] — h. caecitas pro *πώρωσ.* Vg. d. g. Hier. Ruf. al.

26. Rc. Kn. Sz. *καὶ ἀποστρ.* [om. c. AB (G gr. *ἀποστρέψαι*) al. . . veniet qui liberet et avertat Vg. cdd. lat. Ruf.]

30. Rc. Sz. *καὶ ὑμεῖς*. [om. c. ABCD*EFG etc.]

31. Hab. *αὐτοὶ νῦν* D*FG. — Ln. (*νῦν*) *ἐλεηθ.* c. BD* Damsc.; etiam *ὕστερον* et *πάλιν* leg.

32. Hab. (*τά*) *πάντα εἰς* DEFG Vg. It. Ir. Hier. al.

33. Om. *καί* ante *σοφ.* E 32. Aeth. Vg. d. e. Cypr. Ruf. (text.) al. m. [hab. Clem. Or. Ath. Ir. al.]

*αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;* [36] *ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ* 36
*καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.*

## XII.

*Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ,* 1
*παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον*
*τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν,* [2] *καὶ μὴ συσχηματίζεσθαι* 2
*τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθαι τῇ ἀνακαινώσει τοῦ νοός,*
*εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ θεοῦ, τὸ ἀγαθὸν καὶ*
*εὐάρεστον καὶ τέλειον.* [3] *λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης* 3
*μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν,*
*ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισεν μέτρον*
1 Cor. 12, 12. *πίστεως.* [4] *καθάπερ γὰρ ἐν ἑνὶ σώματι πολλὰ μέλη ἔχομεν, τὰ δὲ* 4
*μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν·* [5] *οὕτως οἱ πολλοὶ ἓν σῶμά* 5
*ἐσμεν ἐν Χριστῷ, τὸ δὲ καθ᾽ εἷς ἀλλήλων μέλη,* [6] *ἔχοντες δὲ χα-* 6
*ρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προ-*
*φητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως,* [7] *εἴτε διακονίαν ἐν τῇ* 7
*διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ,* [8] *εἴτε ὁ παρακαλῶν* 8
*ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν*
*σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι.* [9] *ἡ ἀγάπη ἀνυπόκριτος. ἀποστυ-* 9
*γοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ,* [10] *τῇ φιλαδελφίᾳ εἰς* 10
*ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι,* [11] *τῇ* 11
*σπουδῇ μὴ ὀκνηροί, τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες,*
[12] *τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσ-* 12
*καρτεροῦντες,* [13] *ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, τὴν φιλο-* 13

---

Cap. XII. 2. Rc. Kn. Sz. *συσχηματίζεσθε* et *μεταμορφοῦσθε*. [-*σθαι* bis c. AB**DEFG al. pm. Thphyl.] et *νοὸς ὑμῶν*. [om. c. ABD* gr. FG gr. al. Opt. Clem. Cypr.] — h. *τί τὸ ἀγαθ*. It. Gth. Guelph. Aug. al. (non Graeci teste Ruf.)

4. Hab. *ὥσπερ γάρ* D*EFG al.

5. Rc. Kn. Sz. *ὁ δέ*. [*τὸ δέ* c. ABD*FG al. Antioch. Damsc.]

8. Om. *εἴτε* D*EFG al. Vg. It. Ruf. Pel. dis.

11. Hab. *καιρῷ* pro *κυρίῳ* D*FG al. d. g. cdd. lat. ap. Hier. ap. Ruf. ap. Bedam, Gr. nyss. (2.) Cyr. Ambrst. dis.

13. Hab. *μνείαις* pro *χρείαις* D*FG al. d. g. cdd. lat. ap. Ruf. Hil. al.

14 ξενίαν διώκοντες· [14] εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε,
15 καὶ μὴ καταρᾶσθε. [15] χαίρειν μετὰ χαιρόντων, κλαίειν μετὰ κλαι-
16 όντων. [16] τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες, μὴ τὰ ὑψηλὰ φρο-
νοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι, μὴ γίνεσθε φρόνιμοι
17 παρ' ἑαυτοῖς, [17] μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοού- 2Cor. 8, 21.
18 μενοι καλὰ ἐνώπιον τῶν ἀνθρώπων, [18] εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, * Prov. 3. 4.
19 μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες, [19] μὴ ἑαυτοὺς ἐκδικοῦντες,
ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ· Ἐμοὶ ἐκ- * Dt. 32, 35.
20 δίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος. [20] ἐὰν πεινᾷ ὁ ἐχθρός Heb. 10, 30.
σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποιῶν * Prov. 25, 21.
21 ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. [21] μὴ νικῶ 22.
ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

## XIII.

1 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ
ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ θεοῦ, αἱ δὲ οὖσαι ὑπὸ τοῦ θεοῦ τετα-
2 γμέναι εἰσίν. [2] ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ θεοῦ δια-
ταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται.

---

14. Om. εὐλ. τους δ. ὑμ. FG g. Ruf. ms. al.; post καταρ. pon. DE d. e. .. om. ὑμᾶς B al.

15. Rc. Kn. Sz. καὶ κλαίειν. [om. c. BD*FG al. Arm. Vg. It. Tert. (1.) Ruf. al.

17. Ln. καλὰ (ἐνώπιον τοῦ θεοῦ καὶ) ἐνώπ. c. A Polyc. .. h. οὐ μόνον ἐνώπ. τ. θεοῦ ἀλλὰ καὶ ἐνώπ. FG Arm. Gth. Vg. g. Guelph. Lcif. al. m. — Rc. Kn. Sz. πάντων ἀνθρ. [τῶν c. AD*FG al. It. Clem. (teste Wtst.) Tert. Lcif. (om. plane, ut vdtr, 44. al. Polyc.)

20. Rc. Kn. Sz. ἐὰν οὖν... Ln. ἀλλὰ ἐάν c. AB al. m. Cpt. Vg. d. Bas. Ruf.; etiam ἀλλὰ καὶ ἐάν, ἐὰν δέ, ἐὰν γάρ leg. .. om. plane c. D*FG al. Gth. e. g. Guelph.

Cap. XIII. 1. Hab. πάσαις pro πᾶσα ψυχή et ὑποτάσσεσθε D*FG d. g. Har. Ir. (2.) al. — Ln. ὑπό pro ἀπό c. ABD**E** FI al. pl. Bas. Isid. Chrs. al. — om. αἱ δέ usq. εἰσίν Ruf. Hier. Sedul. — Rc. et Kn. (—) οὖσαι ἐξουσίαι [om. c. ABD*FG al. Vg. It. Cpt. al. Or. Ir. (2.) al.] — Kn. Sz. Ln. om. τοῦ ante θεοῦ c. ADEFG al. m. Chrs. Damsc. [Et illud ἀπό et hoc τοῦ Or. hab.]

3 οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶν φόβος τῷ ἀγαθῷ ἔργῳ ἀλλὰ τῷ κακῷ. 3
θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις
ἔπαινον ἐξ αὐτῆς· 4 θεοῦ γὰρ διάκονός ἐστιν σοὶ εἰς τὸ ἀγαθόν. 4
ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ·
θεοῦ γὰρ διάκονός ἐστιν ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.
5 διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν ἀλλὰ καὶ 5
διὰ τὴν συνείδησιν. 6 διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουρ- 6
γοὶ γὰρ θεοῦ εἰσιν εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. 7 ἀπόδοτε 7
πᾶσιν τὰς ὀφειλάς, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος,
τῷ τὸν φόβον τὸν φόβον, τῷ τὴν τιμὴν τὴν τιμήν. 8 Μηδενὶ μηδὲν 8
ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν. ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον
ᵃ Ex. 20, νόμον πεπλήρωκεν· 9 τὸ γὰρ οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέ- 9
13 sqq. ᵃ Lv. ψεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τῷ λόγῳ τούτῳ
19, 18. Gal. 5, ἀνακεφαλαιοῦται, ἐν τῷ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυ-
14. τόν. 10 ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν 10
νόμου ἡ ἀγάπη. 11 Καὶ τοῦτο εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἤδη 11
ἡμᾶς ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ
ὅτε ἐπιστεύσαμεν. 12 ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἀπο- 12
θώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, ἐνδυσώμεθα δὲ τὰ ὅπλα τοῦ
φωτός. 13 ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις 13
καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ, 14 ἀλλὰ 14

---

3. Rc. Kn. Sz. τῶν ἀγαθῶν ἔργων ἀλλὰ τῶν κακῶν. [τῷ etc. c. ABD*FG al. Vg. It. al. Clem. Ir. al. m.]
4. Om. εἰς ὀργ. D*FG al. d. g.; ante ἔκδικ. pon. E al. pm. Chrs. Thdret.
5. Hab. ὑποτάσσεσθε omisso ἀνάγκ. DEFG al. Gth. It. Ir. al.; etiam ἀνάγκη ὑποτάσσεσθε leg.
7. Rc. Kn. Sz. ἀπόδ. οὖν. [om. c. ABD* al. Vg. ms. Am. Tol. al. Damsc. al.]
9. Om. οὐ μοιχ. Erp. Sah.; etiam post φον. pon. — Rc. et Kn. (—) post κλέψ. add. οὐ ψευδομαρτυρήσεις. — om. οὐκ ἐπιθ. 54. Clem. (1.) Or. (2.) Chrs. — Rc. Kn. Sz. ἐ. τούτῳ τῷ λόγ. — om. ἐν τῷ ante ἀγαπ. BG Vg. It. PP. lat.; h. τῷ Clem. (1.) Or. (1.) .. hinc Ln. (ἐν τῷ). — Rc. Kn. Sz. ἑαυτόν [σεαυτ. c. ABDE al. Sah. Or. al.]
10. Om. ἡ ἀγάπ. usq. ἐργάζ. A. — h. πλήρ. δέ D*FG It. Aug. Ambrst.; etiam γάρ leg. et plane om.
11. Hab. ἰδόντες τὸν κ. A*FG**. — h. ὑμᾶς A al. Clem.; om. Ruf.
12. Hab. ἀποβαλώμεθα DEFG. — Rc. Kn. Sz. καὶ ἐνδ. [ἐνδ. δέ c. ABC*D*E al. Cpt. Sah. Clem. Damsc.] — h. ἔργα pro ὅπλα ADE al. d. e.

ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

## XIV.

1 Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς δια-
2 κρίσεις διαλογισμῶν. [2] ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθε-
3 νῶν λάχανα ἐσθίει. [3] ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω·
ὁ δὲ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ θεὸς γὰρ αὐτὸν προσ-
4 ελάβετο. [4] σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ
στήκει ἢ πίπτει· σταθήσεται δέ, δυνατεῖ γὰρ ὁ κύριος στῆσαι αὐ-
5 τόν. [5] ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέ-
6 ραν. ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. [6] ὁ φρονῶν τὴν ἡμέ-
ραν κυρίῳ φρονεῖ. καὶ ὁ ἐσθίων κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ
θεῷ· καὶ ὁ μὴ ἐσθίων κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ.
7 8 [7] οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· [8] ἐάν
τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τῷ κυρίῳ
ἀποθνήσκομεν. ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήσκωμεν, τοῦ κυ-
9 ρίου ἐσμέν. [9] εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανεν καὶ ἔζησεν, ἵνα καὶ

---

14. Om. *καί* DFG. — h. *ἐ. ἐπιθυμίαν* A 1. Cyr. al. .. *ἐν ἐπιθυμίαις* FG Vg. It. PP. lat.

Cap. XIV. 2. Hab. *ὃς δέ* FG et *ἐσθιέτω* D* gr. FG Sah. al. manducet Vg. e. g. Ruf. (text.) al.

3. Rc. Kn. Sz. *καὶ ὁ μή.* [*δέ* c. ABCD* al. d. Clem. (2.) Damsc. .. h. *οὐδὲ ὁ* (omisso *μή* ante *κριν.*) FG g.]

4. Rc. Kn. Sz. *δυνατὸς γάρ ἐστιν* [*δυνατεῖ γ.* c. AB (ap. Btlj. .. *δύναται* ap. Bch.) FG gr. .. h. *δύναται γ.* CDE gr. Sah.; *δυνατός* sine *ἐστ.* Bas. Chrs.] *ὁ θεός.* [*κύρ.* c. ABC* Cpt. Sah. Arm. Vg. ms. et addito *αὐτοῦ* Syr. Erp.]

5. Ln. *μὲν* (*γάρ*) c. AC al. Cpt. Vg. It. Ruf. al.

6. Rc. Kn. Sz. post *φρονεῖ* add. *καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν κυρίῳ οὐ φρονεῖ.* [om. c. ABC*DEFG (— I om. infra *καὶ ὁ μὴ ἐσθ.* usq. *θεῷ.* —) al. Cpt. Aeth. Vg. It. Ruf. Hier. al. (etiam ut vdtr Chrs. Thdret.)] — Rc. om. *καί* ante *ὁ ἐσθ.* — h. *καὶ εὐχ.* pro *εὐχ. γάρ* 31. al. Syr. Erp. cdd. lat. al. Clem. al.

8. Ln. bis *ἐάν τε ἀποθνήσκομεν* c. ADFG al.

9. Rc. Kn. Sz. *καὶ ἀπέθ.* [om. c. ABC*DEFG al. m. Syr. Vg. g. al. Or. (3.) Cyr. Damsc.] — Rc. pro *ἔζησ.* h. *καὶ ἀνέστη καὶ ἀνέζησ.* .. h. *Χρ. ἔζησ. κ. ἀπέθ. κ. ἀνέστη* DE d. e. Ir. al. .. pro *κ. ἔζησ.* hab. *κ. ἀνέστη* FG Vg. g. Or. (3.)

νεκρῶν καὶ ζώντων κυριεύσῃ. [10]σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν 10
σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παρα-
* Es. 45, 23. Phil. 2, 10. 11. στησόμεθα τῷ βήματι τοῦ θεοῦ. [11]γέγραπται γάρ· Ζῶ ἐγώ, 11
λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ καὶ ἐξομολογήσεται πᾶσα
γλῶσσα τῷ θεῷ. [12]ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον 12
δώσει τῷ θεῷ. [13]Μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο 13
κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάν-
δαλον. [14]οἶδα καὶ πέπεισμαι ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν 14
δι' αὐτοῦ, εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν.
[15]εἰ γὰρ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγά- 15
πην περιπατεῖς. μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ
Χριστὸς ἀπέθανεν. [16]μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν. 16
[17]οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δι- 17
καιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ· [18]ὁ γὰρ ἐν τούτῳ 18
δουλεύων Χριστῷ εὐάρεστος τῷ θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις.
[19]ἄρα οὖν τὰ τῆς εἰρήνης διώκομεν καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς 19
ἀλλήλους. [20]μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ. 20
Tit. 1, 15. πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμμα-
τος ἐσθίοντι· [21]καλὸν τὸ μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ 21
ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει. [22]σὺ πίστιν ἔχεις· κατὰ σεαυ- 22
τὸν ἔχε ἐνώπιον τοῦ θεοῦ. μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δο-

---

10. Hab. *κρίν. τ. ἀδ. σ. ἐν τῷ μὴ ἐσθίειν* DEFG al. It. Ambrst. — Rc. Kn. Sz. pro *θεοῦ* [c. ABDEFG It. Vg. ms. Damsc. Ruf. dis. (non Or.) al. m.] h. *Χριστοῦ*.

11. Hab. *εἰ μή* pro *ὅτι* FG. — om. *τῷ θεῷ* DE Ephr.; etiam *τῷ κυρίῳ* et *μοί* leg.

12. Ln. om. *οὖν* [c. BD*FG al. (itaque Vg. It.)], h. *ἀποδώσει* [c. BD* FG al. Chrs.] et (*τῷ θεῷ*)... id om. BFG al. g. Cypr. Aug. (2.)

13. Om. *πρόσκομμα* et *ἤ* (etiam *εἰ*, *εἰς* leg.) B. — 14. Rc. *δι' ἑαυτοῦ*.

15. Rc. Kn. Sz. *εἰ δέ*. [*γάρ* c. ABDEFG al. Vg. It. al. Ruf. al.]

16. Om. *οὖν* FG Arm. Gth. — h. *ἡμῶν* DEG Syr. Vg. It. al. Clem. Ruf. al.

18. Rc. Kn. Sz. *τούτοις* [*τούτῳ* c. ABCD*FG al. Vg. It. al. Chrs. Ruf. dis. al.] et *τῷ Χρ.* [om. c. AD*FG al.]

19. Ln. *ἄρα* etc. *διώκομεν* (c. ABG* gr. al.) et interpg. *ἀλλήλους*; — post *ἀλλήλ.* add. *φυλάξωμεν* DEFG al. Vg. It. Ruf. ms. al.

21. Rc. Kn. Sz. Ln. in f. add. *ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ*.. om. c. AC 67.** Syr. Erp. Cpt. Aeth. Or. Damsc. Ruf.; *σκανδαλ.* etiam ante *προσκ.* pon.

22. Ln. *ἣν ἔχεις* c. ABC Tol. Ruf. Aug. Pel.

23 κιμάζει· [23] ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ
ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.

## XV.

1 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων
2 βαστάζειν καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. [2] ἕκαστος ἡμῶν τῷ πλησίον
3 ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν· [3] καὶ γὰρ ὁ Χριστὸς οὐχ
ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται· Οἱ ὀνειδισμοὶ τῶν ὀνει- *Ps. 69.
4 διζόντων σὲ ἐπέπεσαν ἐπ' ἐμέ. [4] ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμε- 9. (10.)
τέραν διδασκαλίαν ἐγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ διὰ τῆς παρα-
5 κλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. [5] ὁ δὲ θεὸς τῆς ὑπο-
μονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις
6 κατὰ Χριστὸν Ἰησοῦν, [6] ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε
7 τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [7] διὸ προσ-
λαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς
8 εἰς δόξαν τοῦ θεοῦ. [8] λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι
περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας
9 τῶν πατέρων, [9] τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν, καθὼς *Ps. 18.
γέγραπται· Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν καὶ τῷ ὀνό- 49. (50.)
10 ματί σου ψαλῶ. [10] καὶ πάλιν λέγει· Εὐφράνθητε ἔθνη μετὰ τοῦ *Dt. 32. 43.
11 λαοῦ αὐτοῦ. [11] καὶ πάλιν· Αἰνεῖτε πάντα τὰ ἔθνη τὸν κύριον, καὶ *Ps. 117. 1.
12 ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοί. [12] καὶ πάλιν Ἡσαΐας λέγει· *Es. 11.
Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' 10.

---

23. De tribus vv. extremis totius epistolae qui a multis ad finem hujus cap. adduntur cf. notata ad v. 25. cap. XVI.

Cap. XV. 2. Rc. ἕκαστ. γάρ. — h. ὑμῶν FG al. pm. Sl. Vg. g. Bas. Chrs. Ruf. al.

4. Hab. γὰρ προσεγράφη D*FG. .. γ. ἐγράφη πάντα B al. et sine πάντ. Vg. It. al. Ruf. al. — Rc. Kn. Sz. pro ἐγράφη [c. BCDEFG al. Syr. Vg. It. al. Clem. Ruf. al.] h. προεγράφ. — Rc. Kn. (Sz. per error. hab.) om. διά poster. [scr. c. ABCI al. m. d.]

7. Rc. ἡμᾶς. — Rc. Kn. Sz. om. τοῦ. [scr. c. ABCDEFG al.]

8. Rc. Kn. Sz. λέγ. δὲ [γάρ c. ABCDEFG al. Vg. It. Gth. Cyr. Ruf. al.] Ἰησοῦν Χρ. [om. c. ABC Vg. ms. al. Cyr. Ath. al.; post Χρ. a pui. pon.] — Ln. γενέσθαι c. BC*D*FG al.

9. Hab. κύριε καί 1. al. pm. Syr. p. Vg. cdd. lat. al. Chrs. al.

11. Ln. πάλ. λέγει. — Rc. Kn. Sz. ἐπαινέσατε [-σάτωσαν c. AB al. Chrs. ms. Damsc.]

αὐτῷ ἔθνη ἐλπιοῦσιν. [13] ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς 13
πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς
ἐν τῇ ἐλπίδι ἐν δυνάμει πνεύματος ἁγίου.
Πέπεισμαι δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι 14
καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως,
δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν· [15] τολμηρότερον δὲ ἔγραψα 15
ὑμῖν ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δο-
θεῖσάν μοι ὑπὸ τοῦ θεοῦ [16] εἰς τὸ εἶναί με λειτουργὸν Χριστοῦ 16
Ἰησοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα γέ-
νηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύ-
ματι ἁγίῳ. [17] ἔχω οὖν τὴν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς 17
τὸν θεόν· [18] οὐ γὰρ τολμήσω τι λαλεῖν ὧν οὐ κατειργάσατο Χρι- 18
στὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, [19] ἐν δυνάμει 19
σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος ἁγίου, ὥστε με ἀπὸ
Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐ-
αγγέλιον τοῦ Χριστοῦ. [20] οὕτως δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι 20
οὐχ ὅπου ὠνομάσθη Χριστός, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκο-
* Es. 52, 15. δομῶ, [21] ἀλλὰ καθὼς γέγραπται· Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, 21
ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασιν, συνήσουσιν. [22] διὸ καὶ ἐνεκοπτό- 22
μην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς, [23] νυνὶ δὲ μηκέτι τόπον 23
ἔχων ἐν τοῖς κλίμασιν τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς

---

13. Hab. πληροφορήσαι ὑμᾶς (ἐν B) πάσῃ χαρᾷ κ. εἰρήνῃ BFG. — om. ἐν τῷ πιστ. DEFG al. Arm. It. — om. ἐν ante τῇ ἐλπ. D*EFG al.

14. Om. κ. αὐτοί DEFG al. ft. al. — h. καὶ πεπληρ. DEFG Syr. It. — h. ἄλλους pro ἀλλήλ. 1. al. pl. Syr. Sl. Chrs. al.

15. Ln. τολμηροτέρως c. AB. — Rc. Kn. Sz. ὑμῖν, ἀδελφοί. [om. c. ABC Cpt. Aeth. Cyr. Chrs. Ruf.; etiam post μέρ. pon.; etiam add. μου.] — h. ἀπό pro ὑπό BF Damsc.

16. Rc. Kn. Sz. Ἰησ. Χριστ. iid. v. 17. om. τήν, tum Rc. om. τόν.

18. Pro λαλεῖν h. εἰπεῖν DEFG Ath. Cyr.; etiam λαλῆσαι, λαβεῖν et aliter leg. . . Rc. Kn. Sz. λαλ. τι [contra ABCDEFG etc.].

19. Rc. πν. θεοῦ. . . plane om. B Pel. (comm. vdtr.) Vig. (1.) — h. ὥστε πεπληρῶσθαι ἀπὸ Ἱερ. μέχρι τ. Ἰλλυρ. καὶ κύκλῳ τὸ εὐαγγ. DEFG It.

20. Ln. φιλοτιμοῦμαι c. BD*FG g. . . om. plane Vg. d. e. Ruf. Pel. — h. ὅπου οὐκ D*FG g. Chrs. Bed.

22. Ln. πολλάκις pro τὰ π. c. BDEFG.

24 ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, [24] ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν,
ἐλπίζω διαπορευόμενος θεάσασθαι ὑμᾶς καὶ ἀφ' ὑμῶν προπεμ-
25 φθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. [25] νυνὶ δὲ
26 πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς ἁγίοις. [26] εὐδόκησαν γὰρ
Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς
27 τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. [27] εὐδόκησαν γάρ, καὶ ὀφειλέται
εἰσὶν αὐτῶν· εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη,
28 ὀφείλουσιν καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. [28] τοῦτο οὖν
ἐπιτελέσας καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀπελεύ-
29 σομαι δι' ὑμῶν εἰς Σπανίαν· [29] οἶδα δέ, ὅτι ἐρχόμενος πρὸς
30 ὑμᾶς ἐν πληρώματι εὐλογίας Χριστοῦ ἐλεύσομαι. [30] παρακαλῶ δὲ
ὑμᾶς, ἀδελφοί, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς
ἀγάπης τοῦ πνεύματος, συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς
31 ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν, [31] ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν
τῇ Ἰουδαίᾳ καὶ ἡ δωροφορία μου ἡ ἐν Ἱερουσαλὴμ εὐπρόσδεκτος
32 τοῖς ἁγίοις γένηται, [32] ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήμα-
33 τος κυρίου Ἰησοῦ. [33] ὁ δὲ θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν.

---

24. Hab. ὡς ἂν (Rc. Kn. Sz. ἐάν . . . ἄν c. ABDEFG al.) οὖν DEFG et πορεύομαι DEFG al.m. . . πορεύσομαι I 122.** proficisci coepero Vg. d. e. — Rc. Σπαν. ἐλεύσομαι πρὸς ὑμᾶς. [om. c. ABCDEFG Syr. Erp. Cpt. Aeth. Arm. Vg. It. Chrs. Damsc. Ruf. al.] tum ἐλπ. γάρ. [hab. etiam Ln. . . om. c. DEFG Syr. Erp. Cpt. Aeth. Vg. It. Chrs. Ruf. al.] — Rc. Kn. Sz. ὑφ' ὑμ. [ἀφ' ὑ. c. BDEFG al.]

25. Hab. διακονῆσαι (-νεῖν C vdtr; -νήσων 73.) DEG Vg. It.

27. Om. εὐδόκ. γ. καί DEFG It. Ambrst. et h. ὀφ. γάρ FG d. g. Ambrst.

28. Rc. Kn. Sz. τὴν Σπ. [om. c. ABDG al. Chrs.]

29. Hab. πληροφορίᾳ D*EFG al. — Rc. Kn. τοῦ εὐαγγελίου τοῦ Χριστ.

30. Hab. προσευχ. ὑμῶν DEFG al. Vg. (non Am.) It. (exc. 1.) al. — om. ὑπ. ἐμ. FG d. g. Vg. ms. Ruf.; etiam post θεόν pon.; etiam περὶ ἐμ. leg.

31. Rc. Kn. Sz. καὶ ἵνα ἡ διακονία [δωρ. c. BD*FG.] μ. ἡ εἰς Ἱερ. [ἡ ἐν c. BD*FG al. It.; etiam εἰς et ἐν omisso ἡ leg.]

32. Rc. Kn. Sz. θελήμ. θεοῦ [κυρ. Ἰησ. c. B. . . Χριστ. Ἰησ. D*EFG It. Ambrst.] καὶ συναναπαύσωμαι ὑμῶν [ea add. etiam Ln. nisi quod om. καί et ante h. ἐλθών c. AC al. Ruf.]. . . om. c. B. . . h. κ. ἀναψύξω μεθ' ὑμῶν DE et κ. ἀναψυχῶ μ. ὑμ. FG. . . etiam κ. συναναπαύσω ὑμᾶς, κ. συναναπαύσομαι ὑμῖν leg. . . et refrigerer (s. -rem) vobiscum Vg. It. PP. lat.

33. Hab. ἤτω μετά DEFG al. Syr. Vg. It. — Rc. Sz. in f. add. ἀμήν. . . Kn. Ln. (—) . . om. c. AFG al. g.

## XVI.

Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διακο- 1
νον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, [2] ἵνα προσδέξησθε αὐτὴν 2
ἐν κυρίῳ ἀξίως τῶν ἁγίων καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν
χρῄζῃ πράγματι· καὶ γὰρ αὐτὴ προστάτις πολλῶν ἐγενήθη καὶ
ἐμοῦ αὐτοῦ.

Ἀσπάσασθε Πρίσκαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Χρι- 3
στῷ Ἰησοῦ, [4] οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον 4
ὑπέθηκαν, οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλη-
σίαι τῶν ἐθνῶν, [5] καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. ἀσπάσα- 5
σθε Ἐπαίνετον τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀσίας εἰς
Χριστόν. [6] ἀσπάσασθε Μαρίαν, ἥτις πολλὰ ἐκοπίασεν εἰς ὑμᾶς. 6
[7] ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου καὶ συν- 7
αιχμαλώτους μου, οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ
καὶ πρὸ ἐμοῦ γέγοναν ἐν Χριστῷ. [8] ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγα- 8
πητόν μου ἐν κυρίῳ. [9] ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν 9
ἐν Χριστῷ καὶ Στάχυν τὸν ἀγαπητόν μου. [10] ἀσπάσασθε Ἀπελ- 10
λῆν τὸν δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβού-
λου. [11] ἀσπάσασθε Ἡρωδίωνα τὸν συγγενῆ μου. ἀσπάσασθε τοὺς 11
ἐκ τῶν Ναρκίσσου τοὺς ὄντας ἐν κυρίῳ. [12] ἀσπάσασθε Τρύφαιναν 12
καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν κυρίῳ. ἀσπάσασθε Περσίδα τὴν
ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν κυρίῳ. [13] ἀσπάσασθε Ῥοῦφον 13
τὸν ἐκλεκτὸν ἐν κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. [14] ἀσπά- 14
σασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμῆν, Πατρόβαν, Ἑρμᾶν, καὶ

---

Cap. XVI. 1. Om. δέ D*FG d. g. Aeth.— h. ὑμῶν AG al. g. Cpt.; etiam om.
2. Rc. Sz. αὕτῃ. — 3. Rc. Πρίσκιλλαν.
5. Pon. καὶ τήν usq. ἐκκλ. ante οἵτινες DEFG It. — Rc. τῆς Ἀχαΐας. —
h. ἐν Χριστῷ DEFG al. Vg. It.
6. Rc. Kn. Sz. Μαριάμ [-αν c. ABC al. Syr.] et ἡμᾶς. [ὑμ. c. A al. m.
Syr. utr. Arr. Cpt. Aeth. Chrs. (1.) Thdret. Thphyl. . . h. ἐν ὑμῖν DEFG
Vg. It. Ruf. al.]
7. Hab. ἀποστ. τοῖς πρὸ ἐμ. ἐν Χρ. Ἰησοῦ DEFG d. g. [add. Ἰησ.
etiam Ruf. al.] — Rc. Kn. Sz. γεγόνασιν [-ναν c. AB].
8. Hab. Ἀμπλιάτον AFG al. Vg. It. al. Euthal. Ruf. Hier. al. — om.
μοῦ BF.
9. Hab. ἐν κυρίῳ DEFG al. Arm. It. Chrs. ms.

15 τοὺς σὺν αὐτοῖς ἀδελφούς. [15] ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν,
Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐ-
16 τοῖς πάντας ἁγίους. [16] ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. 1 Cor.
ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ. 16, 20. 2 Cor.
17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας 13, 12. 1 Thss.
καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε ποιοῦντας, 5, 26.
18 καὶ ἐκκλίνατε ἀπ' αὐτῶν· [18] οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν Χρι- 1 Pet. 5, 14.
στῷ οὐ δουλεύουσιν ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστο-
19 λογίας καὶ εὐλογίας ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων. [19] ἡ
γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο· ἐφ' ὑμῖν οὖν χαίρω, θέλω
δὲ ὑμᾶς σοφοὺς εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ κακόν.
20 [20] ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας
ὑμῶν ἐν τάχει.
Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.
21 Ἀσπάζεται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος καὶ
22 Ἰάσων καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. [22] ἀσπάζομαι ὑμᾶς ἐγὼ
23 Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν κυρίῳ. [23] ἀσπάζεται ὑμᾶς
Γάϊος ὁ ξένος μου καὶ ὅλης τῆς ἐκκλησίας. ἀσπάζεται ὑμᾶς Ἔρα-
στος ὁ οἰκονόμος τῆς πόλεως καὶ Κούαρτος ὁ ἀδελφός.

---

15. Hab. Ἰουνίαν CFG gr.; tum Νηρέαν AFG al.; tum Ὀλυμπίαν DE et Ὀλυμπεῖδα FG. Olympiadem Vg. It.

16. Om. ἀσπάζ. ὑμ. αἱ ἐκκλ. π. τ. Χρ. DEFG It. cf. ad v. 21. .. Rc. om. πᾶσαι. [scr. c. ABCI al. Syr. Vg. al. m. Cyr. al.]

17. Hab. ἀσφαλῶς σκοπεῖτε (antea ἐρωτῶ DE) et λέγοντας ἢ ποιοῦντ. DEFG It. — h. ἐκκλίνετε BC 67**. Thdret. Damsc.

18. Rc. ἡμ. Ἰησοῦ Χρ. .. h. κυρ. Χρ. ἡμ. DFG al. g. .. al. aliter.

19. Om. κ. εὐλογ. DEFG al. It. — Rc. Kn. Sz. χαίρ. οὖν τὸ ἐφ' ὑμ. [om. τό c. ABCDEFG al. Vg. It. .. pos. ἐφ' ὑ. ο. χ. c. ABCI al. Arm. Ruf.] — h. καὶ θέλ. D*EFG It. al.; etiam om. — Rc. Kn. Sz. σοφ. μέν.

20. Hab. συντρίψαι A 67.** Vg. g. al. Thdret. (comm.) al. — om. ἡ χάρ. usq. ὑμ. DEFG It. — Rc. et Kn. (—) in f. add. ἀμήν.

21. Rc. Kn. Sz. ἀσπάζονται. — om. μοῦ ante καί B 67.** — Add. in f. καὶ αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ DEFG It. cf. ad v. 16.

23. Rc. Kn. Sz. τῆς ἐκκλ. ὅλης. .. h. ὅλαι αἱ ἐκκλησίαι FG g. Am. .. ὅλη ἡ ἐκκλ. Vg. al.

24. Rc. Kn. Sz. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (om. Ἰ. Χρ. FG.) μετὰ πάντων ὑμῶν. ἀμήν. [om. c. ABC 5. Cpt. Aeth. Vg. ms. Am. Har.* Ruf. .. al. aliter pon.]

Jud. 24. 25. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ 25
Eph. 3, τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις
20. 21. αἰωνίοις σεσιγημένου, [26] φανερωθέντος δὲ νῦν διά τε γραφῶν προ- 26
φητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς
1 Tim. πάντα τὰ ἔθνη γνωρισθέντος, [27] μόνῳ σοφῷ θεῷ, διὰ Ἰησοῦ Χρι- 27
1, 17. στοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

## ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α.

Παῦλος, κλητὸς ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ, 1
καὶ Σωσθένης ὁ ἀδελφὸς [2] τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, ἡγιασμένοις ἐν 2
Χριστῷ Ἰησοῦ, τῇ οὔσῃ ἐν Κορίνθῳ, κλητοῖς ἁγίοις, σὺν πᾶσιν
τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν
παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. [3] χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ 3
πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

---

25. Vv. 25. 26. 27. post v. 23. capitis XIV. hab. A (sed A et al. tres utroq. loco hab.) I et cdd. lit. minusculis scripti fere omnes. Lectt. gr. Syr. p. (teste W'tst.) Arr. Sl. cdd. ap. Ruf. Chrs. Thdret. Damsc. al. .. hoc loco h. BCD*E 16. (vdtr.) 66. 80. 137. 176. al. Syr. Erp. Cpt. Aeth. Vg. d. e. Ruf. Ambrst. et Latt. ceteri. .. om. plane D** FG (spatium vacuum post c. XIV. h.) al. cdd. ap. Erasm. cdd. ap. Hier. Mcion.

26. Om. τέ DE 34. Syr. Erp. Aeth. (hae 3. post προφ. add. καί.) Vg. d. e. al. Chrs. PP. lat. — post προφ. add. καὶ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησ. Χριστοῦ Or. (3.) cdd. ap. Hier.

27. Om. ᾧ B (ap. Btlj.) et (etiam ἡ om.) 33. 72. Ruf.; etiam οὗ ἡ, αὐτῷ ἡ, εἴη leg. — Ln. post αἰῶν. add. τῶν αἰώνων c. A (h. l.; non post XIV, 23.) DE Syr. Cpt. Vg. Ruf. Damsc.

*) Rc. et Kn. (—) subscript. h. Πρὸς Ῥωμαίους ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας c. 10. al. pl. .. h. πρὸς Ῥωμαίους ACD* al. .. πρ. Ῥ. ἐγράφη ἀπὸ Κορίνθου BD**. .. al. aliter.

Cap. I. 1. Ln. (κλητός) .. om. ADE d. e. .. add. καί Syr. — Rc. Kn. Sz. Ἰησ. Χρ. [Χρ. Ἰ. c. BDFG al. d. e. g. Am. Hil.]

2. Rc. Kn. Sz. τῇ οὔσ. ἐν Κορ. h. post θεοῦ. [post Ἰησ. c. BDEFG It.]— h. σύμπασιν 46. (s. XI.) 52. (s. XV.) 109. (s. XI.) al. — om. ἡμῶν ante Ἰησ. A al. Or. Tert. al. — Ln. om. τέ c. BD*G al.

4 *Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι*
5 *τοῦ θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ,* [5] *ὅτι ἐν παντὶ ἐπλου-*
6 *τίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει,* [6] *καθὼς τὸ*
7 *μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν,* [7] *ὥστε ὑμᾶς μὴ ὑστε-*
*ρεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ*
8 *κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,* [8] *ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους*
9 *ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.* [9] *πι-*
*στὸς ὁ θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ*
*Χριστοῦ τοῦ κυρίου ἡμῶν.*

10 *Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ κυρίου*
*ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν*
*ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ*
11 *αὐτῇ γνώμῃ.* [11] *ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ*
12 *τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσίν.* [12] *λέγω δὲ τοῦτο, ὅτι ἕκα-*
*στος ὑμῶν λέγει· Ἐγὼ μέν εἰμι Παύλου· Ἐγὼ δὲ Ἀπολλώ· Ἐγὼ*
13 *δὲ Κηφᾶ· Ἐγὼ δὲ Χριστοῦ.* [13] *Μεμέρισται ὁ Χριστός; μὴ Παῦ-*
*λος ἐσταυρώθη περὶ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;*
14 [14] *εὐχαριστῶ τῷ θεῷ, ὅτι οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ Κρίσπον*
15 *καὶ Γάϊον·* [15] *ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβαπτίσθητε.*
16 [16] *ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα*
*ἄλλον ἐβάπτισα.*

17 *Οὐ γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν ἀλλ' εὐαγγελίζε-*
*σθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χρι-*
18 *στοῦ.* [18] *ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία*
19 *ἐστίν, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστιν.* [19] *γέγραπται*

---

4. Om. *μοῦ* B. — om. *τοῦ θεοῦ* A al. Cyr. (2.)
6. Hab. *τοῦ θεοῦ* FG al. Arm. g.
8. Hab. *τῇ παρουσίᾳ* DEFG It. — 9. h. *ὑφ' οὗ* D*gr. Ggr.
13. Hab. *Μὴ μεμέρ.* 10. al. Syr. Arr. Arm. Sl. Eus. — Rc. Kn. Sz. pro *περί* (c. BD*.) h. *ὑπέρ.*
14. Ln. *τ. θεῷ μου* c. A al. Syr. Vg. cdd. lat. al. Thdret. (3.) al. .. om. *τ. θεῷ* B.
15. Rc. Kn. Sz. *ἐβάπτισα.* [-*ίσθητε* c. ABC* al. m. Vg. e. Cpt al. Chrs. al. . . -*ίσθη* 10. 31.]
16. Hab. *βεβάπτικα δὲ καὶ* DFG. — h. *τὸ λοιπ.* et om. *ἄλλ.* FG It.
17. Ln. (*ὁ*) *Χρ.* . . add. *ὁ* BFG.
18. Post *γάρ* om. *ὁ* B. — om. *ἡμῖν* FG al. It. Tert. Ir. int. al. .. h. id est nobis Vg. Pel. al.; etiam *ὑμῖν* leg.

* Es. 29, 14. γάρ· Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν
ἀθετήσω. 20 ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ 20
αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου;
21 ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς 21
σοφίας τὸν θεὸν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος
σῶσαι τοὺς πιστεύοντας· 22 ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖα αἰτοῦσιν 22
καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, 23 ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν 23
ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρίαν, 24 αὐ- 24
τοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησιν, Χριστὸν θεοῦ δύ-
ναμιν καὶ θεοῦ σοφίαν· 25 ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν 25
ἀνθρώπων ἐστίν, καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀν-
θρώπων ἐστίν. 26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι 26
οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐ-
γενεῖς· 27 ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεός, ἵνα καται- 27
σχύνῃ τοὺς σοφούς, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεός,
ἵνα καταισχύνῃ τὰ ἰσχυρά, 28 καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ 28
ἐξουθενημένα ἐξελέξατο ὁ θεός, τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταρ-
γήσῃ, 29 ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ. 29
30 ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη σοφία 30
ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις,
* Jer. 9, 23. 24. 31 ἵνα καθὼς γέγραπται· Ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω. 31

## II.

Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν 1
λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. 2 οὐ 2

---

20. Rc. Kn. Sz. *κόσμ. τούτου.* [om. c. ABC*D* gr. al. Clem. (1.) al. m.]
21. Om. *γάρ* FG al. Arm.
22. Rc. *σημεῖον* et v. 23. *Ἕλλησι δέ.*
25. Ln. om. in f. *ἐστ.* c. B 67.** Tert. .. bis pon. ante *ἀνθρ.* DFG Arm. Vg. It.
26. Pro *γάρ* (etiam om.) h. *οὖν* DEFG al. g. Arm. Aeth. — om. *οὐ π. δυνατ.* FG g.; post *εὐγεν.* pon. 74. Ir.
27. Om. *ἵνα κατ. τούς* usq. *ὁ θ.* AFG al. m. g... al. alia om.
28. Rc. et Kn. (—) *καὶ τὰ μή.* [om. c. AC*D*EFG al. Aeth. Ir. Tert. Ruf. al.]
29 Rc. pro *τ. θεοῦ* [c. ABC*DEFGI etc.] h. *αὐτοῦ.*
Cap. II, 1. Hab. *τὸ μυστήριον* AC al. Syr. Cpt. Ambrst. al.

γάρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον
3 ἐσταυρωμένον. [3] κἀγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ
4 πολλῷ ἐγενόμην πρὸς ὑμᾶς, [4] καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά 1 Cor. 2, 13.
μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος
5 καὶ δυνάμεως, [5] ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' 1 Thes. 1, 5.
ἐν δυνάμει θεοῦ.

6 *Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις*, σοφίαν δὲ οὐ τοῦ αἰῶνος
τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων·
7 [7] ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην,
8 ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, [8] ἣν οὐδεὶς
τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· — εἰ γὰρ ἔγνωσαν, οὐκ
9 ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· — [9] ἀλλὰ καθὼς γέγραπται·
*Ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀν- *Es. 64, 4.
θρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν·
10 [10] ἡμῖν δὲ ἀπεκάλυψεν ὁ θεὸς διὰ τοῦ πνεύματος. τὸ γὰρ πνεῦμα
11 πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. [11] τίς γὰρ οἶδεν ἀνθρώ-
πων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;
οὕτως καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ.
12 [12] ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα
τὸ ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν,
13 [13] ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' 1 Cor. 2, 4.
ἐν διδακτοῖς πνεύματος, πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

---

2. Rc. τοῦ εἰδέν. τι.
3. Om. ἐν ante φόβ. (FG etc.) et ante τρόμ. (DFG etc.)
4. Rc. et Kn. (—) ἀνθρωπίνης σοφ. .. leg. ἐν πειθοῖ [18.* al. Or. (2 s. 4; ἐν πειθοῖς λόγ. 3 s. 5.) Eus. Ath. in persuasione Syr. Arm. Slav. It. Ambrst. al.] σοφ. λόγων. [sic Syr. Arm. Or. (1. τῶν λ. 1.) Ath. al. .. λόγου d. e. .. om. FG 18.* al. Erp. g. Or. (1.) Ambrst. (λόγων in text.)] .. pro πειθοῖς h. πιθανοῖς Mac. et h. καὶ λόγοις 77.
5. Hab. ἡμῶν 38. al. Sah. Clem. Or. (3.)
9. Rc. Kn. Sz. pro ὅσα [c. AB Hippol. Ath. Bas. Cyr. Mac.] h. ἃ.
10. Rc. Kn. Sz. πνεύμ. αὐτοῦ. [om. c. ABC Cpt. Clem. Bas. Cyr.; etiam ἁγίου et utrque leg.]
11. Om. ἀνθρώπων A 17. Ath. Cyr. Vig. et om. τοῦ ἀνθρ. FG g. Or. (1.) Hil. al. — Rc. Kn. Sz. οὐδ. οἶδεν. [ἔγν. c. ABCDE al. m. Vg. It. Or. (1.) Ath. al. m. .. h. ἔγνω FG Ath. (1.) al.]
13. Om. ἃ FG gr. Eus. — Rc. et Kn. (—) πνεύματος ἁγίου.

[14] ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· 14
μωρία γὰρ αὐτῷ ἐστιν, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς
ἀνακρίνεται. [15] ὁ δὲ πνευματικὸς ἀνακρίνει τὰ πάντα, αὐτὸς δὲ 15
*Es. 40, 13. ὑπ᾽ οὐδενὸς ἀνακρίνεται. [16] τίς γὰρ ἔγνω νοῦν κυρίου, ὃς συμ- 16
βιβάσει αὐτόν; ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

## III.

Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματι- 1
Heb. 5, 12. κοῖς, ἀλλ᾽ ὡς σαρκίνοις, ὡς νηπίοις ἐν Χριστῷ. [2] γάλα ὑμᾶς 2
ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε. ἀλλ᾽ οὐδὲ ἔτι νῦν δύ-
νασθε· [3] ἔτι γὰρ σαρκικοί ἐστε. ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, 3
οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; [4] ὅταν γὰρ 4
λέγῃ τις· Ἐγὼ μέν εἰμι Παύλου, ἕτερος δέ· Ἐγὼ Ἀπολλώ, οὐκ
ἄνθρωποί ἐστε; [5] τί οὖν ἐστιν Ἀπολλώς, τί δέ ἐστιν Παῦλος; διά- 5
κονοι δι᾽ ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν. [6] ἐγὼ 6
ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλὰ ὁ θεὸς ηὔξανεν· [7] ὥστε οὔτε 7
ὁ φυτεύων ἔστιν τι οὔτε ὁ ποτίζων, ἀλλ᾽ ὁ αὐξάνων θεός. [8] ὁ φυ- 8
τεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν, ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λή-
ψεται κατὰ τὸν ἴδιον κόπον. [9] θεοῦ γάρ ἐσμεν συνεργοί· θεοῦ 9

---

14. Om. *τ. θεοῦ* 2. 61. Syr. Clem. (2. h. 1.) Ptol. Ir. gr. et lat. Ath. Gr. nyss. Epiph. Chrs. al.

15. Rc. Kn. Sz. *μὲν πάντα*. . . Ln. (*τὰ*) *πάντα*. [om. *μέν* c. AD*FG al. Syr. Erp. Vg. It. Clem. (teste Wtst.) Or. al. et scr. *τὰ π.* c. AD*FG al. Clem. (teste Wtst.) Chrs. (non Or.); etiam *πάντας* leg.]

16. Ln. *κυρίου ἔχ.* c. BD* gr. FG g. Ambrst. Aug. [*Χρ.* Or. 5.]

Cap. III. 1. Rc. Kn. Sz. *σαρκικοῖς*. [*-νοις* c. ABCD* al. Clem. (1.) Or. (3.) Gr. nyss.] — h. *νηπίους* (c. sqtibus cjgtes) 76. al. (etiam Vg. d. e. Arm.) Clem. (1.) Thphyl. Ambrst.

2. Rc. *καὶ οὐ* et *ἀλλ᾽ οὔτε*. — Ln. (*ἔτι*) . . om. B.

3. Hab. *σάρκινοι* bis DFG Or. (1.) Gr. nyss. — Rc. Kn. Sz. *ἔρις καὶ διχοστασίαι*. [om. c. ABC al. Vg. al. Clem. (2.) Or. (2.) Eus. Gr. nyss. al. m. . . h. Ir. gr. et lat.]

4. Rc. Kn. Sz. pro *οὐκ* [c. ABC al. Damsc.] *ἄνθρ.* [c. ABCDEFG al. Vg. It. al. Did. Damsc. Or. int. al.] h. *οὐχὶ σαρκικοί*.

5. Rc. Kn. Sz. *τίς* [*τί* bis c. AB al. Aeth. Vg. d. e. Aug. al.] o. *ἐ. Παῦλ. τίς δὲ* [add. *ἐστ.* c. AB al.] *Ἀπολλ.* [*Ἀπολλ.*, tum *Παῦλ.* c. ABCDEFG al. Vg. It. Damsc. al.] *ἀλλ᾽ ἢ διάκ.* [om. (etiam Sz.) c. ABCD*EFG al. Vg. It. al. Damsc. al.]

8. Om. *δέ* post *ἕκαστ.* C 31. Syr.; h. *γάρ* Thdret.

10 γεώργιον, θεοῦ οἰκοδομή ἐστε. [10] κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν
δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον ἔθηκα, ἄλλος δὲ ἐπ-
11 οικοδομεῖ. ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ. [11] θεμέλιον γὰρ
ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Χριστὸς
12 Ἰησοῦς. [12] εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον χρυσόν, ἄργυρον,
13 λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, [13] ἑκάστου τὸ ἔργον φα-
νερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτε-
ται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστιν, τὸ πῦρ αὐτὸ δοκιμάσει.
14 15 [14] εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησεν, μισθὸν λήψεται· [15] εἴ
τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται,
16 οὕτως δὲ ὡς διὰ πυρός. [16] οὐκ οἴδατε, ὅτι ναὸς θεοῦ ἐστὲ καὶ 2 Cor. 6. 16.
17 τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; [17] εἴ τις τὸν ναὸν τοῦ θεοῦ Eph. 2. 21.
φθείρει, φθερεῖ αὐτὸν ὁ θεός· ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν,
18 οἵτινές ἐστε ὑμεῖς. [18] μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ τις δοκεῖ σο-
φὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται
19 σοφός. [19] ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ
ἐστίν. γέγραπται γάρ· Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουρ- * Job. 5. 13.
20 γίᾳ αὐτῶν. [20] καὶ πάλιν· Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν * Ps. 94. 11.
21 σοφῶν ὅτι εἰσὶν μάταιοι. [21] ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώ-
22 ποις· πάντα γὰρ ὑμῶν ἐστίν, [22] εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε
Κηφᾶς, εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος, εἴτε ἐνεστῶτα εἴτε
23 μέλλοντα, πάντα ὑμῶν, [23] ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ θεοῦ.

## IV.

1 Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ καὶ

---

10. Om. τ. θεοῦ 55. Vg. ms. Clem. Cyr. al. — Rc. Kn. Sz. τέθεικα. [ἔθηκ. c. A B C* al. Chrs.]

11. Rc. Ἰησ. ὁ Χρ. . . Kn. Sz. Ἰησ. Χρ.

12. Rc. Kn. Sz. θεμέλ. τοῦτον. [om. c. A B C Sah. Ambr.]

13. Rc. Kn. Sz. om. αὐτό. [scr. c. A B C al. m. Sah. Or. (1.) Eus. Bas. al.]

14. Rc. μένει. . . etiam μένῃ et μείνῃ leg.

17. Rc. Kn. Sz. pro αὐτόν [c. A D E F G al. Syr. al. illum Vg. It.] h. τοῦτον.

19. Om. τῷ D E F G al. Clem.

22. Rc. Kn. Sz. ὑμῶν (h. ἡμῶν et 23. ἡμεῖς B al.) ἐστιν. [om. c. A B C D* F G gr. al. d. e. Dial. c. Me. al.]

οἰκονόμους μυστηρίων θεοῦ. [2] ὧδε λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονό- 2
μοις ἵνα πιστός τις εὑρεθῇ. [3] ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' 3
ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν
ἀνακρίνω· [4] οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδι- 4
καίωμαι· ὁ δὲ ἀνακρίνων με κύριός ἐστιν. [5] ὥστε μὴ πρὸ καιροῦ 5
τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ
σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. καὶ τότε ὁ ἔπαι-
νος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ.

Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ 6
δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ἃ γέγραπται, ἵνα μὴ
εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. [7] τίς γάρ σε δια- 7
κρίνει; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς
μὴ λαβών; [8] ἤδη κεκορεσμένοι ἐστέ· ἤδη ἐπλουτήσατε· χωρὶς ἡμῶν 8
ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμ-
βασιλεύσωμεν. [9] δοκῶ γάρ, ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους 9
ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ
καὶ ἀγγέλοις καὶ ἀνθρώποις. [10] ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς 10
δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς
ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. [11] ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ 11
διψῶμεν καὶ γυμνιτεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν [12] καὶ 12
κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν, λοιδορούμενοι εὐλογοῦμεν,
διωκόμενοι ἀνεχόμεθα, [13] δυσφημούμενοι παρακαλοῦμεν, ὡς περι- 13
καθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι.

Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγα- 14
πητὰ νουθετῶ. [15] ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, 15

---

**Cap. IV.** 2. Rc. Kn. Sz. ὃ δέ. [ὧδε c. ABD*G al. Syr. Vg. It. al. Hier. Aug. al.] — h. ζητεῖτε A D gr. E gr. F G gr. al. pm.

5. Om. ὅς D*EFG al. It. Aug. (hab. 1.)

6. Ln. Ἀπολλῶν c. AB* .. h. ἀπὸ πολλῶν B.** — Rc. Kn. Sz. ὃ [ἃ c. ABC al. Cpt. Ath. Cyr.] et post γέγρ. add. φρονεῖν. [om. c. ABD*E* FG al. Vg. It. Ambrst. al.]

8. Ln. ἐστέ; ἐπλουτ.; ἐβασιλ.; sic interpgt.

9. Rc. Kn. Sz. γάρ, ὅτι. [om. c. ABCD*FG al. It. Clem. al. m.]

11. Rc. Kn. Sz. γυμνητεύομ. [γυμνιτ. c. ABCFG al.]

13. Rc. Kn. Sz. Ln. βλασφημούμ. .. δυσφημούμ. c. A al. Clem. Or. (2; βλασφημ. 2.) Eus. Cyr. Damsc.

14. Hab. νουθετῶν AC (vdtr) al. Thphyl.

ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγε-
16 λίου ἐγὼ ὑμᾶς ἐγέννησα. 16 παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γί-
17 νεσθε. 17 Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστίν μου τέκνον
ἀγαπητὸν καὶ πιστὸν ἐν κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου
τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.
18 19 18 ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες· 19 ἐλεύ-
σομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος θελήσῃ, καὶ γνώσομαι
20 οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· 20 οὐ γὰρ ἐν
21 λόγῳ ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ' ἐν δυνάμει. 21 τί θέλετε; ἐν ῥά-
βδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραΰτητος;

## V.

1 Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις
2 οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν· 2 καὶ
ὑμεῖς πεφυσιωμένοι ἐστὲ καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἀρθῇ
3 ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας; 3 ἐγὼ μὲν γὰρ ἀπὼν
τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν τὸν
4 οὕτως τοῦτο κατεργασάμενον, 4 ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν
Ἰησοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει
5 τοῦ κυρίου ἡμῶν Ἰησοῦ 5 παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς
ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου
6 Ἰησοῦ. 6 Οὐ καλὸν τὸ καύχημα ὑμῶν. οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη Gal. 5. 9.

16. Hab. παρακ. δέ D*FG... utrque g.
17. Ln. Χρ. Ἰησοῦ c. CD*FG (h. κυρίῳ Ἰησ. D*FG It.) al. m. Vg. (non Am.) d. g. Syr. p. al. Chrs. (text.) Damsc. al.
19. Hab. τὸν πεφυσιωμένον 3. al. m. Or. (non Clem.)
21. Rc. Kn. Sz. πραότητ. [πραΰτητ. c. ABC al. Damsc.]

Cap. V. 1. Rc. ἔθνεσ. ὀνομάζεται.
2. Rc. ἐξαρθῇ. — h. τοῦτο πράξας AC (vdtr) al. m. Manes ap. Epiph. Bas.
3. Rc. Kn. Sz. ὡς ἀπών. [om. c. ABCD* al. Vg. al. Man. ap. Epiph. Hil. al.] — om. τοῦτο G Arm. Vg. It. Lcif. al.
4. Rc. Kn. Sz. bis Ἰησ. Χριστοῦ. [om. 1.) c. ABD*. al. Aeth. Syr. p. c. ast. Am. d. Lcif. et 2.) c. ABD al. Aeth. Syr. p. Vg. d. Or. (2; h. 2.) Dial. c. Mc. al. m.] — om. ἡμῶν prius A Vg. ms. Am. Bas. Lcif. Pac. et poster. cdd. lat. Or. (4.) Thdret. ms. Ambr. al.
5. Ln. κυρ. (ἡμῶν Ἰησοῦ χριστοῦ)... tantum κυρίου h. B Or. (3; κυρ. ἡμ. Ἰησ. Χρ. 1.) Or. int. (1; add. Ἰησ. 1.) Tert. (2.) Hil. Pac.

ὅλον τὸ φύραμα ζυμοῖ; [7] ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε 7
νέον φύραμα, καθώς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ἐτύθη
Χριστός. [8] ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ μηδὲ ἐν ζύμῃ κα- 8
κίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.
Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις, 9
[10] οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις 10
καὶ ἅρπαξιν ἢ εἰδωλολάτραις, ἐπεὶ ὠφείλετε ἄρα ἐκ τοῦ κόσμου
ἐξελθεῖν. [11] νῦν δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις 11
ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ
λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. [12] τί 12
γάρ μοι τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; [13] τοὺς δὲ 13
Dt. 17, 7. ἔξω ὁ θεὸς κρινεῖ. ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

## VI.

Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ 1
τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; [2] ἢ οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι 2
τὸν κόσμον κρινοῦσιν; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί
ἐστε κριτηρίων ἐλαχίστων; [3] οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, 3
μήτιγε βιωτικά; [4] βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξ- 4
ουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε; [5] πρὸς ἐντροπὴν 5
ὑμῖν λέγω. οὕτως οὐκ ἔνι ἐν ὑμῖν οὐδεὶς σοφός, ὃς δυνήσεται δια-
κρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ; [6] ἀλλὰ ἀδελφὸς μετὰ ἀδελ- 6

---

6. Pro ζυμοῖ h. δολοῖ D* Bas. corrumpit Vg. d. e. Latt. m.
7. Rc. ἐκκαθ. οὖν. — Rc. Kn. Sz. ἡμῶν ὑπὲρ ἡμῶν. [om. c. ABC DEFG al. Vg. It. al. Clem. Or. (et h. et om.) Ath. al. m.] — Rc. ἐθύθη.
8. Hab. ἑορτάζομεν ADE al. m.
10. Rc. Kn. Sz. καὶ οὐ, tum ἢ ἅρπαξιν et ὀφείλ. [ὠφείλ. c. ACG al. m. Damsc. debueratis Vg. It. PP. lat.]
11. Rc. pro ᾖ h. ἤ. — pro μηδέ leg. μή (A) et μήτε (FG).
12. Rc. Kn. Sz. καὶ τοὺς ἔξ. [om. c. ABCFG al. m. Syr. Vg. It. al. Tert. al. m.]
13. Rc. κρίνει. .. Ln. κρινεῖ; (sic interpg. c. κρίνετε cjgens.) Rc. Kn. καὶ ἐξαρ. et Rc. Kn. Sz. ἐξαρεῖτε. [om. καὶ c. ABCDEFG al. pm. Vg. It. al. et scr. ἐξάρατε c. ABCD* FG al. pm. Ath. Gr. nyss. al.]

Cap. VI. 2. Rc. om. ἤ. — Vv. 3. 4. 5. 6. om. A.
5. Ln. ὑμῖν λαλῶ c. B. — Rc. ἔστιν. [ἔνι c. BI al. pl. Chrs. Thdret. Damsc. al.] — Rc. Kn. Sz. σοφὸς οὐδὲ εἷς. [οὐδ. σ. c. B al. Damsc. .. h. οὐδὲ εἷς σοφ. FG al. g. Aug. al. .. om. οὐδ. D* E d. e. Aeth.]

7 φοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; [7] ἤδη μὲν οὖν ὅλως ἥττημα
ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διὰ τί οὐχὶ μᾶλλον
8 ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; [8] ἀλλὰ ὑμεῖς ἀδικεῖτε
9 καὶ ἀποστερεῖτε, καὶ τοῦτο ἀδελφούς. [9] ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι
θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν;
Μὴ πλανᾶσθε. οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ Rom.
10 οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται [10] οὔτε κλέπται οὔτε πλεονέκται 1, 29 sqq.
οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν θεοῦ κληρονο- Gal. 5, 19 sqq.
11 μήσουσιν. [11] καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιά-
σθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ καὶ ἐν
τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν.
12 Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι
13 ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. [13] τὰ βρώματα
τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ θεὸς καὶ ταύτην καὶ
ταῦτα καταργήσει. τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ κυρίῳ,
14 καὶ ὁ κύριος τῷ σώματι· [14] ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρεν καὶ Rom. 8, 11.
15 ἡμᾶς ἐξεγείρει διὰ τῆς δυνάμεως αὐτοῦ. [15] οὐκ οἴδατε, ὅτι τὰ
σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χρι-
16 στοῦ ποιήσω πόρνης μέλη; μὴ γένοιτο. [16] ἢ οὐκ οἴδατε, ὅτι ὁ
κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; Ἔσονται γάρ, φησίν, οἱ δύο Gn. 2, 24.
17 εἰς σάρκα μίαν. [17] ὁ δὲ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν.
18 [18] φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος
ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρ-
19 τάνει. [19] ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου

---

7. Rc. ἐν ὑμῖν. — 8. Rc. Kn. Sz. ταῦτα. [τοῦτο c. ABCDE etc.]

9. 10. Hab. octies οὐδὲ DE. — h. οὐ μέθυσ. A al. Clem. (1.) Chrs. al. — Rc. Kn. Sz. in f. οὐ κληρον. [om. c. ABDE al. pm. Cpt. Polyc. Ign. al. m.]

11. Ln. κυρ. (ἡμῶν) Ἰησ. χριστοῦ... ea add. BD* (om. ἡμ. d.) al. Syr. Vg. cdd. lat. al. m. Ath. Chrs. Ir. al. m.

14. Rc. ὑμᾶς. — Rc. Kn. Sz. ἐξεγερεῖ. [ἐξεγείρει c. AD* al. d. e. .. h. ἐξήγειρε B 67.**]

15. Pro ἄρας h. ἢ ἄρα s. ἄρα FGgr. al. m. Did. Damsc.

16. Om. ἢ Dgr. Egr. I al. pl. Syr. p. Mcion. et Epiph. Did. c. Mc. al.

19. Hab. τὰ σώματα AI al. pl. Syr. p. al. m. (membra vestra Vg. Ambr. al.) Or. (2.) Did. al. m.

*πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; 20 ἠγο-* 20
*ράσθητε γὰρ τιμῆς. δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν.*

## VII.

*Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτε-* 1
*σθαι· 2 διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω,* 2
*καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. 3 τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφει-* 3
*λὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. 4 ἡ γυνὴ τοῦ ἰδίου* 4
*σώματος οὐκ ἐξουσιάζει ἀλλὰ ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ*
*ἰδίου σώματος οὐκ ἐξουσιάζει ἀλλὰ ἡ γυνή. 5 μὴ ἀποστερεῖτε ἀλλή-* 5
*λους, εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάσητε τῇ*
*προσευχῇ καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σα-*
*τανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. 6 τοῦτο δὲ λέγω κατὰ συγγνώμην,* 6
*οὐ κατ᾽ ἐπιταγήν. 7 θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ* 7
*ἐμαυτόν· ἀλλ᾽ ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ θεοῦ, ὁ μὲν οὕτως,*
*ὁ δὲ οὕτως.*

*Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μεί-* 8
*νωσιν ὡς κἀγώ· 9 εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον* 9
*γάρ ἐστιν γαμῆσαι ἢ πυροῦσθαι. 10 τοῖς δὲ γεγαμηκόσιν παραγ-* 10
*γέλλω, οὐκ ἐγὼ ἀλλὰ ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆ-*
*ναι — 11 ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλ-* 11
*λαγήτω· — καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. 12 τοῖς δὲ λοιποῖς* 12
*λέγω ἐγώ, οὐχ ὁ κύριος, εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον καὶ*

---

20. Pro *δή* h. *καὶ ἄρατε* Vg. g. Tert. (4.) Cypr. Lcif. Hier. al. m. latt. (*δή, ἄρατε* Chrs. semel.) — Rc. et Kn. (—) in f. add. *καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ θεοῦ.*

Cap. VII. 1. Om. *μοί* B al. Tert. (2.)

3. Rc. *τὴν ὀφειλομένην εὔνοιαν.* — Ln. (*δέ*) .. om. A 55. Syr. Vg. ms. al. Or. (1.) al.

5. Rc. *σχολάζητε τῇ νηστείᾳ καὶ τῇ πρ.* et pro *ἦτε* h. *συνέρχεσθε*... etiam *συνέρχησθε* et *γίνεσθε* leg.

7. Rc. Kn. Sz. *θέλω γάρ* [*δέ* c. ACD*FG al. It. Am. Or. Cyr. al. pm.] et bis *ὅς.* [*ὅ* c. ABCDEFG al. Clem. Cyr.]

8. Rc. et Kn. (—) *αὐτοῖς ἐστιν.*

9. Om. *ἐστ.* D*gr. FGgr. Syr. — h. *γαμεῖν ἤ* AC* (vdtr) al. Clem. (1.) Damsc.

10. Ln. *χωρίζεσθαι* c. ADEFG Bas. (non Clem.)

13 αὕτη συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν, [13] καὶ γυνὴ
ἥτις ἔχει ἄνδρα ἄπιστον καὶ οὗτος συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς,
14 μὴ ἀφιέτω τὸν ἄνδρα. [14] ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ
γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀδελφῷ· ἐπεὶ ἄρα
15 τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν, νῦν δὲ ἅγιά ἐστιν. [15] εἰ δὲ ὁ ἄπι-
στος χωρίζεται, χωριζέσθω· οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ
16 ἐν τοῖς τοιούτοις. ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. [16] τί γὰρ
οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυ-
17 ναῖκα σώσεις; [17] εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ κύριος, ἕκαστον ὡς
κέκληκεν ὁ θεός, οὕτως περιπατείτω. καὶ οὕτως ἐν ταῖς ἐκκλη-
18 σίαις πάσαις διατάσσομαι. [18] περιτετμημένος τις ἐκλήθη, μὴ ἐπι-
19 σπάσθω· ἐν ἀκροβυστίᾳ κέκληταί τις, μὴ περιτεμνέσθω. [19] ἡ περι- Gal. 5. 6. et 6. 15.
τομὴ οὐδέν ἐστιν, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις
20 ἐντολῶν θεοῦ. [20] ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ με-
21 νέτω. [21] δοῦλος ἐκλήθης, μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι
22 ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. [22] ὁ γὰρ ἐν κυρίῳ κληθεὶς
δοῦλος ἀπελεύθερος κυρίου ἐστίν· ὁμοίως ὁ ἐλεύθερος κληθεὶς
23 δοῦλός ἐστιν Χριστοῦ. [23] τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι
24 ἀνθρώπων. [24] ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω
παρὰ θεῷ.
25 Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ
26 δίδωμι ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. [26] νομίζω οὖν τοῦτο
καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ

---

12. 13. Rc. Kn. Sz. αὐτή [haec Vg. It.], tum αὐτός [οὗτος c. ABCD*FG al. Vg. It. Cyr. al.] et in f. αὐτόν. [τ. ἄνδρα c. ABCDEFG al. Syr. Vg. It. al. Cyr. al.]

14. Hab. γυναικὶ τῇ πιστῇ DEFG al. Syr. Erp. Vg. It. Martyrium Clementis ap. Coteler. Tert. al. — Rc. Kn. Sz. τῷ ἀνδρί [ἀδελφ. c. ABC (vdtr) D*EFG al. It. al. Hier. Aug. dis.]. . . add. τῷ πιστῷ Syr. Erp. Vg. Tert. Ir. al.

15. Hab. ὑμᾶς A al. Cpt. Thphyl. al.

17. Hab. μεμέρικεν B. — Rc. ἐμέρισ. ὁ θεός et κέκλ. ὁ κύριος. — h. πάσ. διδάσκω D*EFG; doceo Vg. It. PP. lat.

18. Rc. Kn. Sz. ἀκροβ. τις ἐκλήθη. [κέκληταί τις c. ABD* (pon. τὶς κέκλ.) FG al.]

22. Rc. Kn. Sz. ὁμοίως καί. [om. c. AB al. Syr. Vg. Chrs. ms. al. . . h. δὲ καί DEFG It. PP. lat.]

24. Rc. παρὰ τῷ θεῷ.

τὸ οὕτως εἶναι. [27] δέδεσαι γυναικί, μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ 27
γυναικός, μὴ ζήτει γυναῖκα. [28] ἐὰν δὲ καὶ γαμήσῃς, οὐχ ἥμαρτες, 28
καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν· θλῖψιν δὲ τῇ σαρκὶ ἕξου-
σιν οἱ τοιοῦτοι, ἐγὼ δὲ ὑμῶν φείδομαι. [29] τοῦτο δέ φημι, ἀδελφοί, 29
ὁ καιρὸς συνεσταλμένος ἐστίν, τὸ λοιπὸν ἵνα καὶ οἱ ἔχοντες γυναῖ-
κας ὡς μὴ ἔχοντες ὦσιν, [30] καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ 30
οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες,
[31] καὶ οἱ χρώμενοι τὸν κόσμον ὡς μὴ καταχρώμενοι· παράγει γὰρ 31
τὸ σχῆμα τοῦ κόσμου τούτου. [32] θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. 32
ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσῃ τῷ κυρίῳ· [33] ὁ δὲ 33
γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσῃ τῇ γυναικί. [34] καὶ 34
μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ
κυρίου, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι καὶ τῷ πνεύματι· ἡ δὲ γαμή-
σασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσῃ τῷ ἀνδρί. [35] τοῦτο δὲ 35
πρὸς τὸ ὑμῶν αὐτῶν σύμφορον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπι-
βάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ κυρίῳ ἀπερι-
σπάστως. [36] εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, 36
ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω·

---

28. Rc. Kn. Sz. γήμῃς. [γαμήσῃς c. B al. Bas. al. .. h. γαμήσῃ A. .. h. λάβῃς γυναῖκα DEFG.]

29. Rc. ὅτι ὁ καιρ. — Rc. Kn. συνεστ. τὸ λοιπόν ἐστιν· [ἐστ. τὸ λ. c. AB al. m. Arm. Slav. Bas. Cyr. .. h. ἐστ. λοιπ. ἐστ. G 67.** g. Vg. .. ἐστ. λοιπ. D*F.]

31. Rc. Kn. Sz. χρώμ. τῷ κόσμῳ τούτῳ.

32. 33. 34. Rc. Kn. Sz. ἀρέσει ter. [ἀρέσῃ c. ABDEF al. Eus.] — Rc. γυναικί. Μεμέρ. ἡ γυνή etc. .. Kn. γυναικί. Μεμέρ. καὶ ἡ γ. etc. .. Sz. γυναικί· μεμέρισται. Καὶ ἡ γ. καὶ ἡ παρθένος· ἡ ἄγ. .. Ln. γυναικί, καὶ μεμέρισται. καὶ ἡ γ. ἡ ἄγαμος κ. ἡ παρθένος ἡ ἄγαμος μεριμνᾷ etc. .. καί et ante et post μεμέρ. add. c. AB al. m. Aeth. Syr. p. Vg. Eus. Method. Bas. Epiph. Euthal. Pel. Prim. al. .. ante μεμέρ. add. etiam D*gr. Demid. Cyr. Ath. Ephr. Aug. Hier. ac post μεμέρ. add. etiam D**FGI al. pl. It. al. Chrs. Thdret. Damsc. .. hab. (ut Ln.) bis ἡ ἄγαμ. AB al. Aeth. (vdtr) Aug. (1.). .. h. semel sed post ἡ γυνή pon. 6. al. quinque, Vg. Eus. Cyr. Hier. Aug. al. .. in cjgendis singg. valde variatur. — Rc. Kn. Sz. om. τῷ ante σώμ. et ante πν. .. κ. τῷ σ. κ. τῷ πν. c. A [nisi qd om. καί prius, inde Ln. (καί)] B Clem. Eus.

35. Rc. Kn. Sz. συμφέρον. [σύμφορ. c. AB al. Hes.] — Rc. εὐπρόσεδρον.

37 οὐχ ἁμαρτάνει, γαμείτωσαν. [37] ὃς δὲ ἕστηκεν ἐν τῇ καρδίᾳ αὐ-
τοῦ ἑδραῖος, μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου
θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ ἰδίᾳ καρδίᾳ, τηρεῖν τὴν ἑαυ-
38 τοῦ παρθένον, καλῶς ποιεῖ. [38] ὥστε καὶ ὁ γαμίζων τὴν παρθένον
39 ἑαυτοῦ καλῶς ποιεῖ, καὶ ὁ μὴ γαμίζων κρεῖσσον ποιεῖ. [39] γυνὴ
δέδεται ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνήρ,
40 ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ. [40] μακαριω-
τέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ
κἀγὼ πνεῦμα θεοῦ ἔχειν.

## VIII.

1 Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν.
2 ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. [2] εἴ τις δοκεῖ ἐγνωκέναι
3 τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι· [3] εἰ δέ τις ἀγαπᾷ τὸν θεόν,
4 οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. [4] περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλο-
θύτων οἴδαμεν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεὸς
5 εἰ μὴ εἷς. [5] καὶ γὰρ εἴπερ εἰσὶν λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε
6 ἐπὶ γῆς, ὥσπερ εἰσὶν θεοὶ πολλοὶ καὶ κύριοι πολλοί, [6] ἀλλ' ἡμῖν

---

36. Hab. *γαμείτω* D*EFG Syr. g. Aug. si nubat Vg. d. e. Hier. al.
37. Rc. Kn. Sz. *ἑδρ.* (om. FG It. . . h. *γενναῖος* 46.) *ἐν τ. κ.* omisso *αὐτοῦ.* [add. c. ABD*EG al. m. Syr. Vg. al. Bas. al.] — *ἰδίᾳ καρδ.* c. AB (sic accurate refert Btlj.; om. tantum *αὐτ.* ap. Bch.) al. . . Ln. om. . . Rc. Kn. Sz. *καρδ. αὐτοῦ* et pergt *τοῦ τηρ.* [om. c. AB al. pm. Bas. al.] — Ln. in f. *ποιήσει* c. AB 6. 17. 37. 67.** al. Cpt. Basm.
38. Rc. Kn. Sz. *ὁ ἐκγαμίζ.* et om. *τ. παρθ. ἑ.* [*ὁ γαμ.* c. AB al. Clem. Meth. Bas.; etiam *ἐγγαμ.* leg. et add. *τ. παρθ. ἑ.* sive *τ. ἑ. παρθ.* c. ABDE (om. *ὥστε* usq. *ποιεῖ* prius FG) al. m. Syr. Vg. d. e. al. Clem. Bas. Hier. al. m.] — Rc. Kn. *ὁ δὲ ἐκγαμ.* [*καί* c. ABDEFG al. Basm. Vg. It. Bas. al. m. et *γαμ.* c. ABDEFG al. Basm. Clem. Ath. Bas.; etiam *ἐγγαμ.* leg.] — Ln. in f. *ποιήσει* c. AB 6. 17. 37. 67.** al. (non Clem. . . etiam antea h. *ποιήσει* B 6. 17. 37. 67.** al.)
39. Rc. *δέδετ. νόμῳ.* — leg. *δὲ καί* (D**FGgr. I) et *ἀποθάνῃ ὁ ἀν.* (A Clem. Bas.) — Rc. Kn. Sz. *αὐτῆς, ἐλευθ.*

Cap. VIII. 2. Rc. Kn. Sz. *εἰ δέ τις δοκ. εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθώς.*
4. Rc. Kn. Sz. *θεὸς ἕτερος.* [om. c. ABDEFG al. m. Vg. It. al. Cyr. Bas. Ir. al.]
5. Hab. *οἱ λεγόμ.* FG 117. — Rc. *ἐπὶ τῆς γ.*
6. Ln. (*ἀλλ'*). . . om. B Basm.; etiam *ἡμ. δέ* leg.

εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς
κύριος Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽ αὐτοῦ.
[7] ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνηθείᾳ ἕως ἄρτι τοῦ 7
εἰδώλου ὡς εἰδωλόθυτον ἐσθίουσιν, καὶ ἡ συνείδησις αὐτῶν ἀσθε-
νὴς οὖσα μολύνεται. [8] βρῶμα δὲ ἡμᾶς οὐ παραστήσει τῷ θεῷ· 8
οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα, οὔτε ἐὰν φάγωμεν, περισ-
σεύομεν. [9] βλέπετε δέ, μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα 9
γένηται τοῖς ἀσθενέσιν. [10] ἐὰν γάρ τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν 10
ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄν-
τος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; [11] ἀπόλλυται 11
γὰρ ὁ ἀσθενῶν ἐν τῇ σῇ γνώσει, ὁ ἀδελφὸς δι᾽ ὃν Χριστὸς ἀπέθα-
νεν. [12] οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες 12
αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν εἰς Χριστὸν ἁμαρτάνετε. [13] διό- 13
περ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς
τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

## IX.

Οὐκ εἰμὶ ἐλεύθερος; οὐκ εἰμὶ ἀπόστολος; οὐχὶ Ἰησοῦν τὸν 1
κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν κυρίῳ; [2] εἰ 2
ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλάγε ὑμῖν εἰμι· ἡ γὰρ σφραγίς μου
τῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν κυρίῳ. [3] ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ 3

---

7. Rc. Kn. Sz. τῇ συνειδήσει [συνηθ. c. AB al. Cpt. Basm. Aeth. Syr. p. in m. Damsc.] ἕως ἄρτι ὡς εἰδ. [ὡς εἰδ. ἑ. ἀ. c. BDEFG al. Syr. Arm. Vg. It. Bas. al.]

8. Rc. Kn. Sz. παρίστησι τ. θεῷ· οὔτε γὰρ ἐὰν φάγ. περισσ. οὔτ. ἐὰν μὴ φάγ. ὑστερ.

9. Rc. Sz. ἀσθενοῦσιν. — 10. Ln. (σέ) .. om. BFG Vg. g. Ambrst. al.

11. Rc. Kn. Sz. καὶ ἀπολεῖται [ἀπόλλ. c. ABD* al. Clem. Or. al.; γάρ c. B 17. Clem. .. h. οὖν A al. Cpt.; etiam καὶ ἀπ. οὖν leg.] ὁ ἀσθ. ἀδελφὸς ἐπὶ τῇ. [ὁ ἀδ. post γνώσ. c. ABFG al. Vg. It. al. Clem. Bas. Ir. al. .. ἐν c. ABFG al. Bas. Ir., in Vg. It. PP. lat.; om. Clem. Thdret. ms.]

13. Om. μοῦ prius (FG Clem.) et poster. (D*FG).

Cap. IX. 1. Rc. Οὐκ ε. ἀπόστολ.; οὐκ ε. ἐλεύθ.; — Rc. Kn. Sz. Ἰησ. Χριστόν.

2. Rc. Kn. Sz. τῆς ἐμῆς. [μοῦ τῆς c. B al. Or. .. om. r. A.] — om. ἐν κυρ. D* Syr. Erp. d. e. Tol. Chrs. (non Or.)

4 ἀνακρίνουσίν ἐστιν αὕτη. [4] Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ
5 πιεῖν; [5] μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς
καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ Κηφᾶς;
6 [6] ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν μὴ ἐργάζεσθαι;
7 [7] τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα καὶ
τὸν καρπὸν αὐτοῦ οὐκ ἐσθίει; τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ
8 γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; [8] μὴ κατὰ ἄνθρωπον ταῦτα
9 λαλῶ, ἢ καὶ ὁ νόμος ταῦτα οὐ λέγει; [9] ἐν γὰρ τῷ Μωϋσέως νόμῳ *Dt. 25, 4.
γέγραπται· Οὐ φιμώσεις βοῦν ἀλοῶντα. μὴ τῶν βοῶν μέλει τῷ 1 Tim
10 θεῷ; [10] ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ὀφεί- 5, 18.
λει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ
11 μετέχειν. [11] εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς
12 ὑμῶν τὰ σαρκικὰ θερίσομεν; [12] εἰ ἄλλοι τῆς ὑμῶν ἐξουσίας μετέχου-
σιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ,
ἀλλὰ πάντα στέγομεν, ἵνα μή τινα ἐγκοπὴν δῶμεν τῷ εὐαγγελίῳ
13 τοῦ Χριστοῦ. [13] οὐκ οἴδατε, ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ *Dt. 18, 1.
ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ παρεδρεύοντες τῷ θυσιαστη-
14 ρίῳ συμμερίζονται; [14] οὕτως καὶ ὁ κύριος διέταξεν τοῖς τὸ εὐαγγέ-
15 λιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν· [15] ἐγὼ δὲ οὐ κέχρημαι
οὐδενὶ τούτων. οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτως γένηται ἐν ἐμοί·
καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου — οὐδεὶς κε-
16 νώσει. [16] ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστιν μοι καύχημα· ἀνάγκη

3. Rc. Kn. Sz. αὕτη ἐστ. — 6. Rc. Kn. Sz. τοῦ μὴ ἐργ.
7. Rc. Kn. Sz. ἐκ τοῦ καρποῦ. — h. ἐσθ. καὶ πίνει DEFG al. It. — Rc. Kn. Sz. ἢ τίς ποιμ. [om. c. BDEFG al. Vg. It. Sah. Arm. Chrs. al.]
8. Rc. Kn. Sz. ἢ οὐχὶ καὶ ὁ νόμ. ταῦτ. λέγ. [ἢ καί etc. c. ABCDE al. Vg. d. e. al. Or. Epiph. al. . . h. ἢ εἰ καὶ ὁ ν. ταῦτ. λέγ. FG.]
9. Hab. γέγρ. γάρ omissis ἐν τ. Μ. ν. DEFG al. It. Or. (1; add. 1. ἐν τ. νόμ.; 1. ἐν γάρ etc.), Μω. etiam post νόμ. pon. — h. οὐ κημώσεις D* FG Hes.
10. Rc. Kn. ὁ ἀλ. τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι. . . h. τῆς ἐλπ. αὐτ. omisso ἐπ' ἐλπ. D* FG al. Sah.
11. Hab. θερίσωμεν CDEFG al. pm. Vg. It. Thdret.
13. Rc. Kn. Sz. προσεδρ. [παρεδρ. c. ABCDEFG al. Eus. al.]
15. Rc. Kn. δὲ οὐδενὶ ἐχρησάμην τούτ. — Rc. Kn. Sz. ἵνα τις κενώσῃ. [οὐδ. κεν. c. A (post οὐδ. add. μή.) BD* Sah. Basm. . . h. τίς κενώσει FG; h. κενώσει etiam E.]
16. Pro καύχ. h. χάρις DEFG It. Ambrst. ms.

γάρ μοι ἐπίκειται· οὐαὶ γάρ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίσωμαι. [17] εἰ 17
γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πε-
πίστευμαι. [18] τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος 18
ἀδάπανον θήσω τὸ εὐαγγέλιον, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξ-
ουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. [19] ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶ- 19
σιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω· [20] καὶ ἐγενό- 20
μην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ
νόμον ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νό-
μον κερδήσω· [21] τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεοῦ ἀλλ' 21
ἔννομος Χριστοῦ, ἵνα κερδάνω τοὺς ἀνόμους· [22] ἐγενόμην τοῖς 22
ἀσθενέσιν ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσιν γέγονα
πάντα, ἵνα πάντως τινὰς σώσω. [23] πάντα δὲ ποιῶ διὰ τὸ εὐαγγέ- 23
λιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. [24] Οὐκ οἴδατε, ὅτι οἱ ἐν 24
σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βρα-
βεῖον; οὕτως τρέχετε, ἵνα καταλάβητε. [25] πᾶς δὲ ὁ ἀγωνιζόμενος 25
πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβω-
σιν, ἡμεῖς δὲ ἄφθαρτον. [26] ἐγὼ τοίνυν οὕτως τρέχω ὡς οὐκ ἀδή- 26
λως, οὕτως πυκτεύω ὡς οὐκ ἀέρα δέρων· [27] ἀλλ' ὑπωπιάζω μου 27
τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος
γένωμαι.

## X.

Ex. 13, 21. et 14, 22. Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν 1
πάντες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλ-

---

16. Rc. οὐαὶ δέ.
18. Hab. οὖν μοῦ A al. Syr. Vg. al. Ambrst. al. et ἔσται D*FG It. Ambrst. — Rc. Kn. Sz. τὸ εὐαγγ. τοῦ Χριστοῦ.
20. Om. ὡς ante Ἰουδ. G* al. g.* Tert. — Rc. om. μὴ ὢν α. ὑ. νόμ.
21. Rc. Kn. Sz. θεῷ, Χριστῷ, κερδήσω et om. τούς.
22. Hab. ἀσθενοῦσιν DEFG al. — Rc. Kn. Sz. ὡς ἀσθενής. [om. c. AB Vg. d. e. Or. Cypr. al.] — Rc. Kn. Sz. τὰ πάντα. [om. c. ABCD* FG al. Clem. Or. (1.) al.] — h. πάντας σώσω DEFG al. Syr. Vg. It. al. Clem. Tert. al. m.
23. Rc. Kn. Sz. τοῦτο δέ. [πάντα c. ABCDEFG al. m. Vg. It. al. Gr. naz. al. m.]
27. Hab. ὑποπιάζω (B ap. Wtst.) FG al. pl. Eus. Ephr. Gr. naz. al. .. ὑποπιέζω D*E al. m. Clem. (Or. ter ὑπωπιάζω) Gr. naz. al.

Cap. X. 1. Rc. δέ pro γάρ.

2 θον, 2 καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο· ἐν τῇ νεφέλῃ καὶ • Nm. 9.
3 ἐν τῇ θαλάσσῃ, 3 καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔφαγον βρῶμα 15 sqq. • Ex. 16,
4 4 καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα· ἔπινον γὰρ ἐκ 15. • Ex. 17.
πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ πέτρα δὲ ἦν ὁ Χριστός· 6.
5 5 ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ θεός· κατεστρώ- • Nm.
6 θησαν γὰρ ἐν τῇ ἐρήμῳ. 6 ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς 26, 64 65.
τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.
7 7 μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν, ὥσπερ γέγρα- • Ex. 32.
πται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. 6.
8 8 μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν καὶ ἔπεσαν ἐν • Nm 25, 1. 9
9 μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες. 9 μηδὲ ἐκπειράζωμεν τὸν κύριον, • Nm.
10 καθώς τινες αὐτῶν ἐπείρασαν καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. 10 μηδὲ 21, 5. 6.
γογγύζετε, καθώς τινες αὐτῶν ἐγόγγυσαν καὶ ἀπώλοντο ὑπὸ τοῦ • Nm. 14,2.37
11 ὀλοθρευτοῦ. 11 ταῦτα δὲ τυπικῶς συνέβαινον ἐκείνοις, ἐγράφη δὲ
πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν.
12 13 12 ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ. 13 πειρασμὸς ὑμᾶς
οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ θεός, ὃς οὐκ ἐάσει
ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ
14 καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. 14 Διόπερ, ἀγαπητοί
15 μου, φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας. 15 ὡς φρονίμοις λέγω· κρί-
16 νατε ὑμεῖς ὅ φημι. 16 τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ
κοινωνία ἐστὶν τοῦ αἵματος τοῦ Χριστοῦ; τὸν ἄρτον ὃν κλῶμεν,

---

2. Ln. ἐβαπτίσθησαν c. ACDEFG al. m. Bas. Cyr. al. m. [ἐβαπτίσαντο Or. bis.]

7. Rc. Kn. Sz. pro ὥσπερ [c. ABD**I (om. τιν. αὐτ. ὥσπ. FG) al. m. Chrs. al.] h. ὡς.

8. Hab. ἐκπορνεύωμ. D*FG; iid. et E hab. ἐξεπορν. — om. ἐν BD*FG.

9. Rc. Kn. Sz. τὸν Χριστόν [κύρ. c. BC al. m. Cpt. ms. al. Epiph. al. m. . . etiam θεόν (A) leg.], iid. καθ. καί, sic etiam v. 10. — h. ἐξεπείρ. DEG al. m. — Ln. ἀπώλλυντο c. B. (A h. απωλ····το et v. seq. h. ἀπώλλυντο.)

10. Hab. γογγύζωμεν DEFG al. Aug.

11. Rc. Kn. Sz. ταῦτ. δ. πάντα τύποι et κατήντησεν. [-κεν c. BD FG al. Or. (1.) Bas. Cyr.]

13. Hab. καταλάβῃ pro εἴλ. FG Vg. e. g. Ambrst. al.; tum ἀφήσει ὑμᾶς DEFG et οὐ δύν. FG d. g. — Rc. et Kn. (—) ὑμᾶς ὑπεν.

16. Hab. τῆς εὐχαριστίας FG al. — h. ὁ ἄρτος 3. al. Chrs. Thdret.

οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν; [17] ὅτι εἷς ἄρτος, 17
ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχο-
μεν. [18] βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχ οἱ ἐσθίοντες τὰς 18
θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν; [19] τί οὖν φημί; ὅτι εἰ- 19
δωλόθυτόν τι ἔστιν, ἢ ὅτι εἴδωλόν τι ἔστιν; [20] ἀλλ' ὅτι ἃ θύουσιν, 20
δαιμονίοις καὶ οὐ θεῷ θύουσιν· οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν
δαιμονίων γίνεσθαι. [21] οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ 21
ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης κυρίου μετέχειν καὶ τρα-
πέζης δαιμονίων. [22] ἢ παραζηλοῦμεν τὸν κύριον; μὴ ἰσχυρότεροι 22
αὐτοῦ ἐσμέν;

Πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα ἔξεστιν, ἀλλ' 23
οὐ πάντα οἰκοδομεῖ. [24] μηδεὶς τὸ ἑαυτοῦ ζητείτω ἀλλὰ τὸ τοῦ 24
ἑτέρου. [25] πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρί- 25
* Ps. 24, 1. νοντες διὰ τὴν συνείδησιν· [26] τοῦ κυρίου γὰρ ἡ γῆ καὶ τὸ πλήρωμα 26
αὐτῆς. [27] εἴ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε πορεύεσθαι, 27
πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν
συνείδησιν. [28] ἐὰν δέ τις ὑμῖν εἴπῃ· Τοῦτο ἱερόθυτόν ἐστιν, μὴ 28
ἐσθίετε δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν. [29] συνείδη- 29
σιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ ἀλλὰ τὴν τοῦ ἑτέρου. ἵνα τί γὰρ ἡ
ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; [30] εἰ ἐγὼ χάριτι 30
μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; [31] εἴτε οὖν 31
ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε.
[32] ἀπρόσκοποι καὶ Ἰουδαίοις γίνεσθε καὶ Ἕλλησιν καὶ τῇ ἐκκλησίᾳ 32
τοῦ θεοῦ, [33] καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυ- 33
τοῦ σύμφορον ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. (XI.) [1] Μι- 1
μηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

---

16. Hab. σώμ. τ. κυρίου D*EFG al. Vg. It. Thdret. al.
17. Hab. ἄρτου καὶ τοῦ (add. ἑνός FG) ποτηρίου DEFG al. Vg. ms. et ed. Sixt. cdd. lat. Ambrst. al.
19. Rc. Kn. Sz. ὅτι εἴδωλον τ. ἐ. ἢ ὅτι εἰδωλόθυτ. τ. ἐ.
20. Rc. Kn. Sz. ἃ θύει τὰ ἔθνη δαιμ. θύει κ. ο. θεῷ.
23. Rc. et Kn. (—) μοὶ ἔξεστ. bis.
24. Rc. et Kn. (—) in f. add. ἕκαστος.
27. Rc. Kn. Sz. εἰ δέ. [om. c. ABD*FG al. Cpt. Vg. It. Antioch. al.]
28. Rc. Kn. Sz. εἰδωλόθυτον. [ἱερόθ. c. ABH Sah. Eus.] — Rc. in f. add. τοῦ γὰρ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.
30. Rc. εἰ δέ. — 33. Rc. Kn. Sz. συμφέρον. [contra ABC.]

# XI.

2 [2] Ἐπαινῶ δὲ ὑμᾶς, ὅτι πάντα μου μέμνησθε καὶ καθὼς παρ-
3 έδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε. [3] θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι
παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν, κεφαλὴ δὲ γυναικὸς ὁ
4 ἀνήρ, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ θεός. [4] πᾶς ἀνὴρ προσευχόμενος
ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.
5 [5] πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ
κεφαλῇ καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐστιν καὶ τὸ αὐτὸ
6 τῇ ἐξυρημένῃ. [6] εἰ γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω·
εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.
7 [7] ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν
8 καὶ δόξα θεοῦ ὑπάρχων· ἡ γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. [8] οὐ γάρ
9 ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· [9] καὶ γὰρ οὐκ ἐκτί-
10 σθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. [10] διὰ τοῦτο
ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους.
11 [11] πλὴν οὔτε γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἀνὴρ χωρὶς γυναικὸς ἐν κυ-
12 ρίῳ· [12] ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτως καὶ ὁ ἀνὴρ διὰ
13 τῆς γυναικός, τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. [13] ἐν ὑμῖν αὐτοῖς κρί-
νατε· πρέπον ἐστὶν γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι;
14 [14] οὐδὲ ἡ φύσις αὐτὴ διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτι-
15 μία αὐτῷ ἐστίν, [15] γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστίν; ὅτι ἡ
κόμη ἀντὶ περιβολαίου δέδοται.

16 Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν
οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ.

17 Τοῦτο δὲ παραγγέλλω, οὐκ ἐπαινῶν ὅτι οὐκ εἰς τὸ κρεῖσσον
18 ἀλλ᾽ εἰς τὸ ἧσσον συνέρχεσθε. [18] πρῶτον μὲν γὰρ συνερχομένων

---

Cap. XI. 2. Rc. Kn. Sz. ὑμᾶς, ἀδελφοί.
5. Om. τῇ post ἀκατακ. D*FG. — Ln. αὐτῆς. [ἑαυτ. c. B Or.]
7. Rc. Kn. Sz. om. ἡ. [scr. c. ABD*FG al. Isid. Thdret.]
11. Rc. οὔτε ἀνὴρ χ. γυν. οὔτε γυνὴ χ. ἀνδρ.
14. Rc. Kn. Sz. ἢ οὐδὲ [om. c. ABCD*FGH etc.] ἡ αὐτὴ φύσ. [ἡ φ. αὐτ. c. ABCDH al. Damsc. . . om. αὐτή FG gr. Arm. Tert.]
15. Rc. Ln. et Kn. (—) in f. add. αὐτῇ. . . om. c. DEFG gr. I al. pl. Sl. ms. d. e. Chrs. (2.) Thdret. Oec. Tert.; ante δέδ. pon. CH al. m. Vg. Damsc. (B ap. Btlj. fortasse om.)
17. Rc. Kn. Sz. παραγγέλλων οὐκ ἐπαινῶ. [-λω et -νῶν c. ABC*FG al. m. Syr. utr. Vg. d. g. al. Ambrst. al. . . h. -λω et -νῶ D*.]

ὑμῶν ἐν ἐκκλησίᾳ ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι
πιστεύω. [19] δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φα- 19
νεροὶ γένωνται ἐν ὑμῖν. [20] συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ 20
οὐκ ἔστιν κυριακὸν δεῖπνον φαγεῖν· [21] ἕκαστος γὰρ τὸ ἴδιον δεῖ- 21
πνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.
[22] μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλη- 22
σίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;
1 Cor. 15, 3. τί εἴπω ὑμῖν; ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. [23] Ἐγὼ γὰρ 23
παρέλαβον ἀπὸ τοῦ κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος
Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον [24] καὶ εὐχαριστή- 24
σας ἔκλασεν καὶ εἶπεν· Τοῦτό μου ἐστὶν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν·
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. [25] ὡσαύτως καὶ τὸ ποτήριον 25
μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη
ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἐὰν πίνητε, εἰς τὴν
ἐμὴν ἀνάμνησιν. [26] ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ 26
τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις
οὗ ἔλθῃ. [27] ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον ἢ πίνῃ τὸ ποτήριον τοῦ 27
κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ
κυρίου. [28] δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ 28
ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω· [29] ὁ γὰρ ἐσθίων καὶ 29
πίνων κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα. [30] διὰ 30

18. Rc. ἐν τῇ ἐκκλ.
19. Om. ἐν ὑμ. prius D*EFG Vg. It. Tert. Cypr. al. m.; (etiam ante αἱρέσ. pon.) et om. poster. C Or. Chrs. al. — Ln. (καὶ) οἱ. .. add. BD* al. Sah. Vg. d. e. Ambrst.
20. Om. οὖν D*EFG al. It. Clem. Chrs.; h. δέ 17.
21. Hab. προσλαμβ. AC al. pm. et ἐπὶ τῷ DEFG Vg. e.
22. Ln. ἐπαινῶ (c. BFG Vg. It. Ambrst.) ὑμ. ἐν τούτῳ; sic interpg.
23. Hab. ἐν ᾗ νυκτ. FG (fortasse etiam A*). — Ln. παρεδίδετο c. AG. — h. τὸν ἄρτ. DFG Cyr. hr.
24. Rc. et Kn. (—) εἶπ. Λάβετε, φάγετε. — Rc. Kn. Sz. ὑμῶν κλώμενον. [om. c. ABC*. al. Ath. Cyr. Fulg. .. h. θρυπτόμενον D; etiam διδόμενον leg.]
25. Hab. τ. αἵματί μου AC al. m.
26. Rc. Kn. ποτήρ. τοῦτο. — Rc. οὗ ἄν.
27. Rc. ἄρτ. τοῦτον et αἵματος sine τοῦ. — h. καὶ πίνῃ AD al. Syr. Syr. p. in m. Arr. Cpt. Sah. Aeth. Vg. ms. Clem. Ath. Pel. al.
29. Rc. Kn. Sz. πίνων ἀναξίως [om. c. ABC al. Sah. Aeth.] et in f. add. τοῦ κυρίου. [om. c. AB al. Cpt. Sah. Har.*]

τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι καὶ κοιμῶνται ἱκανοί.
31 32 [31] εἰ δὲ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· [32] κρινόμενοι δὲ
ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶ-
33 μεν. [33] ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν ἀλλήλους
34 ἐκδέχεσθε. [34] εἴ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα
συνέρχησθε. τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω διατάξομαι.

## XII.

1 Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν.
2 [2] οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγε-
3 σθε ἀπαγόμενοι. [3] διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ
λαλῶν λέγει· Ἀνάθεμα Ἰησοῦς, καὶ οὐδεὶς δύναται εἰπεῖν· Κύριος
4 Ἰησοῦς, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. [4] Διαιρέσεις δὲ χαρισμάτων εἰσίν,
5 τὸ δὲ αὐτὸ πνεῦμα· [5] καὶ διαιρέσεις διακονιῶν εἰσίν, καὶ ὁ αὐτὸς
6 κύριος· [6] καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, καὶ ὁ αὐτὸς θεὸς ὁ
7 ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. [7] ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ
8 πνεύματος πρὸς τὸ συμφέρον. [8] ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δί-
δοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα,
9 [9] ἑτέρῳ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων
10 ἐν τῷ ἑνὶ πνεύματι, [10] ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ

---

31. Rc. Kn. Sz. εἰ γάρ. [δέ c. ABDEFG al. Clem. al.]
32. τοῦ c. BC al. Clem. Damsc. .. om. Rc. Kn. Sz. Ln.
34. Rc. εἰ δέ. — h. διατάξωμαι ADG al.

Cap. XII. 2. Rc. Kn. ὅτι sine ὅτε... Ln. ὅτι (ὅτε). [scr. c. ACDEFI al. pl. Vg. g. al. Bas. Chrs. Ath. al. m... h. tantum ὅτε 1. 23. al. Sl. ms. Thdret. Damsc. al.] — pro ἂν ἤγ. s. ἀνήγ. leg. ἀπήγ.
3. Om. λαλῶν DEFG It. Hil. al. — Rc. Kn. Sz. ἀνάθ. Ἰησοῦν [Ἰησοῦς c. ABC al. Syr. al. Or. (1.) Cyr. (var.) .. h. Ἰησοῦ F Vg. Cyr. (var.) Ambrst. al. m.] et κύριον Ἰησοῦν. [κύριος Ἰ. c. ABC al. m. Syr. Vg. al. Or. (5.) Cyr. Did. Bas. al. m.]
5. Hab. ὁ δὲ αὐτ. 41. al. Syr. Vg. d. e. al. Or. Eus. Ath. al. pm.
6. καὶ ὁ αὐτ. c. BC al. Or. .. h. αὐτ. δέ DEFG. .. Rc. Kn. Sz. Ln. ὁ δὲ αὐτ. — Rc. ἐστὶ θεός.
9. Rc. Kn. Sz. et Ln. (—) ἑτέρ. δέ. .. om. c. BDEFG al. Syr. Vg. It. Clem. Or. Tert. al. — om. δέ post ἄλλ. DEFG Syr. Vg. It. Cyr. hr. Tert. al. — Rc. Kn. Sz. pro ἑνί [c. AB al. Vg. d. e. PP. lat. .. om. ἐν τ. ἑ. πν. C Tert.] h. αὐτῷ.
10. Om. δέ ante ἐνεργ. DEFG Vg.

*προφητεία, ἄλλῳ διακρίσεις πνευμάτων, ἑτέρῳ γένη γλωσσῶν, ἄλλῳ*
*δὲ διερμηνεία γλωσσῶν·* 11 *πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ* 11
Rom. 12, 4. *αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.* 12 *καθάπερ* 12
*γὰρ τὸ σῶμα ἕν ἐστιν καὶ μέλη πολλὰ ἔχει, πάντα δὲ τὰ μέλη τοῦ*
Gal. 3, 28. *σώματος πολλὰ ὄντα ἕν ἐστιν σῶμα, οὕτως καὶ ὁ Χριστός·* 13 *καὶ* 13
*γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε*
*Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι, καὶ πάντες ἓν*
*πνεῦμα ἐποτίσθημεν.* 14 *καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ* 14
*πολλά.* 15 *ἐὰν εἴπῃ ὁ πούς· ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ* 15
*σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος.* 16 *καὶ ἐὰν* 16
*εἴπῃ τὸ οὖς· ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ*
*παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος.* 17 *εἰ ὅλον τὸ σῶμα ὀφθαλ-* 17
*μός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις;* 18 *νῦν δὲ ὁ θεὸς* 18
*ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν.*
19 *εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;* 20 *νῦν δὲ πολλὰ* 19 20
*μὲν μέλη, ἓν δὲ σῶμα.* 21 *οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί·* 21
*Χρείαν σου οὐκ ἔχω, ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσίν· Χρείαν ὑμῶν*
*οὐκ ἔχω·* 22 *ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος* 22
*ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστιν,* 23 *καὶ ἃ δοκοῦμεν ἀτιμό-* 23
*τερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν,*
*καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει,* 24 *τὰ δὲ* 24
*εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. ἀλλὰ ὁ θεὸς συνεκέρασεν τὸ σῶμα,*
*τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν,* 25 *ἵνα μὴ ᾖ σχίσμα ἐν* 25

---

10. Rc. Kn. Sz. *δέ* h. ante *πρ.* et *διακρ.* et *γέν.* [om. c. BDEFG Vg. Clem.] — om. *δέ* ante *διερμ.* DEF Vg. — h. *διάκρισις* G al. Syr. Vg. It. al. Clem. Tert. al. — Rc. Kn. Sz. *ἑρμην.* [*διερμ.* c. AD* Cyr. hr. . . om. *ἄλλ. δ. δ. γλ.* B 109.]
11. Om. *τό* ante *ἕν* DF 119. Or. Chrs. — om. *ἰδίᾳ* D*FG Syr. Vg. It. al. Or. Or. int. Epiph. al.; etiam *ἴδια* leg.
12. Rc. et Kn. (—) *τ. σώματος τοῦ ἑνός.*
13. Rc. Kn. Sz. *εἰς ἓν πνεῦμ.* [om. c. BD*FG al. Syr. Arr. Vg. ms. Am. It. Ath. Did. Chrs. al. m. . . h. *ἓν σῶμά ἐσμεν* A. . . *εἰς ἓν πν. ἐφωτίσθημεν* I al. . . *ἑνὶ πόματι ἐπίομεν* Clem. et similiter cdd. m.
19. Ln. (*τά*) [om. B 17.] et v. 20. (*μέν*) [om. BD* al. d. e. Aug.].
21. Rc. *δύνατ. δὲ ὀφθ.* . . Ln. *δύν.* (*δέ*) *ὁ ὀφθ.*
24. Ln. *ὑστερουμένῳ* c. AB (pergit *τὸ περισσότερον δούς*) C al. (non Or.) Damsc.
25. H. *σχίσματα* D*gr. FGI al. pm. Arm. g. Bas. al.

τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσιν τὰ μέλη.
26 [26] καὶ εἴ τι πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δο-
27 ξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. [27] ὑμεῖς δέ ἐστε σῶμα
28 Χριστοῦ καὶ μέλη ἐκ μέρους. [28] καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ Eph. 4. 11.
ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκά-
λους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυ-
29 βερνήσεις, γένη γλωσσῶν. [29] μὴ πάντες ἀπόστολοι; μὴ πάντες
30 προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; [30] μὴ πάν-
τες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσιν; μὴ
πάντες διερμηνεύουσιν;

## XIII.

31 [31] Ζηλοῦτε δὲ τα χαρίσματα τὰ μείζονα· καὶ ἔτι καθ' ὑπερ-
1 βολὴν ὁδὸν ὑμῖν δείκνυμι. (XIII.) [1] Ἐὰν ταῖς γλώσσαις τῶν ἀν-
θρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλ-
2 κὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. [2] κἂν ἔχω προφητείαν καὶ εἰδῶ
τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, κἂν ἔχω πᾶσαν τὴν
3 πίστιν ὥστε ὄρη μεθιστάναι, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι. [3] κἂν
ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, κἂν παραδῶ τὸ σῶμά μου ἵνα
4 καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. [4] ἡ ἀγάπη
μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περ-

---

26. Rc. Kn. Sz. pro εἴ τι [c. BFG Vg. It. Ambrst. al.] h. εἴτε. — om. ἓν bis A... Ln. om. ἓν post δοξ. c. AB.

27. Hab. ἐκ μέλους D* Syr. p. Arm. Vg. d. e. Eus. Gr. nyss. al. m.

28. Rc. Kn. Sz. εἶτα χαρίσμ. [ἔπειτα c. ABC al. Bas. Cyr. utr. Chrs. Damsc... om. D*EFG It. Ambr. Hil.]

31. Rc. Kn. Sz. pro μείζ. [c. AB al. m. Syr. Aeth. Vg. ms. Am. Or. (2; κρ. 1.) al... κρ. Chrs. dis. Thphyl. dis.] h. κρείττονα.

Cap. XIII. 1. Pro γέγον. h. ἔν εἰμι ἢ FG It. Ambrst... ἔν εἰμι DE.

2. Rc. Kn. Sz. μεθιστάνειν [-ναι c. BDEFG al. m. Clem. Thphyl.] et οὐδέν. [οὐθέν c. ABC al. m. Clem. Ephr. Bas. al.]

3. Rc. ψωμίζω. — Ln. καυχήσωμαι c. AB 17; cdd. gr. et lat. ap. Hier. Cpt. Aeth. (non Clem.) Ephr. Hier. (a similitudine καυθήσ. et καυχήσ. errorem derivat.) .. h. καυθήσομαι G al. pm. — Ln. οὐθέν c. A al. Bas.

4. Ln. χρηστεύεται ἡ ἀγ., οὐ ζηλοῖ (ἡ ἀγ.), οὐ etc. .. om. ἡ ἀγ. post χρηστ. 41. 71. Clem. Chrs. Thphyl. Tert.; post ζηλ. B al. m. Vg. al. Clem. Ephr. al. m.

*περπερεύεται, οὐ φυσιοῦται, 5 οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ* 5
*παροξύνεται, οὐ λογίζεται τὸ κακόν, 6 οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ,* 6
*συγχαίρει δὲ τῇ ἀληθείᾳ· 7 πάντα στέγει, πάντα πιστεύει, πάντα* 7
*ἐλπίζει, πάντα ὑπομένει. 8 ἡ ἀγάπη οὐδέποτε πίπτει. εἴτε δὲ προ-* 8
*φητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις,*
*καταργηθήσεται. 9 ἐκ μέρους γὰρ γινώσκομεν καὶ ἐκ μέρους προ* 9
*φητεύομεν· 10 ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθή-* 10
*σεται. 11 ὅτε ἤμην νήπιος, ἐλάλουν ὡς νήπιος, ἐφρόνουν ὡς νήπιος,* 11
*ἐλογιζόμην ὡς νήπιος· ὅτε γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.*
*12 βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον* 12
*πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι*
*καθὼς καὶ ἐπεγνώσθην. 13 νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ* 13
*τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.*

## XIV.

*Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ* 1
*ἵνα προφητεύητε. 2 ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ* 2
*ἀλλὰ τῷ θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια·*
*3 ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ* 3
*παραμυθίαν. 4 ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφη-* 4
*τεύων ἐκκλησίαν οἰκοδομεῖ. 5 θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσ-* 5
*σαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων δὲ ὁ προφητεύων ἢ ὁ*
*λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδο-*
*μὴν λάβῃ. 6 νῦν δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λα-* 6

---

8. Rc. Kn. Sz. *ἐκπίπτ.* [*πίπτ.* c. ABC* al. Mac. Gr. nyss. al.] — om. *δέ* D*FG al. Arm. Vg. It. Did. al. — h. *προφητεία, καταργηθήσεται* B et *γνώσεις, καταργηθήσονται* AFG al. g. Ambrst.

9. Hab. *δέ γιν.* I al. pl. Arr. Sl. ms. Or. (1.) Chrs. al.; etiam om.

10. Rc. Kn. Sz. *τότε τὸ ἐκ.* [om. c. ABD*FG al. m. Vg. It. al. Or. (4.) Ir. al.]

11. Rc. Kn. Sz. *δὲ γέγ.* [om. c. ABD* al. d. e. Tol. Har.* Am. Did. Ambrst.]

12. Om. *γάρ* D*EFG Arm. Vg. It. Cyr. Tert. al. — om. *ἐν αἰν.* Clem. (4.) . . leg. *καὶ ἐν* (1 Or. bis) et aliter.

Cap. XIV. 2. Hab. *γλώσσαις* DEG al. Sl. g.** Cyr. al. — Ln. om. *τῷ* c. BD*FG al.

4. Hab. *γλώσσαις* DE al. Sl.

5. Rc. Kn. Sz. *μείζ. γάρ.* [*δέ* c. AB al.]

λῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει ἢ
7 ἐν γνώσει ἢ ἐν προφητείᾳ ἢ ἐν διδαχῇ; [7] ὅμως τὰ ἄψυχα φωνὴν
διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ
8 δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; [8] καὶ
γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλε-
9 μον; [9] οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον
δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λα-
10 λοῦντες. [10] τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν εἰσὶν ἐν κόσμῳ, καὶ
11 οὐδὲν ἄφωνον· [11] ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι
12 τῷ λαλοῦντι βάρβαρος καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος. [12] οὕτως
καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς
13 ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε. [13] διὸ ὁ λαλῶν γλώσσῃ προσ-
14 ευχέσθω ἵνα διερμηνεύῃ. [14] ἐὰν προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά
15 μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν. [15] τί οὖν ἐστιν;
προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ
16 πνεύματι, ψαλῶ καὶ τῷ νοΐ. [16] ἐπεὶ ἐὰν εὐλογῇς πνεύματι, ὁ ἀνα-
πληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαρι-
17 στίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδεν· [17] σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς,
18 ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. [18] εὐχαριστῶ τῷ θεῷ, πάντων
19 ὑμῶν μᾶλλον γλώσσῃ λαλῶ· [19] ἀλλὰ ἐν ἐκκλησίᾳ θέλω πέντε λό-

---

7. Ln. τοῦ φθόγγου c. B d. e. Tol. Ambrst. — h. διδῷ D*FGI al. pl. Thdret. Damsc. et γνωσθῇ D* F G.

10. Rc. Kn. Sz. φωνῶν ἐστιν et οὐδὲν αὐτῶν.

11. Om. ἐν DEFG al. m. Clem. Chrs. Damsc.

12. Hab. πνευματικῶν 23. in m. 73. Syr. Sah. Erp. Sl. Ambr. Or. int.

13. Rc. Kn. Sz. διόπερ. [διό c. ABDEFG al. Damsc.]

14. Rc. Kn. Sz. et Ln. (—) ἐὰν γάρ. . . om. c. BFG al. Sah. g. Ambrst.; etiam δέ leg.

15. Hab. bis προσεύξωμαι ADEFG al. — Rc. Kn. Sz. ψ. δὲ καί. [om. c. BFG al. Vg. It. Or. (1; ita ut retineat δέ prius) Damsc. PP. lat. . . om. etiam δέ prius FG al. Vg. It. Damsc. PP. lat.]

16. Rc. Kn. Sz. τῷ πν. [om. c. ABDE (h. ἐν BDE 73.) FG al. . . om. πν. 32. (s. XII.)]

18. Rc. θεῷ μου. — Rc. Kn. Sz. γλώσσαις [-σῃ c. ADEFG al. Aeth. Vg. It. Damsc. al.] λαλῶν. [-λῶ c. BDEFG (om. plane A) al. Oec. (G Vg. It. PP. lat. h. ὅτι λαλῶ.)]

γους τῷ νοΐ μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους
λόγους ἐν γλώσσῃ.
Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νη- 20
πιάζετε, ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε. [21] ἐν τῷ νόμῳ γέγραπται· 21
* Es. 28, 11. 12. ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέρων λαλήσω τῷ λαῷ τούτῳ,
καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος. [22] ὥστε αἱ γλῶσ- 22
σαι εἰς σημεῖόν εἰσιν οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις, ἡ δὲ
προφητεία οὐ τοῖς ἀπίστοις ἀλλὰ τοῖς πιστεύουσιν. [23] ἐὰν οὖν συν- 23
έλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες λαλῶσιν γλώσσαις,
εἰσέλθωσιν δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; [24] ἐὰν 24
δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγ-
χεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, [25] τὰ κρυπτὰ τῆς 25
καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον
προσκυνήσει τῷ θεῷ, ἀπαγγέλλων ὅτι ὄντως ὁ θεὸς ἐν ὑμῖν ἐστίν.
[26] Τί οὖν ἐστίν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ψαλμὸν ἔχει, 26
διδαχὴν ἔχει, ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει· πάντα
πρὸς οἰκοδομὴν γινέσθω. [27] εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ 27
τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω· [28] ἐὰν δὲ 28
μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ
θεῷ. [29] προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι δια- 29
κρινέτωσαν· [30] ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος 30
σιγάτω. [31] δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάν- 31
τες μανθάνωσιν καὶ πάντες παρακαλῶνται. [32] καὶ πνεύματα προ- 32
φητῶν προφήταις ὑποτάσσεται· [33] οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ 33
θεὸς ἀλλὰ εἰρήνης. Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων, [34] αἱ 34

---

19. Rc. Kn. Sz. διὰ τοῦ νοός. [τῷ νοΐ c. ABDEFG al. m. Cpt. Vg. g. Epiph. al. m.]
21. Hab. ἑτέραις γλώσσαις FG. — Rc. Kn. Sz. ἑτέροις. [-ρων c. AB al. m. (non Or.)]
23. Ln. (οὖν) . . om. FG 67.** It. Ambrst. — h. ἔλθῃ BG*gr.
25. Rc. Καὶ οὕτω τὰ κρ.
26. Rc. Kn. Sz. ἕκαστ. ὑμῶν. [om. c. AB 74.] — Rc. γενέσθω.
28. Ln. ἑρμηνευτής c. B et ὁ ἑρμην. h. D*FG.
29. Om. οἱ D*FG1 al. et v. 30. om. δέ D*FG Vg. It.
32. Hab. πνεῦμα DEFG al. Syr. Aeth. Vg. (ed. Sixt.) It. Hier. al. m.
33. Add. in f. διδάσκω FG al. Vg. (non Am.) d. g. al. Chrs. (1.) Ambrst.; add. ἐστίν Oec.

γυναῖκες ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτρέπεται αὐταῖς
35 λαλεῖν, ἀλλὰ ὑποτασσέσθωσαν, καθὼς καὶ ὁ νόμος λέγει. [35] εἰ
δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν·
36 αἰσχρὸν γάρ ἐστιν γυναικὶ λαλεῖν ἐν ἐκκλησίᾳ. [36] ἢ ἀφ' ὑμῶν ὁ λό-
37 γος τοῦ θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; [37] Εἴ τις
δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν,
38 39 ὅτι κυρίου ἐστίν· [38] εἰ δέ τις ἀγνοεῖ, ἀγνοεῖται. [39] ὥστε, ἀδελφοί,
ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν μὴ κωλύετε γλώσσαις·
40 [40] πάντα δὲ εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

## XV.

1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην
2 ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, [2] δι' οὗ καὶ σώζεσθε,
τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύ-
3 σατε. [3] παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χρι- 1 Cor. 11, 23.
4 στὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, [4] καὶ
ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς,
5 6 [5] καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα. [6] ἔπειτα ὤφθη ἐπάνω
πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείονες μένουσιν ἕως ἄρτι,
7 τινὲς δὲ ἐκοιμήθησαν. [7] ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστό-

---

34. 35. Hi vv. post v. 40. pon. D E F G al. It. Ambrst. Sedul.
34. Rc. Kn. Sz. *γυν. ὑμῶν*, *ἐπιτέτραπται*, *ὑποτάσσεσθαι*. [-*σθωσαν* c. A B al. m. Cpt. Basm. Mcion. ap. Epiph. Damsc.]
35. Rc. Kn. Sz. *γυναιξίν*. — h. *ἐκκλησίαις* F G I al. It. Thdret.
37. Rc. *τοῦ κυρ.* — *ἐστίν* c. D*F G (h. *εἰσίν* 14.) d. e. g. Hil. Ambrst. .. Ln. *ἐστὶν ἐντολή* c. A B Cpt. Aeth. Aug. .. Rc. Kn. Sz. *εἰσὶν ἐντολαί*.. etiam *ἐντολαί εἰσιν*, *εἰσ. αἱ ἐντ.*, *εἰσ. ἐντολή* leg.
38. Rc. Kn. Sz. *ἀγνοείτω*. [-*ται* c. A (vdtr) D*F G Cpt. Basm. Vg. It. Or. Hil. Ambr. Aug. Ambrst. al.]
39. Ln. *ἀδ.* (*μου*), tum (*ἐν*) *γλ.* c. B et (ante *μὴ κωλ.* pon.) D*F G.
40. Rc. (Sz. per error. hab. vdtr) om. *δέ*.

Cap. XV. 1. Hab. *στήκετε* D G.
4. Rc. Kn. Sz. *τῇ τρ. ἡμ.* [contra A B D E al. Cyr.]
5. Hab. *ἔπειτα* A al. Eus. Chrs. (non Or.) .. *καὶ μετὰ ταῦτα* D E F G Ambrst. et *τοῖς ἕνδεκα* D*E F G al. Vg. It. al. Damsc. Ambrst. al.
6. Rc. Kn. Sz. *πλείους* et *δὲ καί*. [om. c. A* (vdtr) B D*E F G al. vv. pl. Ambrst. al. (hab. Or.)]
7. Hab. *ἔπειτα τοῖς* A F G al. pm. Or. Cyr. hr.

λοις πᾶσιν. 8 ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη 8
Eph. 3, 8. κἀμοί. 9 ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ 9
ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ·
10 χάριτι δὲ θεοῦ εἰμὶ ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ 10
ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ,
ἀλλὰ ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί. 11 εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, 11
οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε. 12 Εἰ δὲ Χριστὸς κη- 12
ρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινὲς ὅτι
ἀνάστασις νεκρῶν οὐκ ἔστιν; 13 εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, 13
οὐδὲ Χριστὸς ἐγήγερται· 14 εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν 14
ἄρα καὶ τὸ κήρυγμα ἡμῶν, κενὴ καὶ ἡ πίστις ὑμῶν, 15 εὑρισκό- 15
μεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ
τοῦ θεοῦ, ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν εἴπερ ἄρα νε-
κροὶ οὐκ ἐγείρονται. 16 εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς 16
ἐγήγερται· 17 εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, 17
ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν, 18 ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χρι- 18
στῷ ἀπώλοντο. 19 εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν 19
μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. 20 Νυνὶ δὲ Χριστὸς 20
ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων. 21 ἐπειδὴ γὰρ δι' 21
ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. 22 ὥσπερ 22
γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χρι-
στῷ πάντες ζωοποιηθήσονται, 23 ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· 23
ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ,
24 εἶτα τὸ τέλος, ὅταν παραδιδοῖ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί, 24
ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.

---

8. Kn. ὡσπερεί τῳ (c. Chrs.) .. om. τῷ FG al.
10. Om. ἡ ante εἰς D*FG Vg. It. Damsc. Hier. Ambrst. al. et Ln. om. ἡ ante σύν c. BD*FG Vg. It. Ambr. (non Hier.) al.
11. Hab. δέ pro οὖν D*FG It. Ir.; enim Vg. Tert. al.
14. Rc. Kn. om. καί post ἄρα, Ln. (—) [scr. c. ADEFG al. m. g. Dial. c. Mc. Oec.] — Rc. Kn. Sz. κενὴ δέ. [om. c. ABD*FG al. Vg. It. al. Cyr. hr. Dial. c. Mc. al.]
15. Om. εἴπερ usq. ἐγείρ. DE Syr. d. e. Har.* Vg. ms. al. Thdret. Ir. al.
17. Ln. (ἐστίν), ἔτι. — 20. Rc. κεκοιμ. ἐγένετο.
21. Rc. Kn. Sz. ὁ θάν. [om. c. ABD* al. Or. Dial. c. Mc.]
24. Rc. Kn. Sz. παραδῷ. [-διδοῖ c. BFG, -διδῷ ADE al. Sah. Basm. Did. Hipp. Eus. al.]

25 [25] δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς *Ps.110,1.
26 ὑπὸ τοὺς πόδας αὐτοῦ. [26] ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Heb.10,13.
27 [27] πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. ὅταν δὲ εἴπῃ· ὅτι *Ps.8,
πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ 6. (7.)
28 πάντα· [28] ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε αὐτὸς ὁ υἱὸς Eph. 1, 22.
ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ θεὸς πάντα
29 ἐν πᾶσιν. [29] Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν;
εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;
30 31 [30] τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; [31] καθ᾽ ἡμέραν ἀπο-
θνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ
32 κυρίῳ ἡμῶν. [32] εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί *Es.22,
μοι τὸ ὄφελος; εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν· 13.
33 αὔριον γὰρ ἀποθνήσκομεν. [33] μὴ πλανᾶσθε. φθείρουσιν ἤθη χρη-
34 στὰ ὁμιλίαι κακαί. [34] ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε· ἀγνω-
σίαν γὰρ θεοῦ τινὲς ἔχουσιν. πρὸς ἐντροπὴν ὑμῖν λαλῶ.
35 Ἀλλ᾽ ἐρεῖ τις· Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι
36 ἔρχονται; [36] ἄφρων, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀπο-
37 θάνῃ· [37] καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις,
38 ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου ἤ τινος τῶν λοιπῶν· [38] ὁ δὲ
θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερ-
39 μάτων ἴδιον σῶμα. [39] οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη
μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ σὰρξ πτηνῶν, ἄλλη

25. Rc. Kn. Sz. οὗ ἄν. — Ln. ἐχθρ. (αὐτοῦ)...om. αὐτοῦ in f. FG g. Hier. (iid. et A E al. Syr. Har. al. m. Mcell. ap. Eus. al. h. post ἐχθ.)
27. Ln. (ὅτι) πάντ...om. B Vg. cdd. lat.
28. Rc. Kn. Sz. et Ln. (—) καὶ αὐτός... om. c. BDEG al. Syr. It. Am. Or. Ir. Hier. al. — om. ὁ υἱός Vg. ms. Ign. Hipp. Cyr. hr. Tert. al. — Rc. Kn. Sz. θ. τὰ πάντ. [om. c. ABF al. Hipp. (Or. et h. et om.)]
29. Rc. pro αὐτῶν h. τῶν νεκρῶν.
31. Hab. ἡμετέρ. A al. m. Aeth. Or. Thdret. — Ln. ἀδελφοί, ἥν c. AB al. m. (etiam addito μοῦ) Syr. utr. Vg. al. m. Dial. c. Mc. (non Or.) al.
33. Rc. χρῆσθ᾽ et Ln. χρήσθ᾽ [contra ABDFGI al. pl. PP. gr.].
34. Rc. Kn. Sz. ὑμῖν λέγω.
36. Rc. Kn. Sz. ἄφρον. — h. ζωογονεῖται A al. Epiph. al.
38 Rc. Kn. Sz. τὸ ἴδ. [om. c. ABDEFG al. m. Or. Epiph.]
39. Rc. et Kn. (—) σὰρξ ἀνθρ. — Rc. Kn. Sz. ἄλλ. δ. ἰχθ. ἄλλ. δ. πτηρ. [ἄλλ. δ. πτηρ. etc. c. ABD al. Syr. Vg. d. e. al. Chrs. al. m... σάρξ ante πτην. c. BD* FG al. Am. d. e. Hil. al.]

δὲ ἰχθύων. 40 καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλὰ 40
ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. 41 ἄλλη 41
δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων·
ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. 42 οὕτως καὶ ἡ ἀνάστασις 42
τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· 43 σπεί- 43
ρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρε-
ται ἐν δυνάμει· 44 σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευ- 44
ματικόν. εἰ ἔστιν σῶμα ψυχικόν, ἔστιν καὶ πνευματικόν. 45 οὕτως 45
* Gn. 2, 7. καὶ γέγραπται· Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶ-
σαν, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. 46 ἀλλ᾽ οὐ πρῶτον τὸ 46
πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. 47 ὁ πρῶ- 47
τος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ.
48 οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, 48
τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· 49 καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα 49
τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.
Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ 50
κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρο-
νομεῖ. 51 ἰδού, μυστήριον ὑμῖν λέγω. πάντες οὐ κοιμηθησόμεθα, 51

---

44. Rc. Kn. Sz. ἔστι σ. ψυχ. καὶ ἔστι σῶμα πνευμ. [εἰ ἔ. σ. ψ. ἔ. καί c. AB CD*FG al. m. Vg. It. al. Damsc. al. et om. σῶμ. c. ABDEFG al. Arm. Vg. It. Aug. (om. plane εἰ usq. πν. 1. al. sex, Chrs. ms.)]

45. Ln. (ἄνθρωπ.) .. om. B al. Did. Ir. al.; etiam Ἀδ. omittitur.

47. Rc. Kn. Sz. ὁ δεύτ. ἄνθρ. ὁ κύριος. [om. c. BCD*EFG al. Vg. It. al. Or. (1. hab. 1.) Or. int. Hipp. ms. Ath. Gr. naz. et nyss. al. pl.]

49. Rc. Kn. Sz. φορέσομεν. [-σωμεν c. ACDEFGI al. pl. Vg. It. al. Thdot. Or. (diff. edd.) Meth. Bas. Chrs. Cyr. Ir. Tert. dis. al. pm. .. h. -σομεν B al. pm. Syr. Arr. Aeth. Arm. Or. ed. Thdret. dis.]

50. Ln. κληρονομήσει c. CDFG Vg. It. PP. lat. [-μεῖ Clem. (2.) Or.]

51. Rc. Kn. Sz. πάντ. μέν. .. om. c. BD* al. d. e. Or. (3.) [totius lectionis testes excitantur BD**E al. pleriq., cdd. gr. ap. Hier. ap. Did. ap. alios, Syr. Cpt. Arr. Apollinar. et Thdor. heracl. ap. Hier. Or. (1; et ap. Hier.) Or. int. (h. tantum: omnes autem immutabimur.) Thdot. Dial. c. Mc. Ephr. Chrs. Thdret. Thphyl. Oec. Tert. (vdtr e ctextu) Hier. (var.) al. .. Ln. π. (μέν) κοιμ., οὐ π. δέ c. C 17. cdd. gr. ap. Ruf. ap. Hier. ap. alios, Aeth. Arm. Or. (1.) Cyr. Did. Or. int. (1.) Hier. (1.) .. h. π. μὲν οὖν κ., οὐ π. δέ FG g. .. π. μέν (om. μέν D* d. e.) ἀναστησόμεθα, οὐ π. δέ D* Vg. d. e. Har. cdd. ap. Hier. et Aug. Tert. Hil. Latt. al. m. .. οἱ π. μὲν κ., οἱ π. δέ A* et οἱ π. μὲν οὐ κ., οὐ π. δέ A.**]

52 πάντες δὲ ἀλλαγησόμεθα, [52] ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν
τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται
53 ἄφθαρτοι καὶ ἡμεῖς ἀλλαγησόμεθα. [53] δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο
ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανα-
54 σίαν. [54] ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ
θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γε-
55 γραμμένος· Κατεπόθη ὁ θάνατος εἰς νῖκος. [55] ποῦ σου, θάνατε, *Es. 25, 8.
56 τὸ νῖκος; ποῦ σου, θάνατε, τὸ κέντρον; [56] τὸ δὲ κέντρον τοῦ *Hos. 13, 14.
57 θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος· [57] τῷ
δὲ θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
58 Χριστοῦ. [58] ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμε-
τακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε, εἰδότες
ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν κενὸς ἐν κυρίῳ.

## XVI.

1 Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους ὥσπερ διέταξα ταῖς
2 ἐκκλησίαις τῆς Γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε. [2] κατὰ μίαν
σαββάτου ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ,τι ἂν
3 εὐοδῶται, ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται. [3] ὅταν δὲ
παραγένωμαι, οὓς ἂν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω
4 ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ· [4] ἐὰν δὲ ἄξιον ᾖ τοῦ
5 κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. [5] ἐλεύσομαι δὲ πρὸς
6 ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι, [6] πρὸς
ὑμᾶς δὲ τυχὸν παραμενῶ ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προ-
7 πέμψητε οὗ ἐὰν πορεύωμαι. [7] οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ
ἰδεῖν· ἐλπίζω γὰρ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος

---

52. Hab. ῥοπῇ D*EFG al. Dial. c. Mc. cdd. ap. Did. teste Hier. — Lɴ. ἀναστήσονται c. ADEFG al. Or. (1; ἐγερθ. 4.) al.

55. Rc. Kɴ. Sz. θάν. τὸ κέντρον; π. σ. ᾅδη [θάν. c. BDEFG al. Vg. It. al. Eus. Ath. Gr. nyss. Tert. Ir. al. m.] τ. νῖκ. [νῖκ. tum κέντρ. c. BC al. (A* hab. tantum π. σ. θάν. τὸ κέντρ.; idque solum Clem. citat.) Cpt. Aeth. Arm. Sl. ms. Vg. Or. (1.) Eus. Ath. Did. Gr. nyss. al. m.]

57. Hab. δόντι DE al. pm. Vg. It. al. Chrs. Oec.

Cap. XVI. 2. Rc. Kɴ. Sz. σαββάτων. [-του c. ABCDEFG etc.] — h. εὐοδωθῇ AC al. Damsc.

6. Hab. καταμενῶ et om. καὶ B al. — h. εἰ μή pro ἵνα FG (om. ᾖ).

7. Rc. ἐλπίζ. δέ.

ἐπιτρέψῃ. [8] ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς· [9] θύρα 8 9
γάρ μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί.
Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς 10
ὑμᾶς· τὸ γὰρ ἔργον κυρίου ἐργάζεται ὡς κἀγώ· [11] μή τις οὖν αὐ- 11
τὸν ἐξουθενήσῃ. προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρὸς
ἐμέ· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.
Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα 12
ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν θέλημα
ἵνα νῦν ἔλθῃ, ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.
Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. 13
[14] πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. 14
Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, 15
ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν
ἑαυτούς· [16] ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις καὶ παντὶ 16
τῷ συνεργοῦντι καὶ κοπιῶντι. [17] χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στε- 17
φανᾶ καὶ Φορτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμέτερον ὑστέρημα
αὐτοὶ ἀνεπλήρωσαν· [18] ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν. 18
ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.
Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. ἀσπάζονται ὑμᾶς 19
ἐν κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα σὺν τῇ κατ' οἶκον αὐτῶν
Rom. 16, 16. etc. ἐκκλησίᾳ. [20] ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. ἀσπάσασθε 20
ἀλλήλους ἐν φιλήματι ἁγίῳ.
Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. [22] εἴ τις οὐ φιλεῖ τὸν 21 22
κύριον, ἤτω ἀνάθεμα. μαραναθά. [23] ἡ χάρις τοῦ κυρίου Ἰησοῦ 23

---

7. Rc. Kn. Sz. ἐπιτρέπῃ.

9. Hab. ἐναργής (evidens) Vg. It. Aug. al.

10. Rc. Kn. Sz. καὶ (om. B al.) ἐγώ et v. 11. πρός με.

13. Ln. (καὶ) κρατ. c. ADE al. Syr. Vg. al.

17. Rc. Kn. Sz. Φουρτουν. [contra ACDEFG al. Clem. rom.] et το ὑμῶν [contra BCDEFG al.] ὑστ. οὗτοι. [αὐτ. c. ADEFG al. Vg. Chrs. al.]

18. Hab. καὶ τὸ ἐμόν D*FG al. Vg. It.

19. Hab. Ἀσίας. ἀσπάζεται CDE al. — Ln. Πρίσκα c. B Cpt. (om. vers. A.)

22. Rc. Kn. Sz. κύρ. Ἰησοῦν Χριστόν.

24 Χριστοῦ μεθ' ὑμῶν. [24] ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χρι-
στῷ Ἰησοῦ.*

## ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β.

1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Τι-
μόθεος ὁ ἀδελφὸς τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ σὺν
2 τοῖς ἁγίοις πᾶσιν τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ. [2] χάρις ὑμῖν καὶ εἰ-
ρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
4 ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως, [4] ὁ παρα-
καλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρα-
καλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως ἧς παρακαλού-
5 μεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ, [5] ὅτι καθὼς περισσεύει τὰ παθήματα
τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτως διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ
6 παράκλησις ἡμῶν. [6] εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλή-
σεως καὶ σωτηρίας τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθη-
μάτων ὧν καὶ ἡμεῖς πάσχομεν, καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν·
εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας,

---

24. Rc. Sz. in f. add. ἀμήν, Kn. Ln. (—) .. om. c. BFG al. cdd. lat. — *) Rc. et Kn. (—) subscript. h. Πρὸς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ καὶ Τιμοθέου c. I al. m. .. h. πρ. Κορ. α AC, add. ἐπληρώθη D* et ἐγρ. ἀπὸ Ἐφέσου B (etiam ἀπὸ τῆς Ἀσίας, ἀπὸ Ἐφέσου τῆς Ἀσίας, ἀπὸ Φιλίππων Μακεδονίας (D**) leg.). .. h. ἐτελέσθη πρ. Κορ. α FG. .. al. aliter.

Cap. I. 1. Om. Ἰησ. Χρ. F. .. h. Χρ. Ἰησ. B Syr. p.

3. Om. ὁ ante πατήρ et h. v. 4. καὶ αὐτοί G.

5. Hab. οὔτ. καί DEFG al. Vg. It. al. Damsc. al. — Rc. post διά om. τοῦ.

6. Om. καὶ σωτηρ. ante τῆς B. — Rc. εἴτε παρακαλ. usque σωτηρ. ante καὶ ἡ ἐλπ pon. [postpos. c. BDEFGI al. pl. It. al. Chrs. Thdret. al.] .. pon. εἴτε παρακ. usq. σωτηρ. (κ. σωτηρ. om. A) ante τῆς ἐνεργ. AC al. m. Syr. Vg. cdd. lat. al. Ephr. al. .. Ln. in f. (καὶ σωτηρίας).

7 εἰδότες ὅτι ὡς κοινωνοί ἐστε τῶν παθημάτων, οὕτως καὶ τῆς 7
παρακλήσεως.
Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῆς θλίψεως 8
ἡμῶν τῆς γενομένης ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ὑπὲρ δύναμιν
ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· 9 ἀλλ' αὐτοὶ 9
ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποι-
θότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νε-
κρούς, 10 ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, εἰς ὃν ἠλπί- 10
καμεν ὅτι καὶ ἔτι ῥύσεται, 11 συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ 11
ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα
διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. 12 Ἡ γὰρ καύχησις ἡμῶν 12
αὕτη ἐστίν, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁγιότητι
καὶ εἰλικρινείᾳ τοῦ θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀλλ' ἐν χάριτι
θεοῦ, ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς.
13 οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν ἀλλ' ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπι- 13
γινώσκετε· ἐλπίζω δέ, ὅτι ἕως τέλους ἐπιγνώσεσθε 14 καθὼς καὶ 14
ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν ἐσμὲν καθάπερ καὶ
ὑμεῖς ἡμῶν ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ.

---

7. Rc. Kn. Sz. *ὥσπερ.* [ὡς c. ABCD*E al. Or. al. .. h. *εἰ* (om. *οὕτως*) FG gr. d. e.]

8. Rc. Kn. Sz. *ὑπὲρ τῆς θλ.* [contra ACDEFG al. m. Bas. Chrs. al.], *γενόμ. ἡμῖν* [om. c. ABCD*FG al. Vg. It. Arm. Tert. al.] et *ἐβαρ. ὑπ. δύν.* [*ὑπ. δ. ἐβ.* c. ABC* al. Arm. Bas. Hier. .. h. *ἐβαρ. παρὰ δύν.* D*FG.]

10. Rc. Kn. Sz. *ἡμᾶς καὶ ῥύεται*... Ln. (*καὶ ῥύσεται*) c. BC al. Cpt. cdd. lat. al. Ath. Damsc. .. om. c. AD* Syr. d. e. Vg. ms. Chrs. Ambrst. ed.; tum et *εἰς ὃν ἠλπ.* et *ὅτι κ. ἔ. ῥ.* omittuntur. .. Ln. (*ὅτι*) .. om. BD* .. h. *καὶ ὅτι* (sine *ἔτι*) FG et *ῥύεται* FG Syr. cdd. lat.

11. Hab. *ἡμῶν ὑπ.* (h. *περί* D*FG) *ὑμῶν* A al. Cpt. et in f. h. *ὑμῶν* D** gr. E gr. FI al. pl. Slav.

12. Rc. Kn. Sz. *ἁπλότητι* [*ἁγιότ.* c. ABC al. Cpt. Arm. Clem. Or. al.; etiam *πραότητι* leg.] et om. *τοῦ* ante *θ.* [scr. c. ABCDE al. Damsc. .. om. *τ. θ.* Syr. p. Or. Chrs. al.] — h. *καὶ οὐκ* B al. Arm. Vg. — h. *σαρκίνῃ* FG.

13. Ln. *ἀλλ'* [id om. FG] (*ἢ*) *ἅ*... om. *ἢ* AD* al. Syr. Arm. — om. *ἢ καὶ ἐπιγ.* B al. Oec.; etiam tantum *ἢ* om. — Rc. Kn. Sz. *καὶ ἕως.* [om. c. ABCD*EFG etc.]

14. Ln. (*ἡμῶν*) *Ἰησ.* .. add. BFG al. m.; vv. m.; Chrs. al. et h. *Ἰησ. Χριστοῦ* D*EFG al. m.; vv. m.; Chrs. al.

15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρότερον πρὸς ὑμᾶς ἐλ-
16 θεῖν, ἵνα δευτέραν χάριν ἔχητε, [16] καὶ δι' ὑμῶν διελθεῖν εἰς Μα-
κεδονίαν καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς καὶ ὑφ'
17 ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. [17] τοῦτο οὖν βουλόμενος
μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; ἢ ἃ βουλεύομαι κατὰ σάρκα βου-
18 λεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ; [18] πιστὸς δὲ
ὁ θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἔστιν ναὶ καὶ οὔ.
19 [19] ὁ τοῦ θεοῦ γὰρ υἱὸς Χριστὸς Ἰησοῦς ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυ-
χθείς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ
20 οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν· [20] ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν
αὐτῷ τὸ ναί· διὸ καὶ δι' αὐτοῦ τὸ ἀμὴν τῷ θεῷ πρὸς δόξαν δι'
21 ἡμῶν. [21] ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς
22 θεός, [22] ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ
πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

## II.

23 [23] Ἐγὼ δὲ μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν,
24 ὅτι φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον. [24] οὐχ ὅτι κυ-
ριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν·
1 τῇ γὰρ πίστει ἑστήκατε. (II.) [1] ἔκρινα δὲ ἐμαυτῷ τοῦτο τὸ μὴ
2 πάλιν ἐν λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν. [2] εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ
3 τίς ὁ εὐφραίνων με εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; [3] καὶ ἔγραψα

---

15. Hab. τὸ πρότερ. 44. al. pm. Thdret. al. — h. χαρὰν BI al. Thdret. et σχῆτε B Thdret.

16. Ln. ἀπελθ. εἰς c. AD*FG al. Syr. p. in m. It. Damsc.; etiam ἐλθεῖν leg.

17. Rc. Kn. βουλευόμενος et v. 18. οὐκ ἐγένετο.

19. Χρ. Ἰησ. c. AC... Rc. Kn. Sz. Ln. Ἰ. Χρ. — h. ὁ ante δι' ἡμ. G.

20. Hab. τοῦ θεοῦ A al. Thdret. — Rc. Kn. Sz. pro διὸ κ. δι' αὐτ. [c. ABC*FG al. m. Syr. Vg. g. al. Mc. ap. Epiph. al... om. διό D* d. e.] h. καὶ ἐν αὐτῷ.

22. Om. ὁ AC* al. Syr. Cpt. Did. al.; pon. καὶ ὁ FG It. Ambr. al. — Ln. ἀραβῶνα c. AG.

Cap. II. 2. Rc. Kn. Sz. τίς ἐστιν. [om. c. ABC Syr. Cpt. Cyr. Damsc. (h. Or.)]

3. Rc. Kn. Sz. ἔγρ. ὑμῖν. [om. c. ABC* Cpt. Arm. Damsc. Ambrst.]

*τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην σχῶ ἀφ᾽ ὧν ἔδει με χαίρειν, πε-*
*ποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν.* [4]*ἐκ* 4
*γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν*
*δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω*
*περισσοτέρως εἰς ὑμᾶς.*

*Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους,* 5
*ἵνα μὴ ἐπιβαρῶ, πάντας ὑμᾶς.* [6]*ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία* 6
*αὕτη ἡ ὑπὸ τῶν πλειόνων,* [7]*ὥστε τοὐναντίον ὑμᾶς χαρίσασθαι καὶ* 7
*παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.*
[8]*διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην·* [9]*εἰς τοῦτο γὰρ* 8 9
*καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε.*
[10]*ᾧ δέ τι χαρίζεσθε, κἀγώ· καὶ γὰρ ἐγὼ ὃ κεχάρισμαι, εἴ τι κε-* 10
*χάρισμαι, δι᾽ ὑμᾶς ἐν προσώπῳ Χριστοῦ,* [11]*ἵνα μὴ πλεονεκτη-* 11
*θῶμεν ὑπὸ τοῦ σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.*

*Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,* 12
*καὶ θύρας μοι ἀνεῳγμένης ἐν κυρίῳ,* [13]*οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύ-* 13
*ματί μου τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου, ἀλλὰ ἀπο-*
*ταξάμενος αὐτοῖς ἐξῆλθον εἰς Μακεδονίαν.*

*Τῷ δὲ θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χρι-* 14
*στῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν*
*παντὶ τόπῳ·* [15]*ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζο-* 15
*μένοις καὶ ἐν τοῖς ἀπολλυμένοις,* [16]*οἷς μὲν ὀσμὴ ἐκ θανάτου εἰς* 16
*θάνατον, οἷς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωήν. καὶ πρὸς ταῦτα τίς ἱκα-*
*νός;* [17]*οὐ γὰρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ* 17

---

**3. Om. *αὐτό* A, pon. ante *τοῦτ.* C Chrs. Thphyl.; pon. *τοῦτ. αὐτ. ἔγρ. ὑμῖν* DEFG Vg. It. — hab. *λύπ. ἐπὶ λύπην* (-*πῃ*) DEFG al. m. Syr. p. c. ast. Vg. It. — Rc. Kn. Sz. *ἔχω*.**

**7. Rc. Kn. Sz. *μᾶλλον ὑμᾶς*. [om. c. AB Syr. Aug.; post *ὑμ.* pon. DFG.]**

**9. Ln. pro *εἰ* h. *ᾗ* c. AB. — 10. Rc. *ἐγὼ εἴ τι κεχάρ.*, *ᾧ κεχάρ.***

**13. (Kn. Sz. 12.) Leg. *ἐν τῷ εὑρ.* (DE) et *τοῦ εὑρ.* (C*). — Sz. om. *μέ* per errorem.**

**16. Rc. Kn. Sz. bis om. *ἐκ*. [bis scr. c. AB (dis. ap. Btlj.) C al. m. Cpt. Aeth. Clem. Or. (3.) al. m.]**

**17. Hab. *οἱ λοιποί* Dgr. Egr. FGI al. pl. Syr. utr. al. Chrs. al.**

θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ θεοῦ κατέναντι θεοῦ ἐν Χριστῷ λαλοῦμεν.

## III.

1 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; ἢ μὴ χρῄζομεν ὥς τι-
2 νες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς ἢ ἐξ ὑμῶν; [2] ἡ ἐπιστολὴ
ἡμῶν ὑμεῖς ἐστέ, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη
3 καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, [3] φανερούμενοι ὅτι
ἐστὲ ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ
μέλανι ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶν λιθίναις ἀλλ'
4 ἐν πλαξὶν καρδίας σαρκίναις. [4] πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ
5 τοῦ Χριστοῦ πρὸς τὸν θεόν. [5] οὐχ ὅτι ἱκανοί ἐσμεν λογίσασθαί τι
ἀφ' ἑαυτῶν ὡς ἐξ αὐτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ,
6 [6] ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος
ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτέννει, τὸ δὲ πνεῦμα ζωο-
7 ποιεῖ. [7] εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη
λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς
Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως διὰ τὴν δόξαν τοῦ προσώπου
8 αὐτοῦ τὴν καταργουμένην, [8] πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύ-
9 ματος ἔσται ἐν δόξῃ; [9] εἰ γὰρ τῇ διακονίᾳ τῆς κατακρίσεως δόξα,

---

17. Om. ὡς ante ἐξ G 46. Vg. It. Ir. PP. lat. et om. ἀλλ' poster. FG Vg. ms. It. Ir. PP. lat. (non Hier.) — Rc. Kn. Sz. κατενώπιον [ctra ABC al. Chrs. ms.] τοῦ θ. [om. c. ABCD* al. m. Bas.]

Cap. III. 1. Ln. συνιστᾶν c. B al. .. h. συνιστάναι FG Thdret. — Rc. εἰ μή. [ἢ c. BDEFG al. pm. Vg. It. Syr. al. Thdret. PP. lat.] — Ln. ὥς (περ) c. AD* al. — Rc. Kn. Sz. in f. add. συστατικῶν.

2. Hab. καρδίαις ὑμῶν 17. al. Aeth. Sl. ms. Demid.

3. Hab. καὶ ἐγγ. B al. Arm. Vg. Hier. al. — Ln. καρδίαις c. ABG gr. al. m. (non Or.)

5. Ln. λογίζεσθαι c. CDFG al. .. Rc. Kn. Sz. ἀφ' ἑαυτ. ante λογίσ. pon. [postp. c. AC(?)DEFG Vg. It. PP. lat. .. ante ἱκανοί pon. BC(?) al. Cpt. Arm. Bas. Antioch. .. om. Syr. Aug. (1.) (hab. sed om. sq. ἐξ ἑαυτ. Erp.)]

6. Ln. ἀποκταίνει. .. Rc. Kn. Sz. ἀποκτείνει. .. ἀποκτέννει c. G al. m. et (ἀποκτένει) ACD al. pm. Or. ms.

7. Ln. γράμματι c. BD*gr. G (utrq. h. g.) (non Or.). — Rc. Kn. Sz. ἐν λιθ. [om. c. ABCD*gr. FG al. g. Or. (2; h. 1.) al.]

9. Rc. Kn. Sz. ἡ διακονία. [τῇ δ. c. ACD*G al. Syr. utr. d. e. Am. Or. al.] — h. δόξα ἐστίν D*EFG Syr. Vg. It. PP. lat.

πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης δόξῃ. [10] καὶ 10
γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, εἵνεκεν τῆς
ὑπερβαλλούσης δόξης. [11] εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ 11
μᾶλλον τὸ μένον ἐν δόξῃ. [12] Ἔχοντες οὖν τοιαύτην ἐλπίδα πολλῇ 12
παῤῥησίᾳ χρώμεθα, [13] καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα 13
ἐπὶ τὸ πρόσωπον αὐτοῦ πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ
εἰς τὸ τέλος τοῦ καταργουμένου. [14] ἀλλ' ἐπωρώθη τὰ νοήματα 14
αὐτῶν. ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ
ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον ὅτι
ἐν Χριστῷ καταργεῖται· [15] ἀλλ' ἕως σήμερον, ἡνίκα ἂν ἀναγινώ- 15
σκηται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· [16] ἡνίκα 16
δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. [17] ὁ δὲ 17
κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐλευθερία.
[18] ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου 18
κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς
δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος.

## IV.

Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, 1
οὐκ ἐγκακοῦμεν, [2] ἀλλὰ ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ 2
περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες τὸν λόγον τοῦ θεοῦ,
ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστάντες ἑαυτοὺς πρὸς πᾶσαν
συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ θεοῦ. [3] εἰ δὲ καὶ ἔστιν κεκαλυμ- 3

---

9. Hab. περισσεύσει DE al. Syr. Erp. d. e. g. Ruf. al. — Rc. Kn. Sz. ἐν δόξῃ. [om. c. AB al. Tol. Vg. ms. (h. Or. 2; om. 1. ap. Wtst.; h. Ruf.)]
10. Rc. γὰρ οὐδέ et Rc. Kn. Sz. ἕνεκεν. [εἵν. c. ABG al. m.]
13. Rc. Kn. Sz. ἑαυτοῦ. [αὐτ. c. ABGI al.] — pro τέλ. h. πρόσωπον A Vg.
14. Rc. Kn. om. ἡμέρας. — h. ἐν τῇ ἀν. DFG Vg. It. Sl. Chrs. — Rc. Sz. ὅ,τι.
15. Rc. Kn. Sz. om. ἂν [scr. c. AB al. Or.] et h. ἀναγινώσκεται. [-ηται c. ABCDE al. Or. al.]
17. Om. κυρίου 33. (s. XV.) 35. (s. XI.) Sedul. .. h. ἅγιον I. — Rc. Kn. Sz. ἐκεῖ ἐλευθ.
18. Hab. καθώσπερ B.
Cap. IV. 1. Rc. Kn. Sz. ἐκκακ. [ἐγκακ. c. ABDFG al.]
2. Rc. Kn. Sz. συνιστῶντες. [-στάντες c. CD*FG al. .. -στάκοντες B (et vdtr A) al.]

μένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶν κεκαλυμ-
4 μένον, 4 ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν τὰ νοήματα
τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς
5 δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. 5 οὐ γὰρ ἑαυτοὺς
κηρύσσομεν ἀλλὰ Ἰησοῦν Χριστὸν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν
6 διὰ Ἰησοῦν. 6 ὅτι ὁ θεὸς ὁ εἰπών· Ἐκ σκότους φῶς λάμψει, ὃς
ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς
δόξης τοῦ θεοῦ ἐν προσώπῳ Χριστοῦ.
7 Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα
8 ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ καὶ μὴ ἐξ ἡμῶν, 8 ἐν παντὶ
θλιβόμενοι ἀλλ' οὐ στενοχωρούμενοι, ἀπορούμενοι ἀλλ' οὐκ ἐξαπο-
9 ρούμενοι, 9 διωκόμενοι ἀλλ' οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι
10 ἀλλ' οὐκ ἀπολλύμενοι, 10 πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ
σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν
11 φανερωθῇ. 11 ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα
διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ
12 ἡμῶν. 12 ὥστε ὁ θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.
13 13 ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον·
Ἐπίστευσα, διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν, *Ps. 116, 10.
14 14 εἰδότες ὅτι ὁ ἐγείρας τὸν κύριον Ἰησοῦν καὶ ἡμᾶς σὺν Ἰησοῦ
15 ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. 15 τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα
ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ

---

4. Hab. καταυγάσ. CDE al. Or. (1.) Eus. al. .. διαυγ. A al. Dion. alex. Eus. (1.) Dial. c. Mc. al. — Rc. αὐγ. αὐτοῖς.
5. Rc. Kn. Sz. Χρ. Ἰησ. [ctra ACDEFG etc. (FG κύρ. ante Ἰ. Χρ. pon.; etiam om.)] — h. διὰ Ἰησοῦ (s. Χρ.) A** C al. Cpt. Vg. It. Cyr. Aug.
6. Om. ὁ ante θεός B. — Rc. Kn. Sz. λάμψαι. [-ει c. ABD* al. Clem.] — om. ὅς D*FG al. It. Chrs. al.; ipse Vg. (non Am.) — h. ὑμῶν C 3. Chrs. Dial. c. Mc. — Ln. pro τοῦ θ. h. αὐτοῦ c. C*D*FG al. Aeth. It. Cyr. Tert. al. (non Or.) — Rc. Kn. Sz. Ἰησοῦ Χρ. [om. c. AB 17. Or. (1.) Chrs. Tert.; et Χρ. Ἰ. et aliter leg.]
9. Hab. ἐγκαταλιμπανόμενοι FG al. Eus. Chrs. Max.
10. Rc. et Kn. (—) νέκρ. τ. κυρίου Ἰ. — h. ἡμῶν περιφ. DEFG Syr. Vg. al. Ruf. .. κυρίου ἡμῶν 112. It. Ir. Tert. al.
12. Rc. et Kn. (—) ὁ μὲν θάνατ.
14. Ln. om. κύρ. c. B (A hiat usq. XII, 7.) al. Arm. Vg. Chrs. (comm.) al. — Rc. Kn. Sz. διὰ Ἰησ. [σύν c. BC (vdtr) DEFG al. Vg. It. al. Tert. al.]

*εἰς τὴν δόξαν τοῦ θεοῦ.* [16] *διὸ οὐκ ἐγκακοῦμεν, ἀλλ' εἰ καὶ ὁ ἔξω* 16
*ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἡμῶν ἀνακαινοῦται*
*ἡμέρᾳ καὶ ἡμέρᾳ.* [17] *τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως* 17
*ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργά-*
*ζεται ἡμῖν,* [18] *μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα ἀλλὰ τὰ μὴ* 18
*βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα*
*αἰώνια.*

## V.

*Οἴδαμεν γάρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους κατα-* 1
*λυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον,*
*ἐν τοῖς οὐρανοῖς.* [2] *καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον* 2
*ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες,* [3] *εἴγε καὶ ἐνδυσά-* 3
*μενοι οὐ γυμνοὶ εὑρεθησόμεθα.* [4] *καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει* 4
*στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι ἀλλ' ἐπ-*
*ενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.* [5] *ὁ δὲ κατ-* 5
*εργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο θεός, ὁ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα*
*τοῦ πνεύματος.* [6] *θαῤῥοῦντες οὖν πάντοτε καὶ εἰδότες, ὅτι ἐνδη-* 6
*μοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου·* [7] *διὰ πίστεως* 7
*γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους·* [8] *θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν* 8
*μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον.*
[9] *διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες, εὐ-* 9

---

16. Rc. Kn. Sz. *ἐκκακ.* [*ἐγκακ.* c. BDEFG al.] et *ἔσωθεν* [*ἔσω* c. BD* (D* 73. Bas. Thdret. antea h. *ἔξωθεν*) FG al. m. Or. al.] omisso *ἡμῶν*. [scr. c. BDEFG al. Arm. Syr. p. g. Thdret.]

17. Hab. *πρόσκαιρον καὶ ἐλαφρ.* D*EFG Syr. Vg. It. al. Tert. al. — om. *ἡμῶν* B Chrs.

18. Hab. *μὴ σκοποῦντες τά* D*FG It.

Cap. V. 1. Hab. *ὅτι οἰκοδομ.* DEFG Vg. It. Ambrst. al.

3. Ln. *εἴ περ* c. BDG al. (non Clem. Chrs. Thdret.) — h. *ἐκδυσ.* D*FG Ar. pol. It.; cdd. ap. Chrs. ap. Oec. ap. Ambrst.; Tert. Paulin. Prim. Ambr. Mcion. — om. *οὐ* Syr.

4. Ln. *σκήν. τούτῳ* c. CDFG al.; vv. pl.; Chrs. Thdret. (non ad h. l.) Tert. (1.) al. (Or. constanter om.)

5. Rc. Kn. Sz. *ὁ καὶ δούς.* [om. c. B (ap. Bch. om. etiam *ὁ*) CDFG al. Syr. Arm. Vg. It. Or. Ir. al.]

6. Hab. *τοῦ θεοῦ* DEFG It. (non PP. lat.) et v. 8. h. *τὸν θεόν* D 17. Vg.ms. Am. Arm. Clem. (non Or.) Ambrst.

10 ἀρεστοὶ αὐτῷ εἶναι. [10] τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ
ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ
διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον.
11 Εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου ἀνθρώπους πείθομεν, θεῷ
δὲ πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πε-
12 φανερῶσθαι. [12] οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφ-
ορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς τοὺς
13 ἐν προσώπῳ καυχωμένους καὶ οὐ καρδίᾳ. [13] εἴτε γὰρ ἐξέστημεν,
14 θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν. [14] ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συν-
15 έχει ἡμᾶς, [15] κρίναντας τοῦτο, ὅτι εἷς ὑπὲρ πάντων ἀπέθανεν· ἄρα
οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες
μηκέτι ἑαυτοῖς ζῶσιν ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερ-
16 θέντι. [16] ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ
καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.
17 [17] ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδού,
18 γέγονεν καινά. [18] τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ τοῦ καταλλάξαντος
ἡμᾶς ἑαυτῷ διὰ Χριστοῦ καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλ-
19 λαγῆς, [19] ὡς ὅτι θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ,
μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν καὶ θέμενος ἐν
20 ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. [20] Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν
ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, κατ-

---

10. Pro *διά* h. *ἴδια* Arm. Vg. It. Or. (2; *διά* 5.) Or. int. al. m. (sed *διά* Clem. Ath. Bas. Tert. Hier. al.). .. om. *τά* Clem. (1.) Tert. (1.). .. h. *ἅ* (om. *πρὸς ἅ*) D*FG. — *φαῦλ.* c. C al. Or. (6; *κακ.* 1; *κακ.* etiam Clem.) Eus. Ephr. Ath. Epiph. Bas. Cyr. (saepiss.) al. .. Rc. Kn. Sz. Ln. *κακόν.*

12. Rc. Kn. Sz. *γὰρ πάλιν.* — Ln. *καὶ μὴ* [c. B al. Thdret.] *ἐν καρδ.* [c. BD*FG al. Syr. Vg. It. Clem. (alludit tantum ad loc.) Ambrst.]

14. Hab. *τοῦ θεοῦ* C al. Syr. p. Chrs. al.

15. Rc. Kn. Sz. *εἰ εἷς.* [om. c. BC**D*EFGI al. pl. Syr. utr. Aeth. It. Chrs. Ath. (vdtr) al.]

16. Rc. Kn. Sz. *εἰ δὲ καί.* [*εἰ καί* c. BC**D* al. Or. .. h. *καὶ εἰ* FG Vg. It. PP. lat. (*εἰ δὲ κ.* Chrs. Thdret.)]

17. Rc. Kn. Sz. in f. add. *τὰ πάντα.* [om. c. BCD*FG al. It. Vg. ms. Am. al. Clem. al. m.; ante *καιν.* pon. 17. al. m. Syr. Vg. Ath. al. m.]

18. Rc. Kn. Sz. *Ἰησοῦ Χρ.*

20. Hab. *ὃν ὑπ. Χρ. πρεσβ.* DEFG, tum *δεόμενοι* et *καταλλαγῆναι* D*FG It.

αλλάγητε τῷ θεῷ. 21 τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν 21
ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.

## VI.

Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν 1
* Es. 49, 8. τοῦ θεοῦ δέξασθαι ὑμᾶς, — 2 λέγει γάρ· Καιρῷ δεκτῷ ἐπήκουσά 2
σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· ἰδού, νῦν καιρὸς εὐ-
πρόσδεκτος, ἰδού, νῦν ἡμέρα σωτηρίας· — 3 μηδεμίαν ἐν μηδενὶ 3
διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, 4 ἀλλ' ἐν παντὶ 4
συνιστάντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι· ἐν ὑπομονῇ πολλῇ, ἐν θλί-
ψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, 5 ἐν πληγαῖς, ἐν φυλακαῖς, 5
ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, 6 ἐν 6
ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι
ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, 7 ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ· 7
διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, 8 διὰ 8
δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι καὶ
ἀληθεῖς, 9 ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκον- 9
τες καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι, 10 ὡς 10
λυπούμενοι ἀεὶ δὲ χαίροντες, ὡς πτωχοὶ πολλοὺς δὲ πλουτίζοντες,
ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες.

Τὸ στόμα ἡμῶν ἀνέῳγεν πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία 11
ἡμῶν πεπλάτυνται· 12 οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε 12
δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν· 13 τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ὡς 13
τέκνοις λέγω, πλατύνθητε καὶ ὑμεῖς. 14 μὴ γίνεσθε ἑτεροζυγοῦντες 14
ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ, ἢ τίς κοινωνία
φωτὶ πρὸς σκότος; 15 τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ, 15

---

21. Rc. Kn. Sz. τὸν γάρ [om. c. BCD*FG al. Cpt. Vg. It. Or. Aug. al.] et γινώμ. [γεν. c. BDEI al. pm. Or. Chrs. al.]

Cap. VI. 1. Hab. παρακαλοῦντες D*EFG It.

3. Add. in f. ἡμῶν DEFG al. Syr. utr. Vg. It. al. Chrs. Thdret. al.

4. Rc. Kn. Sz. συνιστῶντες. [-στάντες c. CD*FG al. Clem. Cyr. .. h. -στάνοντες B al. Damsc.]

9. Pro παιδευόμ. h. πειραζόμενοι D*FG It. Ambrst.

14. Hab. δικαιοσύνης κ. ἀνομίας D*E Or. .. h. -νῃ μετὰ ἀνομίας FG Arm. Vg. It. PP. lat. pl. — Rc. Kn. Sz. τίς δέ. [ἢ τίς c. BCDEFGI etc.]

15. Rc. Ln. Βελίαλ. [-αρ c. CI al. pl. Cpt. Arm. Aeth. Syr. p. Sl. Har.* Clem. (2.) Or. (4.) Pseudo-Ign. Test. XII. patr. Can. apost. Chrs. al.

16 ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; [16] τίς δὲ συγκατάθεσις ναῷ θεοῦ
μετὰ εἰδώλων; ἡμεῖς γὰρ ναὸς θεοῦ ἐσμὲν ζῶντος, καθὼς εἶπεν 1 Cor. 3, 16.
ὁ θεός· ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι * Lv. 26, 11. 12.
17 αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μου λαός. [17] Διὸ ἐξέλθατε ἐκ μέ- Heb. 8, 10.
σου αὐτῶν καὶ ἀφορίσθητε, λέγει κύριος, ἀκαθάρτου μὴ ἅπτεσθε· * Es. 52, 11.
18 κἀγὼ εἰσδέξομαι ὑμᾶς [18] καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς * Zeph. 3, 19. 20.
ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει κύριος παντοκράτωρ. * Jer. 31, 9.
1 (VII.) [1] Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρί- * 2 Sam. 7, 14.
σωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπι-
τελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ.

## VII.

2 [2] Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδ-
3 ένα ἐπλεονεκτήσαμεν. [3] πρὸς κατάκρισιν οὐ λέγω· προείρηκα γάρ,
ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστὲ εἰς τὸ συναποθανεῖν καὶ συζῆν.
4 [4] πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν·
πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ
5 τῇ θλίψει ἡμῶν. [5] Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν οὐδε- 2 Cor. 2, 12.
μίαν ἄνεσιν ἔσχεν ἡ σάρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι· ἔξωθεν
6 μάχαι, ἔσωθεν φόβοι. [6] ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκά-
7 λεσεν ἡμᾶς ὁ θεὸς ἐν τῇ παρουσίᾳ Τίτου· [7] οὐ μόνον δὲ ἐν τῇ
παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ'
ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν,
8 τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ, ὥστε με μᾶλλον χαρῆναι. [8] ὅτι εἰ καὶ
ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι· εἰ καὶ μετεμελό-

---

pl. .. h. -αν DEgr. al. .. -αβ FGgr. d. e. -αλ B (e silentio Bchi et Btlji.) Vg. PP. lat. pl. — Rc. Kn. Sz. Χριστῷ [-στοῦ c. B al. Vg. d. e. Clem. ms. Or. (2. -στῷ 1.) PP. lat.] et Ln. πιστοῦ c. B.

16. Rc. Kn. Sz. ὑμεῖς et ἐστέ. [ἡμ. et ἐσμέν c. BDI al. m. Cpt. d. e. Clem. al.] — h. αὐτοῖς G g. Or. (2.) — Rc. Kn. Sz. ἔσ. μοι. [μοῦ c. BC al. Damsc.]

17. Rc. Kn. Sz. ἐξέλθετε. [-θατε c. BCFG al. Damsc.]

Cap. VII. 3. Rc. Kn. Sz. οὐ πρ. κατ. λ. [πρ. κ. οὐ λ. c. B (ap. Btlj.) C.]

5. Rc. Kn. Sz. ἔσχηκεν ἄνεσ. [ἔσχεν c. BFG al. et postp. c. CFG Vg. Thdret.]

6. Om. ὁ θεός 72. al. Bas. Chrs. Thdret. (etiam h.) .. om. ὁ C 4. — h. ἦν παρεκλήθην D*Egr.

8. Ln. εἰ δὲ κ. μετεμ. c. B.

μην, βλέπω ὅτι ἡ ἐπιστολὴ ἐκείνη εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς,
[9] νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· 9
ἐλυπήθητε γὰρ κατὰ θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.
[10] ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον 10
ἐργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. [11] ἰδοὺ 11
γάρ, αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι πόσην κατειργάσατο
ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον,
ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. ἐν παντὶ συνεστή-
σατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. [12] ἄρα εἰ καὶ ἔγραψα 12
ὑμῖν, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, ἀλλ' οὐδὲ εἵνεκεν τοῦ ἀδικη-
θέντος, ἀλλ' εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ἡμῶν τὴν ὑπὲρ
ὑμῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ θεοῦ. [13] διὰ τοῦτο παρακεκλήμεθα. 13
ἐπὶ δὲ τῇ παρακλήσει ἡμῶν περισσοτέρως μᾶλλον ἐχάρημεν ἐπὶ τῇ
χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν·
[14] ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην, ἀλλ' 14
ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτως καὶ ἡ καύχησις ὑμῶν
ἡ ἐπὶ Τίτου ἀλήθεια ἐγενήθη. [15] καὶ τὰ σπλάγχνα αὐτοῦ περισ- 15
σοτέρως εἰς ὑμᾶς ἐστὶν ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπ-
ακοήν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. [16] χαίρω, ὅτι 16
ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν.

---

8. Rc. Kn. Sz. *βλέπ. γάρ.* [om. c. BD* d. e. Ambrst. al. videns Vg.]

10. Rc. Kn. Sz. *κατεργάζ.* [*ἐργ.* c. BCDE al. Just. Clem. Or. (2; *κατ.* 2.) Chrs.]

11. Rc. Kn. Sz. *λυπηθ. ὑμᾶς.* [om. c. BCFG al. g. Ambrst.] — Ln. (*ἐν*) *ὑμῖν* [c. CFG al. m. Syr. Vg. g. al. (non Clem.) Bas. Chrs. Thdret. al.] et *εἶναι* (*ἐν*). .. Rc. Kn. Sz. *εἶναι ἐν.* .. om. c. CD*gr. FG al. Vg. g. Clem. (accurate totum loc. cit.) Damsc. al.

12. Ln. ter *ἕνεκεν* [c. CDF al.] et *ὑμῶν τὴν ὑπ. ἡμῶν* c. CDEI al. pl. Syr. Arr. Cpt. Aeth. e. Damsc. (sed om. *πρ. ὑμ.* Syr. Erp. Arm. Aeth. Vg. Ambrst.; etiam *πρ. ἡμᾶς* leg.)

13. Rc. Kn. Sz. *παρακεκλ. ἐπὶ τῇ παρ. ὑμῶν· περισσ. δὲ μᾶλλ.* etc. [*ἐπὶ δέ,* omisso *δέ* post *περισσ.* c. BCDEFG al. pm. Syr. utr. Vg. al. Chrs. (comm.) Damsc. Thphyl. Ambrst. al. .. *ἡμῶν* c. BCDEG al. Syr. Erp. Aeth. Arm. Vg. It. Ambrst. .. om. *δέ* utrque 32. al. Thdret.]

14. Hab. *πρὸς Τίτον* DEFG al. vv. m. — Ln. om. *ἡ* ante *ἐπί* c. B.

16. Rc. *χαίρω οὖν.*

# VIII.

1 Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ θεοῦ τὴν δε-
2 δομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας, [2] ὅτι ἐν πολλῇ δοκιμῇ
θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους πτωχεία
3 αὐτῶν ἐπερίσσευσεν εἰς τὸ πλοῦτος τῆς ἁπλότητος αὐτῶν· [3] ὅτι
4 κατὰ δύναμιν, μαρτυρῶ, καὶ παρὰ δύναμιν αὐθαίρετοι, [4] μετὰ
πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν
5 τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, [5] καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ᾽
ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ κυρίῳ καὶ ἡμῖν διὰ θελήματος θεοῦ,
6 [6] εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο οὕτως
7 καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην. [7] ἀλλ᾽ ὥσπερ ἐν παντὶ
περισσεύετε, πίστει καὶ λόγῳ καὶ γνώσει καὶ πάσῃ σπουδῇ καὶ τῇ
ἐξ ἡμῶν ἐν ὑμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.
8 [8] οὐ κατ᾽ ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς
9 ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων· [9] γινώσκετε γὰρ τὴν χάριν
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι᾽ ὑμᾶς ἐπτώχευσεν πλού-
10 σιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. [10] καὶ γνώμην
ἐν τούτῳ δίδωμι. τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ
11 ποιῆσαι ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι· [11] νυνὶ δὲ
καὶ τὸ ποιῆσαι ἐπιτελέσατε, ὅπως καθάπερ ἡ προθυμία τοῦ θέ-
12 λειν, οὕτως καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν. [12] εἰ γὰρ ἡ προθυμία
13 πρόκειται, καθὸ ἐὰν ἔχῃ, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει. [13] οὐ
γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις, ἀλλ᾽ ἐξ ἰσότητος· ἐν τῷ
14 νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, [14] ἵνα

---

Cap. VIII. 2. Rc. Kn. Sz. τὸν πλοῦτον. [τὸ πλ. c. B al.]
3. Rc. Kn. Sz. pro παρά [c. BDEG al.] h. ὑπέρ.
4. Rc. in f. add. δέξασθαι ἡμᾶς.
5. Ln. ἠλπίκαμεν c. B al. et v. 6. ἐνήρξ. c. B.
7. Rc. Kn.¹ Sz. ἐξ ὑμῶν ἐν ἡμῖν. [ἡμ. et ὑμ. c. B al. m. Syr. Arm. Sl. ms. Ruf. Ambrst. (vdtr.)]
8. Hab. δοκιμάζω FG gr.
9. Ln. om. Χρ. c. B. — h. ἡμᾶς et ἡμεῖς et πλουτήσωμεν 19. al. m. Or. Chrs. (text.) Thdret. (2.) al.
10. Hab. ἐνήρξ. D*FG. — h. τὸ θέλειν ἀλλ. κ. τὸ ποιῆσ. Syr. Erp.
12. Hab. ἔχει BI al. m. — Rc. Sz. et Kn. (—) ἔχῃ τις.
13. Ln. om. δέ c. B al. Aeth. d. e.

καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως
* Ex. 16, 18. γένηται ἰσότης· [15] καθὼς γέγραπται· Ὁ τὸ πολὺ οὐκ ἐπλεόνασεν, 15
καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν.

Χάρις δὲ τῷ θεῷ τῷ δόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν 16
ἐν τῇ καρδίᾳ Τίτου, [17] ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο, σπου- 17
δαιότερος δὲ ὑπάρχων αὐθαίρετος ἐξῆλθεν πρὸς ὑμᾶς. [18] συνεπέμ- 18
ψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφόν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ
διὰ πασῶν τῶν ἐκκλησιῶν· [19] οὐ μόνον δέ, ἀλλὰ καὶ χειροτονη- 19
θεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν ἐν τῇ χάριτι ταύτῃ τῇ
διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν τοῦ κυρίου δόξαν καὶ προθυμίαν
ἡμῶν· [20] στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρό- 20
Rom. 12, 17. τητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. [21] προνοοῦμεν γὰρ καλὰ 21
οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. [22] συν- 22
επέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολ-
λοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον πε-
ποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς. [23] εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς 23
καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν,
δόξα Χριστοῦ. [24] τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν καὶ ἡμῶν 24
καυχήσεως ὑπὲρ ὑμῶν εἰς αὐτοὺς ἐνδεικνύμενοι εἰς πρόσωπον τῶν
ἐκκλησιῶν.

## IX.

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοί 1
ἐστιν τὸ γράφειν ὑμῖν· [2] οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν ἣν ὑπὲρ 2
ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι,
καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισεν τοὺς πλείονας. [3] ἔπεμψα δὲ τοὺς 3

---

16. Rc. Kn. Ln. διδόντι. [δόντι c. CDEFGI al. pl. Chrs. Thphyl. dedit Vg. d. e.]
19. Rc. Kn. Sz. σὺν τῇ [ἐν τ. c. BC al. pm. Syr. Vg. al. Damsc. Ambrst. al.] et αὐτοῦ τοῦ κυρ. [om. c. BCD*FG al. m. Vg. It. al. Ambrst. al.] — Rc. in f. ὑμῶν.
20. Hab. ὑποστελλόμ. FG. — 21. Rc. Kn. προνοούμενοι sine γάρ.
22. Hab. δὲ πολλῇ B et om. πολλῇ FG al. g.
24. Rc. Kn. Sz. ἐνδείξασθε. [ἐνδεικνύμ. c. BD*EFGI al. It.] — Rc. καὶ εἰς πρόσ.
Cap. IX. 1. Om. τό C al.; h. τοῦ FG Thdret. ms.
2. Ln. τὸ (c. B.) ὑμῶν ζῆλ. (om. ἐξ BC al. Syr. al. vestra Vg. Ambrst... hab. Chrs. Thdret.)

ἀδελφούς, ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ
4 μέρει τούτῳ, ἵνα καθὼς ἔλεγον παρεσκευασμένοι ἦτε, [4] μήπως,
ἐὰν ἔλθωσιν σὺν ἐμοὶ Μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους,
καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς, ἐν τῇ ὑποστάσει
5 ταύτῃ. [5] ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα
προέλθωσιν εἰς ὑμᾶς καὶ προκαταρτίσωσιν τὴν προεπηγγελμένην
εὐλογίαν ὑμῶν ταύτην ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν καὶ μὴ ὡς
6 πλεονεξίαν. [6] Τοῦτο δὲ ὁ σπείρων φειδομένως φειδομένως καὶ θε-
ρίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ θερίσει.
7 [7] ἕκαστος καθὼς προῄρηται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· * Prov. 22, 8.
8 ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. [8] δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χά-
ριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν
9 ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν, [9] καθὼς γέγραπται· * Ps. 112, 9.
Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς
10 τὸν αἰῶνα. [10] ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον * Es. 55, 10.
εἰς βρῶσιν χορηγήσει καὶ πληθυνεῖ τὸν σπόρον ὑμῶν καὶ αὐξήσει
11 τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν· [11] ἐν παντὶ πλουτιζόμενοι εἰς
πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ.
12 [12] ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶν προσανα-
πληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ
13 πολλῶν εὐχαριστιῶν τῷ θεῷ· [13] διὰ τῆς δοκιμῆς τῆς διακονίας
ταύτης δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν

---

4. Hab. καὶ καταισχ. D*E d. e. et λέγω DEG Vg. ms. It. Ambrst. al. — Rc. in f. add. τῆς καυχήσεως.

5. Ln. πρὸς ὑμᾶς c. BDEFG al. — Rc. Kn. Sz. προκατηγγ. [προεπηγγ. c. BCDEFG al. pm. Cpt. Vg. It. Thphyl. al.] — om. ταύτ. FG g. Arm. — om. καί ante μή FG al. Syr. Erp. Vg. It. Chrs. (comm.) Ambrst. al. — Rc. ὥσπερ πλεον.

6. Hab. σπείρ. ἐν εὐλογίᾳ D*FG Sl. ms. It. Ambrst.; tum ἐπ' εὐλογίᾳ FG Sl. ms. . . ἐξ εὐλογίας D* It. Ambrst. al. et om. καί DE Erp. Aeth.

7. Rc. Kn. Sz. προαιρεῖται. [ctra BCFG al. Vg. d. e. al. Chrs. ms. al.]

8. Ln. δυνατεῖ c. BD*FG. [non Chrs. Thdret.]

10. Ln. pro σπέρμ. h. σπόρον c. BD*FG al. [non Chrs. Thdret.] — Rc. χορηγήσαι κ. πληθύναι et αὐξήσαι.

11. Hab. δι' ὑμῶν C* al. m. Syr. p. in m. g.* Damsc. — Ln. om. τῷ c. D et B (hab. θεοῦ).

12. Ln. τῷ χριστῷ c. B 46. . . h. in Domino Vg.

13. Ln. καὶ διά c. B.

εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐ-
τοὺς καὶ εἰς πάντας, [14] καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούν- 14
των ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ᾽ ὑμῖν. [15] χά- 15
ρις τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

## X.

Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραΰτητος 1
καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν
ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς· [2] δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆ- 2
σαι τῇ πεποιθήσει ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομέ-
νους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας. [3] ἐν σαρκὶ γὰρ περι- 3
πατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα· [4] τὰ γὰρ ὅπλα τῆς 4
στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν
ὀχυρωμάτων· [5] λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρό- 5
μενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα
εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, [6] καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι 6
πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή.

Τὰ κατὰ πρόσωπον βλέπετε. εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ 7
εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ᾽ ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χρι-
στοῦ οὕτως καὶ ἡμεῖς. [8] ἐάν τε γὰρ περισσότερόν τι καυχήσωμαι 8
περὶ τῆς ἐξουσίας ἡμῶν ἧς ἔδωκεν ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ
εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι. [9] ἵνα μὴ δόξω ὡς ἂν 9
ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν. [10] ὅτι αἱ μὲν ἐπιστολαί, φησίν, 10
βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ
λόγος ἐξουθενημένος. [11] τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί 11

---

15. Rc. Kn. Sz. χάρ. δέ. [om. c. BCD*FG al. Vg. It. Hil. al.]

Cap. X. 1. Rc. Kn. Sz. πραότητ. [πραΰτητ. c. BFG.] — h. δι᾽ ὑμᾶς B.

3. Hab. γὰρ ὄντες Clem. (1.) et ζῶντες Or. (2.)

5. Om. καί ante αἰχμ. G It. et in f. add. ἄγοντες D*EFG It.

7. Hab. δοῦλος ante εἶν. D*EFG It. — Ln. ἐφ᾽ ἑαυτ. c. B; apud Vg. intra It. — Rc. et Kn. (—) in f. add. Χριστοῦ.

8. Ln. om. τέ c. BFG al. m. It. Chrs. Thphyl. — Rc. Kn. Sz. καὶ περισσ. [om. c. BD*EFG al. Syr. p. Vg. It.] — om. ἡμῶν C al. Syr. al. Chrs. al. — Rc. Kn. Sz. ὁ κύρ. ἡμῖν. [om. c. BCD* al. Cpt. Aeth. d. e. Tol. Vg. ms.; etiam ἐμοί et ἡμῶν leg. et var. pon.

9. Hab. δόξωμεν (ἐκφοβοῦντες D*E) D*EFG It. Ambrst.

10. Ln. ὅτι Αἱ ἐπιστολαὶ μέν φασιν (inquiunt Vg. g.) et ἐξουδενημ. c. B.

ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ
12 ἔργῳ. [12] οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισιν τῶν
ἑαυτοὺς συνιστανόντων· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες
13 καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς [13] οὐκ εἰς τὰ ἄμετρα καυχησόμεθα,
ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου,
14 ἐφικέσθαι ἄχρι καὶ ὑμῶν· [14] οὐ γὰρ μὴ ἐφικνούμενοι εἰς ὑμᾶς
ὑπερεκτείνομεν ἑαυτούς, ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐ-
15 αγγελίῳ τοῦ Χριστοῦ· [15] οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλο-
τρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες αὐξανομένης τῆς πίστεως ὑμῶν
16 ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν, [16] εἰς
τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς
17 τὰ ἕτοιμα καυχήσασθαι. [17] ὁ δὲ καυχώμενος ἐν κυρίῳ καυχάσθω· 1 Cor 1. 31.
18 [18] οὐ γὰρ ὁ ἑαυτὸν συνιστάνων, ἐκεῖνός ἐστιν δόκιμος, ἀλλὰ ὃν
ὁ κύριος συνίστησιν.

## XI.

1 Ὄφελον ἀνείχεσθέ μου μικρόν τι ἀφροσύνης. ἀλλὰ καὶ ἀν-
2 έχεσθέ μου. [2] ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς
3 ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ, [3] φοβοῦμαι δὲ Gn. 3. 4.
μήπως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, φθαρῇ

---

12. 13. Hab. *τολμῶ* B. — Rc. Kn. Sz. Ln. in f. add. *οὐ συνιοῦσιν* (Ln. *οὐ συνιᾶσιν* c. B al. Thdret.; etiam *οὐ συνισᾶσιν* leg.; etiam *οὐ* omittitur.). 13. *ἡμεῖς δὲ οὐχὶ* (Ln. *οὐκ* .. sic c. B D* F G I al. pm. Chrs. al.) .. ea om. c. D* F G 109. lat. It. Hil. Ambrst. Auct. gr. de sing. cleric. ap. Cypr. Vig. Idac. Sed. .. om. tantum *οὐ συνιοῦσ.* 74.** Vg. Lcif. Pel. Fulg. (hab. Aug.) — h. *εἰς τὸ ἄμετρον* D* F G g. (Vg. d. e. ita et hoc versu et v. sq. hab.) — om. *καυχησ.* D* d. e. .. h. *καυχώμενοι* F G g. — om. *ἡμῖν* F G I al. g.; etiam var. pon.

14. Ln. *ὡς γὰρ μή* c. B al. — h. *ἀφικόμενοι* (iid. antea h. *ἀφικέσθαι*) F G.

18. Rc. Kn. Sz. *συνιστῶν.* [-*άνων* c. B D* E F G I** al. m. Or. al.]

Cap. XI. 1. Hab. *ὤφελον* D** E F al. pm. — Rc. *ἠνείχεσθε* .. h. *ἀνέχεσθε* B (sed ap. Btlj. vdtr *ἀνείχεσθ.*) al. pm. Thdret. — Rc. *τῆς ἀφροσ.* [om. c. B D E al.] .. Kn. Sz. *τῇ ἀφροσύνῃ* (omittunt *τὶ* c. F G I al. pl. Syr. Sl. It. Chrs. al. m.) c. I al. pl. Chrs. al. .. h. *μικρὸν τῆς ἀφρ. μου* F G It. Vg.

3. Hab. *μήποτε* F G g. .. *μή* D* Clem. (2; *μήπως* 1.) — Rc. Kn. Sz. *οὕτως φθαρ.* [om. c. B D* F G Arm. It. Clem. al.]

τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. [4] εἰ 4
μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν,
ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ
2 Cor. 12, 11. οὐκ ἐδέξασθε, καλῶς ἀνείχεσθε· [5] λογίζομαι γὰρ μηδὲν ὑστερηκέ- 5
ναι τῶν ὑπερλίαν ἀποστόλων. [6] εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' 6
οὐ τῇ γνώσει, ἀλλ' ἐν παντὶ φανερώσαντες ἐν πᾶσιν εἰς ὑμᾶς.
[7] ἢ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε, ὅτι 7
δωρεὰν τὸ τοῦ θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; [8] ἄλλας ἐκκλη- 8
σίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν, καὶ παρὼν
πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς οὐ κατενάρκησα οὐδενός· [9] τὸ γὰρ ὑστέ- 9
ρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας·
καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα καὶ τηρήσω. [10] ἔστιν 10
ἀλήθεια Χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς
ἐμὲ ἐν τοῖς κλίμασιν τῆς Ἀχαΐας. [11] διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; 11
ὁ θεὸς οἶδεν. [12] ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν 12
τῶν θελόντων ἀφορμήν, ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσιν καθὼς καὶ
ἡμεῖς. [13] οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετα- 13
σχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. [14] καὶ οὐ θαῦμα· αὐτὸς 14
γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός· [15] οὐ μέγα 15
οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιο-
σύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μήγε, κἂν 16
ὡς ἄφρονα δέξασθέ με, ἵνα κἀγὼ μικρόν τι καυχήσωμαι. [17] ὃ λαλῶ, 17
οὐ κατὰ κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑπο-
στάσει τῆς καυχήσεως. [18] ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, 18

---

3. Ln. καὶ τῆς ἁγνότητος τῆς εἰς c. BFG al. g. Tol. al. .. h. τῆς ἁγνότ. καὶ τῆς ἁπλότ. DE d. e. .. pro ἁγνότ. etiam ἁγνείας et ἁγιότητος add. [nihil add. Clem. (2.)]
4. Rc. ἠνείχεσθε. .. Ln. ἀνέχεσθε c. B.
5. Ln. pro γάρ h. δέ c. B.
6. Rc. Kn. Sz. φανερωθέντες [-σαντες c. BFG al.] .. h. φανερωθείς D* edd. lat. Ambrst. al.; etiam φανερωθέντι, φανερώσαντες (φανερῶσαι) ἑαυτούς leg. — om. ἐν πᾶσ. FG Syr. Vg. g. Flor. Ambrst, al.
8. Ln. οὐθενός c. B. 80. — 11. om. ὅτι B.
14. Rc. Kn. Sz. θαυμαστόν. [ctra BD*FG al.]
15. Om. οὖν D* Syr. Aeth. d. e. Lcif.
18. Om. τήν DFG al. Chrs. Damsc.

19 κἀγὼ καυχήσομαι. [19] ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι
20 ὄντες· [20] ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει,
εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις εἰς πρόσωπον ὑμᾶς δέρει.
21 [21] κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν· ἐν ᾧ δ' ἄν τις
22 τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. [22] Ἑβραῖοί εἰσιν; κἀγώ.
23 Ἰσραηλῖταί εἰσιν; κἀγώ. σπέρμα Ἀβραάμ εἰσιν; κἀγώ. [23] διάκονοι
Χριστοῦ εἰσίν; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· ἐν κόποις περισσο-
τέρως, ἐν φυλακαῖς περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν
24 θανάτοις πολλάκις· [24] ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ
25 μίαν ἔλαβον, [25] τρὶς ἐραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα,
26 νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· [26] ὁδοιπορίαις πολλάκις, κιν-
δύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις
ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θα-
27 λάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις, [27] κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυ-
πνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν
28 ψύχει καὶ γυμνότητι. [28] χωρὶς τῶν παρεκτὸς ἡ ἐπίστασίς μοι ἡ
29 καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. [29] τίς ἀσθενεῖ,
30 καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; [30] εἰ
31 καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. [31] ὁ θεὸς καὶ
πατὴρ τοῦ κυρίου Ἰησοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας,
32 ὅτι οὐ ψεύδομαι. [32] ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως
33 ἐφρούρει τὴν πόλιν Δαμασκηνῶν πιάσαι με, [33] καὶ διὰ θυρίδος ἐν
σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

---

21. Ln. ἠσθενήκαμεν c. B. 80.

23. Ln. ὑπερεγώ scribit. — Rc. Kn. Sz. ἐν φυλ. περισσ. post ὑπερβ. pon. [pos. c. BD*E Aeth. Vg. Hil.] .. h. ἐν πληγ. περισσ. ἐν φυλ. ὑπερβ. FG Or. (1.)

24. Ln. (ut Act. 1, 3. c. AD*.) τεσσεράκ. [Wtst. citat DFGM; scilicet in G legitur M.]

25. Rc. Kn. Sz. ἐῤῥαβδ. [ἐραβδ. c. DEFG al. m. Or. (2.) Chrs. ms. (1.) Oec. Thphyl.]

27. Rc. Kn. Sz. ἐν κόπῳ. [om. c. BDEFG It.]

28. Rc. Kn. Sz. ἐπισύστασίς μου. [ἐπίστασ. c. BDEFG al... h. ἐπίτασις Lect. 17.** et μοί c. BG.] — 30. Om. μοῦ B.

31. Rc. Kn. Sz. κυρ. ἡμῶν [om. c. BFGI al. m. g. Chrs.] Ἰησ. Χριστοῦ. [om. c. BFG al. Syr. p. g. Chrs.]

32. Rc. Kn. Sz. in f. add. θέλων. [om. c. BD* Syr. Vg. d. e. al. Ambrst. al.; pon. ante πιάσ. FG.]

# XII.

*Καυχᾶσθαι δεῖ· οὐ συμφέρον· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας* 1
*καὶ ἀποκαλύψεις κυρίου.* [2] *οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν* 2
*δεκατεσσάρων — εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος*
*οὐκ οἶδα, ὁ θεὸς οἶδεν· — ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου*
*οὐρανοῦ.* [3] *καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον — εἴτε ἐν σώματι εἴτε* 3
*χωρὶς τοῦ σώματος οὐκ οἶδα, ὁ θεὸς οἶδεν· —* [4] *ὅτι ἡρπάγη εἰς* 4
*τὸν παράδεισον καὶ ἤκουσεν ἄῤῥητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ*
*λαλῆσαι.* [5] *ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ* 5
*καυχήσομαι εἰ μὴ ἐν ταῖς ἀσθενείαις.* [6] *ἐὰν γὰρ θελήσω καυχή-* 6
*σασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δέ, μή*
*τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει ἐξ ἐμοῦ.* [7] *καὶ τῇ* 7
*ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκό-*
*λοψ τῇ σαρκί, ἄγγελος σατανᾶ, ἵνα με κολαφίζῃ.* [8] *ὑπὲρ τούτου* 8
*τρὶς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ.* [9] *καὶ εἴρηκέν* 9
*μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμις ἐν ἀσθενείᾳ τελεῖται.*
*ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπι-*

---

**Cap. XII.** 1. Rc. Kn. *καυχ. δὴ οὐ συμφέρει μοι.* .. *οὐ συμφέρει μοι* etiam Sz. [sic omnia c. Chrs. (sed alibi bis h. *δεῖ*) Thdret.] .. *δεῖ* c. B D** (h. *δέ* D* 114. Sl. cdd. lat. Thphyl.) E F G I al. pm. Syr. utr. Arr. Vg. (h. *εἰ κ. δεῖ* Vg. et cdd. gr. duo.) It.; tum *συμφέρον* c. B F G al. et Ln. add. *μέν* c. B F G (mihi quidem g.) al. Vg. .. nihil add. c. D* Syr. Erp. — Ln. *ἐλεύσ. δὲ καί* c. B 213... h. *ἐλεύσ. δέ* F G al. Cpt. Vg. g. Damsc. Ambrst. al.

2. Ln. om. *τοῦ* c. B.

3. Rc. Kn. Sz. pro *χωρίς* [c. B D* E Epiph.] h. *ἐκτός*. — Ln. om. *οὐκ οἶδα* c. B.

5. Rc. Kn. Sz. in f. add. *μοῦ*. [om. c. B D* al. Syr. utr. d. e. al.]

6. Rc. Kn. Sz. *ἀκούει τι.* [om. c. B D* E F G al. cdd. lat. al. Or. Thphyl.]

7. Ln. (vs. 6. in parenthesi h.) *καὶ τ. ὑπ. τ. ἀποκ.* c. v. 5. cjgit et pgit *διὸ ἵνα* c. A B G 17. .. tantum *διό* h. 67. — Rc. Kn. Sz. *σατᾶν.* [*σατανᾶ* c. A* B D* G (Or. *τοῦ σατανᾶ* bis, *σατᾶν* 1.).] — Rc. Kn. Sz. et Ln. (—) in f. add. *ἵνα μὴ ὑπεραίρωμαι.* .. om. c. A D E F G al. Aeth. Vg. It. Chrs. Ir. al. (hab. Or. sed libere nec totum v. citans.)

8. Ln. (*καὶ*) *ὑπέρ* c. A Ir. Thdret.

9. Rc. Kn. Sz. *δύναμ. μου* [om. c. B D* G Aeth. Arm. Vg. Ir. gr. Tert. Cypr. Hier. al. m.] et *τελειοῦται.* [*τελεῖτ.* c. A B D* F G al.] — om. *μοῦ* post *ἀσθ.* B al. Ir. (h. Or. 2.)

10 σκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. [10]διὸ εὐδοκῶ ἐν ἀσθε-
νείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ὑπὲρ
Χριστοῦ· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.
11 Γέγονα ἄφρων· ὑμεῖς με ἠναγκάσατε. ἐγὼ γὰρ ὤφειλον ὑφ'
ὑμῶν συνίστασθαι· οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, 2 Cor. 11, 5.
12 εἰ καὶ οὐδέν εἰμι. [12]τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη
ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, σημείοις καὶ τέρασιν καὶ δυνάμεσιν.
13 [13]τί γάρ ἐστιν ὃ ἡσσώθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι
αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν; χαρίσασθέ μοι τὴν ἀδικίαν ταύ-
14 την. [14]ἰδού, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ
καταναρκήσω· οὐ γὰρ ζητῶ τὰ ὑμῶν ἀλλὰ ὑμᾶς. οὐ γὰρ ὀφείλει
τὰ τέκνα τοῖς γονεῦσιν θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις.
15 [15]ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυ-
χῶν ὑμῶν, εἰ περισσοτέρως ὑμᾶς ἀγαπῶν ἧσσον ἀγαπῶμαι.
16 Ἔστω δέ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ἀλλὰ ὑπάρχων πανοῦρ-
17 γος δόλῳ ὑμᾶς ἔλαβον. [17]μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι'
18 αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; [18]παρεκάλεσα Τίτον καὶ συναπέστειλα
τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύ-
ματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσιν;
19 Πάλαι δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα. κατέναντι θεοῦ ἐν
Χριστῷ λαλοῦμεν· τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκο-
20 δομῆς. [20]φοβοῦμαι γάρ, μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς
κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε, μήπως ἔρις, ζῆλος, θυμοί, ἐρι-
21 θεῖαι, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις, ἀκαταστασίαι· [21]μὴ

10. Post ἀσθεν. add. μου FG Vg.
11. Rc. et Kn. (—) ἄφρ. καυχώμενος.
12. Rc. Kn. Sz. ἐν σημ. [om. c. AB (add. τε) D* al. m. Vg. ms. Am. d. e. Tol.; h. καὶ G g. Chrs. Ambrst.]
13. Rc. Kn. Sz. ἡττήθητε... h. ἐλαττώθητε FG. [ἡσσ. c. BD* 17.]
14. Rc. Kn. om. τοῦτο. [scr. c. ABFG al. pl. Vg. It. al. Chrs. al.; ante τρίτ. h. DE al. Syr. utr. Arr.] — Rc. Kn. Sz. καταν. ὑμῶν.
15. Rc. Kn. Sz. εἰ καὶ [om. c. AB (om. εἰ καὶ D* It.) FG Cpt. Sah.] et ἧττον. [ἧσσ. c. ABD*.. h. ἔλασσον FG.]
19. Rc. Kn. Sz. πάλιν [ctra ABFG gr. al. Vg. d. e. Har.**] et κατενώπιον [ctra ABFG al. Damsc.] τοῦ θ. [om. c. ABD*FG al. Bas.]
20. Rc. Kn. Sz. ἔρεις [pro ἔρις citant A al. pm. Syr. Arm. Chrs. Thphyl.] et ζῆλοι. [ctra ABD*FG gr. al. Arm. Damsc.]

*πάλιν ἐλθόντος μου ταπεινώσῃ με ὁ θεός μου πρὸς ὑμᾶς καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν.*

## XIII.

*Dt. 19, 15. *Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς· ἐπὶ στόματος δύο μαρτύ- 1
ρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. [2] προείρηκα καὶ προλέγω, 2
ὡς παρὼν τὸ δεύτερον καὶ ἀπὼν νῦν, τοῖς προημαρτηκόσιν καὶ
τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν οὐ φείσομαι. [3] ἐπεὶ 3
δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ
ἀσθενεῖ, ἀλλὰ δυνατεῖ ἐν ὑμῖν· [4] καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθε- 4
νείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ· καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν
αὐτῷ, ἀλλὰ ζήσομεν σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς. [5] ἑαυ- 5
τοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε· ἢ οὐκ
ἐπιγινώσκετε ἑαυτούς, ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν; εἰ μήτι ἀδόκι-
μοί ἐστε. [6] ἐλπίζω δὲ ὅτι γνώσεσθε, ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. 6
[7] εὐχόμεθα δὲ πρὸς τὸν θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν, οὐχ 7
ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς
δὲ ὡς ἀδόκιμοι ὦμεν. [8] οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, 8
ἀλλ' ὑπὲρ τῆς ἀληθείας. [9] χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, 9
ὑμεῖς δὲ δυνατοὶ ἦτε· τοῦτο καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν.

---

21. Rc. Kn. Sz. *ἐλθόντα με* et (exc. Sz.) om. *μέ* post *ταπειν.* — Ln. *ταπεινώσει* c. BG al. et *ἔπραξαν*; (sic interpg.)

Cap. XIII. 1. Hab. *ἰδού*, *τρίτ.* A al. pl. Aeth. Vg. Damsc. al.; etiam omittitur *τοῦτο.*

2. Rc. *νῦν γράφω τοῖς.*

3. Pro *ἐπεί* h. *ὅτι* FG; *εἰ* et *ἤ* Or.; an Vg. Hier.

4. Ln. (*εἰ*) .. om. B*DFG al. Aeth. It. Eus. (tum h. *ἀλλὰ καί*) Thphyl... h. *εἰ καί* 31. 93. Sl. Or. (1; *εἰ γὰρ καί* 1; Or. int. etiamsi et etsi h.) Dial. c. Mc. — Rc. *κ. γ. καὶ ἡμεῖς.* — pro *ἐν* h. *σύν* AFG Syr. g. al. et pro sq. *σύν* h. *ἐν* D* 17. d. e. Chrs. — Rc. Kn. Sz. *ζησόμεθα.* [ctra ABDFG al.] — om. *ἐκ δυν. θ.* in f. FG g. — Ln. (*εἰς ὑμ.*) .. om. BE** Arm. d. e. Flor. Chrs.

5. Om. *ἑαυτ. δοκιμ.* A. — Rc. Kn. Sz. Ln. *Ἰησ. Χρ.* .. *Χρ. Ἰ.* c. AFG al. Vg. Cpt. Clem. al. — Rc. Kn. Sz. et Ln. (—) *ἐν ὑμ. ἐστίν*.... om. c. BD* al. Clem. Chrs. (comm.)

7. Rc. Kn. Sz. *εὔχομαι.* [ctra ABD*FG al. m. Vg. It. al. Isid. al.]

9. Rc. Kn. Sz. *τοῦτο δὲ καί.* [om. c. ABD*FG al. Vg. It. Damsc. al.]

10 [10] διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρή-
σωμαι κατὰ τὴν ἐξουσίαν ἣν ὁ κύριος ἔδωκέν μοι εἰς οἰκοδομὴν καὶ
οὐκ εἰς καθαίρεσιν.
11 Λοιπόν, ἀδελφοί, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ
αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται
12 μεθ' ὑμῶν. [12] ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. ἀσπάζον- Rom. 16. 16 etc.
ται ὑμᾶς οἱ ἅγιοι πάντες.
13 Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ
καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν.

## ΠΡΟΣ ΓΑΛΑΤΑΣ.

1 Παῦλος, ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου ἀλλὰ
διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νε-
2 κρῶν, [2] καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ ταῖς ἐκκλησίαις τῆς Γα-
3 λατίας. [3] χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν
4 Ἰησοῦ Χριστοῦ, [4] τοῦ δόντος ἑαυτὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, Tit. 2. 14.
ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ κατὰ τὸ
5 θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, [5] ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας
τῶν αἰώνων· ἀμήν.
6 Θαυμάζω, ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαν-
7 τος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, [7] ὃ οὐκ ἔστιν

---

12. Pon. φιλ. ἁγίῳ A F G I al. m. Chrs. Thphyl.
13. Rc. et Kn. (—) in f. add. ἀμήν.
*) Rc. et Kn. (—) subscr. h. Πρὸς Κορινθίους δευτέρα ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας διὰ Τίτου (καὶ Βαρνάβα add. 44. al. Sl. ms.) καὶ Λουκᾶ c. I al. pl. . . ἀπὸ Φιλίππ. add. etiam B. . . al. aliter.

Cap. I. 4. Rc. pro περί [c. ADEFGI al. m. Or. al.] h. ὑπέρ. — h. ἀπό pro ἐκ H al. Or. (2; ἐκ 2.) — Rc. Kn. Sz. ἐκ τοῦ ἐνεστ. αἰῶν. [αἰῶν. τοῦ ἐνεστ. c. AB Or. (3; ἐν. αἰῶν. 1.) Did.]
6. Om. Χριστ. FG g. Tert. (2.) Cypr. (2.) Lcif. . . h. Ἰησ. Χρ. DE al. cdd. lat. Hier. . . h. θεοῦ 7. al. Thdret. Or. int.

ἄλλο, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μετα-
στρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. [8] ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγε- 8
λος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν,
ἀνάθεμα ἔστω. [9] ὡς προειρήκαμεν καὶ ἄρτι πάλιν λέγω, εἴ τις 9
ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. [10] ἄρτι 10
γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν;
εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Γνωρίζω γὰρ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν 11
ὑπ' ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ ἄνθρωπον· [12] οὐδὲ γὰρ ἐγὼ παρὰ 12
ἀνθρώπου παρέλαβον αὐτὸ οὔτε ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως
Ἰησοῦ Χριστοῦ. [13] ἠκούσατε γὰρ την ἐμὴν ἀναστροφήν ποτε ἐν 13
τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ
θεοῦ καὶ ἐπόρθουν αὐτήν· [14] καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ 14
ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλω-
τὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. [15] ὅτε δὲ εὐδόκησεν 15
ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας διὰ τῆς χάριτος
αὐτοῦ [16] ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι 16
αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι,
[17] οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, 17
ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.
[18] ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Κηφᾶν, 18
καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε· [19] ἕτερον δὲ τῶν ἀπο- 19
στόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου. [20] ἃ δὲ 20
γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θεοῦ, ὅτι οὐ ψεύδομαι. [21] ἔπειτα 21
ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας. [22] ἤμην δὲ 22
ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν
Χριστῷ, [23] μόνον δὲ ἀκούοντες ἦσαν· ὅτι ὁ διώκων ἡμᾶς ποτὲ 23

9. Hab. προείρηκα 67.* al. Syr. Vg. ms. al. Chrs.
10. Rc. Kn. Sz. γὰρ ἔτι. [om. c. ABD*FG al. Vg. It. al. Cyr. al.]
11. γάρ c. BD*FG al. Vg. It. PP. lat. . . Rc. Kn. Sz. Ln. δέ.
12. Ln. οὐδὲ ἐδιδ. c. AD*FG al. Eus. Ath. Chrs. al.
15. Rc. Kn. Sz. et Ln. (—) εὐδόκ. ὁ θεός. . . om. c. BFG al. Syr. et Syr. p. c. ast. Vg. g. Chr. (etiam add.) Thdret. (etiam add.) Or. int. (non Or.) Dial. c. Mc. Ir. (1.) Hier. al.
17. Rc. Kn. Sz. οὐδὲ ἀνῆλθ. [ἀπῆλθ. c. BDEFG al. Syr. Syr. p. in m. Bas. veni Vg. It. PP. lat.]
18. Rc. Kn. pro Κηφ. [c. AB al. Syr. (?) Erp. Cpt. al.] h. Πέτρον.

24 νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει, 24 καὶ ἐδόξαζον ἐν
ἐμοὶ τὸν θεόν.

## II.

1 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα
2 μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον· 2 ἀνέβην δὲ κατὰ ἀπο-
κάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς
ἔθνεσιν, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσιν, μήπως εἰς κενὸν τρέχω ἢ
3 ἔδραμον. 3 ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη
4 περιτμηθῆναι· 4 διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες
παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χρι-
5 στῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσουσιν· 5 οἷς οὐδὲ πρὸς ὥραν εἴ-
ξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς
6 ὑμᾶς. 6 ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι — ὁποῖοί ποτε ἦσαν, οὐ-
δέν μοι διαφέρει· πρόσωπον θεὸς ἀνθρώπου οὐ λαμβάνει· ἐμοὶ
7 γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο· 7 ἀλλὰ τοὐναντίον, ἰδόντες
ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς Πέτρος τῆς
8 περιτομῆς, — 8 ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτο-
9 μῆς ἐνήργησεν κἀμοὶ εἰς τὰ ἔθνη· — 9 καὶ γνόντες τὴν χάριν τὴν
δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες
στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς
10 εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν· 10 μόνον τῶν πτωχῶν
11 ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. 11 Ὅτε
δὲ ἦλθεν Κηφᾶς εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην,
12 ὅτι κατεγνωσμένος ἦν. 12 πρὸ τοῦ γὰρ ἐλθεῖν τινὰς ἀπὸ Ἰακώβου

---

Cap. II. 1. Hab. *τεσσάρων* Chronic. alex. (ut vdtr.) — om. *πάλιν* Chrs. Ir.; post *ἀνέβ.* pon. D E F G It.

4. Hab. *ἵνα μή* F G g. — Rc. Kn. *καταδουλώσωνται.* [-*σουσιν* c. A B C D E al. et -*σωσιν* B** F G al.]

5. Om. *οἷς οὐδέ* D* d.* e. cdd. lat. omnes ap. Hier.; Ir. Tert. (*οἷς οὐδέ* Mcioni tribuit) Ambrst. (testans quidem Graecor. dissensum) al. .. tantum *οὐδέ* h. Vg. ms. (post Carol. M. *οἷς οὐδέ* in cdd. lat. .. sed non refertur aliter legi in cd. Am.)

6. Hab. *ὁ θεός* A al. m. Chrs.

9. Om. *κ. Κηφ.* A .. h. *Πέτρος κ. Ἰάκ.* D E F G It. Gr. nyss. Ir. Tert. Hier. al. — Kn. et Ln. (—) *ἡμεῖς μέν* c. A C D gr. E al. pm. Cpt. Gr. naz. al.

11. Rc. Kn. *Πέτρος.* [*Κηφ.* c. A B C H al. m. vv. pl. Eus. ex Clem. al.]

μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλεν καὶ ἀφώ-
ριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς· 13 καὶ συνυπεκρίθη- 13
σαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ Βαρνάβας συναπήχθη
αὐτῶν τῇ ὑποκρίσει. 14 ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς 14
τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Κηφᾷ ἔμπροσθεν πάντων·
Εἰ σὺ Ἰουδαῖος ὑπάρχων ἐθνικῶς καὶ οὐκ Ἰουδαϊκῶς ζῇς, πῶς τὰ
ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;

Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· 16 εἰ- 15 16
δότες δέ, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ
πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν,
ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου· ὅτι
*Ps. 143, 2. ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ. 17 εἰ δὲ ζητοῦντες 17
δικαιωθῆναι ἐν Χριστῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἄρα Χρι-
στὸς ἁμαρτίας διάκονος; μὴ γένοιτο· 18 Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα 18
πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνιστάνω. 19 ἐγὼ γὰρ διὰ 19
νόμου νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω. 20 Χριστῷ συνεσταύρωμαι· 20
ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί,
ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με καὶ παρα-
δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. 21 οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ· εἰ 21
γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

## III.

Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλ- 1
μοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυρωμένος; 2 τοῦτο μόνον 2

---

12. Ln. ἦλθεν c. BD*FG al. It. (antea pro τινάς h. τινά d. e. g.**) .. h. ἐλθόντος Ἰακώβου Or.
14. Rc. Kn. Πέτρῳ. [Κηφ. c. ABC al. vv. pl. Eus. al.] — Rc. Kn. Sz. ζῇς post ἐθν. pon. [ctra ABCFG al. Arm. cdd. lat. Or. Hier. al.] — Ln. οὐχ Ἰουδ. c. AB... om. καὶ οὐκ Ἰουδ. d. e. Ambrst. al. — Rc. τί pro πῶς.
16. Rc. om. δέ. — Ln. Χριστοῦ Ἰησ. c. AB (sed B tum h. Ἰησοῦν Χρ.) — om. Χρ. post ἐκ πίστ. FG g. Tert.; etiam Ἰ. Χρ. leg. — Rc. Kn. Sz. διότι. [ὅτι c. ABD*FG al.]
18. Rc. Kn. συνίστημι. [ctra ABCD*FG al. m. Cyr.]
20. Ln. τῇ τοῦ θεοῦ καὶ Χριστοῦ τοῦ ἀγ. c. BD*FG It. (non Clem.)

Cap. III. 1. Hab. ἐβάσκηνεν 44. al. pm. Cyr. al. — Rc. et Kn. (—) ἐβάσκ. τῇ ἀληθείᾳ μὴ πείθεσθαι. [Cf. Gal. 5, 7.] — Rc. Kn. Sz. ἐν ὑμῖν ἐσταυρ. [om. c. ABC al. m. Syr. Vg. ms. Am. Tol. (Lat. alii h. et in vobis) al. m. Cyr. al.]

θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ
3 ἀκοῆς πίστεως; [3] οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι νῦν
4 5 σαρκὶ ἐπιτελεῖσθε; [4] τοσαῦτα ἐπάθετε εἰκῆ; εἴγε καὶ εἰκῆ. [5] ὁ οὖν
ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν ἐξ ἔργων
6 νόμου ἢ ἐξ ἀκοῆς πίστεως; [6] καθὼς Ἀβραὰμ ἐπίστευσεν τῷ θεῷ, • Gn. 15, 6.
7 καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. [7] γινώσκετε ἄρα, ὅτι οἱ ἐκ Rom.
8 πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ. [8] προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ 4, 3. Jac. 2,
πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεός, προευηγγελίσατο τῷ Ἀβραάμ· 23.
9 ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη. [9] ὥστε οἱ ἐκ πίστεως • Gn. 12, 3.
10 εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. [10] ὅσοι γὰρ ἐξ ἔργων νόμου Act. 3, 25.
εἰσίν, ὑπὸ κατάραν εἰσίν. γέγραπται γάρ· ὅτι ἐπικατάρατος πᾶς • Dt. 27, 26.
ὃς οὐκ ἐμμένει ἐν πᾶσιν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου,
11 τοῦ ποιῆσαι αὐτά. [11] ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ • Hab. 2, 4.
12 θεῷ, δῆλον· ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, [12] ὁ δὲ νόμος οὐκ
13 ἔστιν ἐκ πίστεως, ἀλλ' ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς. [13] Χρι- • Lv. 18, 5.
στὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν Rom. 10, 5.
14 κατάρα, ὅτι γέγραπται· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· • Dt 21, 23.
[14] ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰη-
σοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.
15 Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω. ὅμως ἀνθρώπου κεκυρω-
16 μένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται. [16] τῷ δὲ Ἀβραὰμ • Gn. 22, 18.
ἐῤῥέθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει· Καὶ
τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός· Καὶ τῷ σπέρ-
17 ματί σου, ὅς ἐστιν Χριστός. [17] τοῦτο δὲ λέγω. διαθήκην προ-
κεκυρωμένην ὑπὸ τοῦ θεοῦ ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη • Ex. 12, 41.
γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.
18 [18] εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας· τῷ δὲ Rom. 4, 14.
19 Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ θεός. [19] τί οὖν ὁ νόμος; τῶν

---

8. Rc. εὐλογηθήσονται. — 10. Rc. Kn. om. ὅτι.
11. Om. τῷ D*FG al. — 12. Rc. et Kn. (—) αὐτὰ ἄνθρωπος.
13. Rc. Kn. Sz. γέγρ. γάρ. [ὅτι c. ABD*FG al. Vg. It. Aeth. Damsc. Ir. al.]
15. Hab. προκεκυρωμ. C 17. Chrs. et v. 17. h. κεκυρ. FG al. Cyr.
16. Rc. Kn. Sz. ἐῤῥήθησαν. [ctra A (B vdtr) CD*FG al. m. Cyr. al.]
17. Rc. Kn. Sz. θεοῦ εἰς Χριστόν. [om. c. ABC al. Vg. Cpt. al. Cyr. Damsc. Hier. al.; in Christo It. Ambrst.] — h. τριακόσια 43. al. Thphyl.

παραβάσεων χάριν ἐτέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται,
Heb. 2, 2. Act. διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου. 20 ὁ δὲ μεσίτης ἑνὸς οὐκ 20
7, 53. 1 Tim. 2, ἔστιν, ὁ δὲ θεὸς εἷς ἐστίν· 21 ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν 21
5. τοῦ θεοῦ; μὴ γένοιτο. εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆ-
σαι, ὄντως ἐκ νόμου ἂν ἦν ἡ δικαιοσύνη· 22 ἀλλὰ συνέκλεισεν ἡ 22
γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ
Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. 23 πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν 23
ὑπὸ νόμον ἐφρουρούμεθα συγκλειόμενοι εἰς τὴν μέλλουσαν πίστιν
ἀποκαλυφθῆναι. 24 ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς 24
Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· 25 ἐλθούσης δὲ τῆς πίστεως 25
οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. 26 πάντες γὰρ υἱοὶ θεοῦ ἐστὲ διὰ 26
τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· 27 ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτί- 27
1 Cor. σθητε, Χριστὸν ἐνεδύσασθε. 28 οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ 28
12, 13. Col. 3, ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· ἅπαντες γὰρ
11. ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ. 29 εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ 29
Ἀβραὰμ σπέρμα ἐστέ, κατ' ἐπαγγελίαν κληρονόμοι.

## IV.

Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν 1
διαφέρει δούλου, κύριος πάντων ὤν· 2 ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶν 2
καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. 3 οὕτως καὶ 3
ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδου-
Eph. 1, λωμένοι· 4 ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ 4
10. θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον,

---

19. Hab. παραδόσεων D*gr. .. πράξεων FG d. e. Ir. Ambrst. (omisso χάρ. FG g. Ir. Ambrst.) — Rc. Ln. προσετέθη. [ἐτέθη c. D*FG al. Arr. Vg. It. Clem. Or. Eus. PP. lat.] — h. ὃ ἐπήγγ. I al. pm. Or. ed. Cyr. Thdret. (var.) .. h. ὡς Chrs. — h. ἀγγέλου C* al. Thdret. ms. (var.)

21. Ln. (τοῦ θεοῦ) .. om. B d. e. Hil.; h. θεοῦ FG, τοῦ Χριστοῦ 31. — om. ἄν (om. etiam D* al. Damsc.) et ἦν FG gr. .. Rc. Kn. Sz. ἂν ἐκ νόμ. ἦν. [ἐκ νόμ. (h. ἐν νόμῳ B) ἂν ἦν c. ABC Cyr.; etiam post ἦν pon. ἄν.]

23. Rc. Kn. συγκεκλεισμένοι. [συγκλ. c. AB (ap. Bch. συγκλεισμέν.) D*FG al. Clem. (1.) Cyr. Damsc.]

28. Hab. ἕν pro εἷς FG Sl. Vg. It. Or. Ath. ms. alii gr. et PP. lat.

29. Rc. Kn. Sz. καὶ κατ' ἐπ. [om. c. ABCDE al. Vg. d. e. al. Damsc. PP. lat.]

Cap. IV. 4. Hab. γεννώμενον ἐκ 1. al. m. Clem. ms. Thdret.; natum vv. m.

5 [5] ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.
6 [6] ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ
7 εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον· Ἀββᾶ ὁ πατήρ. [7] ὥστε οὐκέτι εἶ
δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος διὰ θεοῦ. Rom. 8, 17.
8 Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ
9 οὖσιν θεοῖς· [9] νῦν δὲ γνόντες θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ
θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα,
10 οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; [10] ἡμέρας παρατηρεῖσθε καὶ
11 μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. [11] φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ
κεκοπίακα εἰς ὑμᾶς.
12 Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν.
13 οὐδέν με ἠδικήσατε· [13] οἴδατε δέ, ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς
14 εὐηγγελισάμην ὑμῖν τὸ πρότερον, [14] καὶ τὸν πειρασμὸν ὑμῶν ἐν τῇ
σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλλὰ ὡς ἄγγελον
15 θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. [15] ποῦ οὖν ὁ μακαρισμὸς
ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν
16 ἐξορύξαντες ἐδώκατέ μοι. [16] ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων
17 ὑμῖν; [17] ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν,
18 ἵνα αὐτοὺς ζηλοῦτε. [18] καλὸν δὲ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ
19 μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς, [19] τεκνία μου, οὓς πάλιν
20 ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. [20] ἤθελον δὲ παρεῖναι

---

6. Hab. υἱοὶ τοῦ θεοῦ DEFG cdd. et PP. lat. pl. — om. ὁ θεός B. — Rc. Kn. ὑμῶν.

7. Rc. Kn. Sz. pro διὰ θεοῦ [c. AB al. Cpt. (ap. Wtst.) Vg. g. Clem. Bas. al. m.] h. θεοῦ διὰ Χριστοῦ . . . ea om. C* 178. . . h. θεοῦ διὰ Ἰ. Χρ. 39. al. Syr. al. . . διὰ θεὸν FG gr. . . διὰ Χριστοῦ Marian.** Hier.; etiam δ. Ἰ. Χρ. leg. . . θεοῦ Aeth. Arm. Cpt. . . etiam μὲν θεοῦ, συγκληρονόμος δὲ Χρ. leg.

8. Rc. Kn. Sz. μὴ φύσει. [φύσ. μή c. ABCDEF al. Syr. Cpt. Vg. Ath. Gr. nyss. Bas. al. . . om. φύσ. 117. d. e.; cdd. lat. ap. Ambr.; Ir. Ambrst.]

13. Om. δέ D*FG al. It. Ambrst. al.

14. Rc. Kn. Sz. pro ὑμῶν [c. ABC*D*FG al. Cpt. Vg. It. Cyr. Hier. al.] h. μοῦ τόν . . . h. tantum τόν 10. al. m. Syr. al. Bas. Thphyl.

15. Rc. Kn. Sz. τίς. [ποῦ ABCFG etc.] οὖν ἦν [om. ABCI etc.] et ἂν ἐδώκ. [om. ABCD* etc.]

17. Rc. ἐκκλ. ἡμᾶς.

18. Rc. Kn. Sz. τὸ ζηλ. [om. c. AB (ζηλοῦσθε B al. Vg. Aeth. Damsc. Hier. al.) al.] — 19. Ln. τέκνα c. BG.

πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου, ὅτι ἀποροῦμαι ἐν
ὑμῖν.
Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ 21
* Gn.21, ἀκούετε; 22 γέγραπται γάρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ 22
2 et 9. τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. 23 ἀλλ' ὁ μὲν ἐκ τῆς 23
παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς
ἐπαγγελίας. 24 ἅτινά ἐστιν ἀλληγορούμενα. αὗται γάρ εἰσιν δύο 24
διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν
Ἄγαρ· 25 τὸ δὲ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ 25
δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει γὰρ μετὰ τῶν τέκνων αὐτῆς.
26 ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ ἡμῶν· 26
* Es.54, 27 γέγραπται γάρ· Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ 27
1. βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον
ἢ τῆς ἐχούσης τὸν ἄνδρα. 28 ὑμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπ- 28
αγγελίας τέκνα ἐστέ. 29 ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς 29
* Gn.21, ἐδίωκεν τὸν κατὰ πνεῦμα, οὕτως καὶ νῦν. 30 ἀλλὰ τί λέγει ἡ 30
10. 12. γραφή; Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ
κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.
31 διό, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας· 31
(V.) 1 τῇ ἐλευθερίᾳ ἡμᾶς Χριστὸς ἠλευθέρωσεν. στήκετε οὖν, καὶ 1
μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

---

21. Hab. οὐκ ἀναγινώσκετε (B nec ap. Bch. nec ap. Btlj.) DEFG al. Vg. It. al. Or. (1; ἀκ. 1.) Cyr. Hier. (1.) al.

23. Ln. (μέν) .. om. B. — Sz. (per error.) γεγένηται. — h. δι' ἐπαγγ. AC al. Cyr. al. (non Or.) — 24. Rc. αἱ δύο.

25. τὸ δὲ Ἄγ. Σ. c. ADgr. Egr. al. Cpt. Cyr. (1; γάρ 1.) .. Rc. Kn. Sz. τὸ γὰρ Ἄ. Σ. .. Ln. τὸ γὰρ Σινᾶ c. CFG al. Vg. g. al. Cyr. (alqties) Epiph. al. .. h. τὸ γὰρ Ἄγ. omisso Σ. d. e. Ambrst. (comm.) [B om. γάρ ap. Btlj.] — Rc. δουλ. δέ.

26. Rc. et Kn. Ln. (—) πάντων ἡμῶν. [om. c. BC*DEFG al. Syr. utr. Vg. It. al. Or. al. pm. (hab. Ir. Hier.)]

28. Rc. Kn. Sz. ἡμεῖς et ἐσμέν. [ὑμ. et ἐστέ c. BDFG al. Sah. Aeth. It. Or. (teste Hier.) Ir. al.]

30. Rc. Kn. Sz. κληρονομήσῃ. [-σει c. BDE al.]

31. Rc. Kn. Sz. pro διό [c. BD*E al. Cyr. (var.)] h. ἄρα .. om. 71. (s. XII.) .. h. ἡμεῖς δέ AC al. Cpt. Cyr. al. .. ἄρα οὖν FG Thdret.; itaque Vg. It. Ambrst. al.

Cap. V. 1. Rc. Τῇ ἐλευθ. οὖν, ᾗ Χρ. ἡμᾶς ἠλευθ., στήκετε, καί .. Kn. in his om. οὖν et pon. ἡμ. Χρ. .. Sz. om. οὖν et pon. post στήκ. [om. οὖν

# V.

2 [2] Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χρι-
3 στὸς ὑμᾶς οὐδὲν ὠφελήσει· [3] μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ
4 περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. [4] κατ-
ηργήθητε ἀπὸ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος
5 ἐξεπέσατε. [5] ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης
6 ἀπεκδεχόμεθα. [6] ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει Gal. 6, 15.
οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. 1 Cor. 7, 19.
7 Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν τῇ ἀληθείᾳ μὴ πείθε- Gal. 3, 1.
8 9 σθαι; [8] ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. [9] μικρὰ ζύμη 1 Cor. 5, 6.
10 ὅλον τὸ φύραμα ζυμοῖ. [10] ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι
οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα,
11 ὅστις ἐὰν ᾖ. [11] ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι
12 διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. [12] ὄφελον
καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς.
13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν
ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε
14 ἀλλήλοις. [14] ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πεπλήρωται, ἐν τῷ·
15 Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. [15] εἰ δὲ ἀλλήλους δά- * Lv. 19, 18.
κνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. Rom. 13, 9.
16 Λέγω δέ, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ
17 μὴ τελέσητε. [17] ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ

---

post ἐλ. c. ABCD*EFG al. m. Vg. It. al. Cyr. al. pm.; scr. post στήκ. c. ABCDgr.FG al. m. Vg. ms. g. al. Cyr. al. m. et om. ἡ c. ABCD*FG al. m. vv. m. et PP. m... pro τῇ h. ἡ FG Syr. p. Vg. It. PP. lat.]

3. Om. πάλ. D*FG al. It. Chrs. al. — 4. Rc. Kn. Sz. τοῦ Χρ.

7. Rc. ἀνέκοψεν. — Ln. om. τῇ c. AB.

8. Om. οὐκ D* al.; cdd. lat. ap. Hier. d. e. Or. (1.) Lcif.

9. Hab. φύρ. δολοῖ D*E Vg. d. e. cdd. lat. ap. Hier. Cstitt. Mcion. ap. Epiph. al.

10. Ln. ἐγὼ (δέ) c. C*FG al. g. Vg. ms. Syr. p. Arm. Damsc.

11. Om. ἔτι ante κηρ. D*FG al. Arm. It. Vg. ms. Hier. Ambrst. — add. in f. τοῦ Χριστοῦ AC al. Cpt. Aeth. Hier.

13. Hab. τῇ ἀγάπῃ τοῦ πνεύματος δουλ. ἀλλ. DEFG al. Cpt. It. Vg. (non Am.) Bas. al.

14. Rc. Kn. Sz. πληροῦται. [πεπλ. c. ABC al. Mcion. ap. Epiph. al.] — om. ἐν τῷ D*FG Vg. It. al. Mc. ap. Epiph. al. — Rc. ἑαυτόν.

πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται, ἵνα μὴ
Rom. 8, 14. ἃ ἐὰν θέλητε, ταῦτα ποιῆτε. 18 εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ 18
1 Cor. ὑπὸ νόμον. 19 φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστιν 19
6, 9.10. Eph. πορνεία, ἀκαθαρσία, ἀσέλγεια, 20 εἰδωλολατρεία, φαρμακεία, 20
5, 5. Rom. ἔχθραι, ἔρις, ζῆλος, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, 21 φθό- 21
1, 29-32. νοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς
προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρο-
νομήσουσιν. 22 ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, 22
εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, 23 πραΰτης, 23
ἐγκράτεια. κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος. 24 οἱ δὲ τοῦ Χρι- 24
στοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς
ἐπιθυμίαις. 25 εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. 26 μὴ γι- 25 26
νώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

## VI.

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, 1
ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραΰτη-
τος· σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. 2 ἀλλήλων τὰ βάρη 2
βαστάζετε, καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ. 3 εἰ 3
γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν. 4 τὸ δὲ ἔργον 4
ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύ-
χημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον· 5 ἕκαστος γὰρ τὸ ἴδιον φορτίον 5
βαστάσει. 6 κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι 6
ἐν πᾶσιν ἀγαθοῖς. 7 μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. ὃ γὰρ 7

---

17. Rc. Kn. Sz. ταῦτ. δέ. [γάρ c. B D*EFG al. Cpt. Vg. It. Cypr. Hier. al.]
19. Rc. et Kn. (—) μοιχεία, πορν.
20. Rc. Kn. Sz. ἔρεις [ἔρις c. AB al.], ζῆλοι [-λος c. (A ζ········) BD* Egr. -λους G.].
21. Rc. Kn. Sz. et Ln. (—) φθόν. φόνοι. .. om. c. B al. Demid. Clem. Mc. ap. Epiph. Ir. Cypr. Hier. (dis.) al.; etiam ante φθόν. pon. — Rc. Kn. Sz. et Ln. (—) καθ. καί. .. om. c. BFGgr. Vg. al. Chrs. Tert. al.
23. Rc. Kn. Sz. πραότης. [ctra ABC al.] — h. καὶ τῶν Thdret. ms.
24. Rc. Kn. Sz. om. Ἰησ.
26. Ln. ἀλλήλους φθ. c. BG* al. Chrs. al. (non Clem.)
Cap. VI. 1. πραΰτητ. c. B 80. (hiat A) .. Rc. Kn. Sz. Ln. πραότητος.
2. Rc. Kn. Sz. ἀναπληρώσατε. [-σετε c. BG al. Syr. Vg. It. al. m. Thdret. ms. al. m. (non Clem.)]

8 ἂν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· [8] ὅτι ὁ σπείρων εἰς τὴν
σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ
9 πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. [9] τὸ δὲ καλὸν
ποιοῦντες μὴ ἐγκακῶμεν. καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι.
10 [10] ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάν-
τας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.
11 12 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. [12] ὅσοι
θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περι-
τέμνεσθαι, μόνον ἵνα τῷ σταυρῷ τοῦ Χριστοῦ μὴ διώκωνται.
13 [13] οὐδὲ γὰρ οἱ περιτετμημένοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέ-
λουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.
14 [14] ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ·
15 [15] οὔτε γὰρ περιτομή τι ἔστιν οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτί- Gal. 5, 6.
16 σις. [16] καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχοῦσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς 1 Cor.
17 καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ. [17] τοῦ λοιποῦ κόπους 7, 19.
μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Ἰησοῦ ἐν τῷ σώ-
ματί μου βαστάζω.
18 Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύμα-
τος ὑμῶν, ἀδελφοί. ἀμήν.

---

9. Rc. Kn. Sz. ἐκκακ. [ἐγκ. c. ABD al.]
10. Ln. ἄρα et ἐργαζόμεθα (c. AB al. m. Oec.) et πίστεως; (sic interpg.)
13. Rc. Kn. περιτεμνόμενοι. [ctra B al. pl. (G περιτεμνημενοι)] — h. ἀλλὰ βούλονται AC al.
14. Hab. καυχήσασθαι AD*. — Rc. Kn. Sz. τῷ κόσμ. [om. c. ABC D*FG al. Or. (2; h. 7; etiam Clem.) Ath.]
15. οὔτε γάρ c. B 17. (s. XI.) Arm. (ed. Venet.) Aeth. Chrs. Hier. al. (οὐ γάρ Syr. Sah.) .. Rc. Kn. Sz. Ln. ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε. — Rc. pro ἐστ. h. ἰσχύει.
16. στοιχοῦσ. c. ACDEFG al. vv. m. Cyr. Hier. al. .. Rc. Kn. Sz. Ln. στοιχήσουσιν. — om. καί ante ἐπί D*E al. et h. τοῦ κυρίου D*EFG d. e. (utrq. g.)
17. Rc. Kn. Sz. τοῦ κυρίου Ἰησ.
18. Om. ἀμήν G g. Ambrst.
*) Rc. et Kn. (—) subscr. h. Πρὸς Γαλάτας ἐγράφη ἀπὸ Ῥώμης c. 81 al. pl. .. h. tantum πρ. Γαλ. ACDEFG al. .. add. διὰ Τίτου (Cpt.), δ. Τίτ. καὶ Λουκᾶ (Ar.), δ. Τυχίκου (Slav. ms.) et alia.

# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ.

Παῦλος, ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ, τοῖς 1
ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ. 2 χάρις 2
ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι- 3
στοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπ-
ουρανίοις ἐν Χριστῷ, 4 καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ κατα- 4
βολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ,
ἐν ἀγάπῃ 5 προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς 5
αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, 6 εἰς ἔπαινον δό- 6
Col. 1, 14. ξης τῆς χάριτος αὐτοῦ ἧς ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, 7 ἐν 7
ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν
τῶν παραπτωμάτων, κατὰ τὸ πλοῦτος τῆς χάριτος αὐτοῦ, 8 ἧς 8
Eph. 3, 3. ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει 9 γνωρίσας ἡμῖν 9
τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν
Gal. 4, 4. προέθετο ἐν αὐτῷ 10 εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, 10
Col. 1, 19. 20. ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς
Col. 1, 16. καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν αὐτῷ 11 ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέν- 11
Eph. 3, 11. τες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ
θελήματος αὐτοῦ, 12 εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης αὐτοῦ, 12

Cap. I. 1. Rc. Kn. Sz. Ἰ. Χρ. [Χρ. Ἰ. c. B (sic etiam v. 2. et 5.) DE Syr. p. cdd. lat.] — h. ἁγ. πᾶσιν A al. Cpt. Vg. Cyr. al. — om. ἐν Ἐφ. B (sed h. in m.) 67.** cdd. et PP. ap. Bas. et ap. Hier. .. h. in Laodicea Mcion. ap. Tert.

4. Hab. ἑαυτῷ (omisso ἐν) FG gr. Did. — Rc. αὐτοῦ ἐν ἀγάπῃ cjgit. (sic Syr. Erp. Chrs. al.)

6. Rc. Kn. Sz. pro ἧς [c. AB al. m. Chrs. (var.)] h. ἐν ᾗ. — add. in f. υἱῷ αὐτοῦ D*EFG It. Vg. al.; cdd. lat. ap. Hier. Dial. c. Mc. Ambrst. al.

7. Hab. ἔσχομεν D* gr. Ir.

9. Hab. γνωρίσαι G 76. Vg. It. Thphyl. PP. lat. exc. Hier.

10. Hab. κατὰ τὴν οἰκ. A. — Rc. τά τε ἐν. [om. c. ABDEFG al. pm. Syr. utr. Vg. It. PP. gr. et lat.] — Ln. ἐπὶ τοῖς c. BDE al. m. Thdret. Oec.

11. Ln. ἐκλήθημεν c. ADEFG It. — 12. Rc. Kn. τῆς δόξης.

13 τοὺς προηλπικότας ἐν τῷ Χριστῷ· [13] ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες
τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ
καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ 2 Cor. 1, 22. Eph. 4, 30.
14 ἁγίῳ, [14] ὅ ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν
τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.
15 Διὰ τοῦτο κἀγώ, ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ
16 Ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, [16] οὐ παύομαι
εὐχαριστῶν ὑπὲρ ὑμῶν μνείαν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
17 [17] ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δό-
ξης, δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐ-
18 τοῦ, [18] πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν εἰς τὸ
εἰδέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, τίς ὁ πλοῦτος
19 τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, [19] καὶ τί τὸ ὑπερ- Col. 1, 27.
βάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας
20 κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, [20] ἣν ἐνήργηκεν
ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν καὶ καθίσας ἐν δεξιᾷ αὐ-
21 τοῦ ἐν τοῖς ἐπουρανίοις [21] ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ
δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ
22 μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, [22] καὶ πάντα 1 Cor. 15, 27. Ps. 8, 6. (7.)
ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκεν κεφαλὴν ὑπὲρ
23 πάντα τῇ ἐκκλησίᾳ, [23] ἥτις ἐστὶν τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα
τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου.

---

**13.** Hab. *ἡμεῖς* AI al. m. Sl. ms. Thphyl. ms. — om. *καί* ante *πιστ.* DEFG Ar. p. It. Ir. Did. Tert. al.

**14.** Rc. Kn. Sz. pro *ὅ* [c. ABFGI al. pm. Did. Chrs. (text.)] h. *ὅς*. (sic Oec. dis.)

**15.** Ln. om. *ἀγάπην τήν* c. AB al. Hier. al. .. tantum *τήν* om. D*FG. .. h. *εἰς π. τ. ἁγ. ἀγάπην* 37. al.; h. *ἄμωμον ἀγάπ. τήν* 23.; *ἀγάπ. τῆς κοινωνίας αὐτοῦ τήν* 46.

**16.** Rc. Kn. Sz. *μνείαν ὑμῶν*. [om. c. ABD al. pm.; post *ποιούμ.* h. FG.]

**18.** Rc. *διανοίας* pro *καρδίας*. — Rc. Kn. Sz. *καὶ τίς ὁ πλ.* [om. c. AB D*FG al. It. Ambrst.]

**19.** Hab. *ὑμᾶς* D*FG al. It. Ambrst.

**20.** Rc. Kn. Sz. *ἐνήργησεν* [*-κεν* c. AB Proc.] et *ἐκάθισεν*. [*καθίσ.* c. AB al. Sl. Vg. Cyr. utr. Eus. Proc. Tert. Hier. al. .. add. *αὐτόν* A al. Eus. Proc. Tert. Hier. al.] — Ln. *ἐν τ. οὐρανοῖς* c. B ap. Blj. (*οὐρανίοις* ap. Bch.)

**23.** Rc. om. *τά*.

## II.

Col. 2, Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς ἁμαρ- 1
13. Eph. τίαις ὑμῶν, [2] ἐν αἷς ποτὲ περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ 2
2, 5. κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ
πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, [3] ἐν 3
οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς
σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν δια-
νοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί· [4] ὁ δὲ 4
θεός, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν
ἠγάπησεν ἡμᾶς, [5] καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν συν- 5
εζωοποίησεν τῷ Χριστῷ — χάριτί ἐστε σεσωσμένοι· — [6] καὶ συν- 6
ήγειρεν καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ· [7] ἵνα 7
ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις τὸ ὑπερβάλλον πλοῦτος
τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. [8] τῇ 8
γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν,
θεοῦ τὸ δῶρον· [9] οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται· [10] αὐτοῦ 9 10
γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς
οἷς προητοίμασεν ὁ θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

Διὸ μνημονεύετε, ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν σαρκί, οἱ λεγό- 11
μενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιή-
του, [12] ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι 12
Rom. 9, τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας,
4. ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ· [13] νυνὶ δὲ ἐν Χριστῷ 13
Ἰησοῦ ὑμεῖς οἵ ποτε ὄντες μακρὰν ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι

---

Cap. II. 1. Rc. Kn. Sz. om. ὑμῶν. [scr. c. B (h. ἐπιθυμίαις ὑμ.) DEFG al. m. vv. pl. Thdret. al... h. ἑαυτῶν A.]

3. Om. κ. ἡμεῖς FGI g.; etiam πάντες om. — h. ἤμεθα B al. Or. (4; non Clem.) — Ln. φύσ. τέκν. c. A (vdtr) DEFGI al. m. Arm. Vg. It. Or. (1; τέκν. φύσ. 3.) Did. Thdret. PP. lat... om. φύσ. 109. Aeth. Clem.

5. Ln. (ἐν) τῷ Χρ. c. B (h. etiam ἐν τοῖς παρ. B.) al. Vg. g. Chrs. Ambrst. al. — h. οὗ χάριτι DEFG Vg. It... om. χάρ. ἐ. σεσωσμ. Lct. 7. (s. XI.) Chrs. Hil... post χάρ. etiam γάρ et δέ add.

8. Rc. Kn. Sz. τῆς πίστ. [om. c. BD*FG al. Chrs. Thphyl.] — h. ἐξ ἡμῶν D*FG al. It. Chrs. Oec. (comm.)

12. Rc. Kn. Sz. ἐν τῷ καιρ. [om. c. ABD*EFG al. Vg. ms. It. Epiph. al. m.]

14 τοῦ Χριστοῦ. 14 αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ
15 ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, 15 τὴν ἔχθραν
ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν καταργή-
σας, ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν
16 εἰρήνην, 16 καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Col. 1.
17 θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. 17 καὶ 20. 22.
ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ εἰρήνην τοῖς ἐγ- *Es. 57. 19.
18 γύς, 18 ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ Rom.
19 πνεύματι πρὸς τὸν πατέρα. 19 Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ 2, 5. Eph.
πάροικοι, ἀλλ' ἐστὲ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ, 2, 12.
20 20 ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφη-
21 τῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ, 21 ἐν ᾧ πᾶσα 1 Cor. 3.
22 οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ, 22 ἐν ᾧ 17.
καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι.

## III.

1 Τούτου χάριν ἐγὼ Παῦλος, ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ
2 ὑπὲρ ὑμῶν τῶν ἐθνῶν — 2 εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χά-
3 ριτος τοῦ θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, 3 ὅτι κατὰ ἀποκάλυψιν Eph. 4.
4 ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ, 4 πρὸς 9.
ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ
5 τοῦ Χριστοῦ, 5 ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀν- Col. 1.
θρώπων ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ 26.
6 προφήταις ἐν πνεύματι, 6 εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσ-

---

15. Rc. Kn. Sz. ἑαυτῷ. [ctra A B al.]
16. Om. ἐν αὐτ. Syr.; leg. etiam ἐν ἑαυτ. (G Latt. pl.)
17. Rc. Kn. Sz. om. εἰρήν. post καί. [scr. c. ABD*FG al. vv. m. Eus. al. pm.]
19. Rc. Kn. Sz. ante συμπολ. om. ἐστέ. [scr. c. ABCD*EFG etc.]
20. Hab. ἀκρογ. λίθου DEFG Or. (1.) Eus. Chrs. (text.) Tert. al. (etiam Vg. It.)
21. Rc. Kn. Sz. πᾶσα ἡ. [om. ἡ c. BDEGI al. pl. Clem. Bas. al.]
Cap. III. 1. Additur in f. et πρεσβεύω (D*E) et κεκαύχημαι.
2. Pro τ. θεοῦ h. αὐτοῦ A; om. 115. (s. XI.) Thphyl. Ambrst.; ante τῆς χάρ. pon. DFG It.
3. Ln. (ὅτι) . . om. B. . . h. κατ. ἀπ. γάρ FG. — Rc. Kn. ἐγνώρισε.
5. Rc. ἐν ἑτέραις.

σωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ
εὐαγγελίου, 7 οὗ ἐγενήθην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος 7
τοῦ θεοῦ τῆς δοθείσης μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐ-
1 Cor. 15, 9. τοῦ. 8 ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, 8
τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸ ἀνεξιχνίαστον πλοῦτος τοῦ Χριστοῦ,
Col. 1, 26. 9 καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀπο- 9
κεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι,
10 ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρα- 10
Eph. 1, 11. νίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, 11 κατὰ 11
πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν τῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
Eph. 2, 18. ἡμῶν, 12 ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ προσαγωγὴν ἐν πεποιθή- 12
σει διὰ τῆς πίστεως αὐτοῦ. 13 διὸ αἰτοῦμαι μὴ ἐγκακεῖν ἐν ταῖς 13
θλίψεσίν μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶν δόξα ὑμῶν. 14 τούτου χάριν 14
κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα, 15 ἐξ οὗ πᾶσα πατριὰ 15
ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, 16 ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦ- 16
τος τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος
αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, 17 κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς 17
πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, 18 ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τε- 18
θεμελιωμένοι ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσιν τοῖς ἁγίοις,
τί τὸ πλάτος καὶ μῆκος καὶ ὕψος καὶ βάθος, 19 γνῶναί τε τὴν 19
ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε

---

6. Rc. Kn. Sz. ἐπαγγ. αὐτοῦ [om. c. ABCD* al. vv. pm. Or. al.] ἐν τῷ Χρ. [ἐν Χρ. Ἰησ. c. ABC al. Vg. al. . . h. ἐν αὐτῷ Syr.]

7. Rc. Kn. Sz. ἐγενόμην [-νήθην c. ABD*FG al.] et τὴν δοθεῖσαν. [τῆς δ. c. ABCD*FG etc.]

8. Rc. πάντ. τῶν. — Rc. Kn. Sz. ἐν τοῖς. [om. c. ABC al. Cpt.]

9. Ln. (πάντας) . . om. A al. Cyr. Hier. al. — Rc. τίς ἡ κοινωνία et (etiam Kn.) in f. add. διὰ Ἰησοῦ Χριστοῦ.

10. Om. νῦν FG Syr. Erp. Vg. d.* g. Or. Tert. al.

11. Rc. Kn. Sz. om. τῷ ante Χρ. [scr. c. ABC al.; om. τ. Χρ. Ἰ. FG; h. tantum Χρ. Syr.]

12. Rc. Kn. Sz. καὶ τήν. [om. c. AB al. . . h. τὴν προσαγ. εἰς τ. παῤῥ. ἐν π. FG et τὴν προσ. καὶ τ. παῤῥ. ἐν τῷ ἐλευθερωθῆναι D.* Similiter It.]

13. Rc. Kn. Sz. ἐκκακ. [ἐγκ. c. ABDE al.] — h. ἡμῶν C al. m. Cpt. Arm.

14. Rc. Kn. Sz. in f. add. τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [om. c. ABC al. Vg. ms. al. Thdoto ap. Clem. Or. al. pl.]

16. Rc. Kn. Sz. δώῃ. [δῷ c. ABCFG al. Bas. al.]

20 εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ. 20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα
ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν κατὰ τὴν δύνα-
21 μιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, 21 αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ καὶ
ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων·
ἀμήν.

## IV.

1 Παρακαλῶ οὖν ὑμᾶς, ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ, ἀξίως περι-
2 πατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, 2 μετὰ πάσης ταπεινοφροσύνης
καὶ πραΰτητος, μετὰ μακροθυμίας ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ,
3 3 σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ
4 τῆς εἰρήνης. 4 ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν
5 μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· 5 εἷς κύριος, μία πίστις, ἓν βάπτι-
6 σμα· 6 εἷς θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων
7 καὶ ἐν πᾶσιν· 7 ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον
8 τῆς δωρεᾶς τοῦ Χριστοῦ. 8 διὸ λέγει· Ἀναβὰς εἰς ὕψος ᾐχμαλώ- * Ps. 68,
9 τευσεν αἰχμαλωσίαν, ἔδωκεν δόματα τοῖς ἀνθρώποις. 9 τὸ δὲ ἀνέβη 18. (19.)
10 τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτερα τῆς γῆς; 10 ὁ κατα-
βάς, αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα
11 πληρώσῃ τὰ πάντα. 11 καὶ αὐτὸς ἔδωκεν τοὺς μὲν ἀποστόλους, 1 Cor.
τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ 12, 28.
12 διδασκάλους, 12 πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον δια-
13 κονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, 13 μέχρι καταντή-

---

20. Om. ὑπ. πάντα Thdret.; om. ὑπέρ D E F G Vg. It. Latt. pl.
21. Rc. Kn. Sz. om. καί ante ἐν Χρ. [scr. c. A B C al. Vg. al. Damsc. al. .. h. ἐν Χρ. Ἰ. καὶ τῇ ἐκκ. D* F G It. Ambrst. .. tantum ἐν Χρ. Ἰ. 46. (s. XI.) Oros.] — om. τοῦ αἰῶν. F G Tol. g.

Cap. IV. 2. πραΰτ. c. B C. .. Rc. Kn. Sz. Ln. πραότητ.
4. Om. καί post καθ. B al. Syr. Vg. Ambrst. al.
6. Om. καί ante πατ. 38. al. Syr. al. Chrs. (text.) Ir. (var.) — Rc. in f. ὑμῖν. .. Kn. Sz. ἡμῖν. [om. c. A B C I al. m. Cpt. al. Ign. Eus. Ath. Hier. al. m.]
7. Ln. om. ἡ c. B D* G I al.
8. Rc. Kn. Sz. καὶ ἔδωκ. [om. c. A C* D* E F G al. Vg. It. al. Ir. Tert. al.]
9. Rc. et Kn. (—) κατέβ. πρῶτον. — Rc. Kn. Sz. Ln. κατώτ. μέρη. .. om. c. D E F G Syr. Erp. It. Thdoto ap. Clem. Or. (1.) Ir. Tert. Ambrst. Hier. al.

σωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως
τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πλη-
ρώματος τοῦ Χριστοῦ· [14] ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι 14
καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν
ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, [15] ἀλη- 15
θεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ
κεφαλή, Χριστός, [16] ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ 16
συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἐν
μέτρῳ ἑνὸς ἑκάστου μέλους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς
οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ, μηκέτι ὑμᾶς περι- 17
πατεῖν καθὼς καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐ-
τῶν, [18] ἐσκοτωμένοι τῇ διανοίᾳ ὄντες, ἀπηλλοτριωμένοι τῆς ζωῆς 18
τοῦ θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν
τῆς καρδίας αὐτῶν, [19] οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ 19
ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. [20] ὑμεῖς δὲ 20
οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν, [21] εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν 21
Col. 3, 9. αὐτῷ ἐδιδάχθητε καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, [22] ἀποθέσθαι 22
ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν
φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, [23] ἀνανεοῦσθαι δὲ 23
τῷ πνεύματι τοῦ νοὸς ὑμῶν [24] καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρω- 24
πον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀλη-
θείας.

* Zach. 8, 16. Διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ 25
* Ps. 4, 4. (5.) τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. [26] ὀργίζεσθε καὶ μὴ 26

---

13. Om. οἱ D*FG Clem. (1.) Or. (1.) et τ. υἱοῦ G g. Clem. (1.) Lcif.
15. Rc. Kn. Sz. ὁ Χρ. [om. c. ABC al. Cyr. Bas. al.]
16. Om. κατ. ἐνέργ. G Arm. It. Ir. al.; etiam ἐν μέτρ. om. — Rc. Kn. Sz. Ln. μέρους. . . μέλους c. AC al. Syr. Arr. Cpt. Arm. Vg. Chrs. Cyr. Hier. al. [μέρ. Ir. (sed. 1. κατὰ μέρους) . . h. μετρους G gr.]
17. Rc. Kn. Sz. λοιπὰ ἔθν. [om. c. ABD*FG al. vv. m. Clem. Cyr. al. m.]
18. Rc. Kn. Sz. ἐσκοτισμένοι. [-τωμένοι c. AB.]
19. Hab. ἀπηλπικότες DEFG (h. ἀφηλπ. FG) Syr. Arr. Vg. It. Ir. ap. Epiph. et Ir. int. al. — h. in f. καὶ πλεvεξίας DEFG Sl. It. Clem. Ambrst. al.
23. 24. Hab. ἀνανεοῦσθε et ἐνδύσασθε 31. al. m. Vg. It. al. Chrs. al. m.

27 ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ παροργισμῷ ὑμῶν, 27 μηδὲ
28 δίδοτε τόπον τῷ διαβόλῳ. 28 ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον
δὲ κοπιάτω ἐργαζόμενος ταῖς ἰδίαις χερσὶν τὸ ἀγαθόν, ἵνα ἔχῃ μετα-
29 διδόναι τῷ χρείαν ἔχοντι. 29 πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος
ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλὰ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς
30 χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. 30 καὶ μὴ λυπεῖτε τὸ πνεῦμα
τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Eph. 1, 13.
31 31 πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία Col. 3, 8.
32 ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ. 32 γίνεσθε εἰς ἀλλήλους χρη-
στοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χρι- Col. 3, 12.
1 στῷ ἐχαρίσατο ὑμῖν. (V.) 1 γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡς
2 τέκνα ἀγαπητά, 2 καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χρι-
στὸς ἠγάπησεν ὑμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ὑμῶν προσφορὰν
καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.

## V.

3 3 Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα ἢ πλεονεξία μηδὲ ὀνομα-
4 ζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, 4 ἢ αἰσχρότης ἢ μωρολογία
5 ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία. 5 τοῦτο Col. 3, 5.
γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, Gal. 5, 21.
ὅ ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ

---

26. Rc. Kn. Sz. ἐπὶ τῷ. [om. c. AB.] — 27. Rc. Kn. μήτε.
28. Rc. Kn. Sz. τὸ ἀγ. ταῖς χερσίν.. om. τὸ ἀγ. Tert... om. τ. ἰδ. χερσ. 17. 67.** al. Clem... h. τ. χερσ. τὸ ἀγ. B Ambrst. [τ. ἰδ. χ. τὸ ἀγ. c. AD*EFG al. m. vv. pl. (Syr. Erp. τ. ἰδ. χ. ἐργαζ. τὸ ἀγ. pon.) Bas. Epiph. Gr. naz. Hier. al... al. aliter.]
29. Hab. τῆς πίστεως D*EFG al. Arm. in m. Vg. (non Am.) It. cdd. lat. ap. Hier. Bas. Gr. nyss. al. m.
32. Rc. Kn. Sz. γίν. δέ. [om. B al. d. e. Clem. Oec.; h. οὖν D*G al.] — Ln. ἡμῖν c. BDEgr. I al. Syr. al. Chrs. al. (non Clem.) — pro ὁ θ. ἐν Χρ. leg. ὁ Χριστ., ὁ θεός, ὁ κύριος, etiam ἐν Χρ. post ὑμῖν pon.
Cap. V. 2. ὑμᾶς c. AB al. Clem. (2.) Ambr. (1.) et ὑμῶν c. B al. Sah. Ambr. (1.)... Rc. Kn. Sz. Ln. ἡμᾶς et ἡμῶν.
3. Rc. Kn. Sz. πᾶσ. ante ἀκαθ. pon. [postp. c. AB al. Clem. (1.) Ephr. Tert.; etiam post πορν. pon.; etiam om.]
4. Rc. Kn. Sz. καὶ αἰσχ. καὶ [ἢ bis c. AD*EFG al. Vg. It. Bas. Ephr. Ir. Or. int. al. m... καὶ (vdtr) αἰσχ. ἢ Syr. utr.] et τὰ οὐκ ἀνήκοντα.
5. Rc. ἐστέ. — Rc. Kn. Sz. ὅς. [ὅ (h. ἢ s. καὶ Syr. al.) c. B al. Cyr. Hier. et (sqte εἰδωλολατρεία) FG Vg. It. Cypr. al.]

Rom. Χριστοῦ καὶ θεοῦ. 6 μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ 6
1, 18. Col. 3, ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.
6. 7 μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. 8 ἦτε γάρ ποτε σκότος, νῦν 7 8
Gal. 5, δὲ φῶς ἐν κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε, — 9 ὁ γὰρ καρπὸς 9
22. τοῦ φωτὸς ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· —
10 δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ, 11 καὶ μὴ συγκοινω- 10 11
νεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγ-
χετε. 12 τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾿ αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν· 12
13 τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ 13
τὸ φανερούμενον φῶς ἐστιν. 14 διὸ λέγει· Ἔγειρε ὁ καθεύδων καὶ 14
ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι ἀλλ᾿ 15
Col. 4, ὡς σοφοί, 16 ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί 16
5. εἰσιν. 17 διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνίετε τί τὸ θέ- 17
λημα τοῦ κυρίου. 18 καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστὶν ἀσωτία, 18
Col. 3, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, 19 λαλοῦντες ἑαυτοῖς ἐν ψαλμοῖς 19
16. καὶ ὕμνοις καὶ ᾠδαῖς, ᾄδοντες καὶ ψάλλοντες τῇ καρδίᾳ ὑμῶν τῷ
κυρίῳ, 20 εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ κυ- 20
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ θεῷ καὶ πατρί, 21 ὑποτασσόμενοι 21
Col. 3, ἀλλήλοις ἐν φόβῳ Χριστοῦ· 22 αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὡς 22
18. 1 Pet. 3, 1.

---

9. Rc. *τοῦ πνεύματος*.

14. Rc. Ln. *ἔγειραι*. [-ρε c. ABDEFGI al. pl.] — h. *ἐπιψαύσεις τοῦ Χριστοῦ* D* d. e. Or. int. (non Or.) Latt. al.

15. Pon. *ἀκριβ.* ante *πῶς* B al. Chrs. (var.) .. om. Aeth. d. e.

17. Rc. Kn. Sz. *συνιέντες*. [-ετε c. AB al. Chrs. ms. Damsc. Hier. .. h. *συνιόντες* D*FG.] — h. *τοῦ θεοῦ* A al. Syr. Vg. (non Am.) d. e. Thphyl. Hier. al.

19. Rc. Kn. Sz. om. *ἐν* ante *ψαλμ.* et Ln. (—) .. scr. c. B al. Vg. d. e. Chrs. Ambrst. Hier. Pel.; iid. et Ln. (—) *ᾠδ. πνευματικαῖς*. .. om. c. B d. e. Ambrst.; h. et add. *ἐν χάριτι* A. — Rc. Kn. Sz. Ln. *ἐν τ. καρδ.* .. om. c. B; et Ln. *ταῖς καρδίαις* c. ADEFG al. Syr. Cpt. Vg. It. Bas. Chrs. Hier. al.

21. Rc. *φόβ. θεοῦ*.

22. Rc. Sz. et Kn. (—) *ἀνδρ. ὑποτάσσεσθε* et Ln. *ὑποτασσέσθωσαν* c. A al. Cpt. Vg. Clem. (1.) Bas. Thdret. al. .. pon. *ὑποτάσσεσθε* ante *τοῖς* DEFG It. .. om. c. B cdd. gr. ap. Hier. Clem. (1. ubi v. 21 usq. v. 25. citat.)

23 τῷ κυρίῳ, [23] ὅτι ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικὸς ὡς καὶ ὁ Χρι-
24 στὸς κεφαλὴ τῆς ἐκκλησίας, αὐτὸς σωτὴρ τοῦ σώματος. [24] ἀλλ'
ὡς ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες
25 τοῖς ἀνδράσιν ἐν παντί. [25] Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, κα-
θὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν
26 ὑπὲρ αὐτῆς, [26] ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδα-
27 τος ἐν ῥήματι, [27] ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν ἐκκλη- Col. 1, 22.
σίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ
28 ἁγία καὶ ἄμωμος. [28] οὕτως καὶ οἱ ἄνδρες ὀφείλουσιν ἀγαπᾶν τὰς
ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυ-
29 ναῖκα ἑαυτὸν ἀγαπᾷ· [29] οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμί-
σησεν, ἀλλὰ ἐκτρέφει καὶ θάλπει αὐτήν· καθὼς καὶ ὁ Χριστὸς
30 31 τὴν ἐκκλησίαν, [30] ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. [31] ἀντὶ * Gn. 2, 24.
τούτου καταλείψει ἄνθρωπος πατέρα καὶ μητέρα καὶ προσκολλη-
θήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.
32 [32] τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ
33 εἰς τὴν ἐκκλησίαν. [33] πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα ἕκαστος τὴν
ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν, ἡ δὲ γυνὴ ἵνα φοβῆται
τὸν ἄνδρα.

---

23. Rc. ὁ ἀνήρ. — Rc. Kn. *καὶ αὐτ. ἐστί.* (ἐστ. add. etiam Sz.) — h. ὁ σωτ. A al. Clem.

24. Rc. Kn. Sz. *ὥσπερ* (om. plane B Ambrst.) et *ἰδίοις ἀνδρ.*

25. Rc. Kn. Sz. *γυν. ἑαυτῶν.* [om. c. AB al. Clem. (1; τὰς ἑαυτ. 1.) Or. al. . . h. *ὑμῶν* FG.]

27. Rc. pro *αὐτός* h. *αὐτήν.*

28. Rc. Kn. Sz. *οὕτ. ὀφείλ. οἱ ἄνδρ.* omisso *καί.* [ctra ABDEFG al. Syr. Cpt. Vg. It. Clem. Hier. al.]

29. Rc. *καὶ ὁ κύριος.*

30. Rc. Kn. Sz. in f. add. *ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.* [om. c. AB al. Cpt. Aeth. Meth. (vdtr.) et fortasse Ambrst. . . hab. Ir. gr. et lat.]

31. Rc. Kn. Sz. *τὸν* [om. c. BDG] *πατέρ. αὐτοῦ* [om. c. BD*G al. Arm. Vg. It. Or. Hier. dis. al.] *κ. τὴν* [om. c. BD*G] *μητ.* et *πρὸς τὴν γυν.* [*τῇ* c. AD*EFG (h. *κολληθ.* D*EFG) al. Meth. Epiph.] . . om. *καί* usq. *αὐτοῦ* Mc. ap. Epiph. et ap. Tert. Hier. dis.

32. Ln. *καὶ* (*εἰς*) . . om. B al. Ir. Tert. (h. Or.)

# VI.

Col. 3, 20. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν· τοῦτο γάρ ἐστιν 1
Ex. 20, δίκαιον. 2 τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἥτις ἐστὶν ἐντολὴ 2
12. πρώτη ἐν ἐπαγγελίᾳ, 3 ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος 3
ἐπὶ τῆς γῆς. 4 Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, 4
ἀλλὰ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου.
Col. 3, 22. Οἱ δοῦλοι, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου 5
καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ, 6 μὴ 6
κατ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι Χρι-
στοῦ, ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ, ἐκ ψυχῆς, 7 μετ' εὐνοίας 7
Col. 3, 25. δουλεύοντες, ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις, 8 εἰδότες ὅτι ἕκα- 8
στος ὃ ἐάν τι ποιήσῃ ἀγαθόν, τοῦτο κομίσεται παρὰ κυρίου, εἴτε
Col. 4, 1. δοῦλος εἴτε ἐλεύθερος. 9 Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐ- 9
τούς, ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ κύ-
ριός ἐστιν ἐν οὐρανοῖς καὶ προσωποληψία οὐκ ἔστιν παρ' αὐτῷ.
Τοῦ λοιποῦ ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν τῷ κράτει τῆς 10
ἰσχύος αὐτοῦ. 11 ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύ- 11
νασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, 12 ὅτι οὐκ 12
ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς,
πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου,

---

Cap. VI. 1. Rc. Kn. Sz. ὑμῶν (Sz. mire errans h. ἡμῶν) ἐν κυρίῳ. [om. c. BD*FG It. Clem. Tert. al.]

2. Hab. ἐν τῇ DEFG.

5. Rc. Kn. Sz. κατ. σάρκ. post κυρ. pon. [antep. c. AB al. Clem. al.] — h. τῷ κυρίῳ A al. Cpt. Vg. ms. Chrs. (1.)

6. Rc. Kn. Sz. τοῦ Χρ. [om. c. ABD*FG al.]

7. Rc. om. ὡς. — h. ἀνθρώπῳ B.

8. Rc. Kn. Sz. ἕκαστ. post τὶ pon. [ante ὃ pos. c. AB (h. ὃ ἐ. τι ἕκ. ap. Btlj. . . om. ὃ ap. Bch.) DEFG al. m. Bas. al. . . Ln. om. τὶ c. ADEFG al. m. Bas. al. . . al. aliter.] et h. κομιεῖται. [-σεται c. ABD*FG.] — Rc. τοῦ κυρ.

9. Rc. Kn. Sz. καὶ ὑμῶν αὐτῶν. [ctra ABD*gr. E gr. I al. Arm. Vg. Clem. al. m. . . al. aliter.]

10. Rc. Kn. Sz. τὸ λοιπόν, ἀδελφοί μου, ἐνδυν.

11. Hab. εἰς τὸ δύν. DEFG.

12. Ln. ὑμῖν c. BD*FG al. Syr. It. al. Lcif. Ambrst. (ἡμῖν Thdtus ap. Clem.; Clem. Or. etc.) — Rc. et Kn. (—) σκότ. τοῦ αἰῶνος τούτ.

13 *πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.* [13] *διὰ τοῦτο*
*ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν*
14 *τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι.* [14] *στῆτε*
*οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι*
15 *τὸν θώρακα τῆς δικαιοσύνης,* [15] *καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν*
16 *ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης·* [16] *ἐπὶ πᾶσιν ἀναλαβόντες*
*τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πο-*
17 *νηροῦ τὰ πεπυρωμένα σβέσαι.* [17] *καὶ τὴν περικεφαλαίαν τοῦ σω-* 1 Thss 5, 8.
*τηρίου δέξασθε καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστιν ῥῆμα*
18 *θεοῦ,* [18] *διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ*
*καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρ-*
19 *τερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων,* [19] *καὶ ὑπὲρ ἐμοῦ, ἵνα* Col. 4. 3.
*μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παῤῥησίᾳ γνω-*
20 *ρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,* [20] *ὑπὲρ οὗ πρεσβεύω ἐν ἀλύ-*
*σει, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι ὡς δεῖ με λαλῆσαι.*
21 *Ἵνα δὲ καὶ ὑμεῖς εἰδῆτε τὰ κατ' ἐμέ, τί πράσσω, πάντα γνω-* Col. 4. 7.
*ρίσει ὑμῖν Τύχικος ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν*
22 *κυρίῳ,* [22] *ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ*
*ἡμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.*
23 *Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ θεοῦ πα-*
24 *τρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ.* [24] *ἡ χάρις μετὰ πάντων τῶν ἀγα-*
*πώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ.*

---

16. Lɴ. *ἐν πᾶσ.* [c. B (ap. Btlj.) al. Vg. It. Meth. Gr. naz. al.] et om. *τά* ante *πεπυρ.* c. B D* F G (non Or.)
17. Om. *δέξασθ.* D* F G It. Tert. Cyr. al. . . h. *δέξασθαι* A D** al. pl.
18. Rc. Kɴ. Sz. *αὐτὸ τοῦτο.* [om. c. A B D* F G al. Vg. It. Bas. al. m. (h. *αὐτόν* D* F G g. Lcif. Ambrst.)] — h. *ὑπὲρ πάντ.* D* E F G al. Thdret.
19. Rc. *δοθείη.* — Lɴ. (*τ. εὐαγγ.*) . . om. B F G g. Hil.
20. Hab. *ἵνα αὐτό* B. — 21. om. *πάντ.* D* F G Syr. Erp. It.
24. Rc. et Kɴ. (—) in f. add. *ἀμήν.*
*) Rc. et Kɴ. (—) subscr. h. *Πρὸς Ἐφεσίους ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχίκου* c. I al. pl. Syr. Cpt. . . om. tantum *δ. Τυχ.* B et om. *ἀπ. Ῥ. δ. Τυχ.* A D E F G al.

## ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ.

Παῦλος καὶ Τιμόθεος, δοῦλοι Χριστοῦ Ἰησοῦ, πᾶσιν τοῖς ἁγίοις 1
ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις σὺν ἐπισκόποις καὶ δια-
κόνοις. [2] χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου 2
Ἰησοῦ Χριστοῦ.

Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν [4] πάντοτε 3 4
ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν
ποιούμενος [5] ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ τῆς 5
πρώτης ἡμέρας ἄχρι τοῦ νῦν, [6] πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐν- 6
αρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρι ἡμέρας Χριστοῦ
Ἰησοῦ, [7] καθώς ἐστιν δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων 7
ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου
καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου συγκοινωνούς μου
τῆς χάριτος πάντας ὑμᾶς ὄντας. [8] μάρτυς γάρ μου ὁ θεός, ὡς 8
ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Χριστοῦ Ἰησοῦ. [9] καὶ τοῦτο 9
προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύσῃ
ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, [10] εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ δια- 10
φέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ,
[11] πεπληρωμένοι καρπὸν δικαιοσύνης τὸν διὰ Ἰησοῦ Χριστοῦ, εἰς 11
δόξαν καὶ ἔπαινον θεοῦ.

Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλ- 12
λον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, [13] ὥστε τοὺς δεσμούς 13
μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς

---

Cap. I. 1. Rc. Kn. Sz. Ἰ. Χρ. [Χρ. Ἰ. c. B (hiat A) d. e.] — pro σὺν ἐπισκ. h. συνεπισκ. B al. Chrs. al.
5. Rc. Kn. Sz. om. τῆς [scr. c. AB al.] et v. 6. pon. Ἰ. Χρ.
7. Rc. om. ἐν ante τῇ ἀπ... Ln. (ἐν).
8. Hab. γάρ μοι DEFG al.; vv. m.; Chrs. al. — Rc. Kn. Sz. et Ln. (—) ἐστὶν ὁ θ... om. c. BFG al. Vg. It. Chrs. ms.
9. Rc. Kn. Sz. περισσεύῃ. [-σῃ c. BDE... h. -οι G.]
11. Rc. καρπῶν δικ. τῶν... om. τόν B ap. Bch.; al.

14 λοιποῖς πᾶσιν, [14] καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ πε-
ποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον
15 λαλεῖν. [15] Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐ-
17 δοκίαν τὸν Χριστὸν κηρύσσουσιν· [17] οἱ μὲν ἐξ ἀγάπης, εἰδότες ὅτι
16 εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι, [16] οἱ δὲ ἐξ ἐριθείας τὸν Χρι-
στὸν καταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐγείρειν τοῖς δε-
18 σμοῖς μου. [18] τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει εἴτε ἀλη-
θείᾳ, Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω. ἀλλὰ καὶ χα-
19 ρήσομαι· [19] οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ
τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ
20 [20] κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυν-
θήσομαι, ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ ὡς πάντοτε καὶ νῦν μεγαλυνθή-
σεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου.
21-22 [21] Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. [22] εἰ δὲ
τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου· καὶ τί αἱρήσομαι οὐ
23 γνωρίζω. [23] συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ
24 ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· [24] τὸ
25 δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. [25] καὶ τοῦτο πε-
ποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν
26 προκοπὴν καὶ χαρὰν τῆς πίστεως, [26] ἵνα τὸ καύχημα ὑμῶν πε-
ρισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν
πρὸς ὑμᾶς.
27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα
εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι

---

14. Ln. *λόγ. τοῦ θεοῦ* c. AB al. pl.; vv. pl. Clem. al. (non Tert.); post *λαλ.* pon. D*E d. e. . . h. *λόγ. κυρίου* FG g. . . h. *τοῦ θεοῦ λόγ.* 48. al.

16. Rc. hunc v. ante v. 17. pon. ctra ABDEFG al. m.; vv. pl. Bas. al. — Ln. (*τὸν*) Χρ. . . om. BG. — Rc. Kn. Sz. *θλῖψ. ἐπιφέρειν.* [*ἐγ.* c. ABD*FG al.; vv. pm. et PP. m.]

18. Ln. *πλὴν ὅτι* c. AFG al. m.; g. al. Ath. ms. al. . . h. tantum *ὅτι* B.

21. Pro Χρ. h. *χρηστόν* Ar. pol. Greg. M. (dial. bis, lat. et gr.)

23. Rc. *συνέχ. γάρ.* — om. *εἰς* DEFG Vg. It. Chrs.; h. *τοῦ ἀναλ.* Or. — om. *γάρ* DEFG (B nec ap. Bch.; et ap. Btlj. tantum videri potest) al. pl.; vv. pl. Or. (1.) Bas. Chrs. Thdret. al. [h. Clem. Or. (2.) Aug. (dis.) al.]

24. Hab. *ἐπιμεῖναι* B 80. Petr. alex. — Rc. Kn. Sz. Ln. *ἐν τῇ*. . . om. c. AC al. m. Clem. Or. (3.) Petr. Cyr. Chrs.

25. Ln. *παραμενῶ* c. ACD*FG al. — 27. Ln. *ἀκούω* c. BD*.

*στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ*
*εὐαγγελίου, 28 καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων·* 28
*ἥτις ἐστὶν αὐτοῖς ἔνδειξις ἀπωλείας, ὑμῶν δὲ σωτηρίας, καὶ τοῦτο*
*ἀπὸ θεοῦ, 29 ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ* 29
*εἰς αὐτὸν πιστεύειν ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· 30 τὸν αὐ-* 30
*τὸν ἀγῶνα ἔχοντες οἷον εἴδετε ἐν ἐμοὶ καὶ νῦν ἀκούετε ἐν ἐμοί.*

## II.

*Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης,* 1
*εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί· 2 πλη-* 2
*ρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην*
*ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, 3 μηδὲν κατὰ ἐριθείαν μηδὲ* 3
*κατὰ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι*
*ὑπερέχοντας ἑαυτῶν, 4 μὴ τὰ ἑαυτῶν ἕκαστοι σκοποῦντες, ἀλλὰ* 4
*καὶ τὰ ἑτέρων ἕκαστοι. 5 τοῦτο φρονεῖτε ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ* 5
*Ἰησοῦ, 6 ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ* 6
Rom. *εἶναι ἴσα θεῷ, 7 ἀλλὰ ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών, ἐν* 7
8, 3. *ὁμοιώματι ἀνθρώπων γενόμενος, 8 καὶ σχήματι εὑρεθεὶς ὡς ἄν-* 8
*θρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου,*
*θανάτου δὲ σταυροῦ. 9 διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν καὶ ἐχα-* 9
*ρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, 10 ἵνα ἐν τῷ ὀνόματι* 10

---

28. Rc. *ἥτις αὐτοῖς μέν ἐστιν.* — Rc. Kn. Sz. pro *ὑμῶν* [c. ABC** al. Syr. d. e. al. Aug. . . h. *ἡμῖν* D*gr. G Sl. ms. g. et *ἡμῶν* Cyr.] h. *ὑμῖν*.
29. Hab. *ἡμῖν* A al. — 30. Rc. *ἴδετε*.

Cap. II. 1. Hab. *εἴ τις παραμ.* D*I al. — Sz. Ln. pro *εἴ τινα* (sic Clem.) h. *εἴ τις* c. ABCDEFGI al. pl. Bas. Chrs. (etiam *εἴ τι* Chrs. et cdd. gr. m.) Damsc. Oec. Thphyl. . . h. *εἴτε* 109. (s. XI.) Thdret. ms.
2. Pro *τὸ ἕν* h. *τὸ αὐτό* AC al.
3. Rc. Kn. Sz. pro *μηδὲ κατά* [c. AB (ap. Btlj.; *μηδὲν κατά* ap. Bch.) C al. Vg. d. e. al. Ambrst. al.] h. *ἤ*.
4. Rc. Kn. Sz. *ἕκαστος* bis. [-*στοι* prius c. ABFG al. Vg. g. Ambr. al. et poster. c. ABCDEgr. al. Bas. (3.) Aug. (om. FG Vg. d. g. Ambr. al.; ante *τὰ ἑτ.* pon. Arm.; post *φρον.* Cyr. Tdtus anc.)] — Rc. *σκοπεῖτε*. — post *ἀλλά* om. *καί* DFG al. Vg. It. al. Bas. al.; tum h. *τό* DEgr. al. pl. et add. *τῶν* DFG al.
5. Rc. Kn. Sz. *τοῦτ. γάρ* [om. c. ABC* al. Arm. al. Cyr. Ath al. m.] *φρονείσθω.* [ctra ABCDEFG al. Vg. It. Cyr. (alqties) Ambrst. al.]
9. Rc. Kn. Sz. om. *τό* ante *ὄνομ.* [scr. c. ABC Or. Eus. al.]

*Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων,* * Es.
11 [11] *καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς* 45, 23 Rom.
12 *εἰς δόξαν θεοῦ πατρός.* [12] *ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε* 14, 11.
*ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον ἀλλὰ νῦν πολλῷ*
*μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν*
13 *σωτηρίαν κατεργάζεσθε·* [13] *θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ*
14 *τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.* [14] *πάντα ποιεῖτε χω-*
15 *ρὶς γογγυσμῶν καὶ διαλογισμῶν,* [15] *ἵνα ἦτε ἄμεμπτοι καὶ ἀκέραιοι,*
*τέκνα θεοῦ ἄμωμα μέσον γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν*
16 *οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ,* [16] *λόγον ζωῆς ἐπέχοντες, εἰς*
*καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν ἔδραμον οὐδὲ*
17 *εἰς κενὸν ἐκοπίασα.* [17] *ἀλλὰ εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ* 2 Tim.
18 *λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν·* [18] *τὸ* 4, 6.
*δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.*
19 *Ἐλπίζω δὲ ἐν κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέως πέμψαι ὑμῖν,*
20 *ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν.* [20] *οὐδένα γὰρ ἔχω ἰσόψυ-*
21 *χον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει·* [21] *οἱ πάντες γὰρ τὰ*
22 *ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ.* [22] *τὴν δὲ δοκιμὴν αὐτοῦ*
*γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέ-*
23 *λιον.* [23] *τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ*
24 *ἐμέ, ἐξαυτῆς·* [24] *πέποιθα δὲ ἐν κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύ-*
25 *σομαι.* [25] *ἀναγκαῖον δὲ ἡγησάμην, Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ*
*συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν*
26 *τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς,* [26] *ἐπειδὴ ἐπιποθῶν ἦν πάν-*
27 *τας ὑμᾶς καὶ ἀδημονῶν, διότι ἠκούσατε ὅτι ἠσθένησεν.* [27] *καὶ*
*γὰρ ἠσθένησεν παραπλήσιον θανάτῳ· ἀλλὰ ὁ θεὸς ἠλέησεν αὐτόν,*

---

11. Hab. *ἐξομολογήσεται* AFGI al. pm. Or. al.
12. Om. *ὡς* B al.; vv. m. Chrs. (1.) Ambrst. al.
13. Rc. Kn. Sz. *ὁ θεός.* [om. *ὁ* c. ABCDFG al. Damsc.] — add. in f. *αὐτοῦ* C.
15. Rc. Kn. Sz. *ἵνα γένησθε* [*ἦτε* c. AD*EFG Vg. It. Cypr.], tum *ἀμώμητα* [*ἄμωμα* c. ABC al. Clem. Cyr.] et *ἐν μέσῳ.* [*μέσον* c. ABCD* FG al. Clem.]
19. Ln pro *κυρ.* h. *Χριστῷ* c. CD*FG al. Cpt. It. — h. *ἐκψυχῶ* A.
21. Rc. *τὰ τοῦ Χριστοῦ Ἰησοῦ.* — 23. Ln. *ἀφίδω* c. AB*D*FG.
26. Ln. *ὑμᾶς* (*ἰδεῖν*)... add. ACDE al. pm. Syr. d. e. al. Damsc. al.
27. Hab. *θανάτου* B al. Chrs.

*οὐκ αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπην σχῶ.*
*[28] σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν, ἵνα ἰδόντες αὐτὸν πάλιν χα-* 28
*ρῆτε κἀγὼ ἀλυπότερος ὦ. [29] προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ* 29
*μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, [30] ὅτι διὰ* 30
*τὸ ἔργον Χριστοῦ μέχρι θανάτου ἤγγισεν παραβολευσάμενος τῇ*
*ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρὸς με λειτουργίας.*

## III.

*Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν κυρίῳ. τὰ αὐτὰ γράφειν* 1
*ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. [2] βλέπετε τοὺς κύ-* 2
*νας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. [3] ἡμεῖς* 3
*γάρ ἐσμεν ἡ περιτομή, οἱ πνεύματι θεοῦ λατρεύοντες καὶ καυχώ-*
*μενοι ἐν Χριστῷ Ἰησοῦ καὶ οὐκ ἐν σαρκὶ πεποιθότες, [4] καίπερ* 4
*ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν*
*σαρκί, ἐγὼ μᾶλλον, [5] περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσραήλ, φυ-* 5
*λῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, [6] κατὰ* 6
*ζῆλος διώκων την ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενό-*
*μενος ἄμεμπτος. [7] ἀλλὰ ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ* 7
*τὸν Χριστὸν ζημίαν. [8] ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν* 8
*εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου μου,*
*δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα, ἵνα Χριστὸν*
*κερδήσω [9] καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ* 9
*νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ θεοῦ δικαιοσύνην*
*ἐπὶ τῇ πίστει, [10] τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστά-* 10

---

27. Rc. *ἐπὶ λύπῃ.*
30. Rc. Kn. Sz. *τοῦ Χρ.* [*Χρ.* c. BFG al. . . h. (*τοῦ*) *κυρίου* A al. g. al. . . *θεοῦ* Chrs. (comm.). . . plane om. C.] — Rc. *παραβουλευσάμενος.*

Cap. III. 3. Rc. Kn. *θεῷ. . .* h. *θείῳ* 115. (s. XI.)
4. Om. *ἀλλ.* 46. al. Syr. Erp. Lcif. al. .. pon. ante *δοκ.* DE (ap. Wtst.; om. plane ap. Mill.) FG (h. *ἄλλως* Ggr. al.) al. Vg. It.
5. Ln. *Βενιαμείν* et Sz. (per error.) *Βενιαμήν.*
6. Rc. Kn. Sz. *ζῆλον.* [*-λος* c. ABD* FG.]
7. Ln. (*ἀλλά*) . . om. AFG It. Cyr. Lcif. al.
8. Rc. *μενοῦνγε.* — Ln. *γνώσεως τοῦ* c. B. — h. *κυρ. ἡμῶν* A vv. m.; PP. m. — Rc. Kn. Sz. *σκύβ. εἶναι.* [om. c. BD*G al. Arm. Vg. It. Lcif. al.]
9. Om. *ἐπὶ τ. π.* Syr. Erp. . . h. *ἐν πίστει* D* E.

σεως αὐτοῦ καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφι-
11 ζόμενος τῷ θανάτῳ αὐτοῦ, [11] εἴπως καταντήσω εἰς τὴν ἐξανάστα-
12 σιν τὴν ἐκ νεκρῶν. [12] οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω
13 δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ. [13] ἀδελ-
14 φοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· [14] ἓν δέ, τὰ μὲν
ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ
σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χρι-
15 στῷ Ἰησοῦ. [15] ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν. καὶ εἴ τι ἑτέρως
16 φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκαλύψει. [16] πλὴν εἰς ὃ ἐφθά-
σαμεν, τῷ αὐτῷ στοιχεῖν.
17 Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτως
18 περιπατοῦντας καθὼς ἔχετε τύπον ἡμᾶς. [18] πολλοὶ γὰρ περιπα-
τοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς
19 ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, [19] ὧν τὸ τέλος ἀπώλεια, ὧν
ὁ θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια
20 φρονοῦντες. [20] ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ
21 οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν, [21] ὃς μετα-
σχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι
τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑπο-
1 τάξαι αὐτῷ τὰ πάντα. (IV.) [1] ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ
ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτως στήκετε ἐν κυρίῳ,
ἀγαπητοί.

---

10. Ln. om. τήν ante κοινων. c. AB. — Rc. Kn. Sz. συμμορφούμενος. [-φιζόμενος c. ABD* al. Or. ms. al. .. h. συνφορτιζόμενος FG It. Ir. Lcif.]
11. Rc. Kn. ἐξαν. τῶν νεκρ.
12. Om. καί utrque DEFG al. — Rc. ὑπὸ τοῦ Χρ. Ἰησοῦ.
13. Hab. οὔπω AD*gr. al. pl. Cpt. al. Clem. al. m.
14. Rc. Kn. Sz. ἐπὶ τό. [εἰς c. AB al. Clem. Ath.] — om. τ. θεοῦ G 46. g. Vg. ms. Clem. al.
15. Hab. φρονοῦμεν I al. cdd. ap. Hier. Sl. ms. Clem.
16. Rc. Kn. Sz. in f. add. κανόνι, τὸ αὐτὸ φρονεῖν. [om. c. AB al. Cpt. Sah. Aeth. Hil. al. .. om. καν. DEFG; reliqua variant et transponuntur.] [Gal. 6, 16. Phil. 2, 2.]
18. Om. καί D*Egr. 55. Syr.
20. Hab. ἡμ. δέ 80. Syr. Vg. It. Clem. Or. (2.) al. m.
21. Rc. et Kn. (—) εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφ. — Rc. Kn. Sz. ἑαυτῷ.

# IV.

2 Εὐοδίαν παρακαλῶ καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρο- 2
νεῖν ἐν κυρίῳ. 3 ναὶ ἐρωτῶ καὶ σέ, γνήσιε σύζυγε, συλλαμβάνου 3
αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλή-
μεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ
ζωῆς.

1 Thss. 5, 16. Χαίρετε ἐν κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. 5 τὸ ἐπιεικὲς 4 5
ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ κύριος ἐγγύς. 6 μηδὲν μερι- 6
μνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας
τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν. 7 καὶ ἡ εἰρήνη τοῦ 7
θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ
τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δί- 8
καια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ
τις ἔπαινος, ταῦτα λογίζεσθε· 9 ἃ καὶ ἐμάθετε καὶ παρελάβετε 9
καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε· καὶ ὁ θεὸς τῆς
εἰρήνης ἔσται μεθ' ὑμῶν.

Ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ 10
ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. 11 οὐχ 11
ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμὶ αὐτάρκης
εἶναι. 12 οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν. ἐν παντὶ 12
καὶ ἐν πᾶσιν μεμύημαι, καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισ-
σεύειν καὶ ὑστερεῖσθαι. 13 πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με. 13
14 πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. 15 οἴ- 14 15
δατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε
ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς
λόγον δόσεως καὶ λήψεως εἰ μὴ ὑμεῖς μόνοι, 16 ὅτι καὶ ἐν Θεσσα- 16
λονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. 17 οὐχ ὅτι 17

---

**Cap. IV. 3. Rc. pro** *ναί* **h.** *καί.* **— post** *μετά* **om.** *καί* **D*EFG al. Arm. Vg. It. Or. Ambrst.**

**7. Hab.** *τὰ σώματα* **FG Vg. ms. It. Siric. al.**

**12. Rc.** *οἶδ. δὲ ταπ.* **— 13. Rc. et Kn. (—) in f. add.** *Χριστῷ.*

**15. Repetunt** *ὅτι* **ante** *οὐδεμ.* **D*EFG It.**

**16. Ln. (***εἰς***) .. om. AD*gr.Egr. al. Syr. Sl. ms. Oec. (text.) Ambrst. et h.** *χρ. μου* **D*gr.Egr.1 al. Thdret. al. m.**

ἐπιζητῶ τὸ δόμα, ἀλλὰ ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς
18 λόγον ὑμῶν. 18 ἀπέχω δὲ πάντα καὶ περισσεύω, πεπλήρωμαι δεξά-
μενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν
19 δεκτήν, εὐάρεστον τῷ θεῷ. 19 ὁ δὲ θεός μου πληρώσει πᾶσαν
χρείαν ὑμῶν κατὰ τὸ πλοῦτος αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ.
20 20 τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων· ἀμήν.
21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς
22 οἱ σὺν ἐμοὶ ἀδελφοί. 22 ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μά-
λιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.
23 Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν.

# ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ.

1 Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ καὶ Τι-
2 μόθεος ὁ ἀδελφὸς 2 τοῖς ἐν Κολασσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς
ἐν Χριστῷ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν.
3 Εὐχαριστοῦμεν τῷ θεῷ τῷ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
4 στοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι, 4 ἀκούσαντες τὴν πίστιν

---

18. Om. παρὰ Ἐπαφρ. A.

19. Hab. πληρώσαι D*FG al. pl.; vv. m.; Chrs. ms. al. — Rc. Kn. Sz. τὸν πλοῦτον. — 22. Hab. ἀπὸ τῆς B.

23. Rc. et Kn. (—) κυρ. ἡμῶν. — Rc. Kn. Sz. πάντων ὑμῶν. [τοῦ πν. c. ADEFG al. m. Cpt. Sah. Aeth. Arm. Vg. It. Damsc. al.] — Rc. Sz. et Kn. Ln. (—) in f. add. ἀμήν... om. c. BFG Sah. g. Chrs. Ambrst.

*) Rc. et Kn. (—) subscr. h. Πρὸς Φιλιππησίους ἐγράφη ἀπὸ Ῥώμης δι' Ἐπαφροδίτου c. 6. al. pl... ἀπὸ Ῥώμ. add. etiam B... add. διὰ Τιμοθέου καὶ Ἐπαφροδίτου Cpt.

Cap. I. 1. Rc. Kn. Sz. Ἰ. Χρ. [Χρ. Ἰ. c. BFG d. g. Syr. p. Ath. al.]

2. Rc. Kn. Sz. Κολοσσαῖς. [Κολασσ. c. ABC al. pl. Syr. utr. al. Or. Gr. nyss. Damsc. al. m. .. h. Κολοσσ. Clem. Chrs. al.] — Ln. Χρ. Ἰησοῦ. — Rc. et Kn. Ln. (—) in f. add. καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

3. Rc. Kn. Sz. καὶ πατρί. [τῷ c. C* (h. καὶ τῷ) D*G Syr. It. al. Chrs. Ambrst. al... om. plane B.] — Ln. ὑπὲρ ὑμῶν.

ὑμῶν ἐν Χριστῷ Ἰησοῦ καὶ τὴν ἀγάπην ἣν ἔχετε εἰς πάντας τοὺς
ἁγίους [5] διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν 5
προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου [6] τοῦ παρόντος 6
εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ ἐστὶν καρποφορούμενον
καὶ αὐξανόμενον καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ
ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ· [7] καθὼς ἐμάθετε ἀπὸ 7
Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστιν πιστὸς ὑπὲρ
ἡμῶν διάκονος τοῦ Χριστοῦ, [8] ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγά- 8
πην ἐν πνεύματι. [9] Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκού- 9
σαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι,
ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σο-
1 Thss. 2, 12. φίᾳ καὶ συνέσει πνευματικῇ, [10] περιπατῆσαι ἀξίως τοῦ κυρίου εἰς 10
πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐ-
ξανόμενοι τῇ ἐπιγνώσει τοῦ θεοῦ, [11] ἐν πάσῃ δυνάμει δυναμούμενοι 11
κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ εἰς πᾶσαν ὑπομονὴν καὶ μακρο-
θυμίαν, μετὰ χαρᾶς [12] εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι 12
ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί, [13] ὃς ἐρρύ- 13
σατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν
Eph. 1, 7. βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, [14] ἐν ᾧ ἔχομεν τὴν ἀπο- 14
λύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, [15] ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ 15
τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, [16] ὅτι ἐν αὐτῷ ἐκτίσθη 16
Eph. 1. 10. Col. 1, 21. τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ

---

4. Rc. Kn. Sz. pro ἣν ἔχ. [c. ACD*EFG al. m. Vg. It. al. Ambrst. al. .. om. plane B.] h. τήν.

6. Rc. Kn. Sz. κόσμῳ, καί. [om. c. ABCD*gr.Egr. al. m. Cpt. al. Aug.] — Rc. om. καὶ αὔξαν.

7. Rc. Kn. καθ. καί. — Rc. Kn. Sz. ὑπ. ὑμῶν. [ἡμ. c. ABD*gr. G al. g.]

9. Om. καὶ αἰτούμ. B. 219.*

10. Rc. et Kn. (—) ὑμᾶς ἀξ. — Rc. Kn. εἰς τὴν ἐπίγνωσιν.

12. Hab. ἅμα τῷ πατρ. B... τῷ θεῷ καὶ πατρ. C* al. pm. cdd. lat. al. Bas. Ath. Cyr. .. τῷ θεῷ τῷ πατρ. FG .. et aliter. — Ln. τῷ καλέσαντι καὶ ἱκανώσ. c. B .. h. tantum τ. καλέσ. D*G al. It. al. Did. al.

14. Ln. ἔσχομεν c. B. — Rc. et Kn. (—) ἀπολ. διὰ τοῦ αἵματος αὐτοῦ. — om. τ. ἄφεσ. D*gr. (et om. τ. ἀπολ. d. e.) .. h. καὶ τ. ἀφ. Syr. Vg. (Sixt.) al. Victorin. al.

16. Rc. Kn. Sz. τὰ ἐν τοῖς οὐρ. κ. τὰ ἐπί... om. prius c. BD*EFG al. Vg. It. Or. (3.) et poster., qd Ln. (—), om. c. B Vg. It. Or. (3.) .. h. τά τε ἐν C Mcell. ap. Eus. Ath. al.

ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι· τὰ
17 πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται. [17] καὶ αὐτός ἐστιν πρὸ
18 πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν, [18] καὶ αὐτός ἐστιν ἡ 1 Cor.
κεφαλὴ τοῦ σώματος, τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχή, πρωτότοκος 15, 20.
19 ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· [19] ὅτι ἐν Col. 2, 9.
20 αὐτῷ εὐδόκησεν πᾶν τὸ πλήρωμα κατοικῆσαι [20] καὶ δι' αὐτοῦ ἀπο- Eph. 1.
καταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος 10. et 2,
τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς 16.
21 οὐρανοῖς. [21] καὶ ὑμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς
τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν
22 [22] ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι Eph. 2,
23 ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ, [23] εἴγε 16. et 5,
ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ μετακινού- 27.
μενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέν-
τος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος
διάκονος.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ
τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ
25 τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, [25] ἧς ἐγενόμην ἐγὼ διά-
κονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς
26 πληρῶσαι τὸν λόγον τοῦ θεοῦ, [26] τὸ μυστήριον τὸ ἀποκεκρυμμένον Eph. 3,
ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νῦν δὲ ἐφανερώθη τοῖς ἁγίοις 5. 9.
27 αὐτοῦ, [27] οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι τί τὸ πλοῦτος τῆς δόξης Eph. 1,
τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅ ἐστιν Χριστὸς ἐν ὑμῖν, 18.

---

17. Om. τά D*EFG Chrs.
18. Hab. ἀπαρχή 17. al. Chrs. al... h. ἡ ἀρχ. B al. .. ἐν ἀρχῇ Cyr.
20. Om. δι' αὐτ. ante εἴτε D*FG al. m. Vg. It. al. Or. (3.) Cyr. Chrs. (text.) al. m. — h. ἐπὶ τοῖς 44. al. pm. Chrs. Thdret.
21. Hab. τῆς διανοίας DE (add. αὐτοῦ DE) FG (add. ὑμῶν G.). — Ln. ἀποκατηλλάγητε c. B... h. ἀποκαταλλαγέντες D*FG It. Ir. Hil. al.
22. Om. τῆς σαρκ. Mcion. s. Tert. — Ln. θανάτ. (αὐτοῦ).
23. Rc. Kn. Sz. τῇ κτίσει. [om. c. ABCDFG al. Chrs.]
24. Hab. ὅς νῦν D*EFG Vg. It. Ambrst. — Rc. παθήμ. μου. — h. ἀναπληρῶ FG al. Or. et ὅς ἐστ. CDgr. Egr. al. m.
26. Hab. νυνὶ δὲ φανερωθέν DEgr. .. ὃ νῦν ἐφαν. 10. al. m. Arm. Clem.
27. Rc. Kn. Sz. τίς ὁ πλ. et ὅς ἐστ. [ὃ c. ABFG al. Vg. It. PP. lat.]

ἡ ἐλπὶς τῆς δόξης, [28] ὃν ἡμεῖς καταγγέλλομεν νουθετοῦντες πάντα 28
ἄνθρωπον καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα
1 Tim. 4, 10. παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ· [29] εἰς ὃ καὶ 29
κοπιῶ ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν
ἐμοὶ ἐν δυνάμει.

## II.

Θέλω γὰρ ὑμᾶς εἰδέναι, ἡλίκον ἀγῶνα ἔχω ὑπὲρ ὑμῶν καὶ 1
τῶν ἐν Λαοδικείᾳ καὶ ὅσοι οὐχ ἑώρακαν τὸ πρόσωπόν μου ἐν σαρκί,
[2] ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντες ἐν ἀγάπῃ 2
καὶ εἰς πᾶν τὸ πλοῦτος τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνω-
σιν τοῦ μυστηρίου τοῦ θεοῦ, Χριστοῦ, [3] ἐν ᾧ εἰσὶν πάντες οἱ θη- 3
σαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι. [4] τοῦτο δὲ λέγω, ἵνα 4
μηδεὶς ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ. [5] εἰ γὰρ καὶ τῇ σαρκὶ 5
ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμί, χαίρων καὶ βλέπων ὑμῶν
τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. [6] Ὡς 6
οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ περιπατεῖτε,
[7] ἐῤῥιζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι τῇ 7
πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν εὐχαριστίᾳ. [8] βλέ- 8
πετε, μή τις ἔσται ὑμᾶς ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κε-
νῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα
Col. 1, 19. τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν, [9] ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ 9

---

28. Om. *πάντ. ἄνθρ.* ante *ἐν* D*EFG al. It. al. Clem. (1; om. *κ. διδ. π. ἀνθ.* 1.) Ambrst. al. — Rc. et Kn. (—) in f. add. *Ἰησοῦ*.

Cap. II. 1. Hab. *θέλ. δέ* 37. al. Syr. — Rc. Kn. Sz. *περί* [*ὑπέρ* c. ABC al. m.] et *ἑωράκασι*. [-*καν* c. ABD* Thdret. ms. (alic.).]

2. Rc. *συμβιβασθέντων* et Rc. Kn. Sz. *πάντα πλοῦτον*. [*π. τὸ πλ.* c. AC al. .. *πᾶν πλ.* B Clem.] — Rc. Kn. *τ. θεοῦ καὶ πατρὸς καὶ τοῦ Χρ.* .. Sz. tantum *τ. θεοῦ* c. 37. 67.** tribus aliis citatis et Arm. (ed. Venet.) .. h. *τ. θ. πατρὸς τοῦ Χρ.* AC al. Sah. Vg. ms. Am. .. *τ. θ. πατρὸς καὶ τοῦ Χρ.* 47. al. Syr. Vg. al. Chrs. .. *τ. θ. ἐν Χριστῷ* Clem. Ambrst. ed. .. *τ. θ. ὅ ἐστιν Χριστός* D* d. e. Aug. .. al. aliter. [*τ. θ. Χριστοῦ* c. B. Hil. .. hiat G; E? F?]

3. Rc. Kn. Sz. *καὶ τῆς γν.* [om. c. BD al. Clem. (1.) Or. (1.) Did.]

4. Ln. om. *δέ* c. B. — Rc. Kn. Sz. *μή τις*. [*μηδείς* c. ABCDE al. m.]

7. Rc. Kn. Sz. h. *ἐν τῇ πίστ.* .. om. *τῇ* et h. *ἐν* A al. — Rc. Kn. Sz. Ln. *ἐν αὐτῇ ἐν εὐχ.* .. om. c. AC al. m. Cpt. Tol. Am. Archel. .. h. *ἐν αὐτῷ* DE al. Vg. d. e. al.

10 πλήρωμα τῆς θεότητος σωματικῶς [10] καί ἐστε ἐν αὐτῷ πεπληρω-
11 μένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, [11] ἐν ᾧ καὶ
περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώμα-
12 τος τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, [12] συνταφέντες αὐτῷ Rom. 6. 4.
ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐν-
13 εργείας τοῦ θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν· [13] καὶ ὑμᾶς νε- Eph. 2. 1. et 2. 5.
κροὺς ὄντας ἐν τοῖς παραπτώμασιν καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς
ὑμῶν, συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα
14 τὰ παραπτώματα, [14] ἐξαλείψας τὸ καθ᾽ ἡμῶν χειρόγραφον τοῖς
δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου,
15 προσηλώσας αὐτὸ τῷ σταυρῷ, [15] ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ
τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν
αὐτῷ.

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει ἢ ἐν μέρει
17 ἑορτῆς ἢ νουμηνίας ἢ σαββάτων, [17] ἅ ἐστιν σκιὰ τῶν μελλόντων, Heb. 10. 1.
18 τὸ δὲ σῶμα Χριστοῦ. [18] μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν
ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ ἑώρακεν ἐμβατεύων,
19 εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, [19] καὶ οὐ κρα-
τῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων
ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ θεοῦ.

---

10. Ln. ὅ ἐστ. c. BDgr. EFGgr. e. Hil. (1.)

11. Rc. et Kn. (—) σώμ. τῶν ἁμαρτιῶν τῆς.

12. Hab. βαπτισμῷ BD*G al. Chrs. — Rc. Ln. τῶν νεκρ. [om. c. AC al. pl. Chrs. Thphyl.]

13. Hab. καὶ ἡμᾶς 1. al. m. Chrs. Thphyl. ms.; tum ἡμῶν 1. al. Chrs. Thphyl. ms.; ἡμᾶς σύν B al. pm. — om. ἐν B al. pm. Sl. ms. Bas. Chrs. al. — Rc. om. ὑμᾶς ante σύν, tum h. ὑμῖν c. 6. al. pm. Aeth. Vg. ed. Thdret. Hil. al.

14. Om. τ. δόγμ. Chron. alex. Hier. Ruf.; etiam σὺν τ. δ. leg. — h. ἦρεν DG al. m. Or. al.

15. Hab. ἀπεκδ. τὴν σάρκα omissis τ. ἀρχ. κ. FG g. et retentis τ. ἀρχ. κ. Syr. PP. lat. m. — h. καὶ ἐδειγμ. B.

16. Hab. καὶ ἐν πόσ. B Or. (1.) et τῆς (sine ἢ) νεομην. B. — Ln. νεομην. c. BFG. (νουμ. Or. 3.)

17. Ln. pro ἅ h. ὅ c. BFG It. Epiph. Ambrst. (non Or.) — Rc. Ln. τοῦ Χρ. . . h. ὁ Χριστός 66. in m. 109. lat. Syr. Erp.

18. Rc. Kn. Sz. ἃ μὴ ἑώρ. [om. c. ABD* al. Cpt. d. e. edd. ap. Aug. Or. (edd.; hab. Or. int.) Tert. al. . . h. οὐκ FG.]

19. Sz. per error. h. αὔξῃ.

[20]Εἰ ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί 20
ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε· [21]Μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ 21
θίγῃς, [22]ἅ ἐστιν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐν- 22
τάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων; [23]ἅτινά ἐστιν λόγον μὲν 23
ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ
σώματος, οὐκ ἐν τιμῇ τινὶ πρὸς πλησμονὴν τῆς σαρκός.

## III.

Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χρι- 1
στός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος· [2]τὰ ἄνω φρονεῖτε, μὴ 2
τὰ ἐπὶ τῆς γῆς. [3]ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν 3
τῷ Χριστῷ ἐν τῷ θεῷ· [4]ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, 4
τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.
Eph. 5, 5. Νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρ- 5
σίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν
Eph. 2, 3. et 5, 6. Rom. 1, 18. εἰδωλολατρεία· [6]δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ. [7]ἐν οἷς καὶ ὑμεῖς 6 7
περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν τούτοις· [8]νυνὶ δὲ ἀπόθεσθε καὶ 8
Eph. 4, 31. ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν
ἐκ τοῦ στόματος ὑμῶν, [9]μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσά- 9
Eph. 4, 22. μενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ [10]καὶ ἐν- 10
δυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα
Gal. 3, 28. τοῦ κτίσαντος αὐτόν, [11]ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περι- 11
τομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος,

---

20. Rc. εἰ οὖν ἀπ. σ. τῷ Χρ.
23. Ln. ταπειν. (καὶ) [om. B] et ἀφειδείᾳ c. B.

Cap. III. 4. ὑμῶν c. (A hiat) CDE*FG 17. al. m. Vg. It. al. Gr. nyss. Cyr. Chrs. Thdret. al. m. (non Or.) .. Rc. Kn. Sz. Ln. ἡμῶν. — om. σὺν αὐτ. A 57. Gr. nyss.; etiam post φαν. pon.
5. Rc. Kn. Sz. Ln. μέλη ὑμῶν... om. c. BC* 17. 67.** al. Clem. Or. (5.)
6. Hab. δι' ὃ C* (vdtr) D*EFG d. e. (utrque g.) — Ln. (ἡ) .. om. CFG. — Rc. Kn. Sz. et Ln. (—) in f. add. ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. .. om. c. B Sah. Aeth. Ambrst. (text.)
7. Rc. Kn. Sz. ἐν αὐτοῖς. [ἐν τούτ. c. ABCD*E al. Sah.]
8. Om. τὰ πάντ. Aeth. Clem.; etiam πάντ., ἅπαντ., ταῦτα πάντ., κατὰ πάντα (FG), πᾶσαν leg.
11. Hab. βάρβ. καὶ D*EFG al. Syr. Vg. It. al. Petr. Hier. al. et Ln. c. iisd. et A 73. δοῦλ. καί. [non Clem.]

12 ἀλλὰ πάντα καὶ ἐν πᾶσιν Χριστός. [12]Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ
τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα,
13 ταπεινοφροσύνην, πραΰτητα, μακροθυμίαν· [13]ἀνεχόμενοι ἀλλήλων
καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθὼς Eph. 4, 32.
14 καὶ ὁ κύριος ἐχαρίσατο ὑμῖν οὕτως καὶ ὑμεῖς· [14]ἐπὶ πᾶσιν δὲ τού-
15 τοις τὴν ἀγάπην, ὅ ἐστιν σύνδεσμος τῆς τελειότητος. [15]καὶ ἡ εἰ- Phil. 4, 7.
ρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ
16 ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε. [16]Ὁ λόγος τοῦ Eph. 5, 19.
Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως· ἐν πάσῃ σοφίᾳ διδάσκοντες
καὶ νουθετοῦντες ἑαυτούς, ψαλμοῖς, ὕμνοις, ᾠδαῖς πνευματικαῖς,
17 ἐν τῇ χάριτι ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ θεῷ, [17]καὶ πᾶν
ὅ,τι ἐὰν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Ἰησοῦ Χρι-
στοῦ, εὐχαριστοῦντες τῷ θεῷ πατρὶ δι' αὐτοῦ.

18 *Αἱ* γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν κυ- Eph. 5, 22.
19 ρίῳ. [19]οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν καὶ μὴ πικραί- 1 Pet. 3, 1.
20 νεσθε πρὸς αὐτάς. [20]Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν κατὰ Eph. 6, 1.
21 πάντα· τοῦτο γὰρ εὐάρεστόν ἐστιν ἐν κυρίῳ. [21]οἱ πατέρες, μὴ Eph. 6, 4.
22 ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. [22]Οἱ δοῦλοι, ὑπ- Eph. 6, 5.
ακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδου-
λείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας φοβούμενοι

---

11. Rc. Kn. Sz. Ln. *τὰ πάντ.* .. om. c. AC al. m. Clem. Petr. Gr. naz. Cyr. Oec.

12. Ln. om. *τοῦ* c. AD*FG al. — om. *καί* ante *ἠγαπ.* B al. Sah. Did.; etiam ante *ἅγ.* pon. — Rc. *οἰκτιρμῶν*. — Rc. Kn. Sz. *πραότητ.* [*πραΰτ.* c. ABCF al.]

13. Rc. Kn. Sz. *ὁ Χριστὸς ἐχαρ.*

14. Rc. Sz. *ἥτις* pro *ὅ* .. h. *ὅς* D*gr. — 15. Rc. *τοῦ θεοῦ*.

16. Hab. *τοῦ θεοῦ* AC al. pm. Ar. p. Sah. Thdret. .. *τ. κυρίου* Cpt. Clem. — Rc. Kn. *καὶ ὕμν.* et Rc. Kn. Sz. *καὶ ᾠδ.*, iid. om. *τῇ* [ctra BD*EFG 67.** Clem. Chrs. (comm.) Thdret.] et Rc. h. *ἐν τῇ καρδίᾳ ὑμ. τ. κυρίῳ*.

17. Rc. Kn. Sz. pro *Ἰησ. Χρ.* h. *κυρίου Ἰησ.*, tum *καὶ πατρ.*

18. Rc. et Kn. (—) *τοῖς ἰδίοις*. — Ln. *γυν. ὑμῶν*.

20. Rc. pro *ἐν κυρ.* h. *τῷ κυρ.*

21. Sz. Ln. pro *ἐρεθ.* h. *παροργίζετε* c. ACD*EFGI al. pl. Vg. It. Thdret. ms. Thphyl. (non Clem.)

22. Sz. Ln. *ἐν ὀφθαλμοδουλείᾳ* c. ABDEFG al. Damsc. Thphyl. (non Clem.) .. h. *κατ' ὀφθαλμοδουλείαν* Chrs. (text. et 1. comm.)

τὸν κύριον. [23] ὃ ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε ὡς τῷ κυρίῳ καὶ 23
οὐκ ἀνθρώποις, [24] εἰδότες ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε τὴν ἀντα- 24
Eph. 6, 8. πόδοσιν τῆς κληρονομίας. τῷ κυρίῳ Χριστῷ δουλεύετε· [25] ὁ γὰρ 25
Eph. 6, 9. ἀδικῶν κομίσεται ὃ ἠδίκησεν, καὶ οὐκ ἔστιν προσωποληψία. (IV.) [1] οἱ 1
κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες
ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ.

## IV.

[2] Τῇ προσευχῇ προσκαρτερεῖτε γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐ- 2
Eph. 6, 19. χαριστίᾳ, [3] προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ θεὸς ἀνοίξῃ 3
ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι'
Eph. 5, 16. ὃ καὶ δέδεμαι, [4] ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι. [5] ἐν σο- 4 5
φίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. [6] ὁ λό- 6
γος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ
ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Eph. 6, 21. Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τύχικος ὁ ἀγαπητὸς ἀδελ- 7
φὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν κυρίῳ, [8] ὃν ἔπεμψα πρὸς 8
ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς
καρδίας ὑμῶν, [9] σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς 9
ἐστιν ἐξ ὑμῶν. πάντα ὑμῖν γνωριοῦσιν τὰ ὧδε.

Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρ- 10
κος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς, — ἐὰν ἔλθῃ
πρὸς ὑμᾶς, δέξασθε αὐτόν· — [11] καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, 11

---

22. Rc. τὸν θεόν.
23. Rc. Kn. καὶ πᾶν ὅ,τι ἐάν. — om. καὶ B.
24. Hab. λήψεσθε AI al. pl. Chrs. al. — Rc. Kn. Sz. τῷ γάρ. [om. c. ABC*DEFG (h. τοῦ κυρ. ἡμῶν Ἰ. Χρ. ᾧ δουλ. FG g.) al. Cpt. Vg.]
25. Rc. Kn. Sz. ὁ δὲ [γάρ c. ABCD*EFG al. Cpt. Vg. It. Clem. al.] ἀδ. κομιεῖται. [-σεται c. BD**E al. m. Clem. al. . . h. -ζεται FG.]
Cap. VI. 1. Hab. παρέχετε 2. al. m. Clem. (non Or.) al. — Rc. Kn. Sz. οὐρανοῖς.
3. Om. τοῦ ante λόγ. D*FG et om. λόγ. 66.** al. Clem. Thphyl. — Ln. δι' ὅν c. BFG g. (non Clem.)
8. Sz. Ln. ἵνα γνῶτε τὰ π. ἡμῶν c. ABD*FG al. pm. Aeth. It. Thdret. (text.) Damsc. Hier. (alic.)
9. Ln. γνωρίσουσιν c. BD** (h. -σωσιν D*) FG Damsc. Thdret. ms.; etiam -ζουσιν leg.
10. Hab. δέξασθαι A al. Syr. Arr. Ambrst.; edd. ap. Thphyl.

οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ
12 θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. [12] ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ Ἰησοῦ πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληροφορη-
13 μένοι ἐν παντὶ θελήματι τοῦ θεοῦ. [13] μαρτυρῶ γὰρ αὐτῷ, ὅτι ἔχει πολὺν πόνον ὑπὲρ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν
14 Ἱεραπόλει. [14] ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ
15 Δημᾶς. [15] ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ Νυμφᾶν
16 καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ ἐκκλησίαν. [16] καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀνα-
17 γνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. [17] καὶ εἴπατε Ἀρχίππῳ· Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν κυρίῳ, ἵνα αὐτὴν πληροῖς.
18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ᾽ ὑμῶν.

## ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α.

1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν θεῷ πατρὶ καὶ κυρίῳ Ἰησοῦ Χριστῷ. χάρις ὑμῖν καὶ εἰρήνη.

---

12. Rc. Kn. Sz. om. Ἰησ. et h. πεπληρωμένοι. — h. σταθῆτε B al.
13. Rc. Kn. ζῆλον πολύν. [π. πόν. c. ABCD** Cpt. Vg. It. .. etiam πόθον, κόπον (D*FG) et aliter leg.]
15. Ln. οἰκ. αὐτῆς (antea Νύμφαν) c. B 67.** .. h. αὐτῶν AC al. Cpt. Sl. ms.
16. Om. ἡ ἐπιστ. B; etiam αὕτη add.
18. Rc. et Kn. (—) in f. add. ἀμήν.
*) Rc. et Kn. (—) subscr. h. Πρὸς Κολοσσαεῖς (h. Κολασσ. ABC) ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχίκου καὶ Ὀνησίμου c. 12. al. pl. .. h. tantum πρ. Κολ. CDEFG et add. ἀπ. Ῥώμ. AB Syr. .. pro Ῥώμ. h. Ἀθηνῶν Cpt.
Cap. I. 1. Hab. πατρὶ ἡμῶν καὶ κυρίου Ἰ. Χριστοῦ A Aeth.; similiter E aliiq. cdd. et vv. — Rc. Kn. Sz. et Ln. (—) in f. add. ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. .. om. c. BFG al. Syr. Vg. g. al. Or. int. s. Ruf. (dis.) Chrs. (comm.) Thphyl. al. .. singula om. al.

Εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων ὑμῶν μνείαν 2
ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, ³ ἀδιαλείπτως μνημονεύοντες 3
ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς
ὑπομονῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν
τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ⁴ εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ 4
θεοῦ, τὴν ἐκλογὴν ὑμῶν, ⁵ ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη 5
πρὸς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν πνεύματι
ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν
ὑμῖν δι' ὑμᾶς· ⁶ καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ κυρίου, 6
δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς πνεύματος ἁγίου,
⁷ ὥστε γενέσθαι ὑμᾶς τύπον πᾶσιν τοῖς πιστεύουσιν ἐν τῇ Μακε- 7
δονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ. ⁸ ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ κυ- 8
ρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλ' ἐν παντὶ τόπῳ
ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἔχειν
ἡμᾶς λαλεῖν τι· ⁹ αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν, ὁποίαν εἴσ- 9
οδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν θεὸν ἀπὸ
τῶν εἰδώλων, δουλεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ ¹⁰ καὶ ἀναμένειν 10
τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰη-
σοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

## II.

Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, 1
ὅτι οὐ κενὴ γέγονεν· ² ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς 2
οἴδατε, ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν λαλῆσαι
πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν πολλῷ ἀγῶνι. ³ ἡ γὰρ παρά- 3

2. Rc. Kn. Sz. *μνείαν ὑμῶν*.. [om. c. AB al. Har**]
3. Om. *τ. ἐλπ.* A Ambrst. (text.); etiam *καὶ τ. ἐλπ.* leg.
4. Hab. *τοῦ θεοῦ* AC al. m. Sah. Basm. Thphyl. ed.
5. Rc. Kn. Sz. pro *πρός* [c. ACDEFG al. pm. Chrs. ed. Thphyl. ed.] h. *εἰς*. — om. *ἐν* ante *ὑμῖν* AC al. Vg. ms. Am.
7. Rc. Kn. Sz. *τύπους*. [-*πον* c. BD* al. m.; vv. pl. .. h. *τύπος* D**E al.] — Rc. Kn. (Sz. per err. om.) om. *ἐν* post *καί*. [scr. c. ABCDE FGI etc.]
8. Sz. Ln. *καὶ ἐν τῇ Ἀχ.* c. CDFG al. pl.; Syr. Vg. It. Sl. ms. Cyr. al. — Rc. Kn. Sz. *ἀλλὰ καί*. [om. c. ABD*FG al. pm.; vv. pm.]
9. Hab. *περὶ ὑμῶν* 44. al. pl. d. e. al. Thdret. Oec. — Rc. *ἔχομεν* et v. 10. *ἐκ νεκρῶν*.

Cap. II. 2. Rc. *ἀλλὰ καί*.

κλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας οὐδὲ ἐν δόλῳ,
4 [4] ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγ-
γέλιον, οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ θεῷ
5 τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. [5] οὔτε γάρ ποτε ἐν λόγῳ κολα-
κείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας,
6 θεὸς μάρτυς· [6] οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν
οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι·
7 [7] ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τροφὸς θάλπῃ
8 τὰ ἑαυτῆς τέκνα, [8] οὕτως ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι
ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυ-
9 χάς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε. [9] μνημονεύετε γάρ, ἀδελφοί, 2 Thess. 3, 8.
τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι
πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέ-
10 λιον τοῦ θεοῦ. [10] ὑμεῖς μάρτυρες καὶ ὁ θεός, ὡς ὁσίως καὶ δι-
11 καίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, [11] καθάπερ
οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πατὴρ τέκνα ἑαυτοῦ παρακαλοῦν-
12 τες ὑμᾶς καὶ παραμυθούμενοι [12] καὶ μαρτυρούμενοι, εἰς τὸ περι- Col. 1. 10.
πατεῖν ὑμᾶς ἀξίως τοῦ θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ
βασιλείαν καὶ δόξαν.
13 Καὶ διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ θεῷ ἀδιαλείπτως,
ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ θεοῦ ἐδέξασθε οὐ
λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγον θεοῦ, ὃς καὶ
14 ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. [14] ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε,
ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν
Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων

---

3. Rc. Kn. Sz. οὔτε ἐν. [οὐδέ c. ABCD*FG al.]
4. Rc. Kn. Sz. et Ln. (—) τῷ θεῷ... om. c. BCD* al. Clem. Bas. Oec.
7. Ln. νήπιοι c. BCD*FG al. m. Vg. It. al. Clem. ms. Or. (1. et quidem dis.) Cyr. Damsc. (Thphyl. utrque explic.) Or. int. Ambrst. al.
8. Rc. ἱμειρόμενοι. [ctra ABCDEFGI etc.] — Rc. Kn. γεγένησθε. [ἐγεν. c. ABCDE (γενόμενοι E* ap. Mill.; al.) FGI etc.]
9. Rc. νυκτὸς γάρ.
12. Om. καὶ μαρτ. A 114. Sah. Basm. Ambrst. ed... h. κ. μαρτυρόμενοι D**E al. pl. Chrs. al. — Rc. Kn. περιπατῆσαι. — h. καλέσαντος A al. m.; vv. m.; Chrs. (text.) al.
13. Rc. Kn. Sz. ab iuit. om. καί. [scr. c. AB Ambrst.]
14. Rc. ὅτι ταὐτά.

συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων [15]τῶν καὶ τὸν 15
κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς προφήτας, καὶ ἡμᾶς ἐκδιω-
ξάντων καὶ θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναντίων,
[16]κωλυόντων ἡμᾶς τοῖς ἔθνεσιν λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀνα- 16
πληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθακεν δὲ ἐπ' αὐτοὺς
ἡ ὀργὴ εἰς τέλος.
Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν 17
ὥρας, προσώπῳ οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσ-
ωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. [18]διότι ἠθελήσαμεν ἐλθεῖν 18
πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ καὶ δίς· καὶ ἐνέκοψεν
ἡμᾶς ὁ σατανᾶς. [19]τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυ- 19
χήσεως, ἢ οὐχὶ καὶ ὑμεῖς, ἔμπροσθεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν
τῇ αὐτοῦ παρουσίᾳ; [20]ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά. 20

## III.

Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις 1
μόνοι, [2]καὶ ἐπέμψαμεν Τιμόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ συνεργὸν 2
ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρα-
καλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν [3]τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλί- 3
ψεσιν ταύταις. αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα· [4]καὶ γὰρ 4
ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι,
καθὼς καὶ ἐγένετο καὶ οἴδατε. [5]διὰ τοῦτο κἀγὼ μηκέτι στέγων 5
ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μήπως ἐπείρασεν ὑμᾶς ὁ
πειράζων καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. [6]Ἄρτι δὲ ἐλθόντος 6
Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πί-

---

15. Rc. ἰδίους προφ.

16. Rc. Kn. Sz. ἔφθασε. [-κεν c. BD (ap. Mill.; per err. vdtr ap. Wtst. ἔφθανεν.) .. ἔφθασεν Or.]

18. Rc. Kn. Sz. διό. — 19. Rc. Sz. et Kn. (—) Ἰ. Χριστοῦ.

Cap. III. 2. καὶ συνεργόν c. B Arm. Pel. (comm.; vdtr.) .. add. τοῦ θεοῦ D* d. e. Ambrst. .. h. κ. διάκονον Har.* .. h. κ. διάκ. τοῦ θεοῦ A al. Vg. al. Bas. Pel. (text.) .. h. διάκονον κ. συνεργ. τοῦ θεοῦ FG g. .. h. καὶ διάκ. κ. συν. τ. θεοῦ E 17. .. h. διάκ. τ. θεοῦ κ. συνεργ. ἡμῶν Syr. ed. Erp. .. al. aliter. .. Rc. Kn. καὶ διάκονον τοῦ θεοῦ καὶ συνεργὸν ἡμῶν. .. Sz. κ. διάκ. τοῦ θεοῦ. .. Ln. κ. συνεργ. τοῦ θεοῦ. — Rc. Kn. Sz. παρακαλ. ὑμᾶς περὶ τῆς.

3. Rc. Kn. Sz. τῷ μηδένα. [τό c. ADE al. pl. Bas. Oec. .. h. τοῦ 67. al. .. h. ἵνα (et pergt: μηδεν ασι ενεσθαι) FG.]

στιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν
7 πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς· [7] διὰ
τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ ἀνάγκῃ καὶ
8 θλίψει ἡμῶν διὰ τῆς ὑμῶν πίστεως, [8] ὅτι νῦν ζῶμεν ἐὰν ὑμεῖς
9 στήκητε ἐν κυρίῳ. [9] τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ θεῷ ἀντ-
αποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμ-
10 προσθεν τοῦ θεοῦ ἡμῶν, [10] νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ
δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτίσαι τὰ ὑστερή-
11 ματα τῆς πίστεως ὑμῶν. [11] Αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ ἡμῶν καὶ
ὁ κύριος ἡμῶν Ἰησοῦς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·
12 [12] ὑμᾶς δὲ ὁ κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλή-
13 λους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, [13] εἰς τὸ στη-
ρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ
καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ μετὰ
πάντων τῶν ἁγίων αὐτοῦ.

## IV.

1 Λοιπόν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν κυ-
ρίῳ Ἰησοῦ, ἵνα καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς
περιπατεῖν καὶ ἀρέσκειν θεῷ, καθὼς καὶ περιπατεῖτε, ἵνα περισ-
2 σεύητε μᾶλλον. [2] οἴδατε γάρ, τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν
3 διὰ τοῦ κυρίου Ἰησοῦ. [3] τοῦτο γάρ ἐστιν θέλημα τοῦ θεοῦ, ὁ
4 ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, [4] εἰδέναι ἕκα-
5 στον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, [5] μὴ
ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεόν,

---

7. Hab. παρακεκλήμεθα A al. — h. θλίψ. ὑμῶν A (add. καί) Cpt. Arm.
8. Hab. στήκετε AG al. Vg. g.
11. Rc. Kn. Sz. Ἰησ. Χριστός et v. 13. Ἰ. Χριστοῦ. [Kn. (—)].
12. Om. ὁ κύρ. Syr... h. ὁ θεός A al... ὁ κύρ. Ἰησ. D*EFG It.
13. Hab. ἀμέμπτως B 47. — Ln. in f. add. (ἀμήν.) c. ADE al. Vg. d. e. al. Pel.
Cap. IV. 1. Rc. τὸ λοιπ. et Rc. Kn. Sz. Ln. add. οὖν... om. c. B* al. m. Chrs. Thphyl... h. δέ d. e. — Rc. Kn. Sz. om. ἵνα post Ἰησ. [scr. c. BD*EFG al. m. Arm. Vg. It. Ambrst.] et om. καθ. κ. περιπατ. [scr. c. ABDEFG al. m.; vv. m.; Ambrst.] — h. περισσεύσητε B.
3. Ln. (τὸ) θέλ. c. AFG (om. τοῦ DG) Clem. Antioch. — pro τῆς h. πάσης F (add. τῆς F) al. Syr. Erp. Chrs. al.
4. Hab. ἕνα ἕκαστ. B al. Chrs... h. ἕκαστος AG.

6 τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν 6
αὐτοῦ, διότι ἔκδικος κύριος περὶ πάντων τούτων, καθὼς καὶ προ-
είπαμεν ὑμῖν καὶ διεμαρτυράμεθα. 7 οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς 7
ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. 8 τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄν- 8
θρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεὸν τὸν διδόντα τὸ πνεῦμα αὐτοῦ τὸ
ἅγιον εἰς ὑμᾶς.

1 Thss. 5, 1. Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν· 9
αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους· 10 καὶ 10
γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακε-
δονίᾳ. παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον 11 καὶ 11
φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς
χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν, 12 ἵνα περιπατῆτε εὐ- 12
σχημόνως πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε.

Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κοιμωμένων, 13
ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. 14 εἰ 14
γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς
τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. 15 τοῦτο γὰρ ὑμῖν 15
λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς
1 Cor. 15, 52. τὴν παρουσίαν τοῦ κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, 16 ὅτι 16
αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι
θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστή-
σονται πρῶτον, 17 ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα 17
σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς
ἀέρα· καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. 18 ὥστε παρακαλεῖτε 18
ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

---

6. Hab. ἐν τῳ Arm. — Rc. Kn. Sz. ὁ κύρ. [om. c. ABD* 17.] — Kn. Sz. προείπομεν.

8. Rc. Kn. Sz. τὸν καὶ δόντα. — Rc. εἰς ἡμᾶς.

9. Rc. Kn. Sz. ἔχετε. [ἔχομ. c. B (h. εἴχομεν ap. Btlj.) D*FG al. m. Vg. It. Chrs. al.; tum etiam γράφεσθαι leg.]

10. Hab. καὶ εἰς B. — Ln. om. τοὺς ante ἐν c. AD*FG.

11. Rc. Sz. et Kn. (—) ταῖς ἰδίαις.

13. Rc. οὐ θέλω. — Rc. Kn. Sz. κεκοιμημένων. [κοιμωμ. c. AB al. Or. Chrs. ms. (alic.) Damsc.] — h. λυπεῖσθε AD*G.

17. Hab. πάντες σὺν D* d. e.

# V.

1 *Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν*
2 *ἔχετε ὑμῖν γράφεσθαι·* [2] *αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡμέρα κυ-* 2 Pet. 3, 10.
3 *ρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται.* [3] *ὅταν λέγωσιν· Εἰρήνη*
*καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος ὥσπερ ἡ*
4 *ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.* [4] *Ὑμεῖς δέ, ἀδελ-*
*φοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ὑμᾶς ἡ ἡμέρα ὡς κλέπτης καταλάβῃ·*
5 [5] *πάντες γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. οὐκ ἐσμὲν νυ-*
6 *κτὸς οὐδὲ σκότους.* [6] *ἄρα οὖν μὴ καθεύδωμεν ὡς οἱ λοιποί, ἀλλὰ*
7 *γρηγορῶμεν καὶ νήφωμεν.* [7] *οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδου-*
8 *σιν, καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν·* [8] *ἡμεῖς δὲ ἡμέρας ὄν-*
*τες νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περι-* Eph. 6, 17.
9 *κεφαλαίαν ἐλπίδα σωτηρίας,* [9] *ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ θεὸς εἰς ὀρ-*
*γήν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ*
10 *Χριστοῦ,* [10] *τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν*
11 *εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ ζήσωμεν.* [11] *διὸ παρακαλεῖτε ἀλ-*
*λήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.*
12 *Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν*
13 *καὶ προϊσταμένους ὑμῶν ἐν κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς,* [13] *καὶ*
*ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσῶς ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν.*
14 *εἰρηνεύετε ἐν ἑαυτοῖς.* [14] *παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νου-*
*θετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε*
15 *τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.* [15] *ὁρᾶτε μή τις κακὸν*
*ἀντὶ κακοῦ τινὶ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε εἰς ἀλλή-*
16 17 *λους καὶ εἰς πάντας.* [16] *πάντοτε χαίρετε,* [17] *ἀδιαλείπτως προσ-* Phil. 4, 4.
18 *εὔχεσθε,* [18] *ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα θεοῦ ἐν Χρι-*
19 20 *στῷ Ἰησοῦ εἰς ὑμᾶς.* [19] *τὸ πνεῦμα μὴ σβέννυτε,* [20] *προφητείας*

---

Cap. V. 2. Rc. Kn. Sz. *ἡ ἡμέρ.* [om. c. BDEFG al.]
3. Rc. *ὅταν γάρ* et Ln. *ὅτ.* (*δέ*).
4. Ln. *κλέπτας* c. AB Cpt. — 5. Rc. om. *γάρ*.
6. Rc. Kn. Sz. *ὡς καί.* [om. c. AB al.; vv. m.; Clem. (2.) Antioch.]
9. Om. *Χρ.* B. et 10. h. *περὶ ἡμ.* B al.
13. Rc. Kn. Sz. *ὑπερεκπερισσοῦ.* [-*σῶς* c. BD*FG al.] — h. *ἐν αὐτοῖς* D*EG al. pl.; vv. m.; Chrs. al. (non Clem.)
15. Rc. Kn. *καὶ εἰς ἀλλήλ.*
18. Ln. *γάρ ἐστιν* c. ADEFG al. Vg. It. Sl. Ambrst. (sed var. ponitur.)

μὴ ἐξουθενεῖτε. [21] πάντα δὲ δοκιμάζετε· τὸ καλὸν κατέχετε, [22] ἀπὸ 21 22
παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. [23] Αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης 23
ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ
καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ τηρηθείη. [24] πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει. 24
Rom. 16, 16 etc. Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. [26] ἀσπάσασθε τοὺς ἀδελ- 25 26
φοὺς πάντας ἐν φιλήματι ἁγίῳ. [27] ἐνορκίζω ὑμᾶς τὸν κύριον, ἀνα- 27
γνωσθῆναι τὴν ἐπιστολὴν πᾶσιν τοῖς ἀδελφοῖς.
Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. 28

## ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων 1
ἐν θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ Ἰησοῦ Χριστῷ. [2] χάρις ὑμῖν καὶ εἰ- 2
ρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, 3
καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει
ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους, [4] ὥστε ἡμᾶς 4
αὐτοὺς ἐν ὑμῖν ἐγκαυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ ὑπὲρ τῆς
ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς
θλίψεσιν αἷς ἀνέχεσθε, [5] ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ, 5

---

21. Rc. post πάντ. om. δέ. — h. δοκιμάζοντες 1. al. pl. Sl. Bas. Cyr. al. et h. καὶ τό 20. al. m. Syr. Clem. (2.) Oec.
25. Ln. (καὶ) περί c. BD* al. Arm. d. e. Chrs.
27. Rc. Kn. Sz. ὁρκίζω et τ. ἁγίοις ἀδελφ.
28. Rc. et Kn. (—) add. in f. ἀμήν.
*) Rc. et Kn. (—) subscr. h. Πρὸς Θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ Ἀθηνῶν c. ABI etc. .. h. scribens a Ladicia d.** Syr. p... h. tantum πρ. Θεσσ. πρ. DFG.
Cap. I. 2. Rc. Kn. Sz. et Ln. (—) πατρ. ἡμῶν .. om. c. BDE al. d. e. Thphyl. al.
4. Rc. Kn. Sz. καυχᾶσθ. [ἐγκαυχ. c. AB al. .. h. καυχήσασθαι FG.] — h. ἐνέχεσθε B.

εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ ὑπὲρ ἧς καὶ
6 πάσχετε· [6] εἴπερ δίκαιον παρὰ θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν
7 ὑμᾶς θλῖψιν [7] καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν τῇ
ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως
8 αὐτοῦ [8] ἐν φλογὶ πυρός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσιν θεὸν Act. 7. 30.
καὶ τοῖς μὴ ὑπακούουσιν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ,
9 [9] οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ κυρίου
10 καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, [10] ὅταν ἔλθῃ ἐνδοξασθῆναι
ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς πιστεύσασιν,
ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
11 [11] Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ
τῆς κλήσεως ὁ θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθω-
12 σύνης καὶ ἔργον πίστεως ἐν δυνάμει, [12] ὅπως ἐνδοξασθῇ τὸ ὄνομα
τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν ὑμῖν καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν
τοῦ θεοῦ ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

## II.

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου
2 ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν, [2] εἰς τὸ
μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μηδὲ θροεῖσθαι, μήτε
διὰ πνεύματος μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν,
3 ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ κυρίου. [3] μή τις ὑμᾶς ἐξαπατήσῃ
κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ

---

8. Rc. Kn. *ἐν πυρὶ φλογός.* [ctra B D* E F G al. Syr. utr. Vg. It. al. Sen. ap. Ir. Mac. Thdret. (comm.) Thphyl. (comm.) al.] — Rc. Sz. et Kn. Ln. (—) *Ἰησ. Χριστοῦ.* .. om. c. B Dgr. Egr. I al. pl. Syr. p. Cpt. al. Thdret. al.

9. Ln. *ὀλέθριον* c. A al. Sl. ms. Ephr. Chrs. ms. Tert.; h. *interitus* (genit.) s. *in interitu* s. *in interitum* Vg. It. Ir. Ambrst. Pel.

10. Hab. *ἐνθαυμασθῆναι* D* F G et *θαυμαστωθῆναι* 113. — Rc. *τοῖς πιστεύουσιν.* — h. *ἐπιστώθη* 31. (s. XI.) Hesych.

11. Hab. *καὶ περί* D* gr. al. — om. *ἡμῶν* D* al. d. e. Vig. .. h. *ὑμῶν* D** E gr. al. Syr. al. .. *ὑμῶν ὁ θ. ἡμῶν* F G Arm. g.

12. Rc. Sz. et Kn. Ln. (—) *Ἰ. Χριστοῦ ἐν* ... om. c. B D E al. pl. d. e. al. Thdret. ms. Oec.

Cap. II. 2. Rc. Kn. Sz. *μήτε θρ.* [*μηδέ* c. A B D (ita etiam post *πν.* D) F G (ita quater F G.)] — Rc. pro *κυρ.* h. *Χριστοῦ.*

ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,
4 ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ 4
σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα
ἑαυτὸν ὅτι ἔστιν θεός. 5 Οὐ μνημονεύετε, ὅτι ἔτι ὢν πρὸς ὑμᾶς 5
ταῦτα ἔλεγον ὑμῖν; 6 καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυ- 6
φθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. 7 τὸ γὰρ μυστήριον ἤδη ἐν- 7
εργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται·
* Es. 11, 4. 8 καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ 8
τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς
παρουσίας αὐτοῦ, 9 οὗ ἐστὶν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ 9
ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν ψεύδους 10 καὶ ἐν πάσῃ 10
ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀλη-
θείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς. 11 καὶ διὰ τοῦτο πέμ- 11
πει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ
ψεύδει, 12 ἵνα κριθῶσιν ἅπαντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ 12
ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ.
Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν, 13
ἀδελφοὶ ἠγαπημένοι ὑπὸ κυρίου, ὅτι εἵλατο ὑμᾶς ὁ θεὸς ἀπαρχὴν
εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει ἀληθείας, 14 εἰς ὃ 14
ἐκάλεσεν ὑμᾶς, διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 15 ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ 15
κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου εἴτε δι'

---

3. Pro ἁμαρτ. h. ἀνομίας B al. pm. Cpt. al. Or. (utrq. hab.) al. gr. et Tert.
4. Rc. Kn. ὡς θεὸν καθίσ. — h. ἀποδεικνύοντα AFG al. m. Or. (1.) al.
6. Hab. αὐτοῦ καιρῷ A al. m. Or. (2.) Cyr. hr.
8. Rc. om. Ἰησ. — Rc. Kn. Sz. ἀναλώσει. [ἀνελ. c. ABD*F (h. ἀνέλοι G 67.** et ἀναλοῖ Or. 2.) al. m. Or. Hipp. al. pm.; interficiet Vg. It. PP. lat.]
10. Rc. Kn. Sz. τῆς ἀδικ. [om. c. ABFG al. Or. (6.) Cyr. hr.] — Rc. Kn. ἐν τοῖς.
11. Om. καί D* al.; vv. m.; Chrs. al. — Rc. Kn. πέμψει.
12. ἅπαντ. c. AFG al. Or. al. . . Rc. Kn. Sz. Ln. πάντ. — Rc. Kn. Sz. et Ln. (—) εὐδοκ. ἐν. . . om. c. BD*FG al. pl. Sah. Vg. It. Or. (2; ἐν 2.) Hipp. al. pm.
13. Rc. Kn. Sz. εἵλετο. — Rc. Kn. Sz. ἀπ' ἀρχῆς. [ἀπαρχήν c. (A hiat) BFG gr. al. Vg. Did. Damsc. al.]
14. Ln. ἡμᾶς c. ABD* al.

16 ἐπιστολῆς ἡμῶν· 16 αὐτὸς δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ
ὁ θεὸς καὶ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν
17 αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, 17 παρακαλέσαι ὑμῶν τὰς
καρδίας καὶ στηρίξαι ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ.

## III.

1 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος
2 τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς, 2 καὶ ἵνα
ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάν-
3 των ἡ πίστις. 3 πιστὸς δέ ἐστιν ὁ κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυ-
4 λάξει ἀπὸ τοῦ πονηροῦ. 4 πεποίθαμεν δὲ ἐν κυρίῳ ἐφ' ὑμᾶς, ὅτι
5 ἃ παραγγέλλομεν καὶ ποιεῖτε καὶ ποιήσετε. 5 ὁ δὲ κύριος κατευθύ-
ναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ καὶ εἰς τὴν ὑπο-
μονὴν τοῦ Χριστοῦ.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ κυρίου Ἰη-
σοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περι-
πατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρελάβοσαν παρ' ἡμῶν.
7 7 αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν
8 ἐν ὑμῖν 8 οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ
καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί 1 Thess. 2, 9.
9 τινα ὑμῶν· 9 οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον
10 δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. 10 καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς,

---

16. Ln. Ἰησ. ὁ Χρ. [c. A. .. h. Χρ. Ἰησ. B. .. plane om. 45.] καὶ (ὁ) θ. ὁ πατ. .. om. ὁ ante θ. BDF al. et pro καὶ πατ. h. ὁ πατ. BD gr. FG al. Syr. Erp. Vg. ms. g. Ambrst. ed. al. .. al. aliter.

17. Rc. et Kn. (—) στηρίξ. ὑμᾶς.

Cap. III. 3. Ln. ὁ θεός c. AD*G al. Vg. It. Ambrst. al. — h. ὃς καί A al. Arm. — h. στηρίσει B. .. τηρήσει FG gr.

4. Rc. Kn. Sz. παραγγ. ὑμῖν. .. om. c. BD* al. Vg. d. e. Chrs. (comm.) Ambrst. al. .. Ln. παρ. (ὑμῖν καὶ ἐποιήσατε καί) ποιεῖτε etc. .. om. καί ante ποιεῖτε AD*E d. e. .. add. καὶ ἐποιήσατε BFG g. (sed om. κ. ποιήσετε FG g. al.)

5. Rc. om. τήν ante ὑπομ.

6. Rc. Kn. Sz. et Ln. (—) κυρ. ἡμῶν. .. om. c. BD*E d. e. Cypr. (1.) — παρελάβοσ. c. AD* (h. ἐλάβ.) Bas. .. Kn. Sz. παρέλαβον c. D**E1 al. pl.; vv. m.; Bas. (alic.) al. pl. .. Ln. παρελάβετε c. BFG al. Cpt. Arm. Anton. al. .. Rc. παρέλαβε.

8. Ln. νυκτὸς κ. ἡμέρας c. BFG al. Chrs. ms.

τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ
ἐσθιέτω. [11] ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, 11
μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους· [12] τοῖς δὲ τοιούτοις 12
παραγγέλλομεν καὶ παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, ἵνα
μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. [13] ὑμεῖς δέ, 13
ἀδελφοί, μὴ ἐγκακήσητε καλοποιοῦντες. [14] εἰ δέ τις οὐχ ὑπακούει 14
τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ. [15] καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ 15
νουθετεῖτε ὡς ἀδελφόν. [16] αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δῴη 16
ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τόπῳ. ὁ κύριος μετὰ πάντων ὑμῶν.
Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστιν σημεῖον ἐν πάσῃ 17
ἐπιστολῇ· οὕτως γράφω. [18] ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι- 18
στοῦ μετὰ πάντων ὑμῶν.

## ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α.

Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ᾽ ἐπιταγὴν θεοῦ σωτῆρος 1
ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τῆς ἐλπίδος ἡμῶν, [2] Τιμοθέῳ γνησίῳ 2

---

12. Rc. Kn. Sz. διὰ τοῦ κυρίου Ἰ. Χριστοῦ. [ἐν etc. c. ABD*FG al.; vv. m.; Damsc. al.]
13. Rc. Kn. Sz. ἐκκακ. [ἐγκακ. c. ABD* al.]
14. Om. τῆς FG. — Rc. Kn. Sz. καὶ [om. c. ABD* al. Chrs. d. e. Tert.] μὴ συναναμίγνυσθε. [-σθαι c. ABD (h. -μίσγεσθαι) et (ut vdtr) d. e. Tert.]
16. Om. τήν A 67.** — Rc. Kn. Sz. τρόπῳ. [τόπῳ c. A*D*FG al. Vg. It. Chrs. Thphyl. Ambrst.]
18. Rc. Sz. Ln. et Kn. (—) in f. add. ἀμήν... om. c. B. 17. 67.** al. cdd. lat. Ambrst. ed.
*) Rc. et Kn. (—) subscr. h. Πρὸς Θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ Ἀθηνῶν c. ABI al. pl. .. om. ἀπ. Ἀθ. DE. .. add. ἀπ. Ἀθ. Cpt. .. add. ἀπ. Ῥώμης 6. al. Sl. ms. Oec. et ἀπ. Λαοδικείας τῆς Πισιδίας διὰ Τυχίκου (pro δ. Τυχ. al. alia) Syr.
Cap. I. 1. Hab. ἀπ. Χρ. Ἰησ. G g. Syr. p. et (nisi errat Wtst.) D gr. E gr. F. — Rc. καὶ (om. καί 17. al. Aeth.; ante σωτῆρ. pon. al.) κυρίου Ἰησ. Χρ. τῆς.

τέκνῳ ἐν πίστει. χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος
4 εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶν μὴ ἑτεροδιδασκαλεῖν [4] μηδὲ
προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις
5 παρέχουσιν μᾶλλον ἢ οἰκονομίαν θεοῦ τὴν ἐν πίστει· [5] τὸ δὲ τέλος
τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως
6 ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου, [6] ὧν τινὲς ἀστοχήσαντες ἐξετρά-
7 πησαν εἰς ματαιολογίαν, [7] θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νο-
8 οῦντες μήτε ἃ λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦνται. [8] οἴδαμεν Rom. 7. 12. 14.
9 δέ, ὅτι καλὸς ὁ νόμος ἐάν τις αὐτῷ νομίμως χρήσηται, [9] εἰδὼς
τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις,
ἀσεβέσιν καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατρολῴαις καὶ
10 μητρολῴαις, ἀνδροφόνοις, [10] πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδι-
σταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδα-
11 σκαλίᾳ ἀντίκειται, [11] κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου
12 θεοῦ, ὃ ἐπιστεύθην ἐγώ. [12] χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χρι-
στῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς
13 διακονίαν, [13] τὸ πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβρι-
14 στήν· ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, [14] ὑπερ-
επλεόνασεν δὲ ἡ χάρις τοῦ κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης
15 τῆς ἐν Χριστῷ Ἰησοῦ. [15] πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς 1 Tim. 4, 9.
ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶ-
16 σαι, ὧν πρῶτός εἰμι ἐγώ· [16] ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ

---

2. Rc. Kn. Sz. πατρ. ἡμῶν. — 3. om. καθὼς Syr. Erp.

4. Rc. οἰκοδομίαν. [sic cd. nullus. .. h. οἰκοδομὴν D* Ir. gr. ap. Epiph. aedificationem Syr. Vg. d. g. al. Ir. int. Hil. al.]

5. Om. ἀγαθ. FG gr.

8. Rc. Kn. Sz. χρῆται. [χρήσ. c. A 73. Clem.]

9. Rc. Kn. Sz. πατραλῴαις κ. μητραλ. [ctra ADFG al. pm. .. h. πατραλοίαις κ. μητραλοίαις 44. al.]

11. Hab. τῇ κατά D* Arm. Vg. d. Bas. Lcif. al.

12. Rc. Kn. Sz. καὶ χάρ. [om. c. AFG al. m. Vg. g. al. Chrs. Thdret. al.] — h. ἐν Χρ. D* 3. d. g. Har.* al.

13. Rc. Kn. Sz. τὸν πρότ. [τό c. AD*FG al. m. Dial. c. Mc.] — Ln. ὄντα με c. A 73.

πρώτῳ ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον.
Rom. 16, 27. Jud. 25. [17] τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ θεῷ, τιμὴ 17
καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, 18
κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς
τὴν καλὴν στρατείαν, [19] ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν 19
1 Cor. 5. 5. τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν· [20] ὧν ἐστιν Ὑμέ- 20
2 Tim. 2, 17. ναιος καὶ Ἀλέξανδρος, οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα παιδευθῶ-
σιν μὴ βλασφημεῖν.

## II.

Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, 1
ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, [2] ὑπὲρ βασιλέων 2
καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον
διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. [3] τοῦτο γὰρ καλὸν καὶ 3
ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ, [4] ὃς πάντας ἀνθρώ- 4
Gal. 3, 20. πους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. [5] εἷς γὰρ 5
θεός, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς
Ἰησοῦς, [6] ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον 6
2 Tim. 1, 11. καιροῖς ἰδίοις, [7] εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος, — ἀλή- 7
θειαν λέγω, οὐ ψεύδομαι· — διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ
ἀληθείᾳ. [8] Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ 8
ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν· [9] ὡσαύτως 9
καὶ γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης

---

16. Om. πρώτῳ D* Aeth. d. Ambrst. .. h. πρῶτον 37. al. pm. Cpt. al. Thdret. — Rc. Kn. Sz. Ἰ. Χρ. .. om. Χρ. FG.

17. Rc. μόνῳ, σοφῷ.

Cap. II. 1. Hab. παρακάλει D*FG Sah. d. g. Hil. al. (-καλῶ Or. 3.) — om. πάντ. FG g. Or. (1.)

3. Ln. om. γὰρ c. A 17. 67.** al. Cpt. Sah.

6. Om. τὸ μαρτύρ. A... h. οὗ τὸ μαρτ. καιρ. ἰδ. ἐδόθη D*FG d. g. Har.*

7. Hab. ἐν ᾧ ἐτέθην FG... ὃ ἐπιστεύθην A. — Rc. λέγω ἐν Χριστῷ.

8. διαλογισμῶν c. FG 17. 67.** al. m. Syr. utr. g. Or. (4; -μοῦ 3.) Eus. Mac. Bas. Thdret. Damsc. Hier... Rc. Kn. Sz. Ln. διαλογισμοῦ.

9. Rc. Kn. Sz. τὰς γυν. [om. c. AD*FG al. Clem. Or. (2.)]. .. Ln. om. etiam καί c. A al. et (h. γυν. ὡσαύτ.) Clem. Or. (1.) — h. κοσμίως D* FG gr. al. Or. (2; non Clem.); etiam κοσμίᾳ et τιμίᾳ leg.

κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν καὶ χρυσίῳ ἢ μαργαρίταις ἢ ἱμα-
10 τισμῷ πολυτελεῖ, [10] ἀλλ᾽ ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεο-
11 σέβειαν, δι᾽ ἔργων ἀγαθῶν. [11] Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ
12 ὑποταγῇ· [12] διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν
13 ἀνδρός, ἀλλὰ εἶναι ἐν ἡσυχίᾳ. [13] Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, * Gn. 2, 7. 22.
14 εἶτα Εὔα. [14] καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα * Gn. 3, 6.
15 ἐν παραβάσει γέγονεν, [15] σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν
μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

## III.

1 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπι-
2 θυμεῖ. [2] δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς Tit. 1, 6. 7.
3 ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, [3] μὴ
4 πάροινον, μὴ πλήκτην, ἀλλ᾽ ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, [4] τοῦ
ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ
5 πάσης σεμνότητος, — [5] εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ
6 οἶδεν, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; — [6] μὴ νεόφυτον, ἵνα
7 μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου. [7] δεῖ δὲ καὶ μαρτυ-
ρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ
8 καὶ παγίδα τοῦ διαβόλου. [8] Διακόνους ὡσαύτως σεμνούς, μὴ δι-
9 λόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, [9] ἔχοντας
10 τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. [10] καὶ οὗτοι δὲ
δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.
11 [11] γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν Tit. 2, 3.
12 πᾶσιν. [12] διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς
13 προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων. [13] οἱ γὰρ καλῶς διακονήσαντες

---

9. Hab. καταπλέγμ. A. — Rc. Kn. Sz. ἢ χρυσῷ [καί c. AD*FG al. m. Syr. d. Or. (plane om. 73. al.) et χρυσίῳ c. AFG al. m.]

14. Rc. Kn. Sz. ἀπατηθ. [ἐξαπ. c. AD*FG al. m. Bas. Chrs. (utrq.)]

15. Hab. ἐὰν μένῃ Sl. Vg. g.* Hier. (1.) — Sz. per err. om. κ. ἀγάπ.

Cap. III. 2. Rc. νηφάλεον... h. νεφάλαιον G al. m.

3. Rc. Kn. πλήκτ. μὴ αἰσχροκερδῆ. [om. c. ADFG al. pl.; vv. pl.; PP. pm... etiam μὴ πλεονέκτην leg.]

7. Rc. Kn. Sz. δεῖ δὲ αὐτόν. [om. c. AFGH al. Cpt. g.]

10. Hab. κ. αὐτοὶ δέ H 73.

11. Rc. νηφαλέους... h. νηφαλαίους G al. m.

βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ πολλὴν παῤῥησίαν ἐν πί-
στει τῇ ἐν Χριστῷ Ἰησοῦ.
Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ ἐν τάχει· [15] ἐὰν 14
δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥτις 15
ἐστὶν ἐκκλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.
[16] καὶ ὁμολογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον, ὃς 16
ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύ-
χθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

---

14. Om. πρ. σέ F G al. Arm.; etiam ante ἐλθ. pon. — Rc. Kn. Sz. τάχιον. [ἐν τάχ. c. A C D* al.]

15. Hab. δεῖ σε D* Arm. Vg. d. Or. Ambrst.

16. Rc. Kn. Sz. pro ὅς h. θεός... ὅς (ΟC) lectionem haec commendant: I.) ὅς h. A* C* (ὅς lectionem veram cdd. A et C esse, a Woidio aliisq. addubitatam illam quidem, confirmarunt Wtst. et Griesb.) F G gr. 17. (s. XI.) 73. (s. XI.) 181. (s. XIII.) [hiant B E H aliique.] cdd. eorum qui (ut Victor tun., Liberatus, Hincmarus,) Macedonium sub Anastasio imp. ὅς in θεός mutasse referunt; Cpt. Sah. Syr. p. in m. Cyr. alex. (τὸ μέγα τῆς εὐσεβ. μυστήρ. τουτέστιν Χριστός, ὅς ἐφανερώθη etc. et alibi; editiones repugnantibus mss. saepe θεός hab.) Thdr. mopsv. Epiph.; Gelas. cyz. s. Mac. hr. ap. Gelas.; Hier.; Acta concil. cstinop. 2. (citatum e Thdr. mopsv.) II.) h. ὅ D* Vg. It. Hil. Aug. Pel. Ambrst. omnesq. reliq. praeter Hier. modo citatum. III.) s. ὅς s. ὅ hab. Syr. utr. Erp. Aeth. Arm. IV.) certe non θεός legisse videntur: Thdotus (ὁ σωτὴρ ὤφθη κατιὼν τοῖς ἀγγέλοις.), Just. ad Diogn. (ἀπέστειλεν λόγον, ἵνα κόσμῳ φανῇ, ὃς διὰ ἀποστόλων κηρυχθεὶς ὑπὸ ἐθνῶν ἐπιστεύθη.) Clem. ap. Oec. (μυστήριον μεθ' ἡμῶν εἶδον οἱ ἄγγελοι τὸν Χριστόν.) Or. (Ἰησοῦς ἐν δόξῃ ἀναλαμβάνεσθαι λέγεται.) et Or. int. Rufino (*Is qui Verbum caro factus apparuit positis* (al. *positus*) *in carne*, *sicut apostolus dicit*, *quia manifestatus est in carne*, *justificatus* etc.), Gr. nyss. (τὸ μυστήριον ἐν σαρκὶ ἐφανερώθη· καλῶς τοῦτο λέγων, οὗτος ὁ ἡμέτερος λόγος.) Bas. (τοῦ μεγάλου μυστηρίου ὅτι ὁ κύριος ἐφανερώθη ἐν σαρκί.) Nestor. ap. Arnob. jun. (τὸ ἐν τῇ Μαρίᾳ γεννηθὲν etc. ἐφανερώθη γάρ, φησίν, ἐν σαρκί, ἐδικαιώθη ἐν πν.) Sermo inter Opp. Chrs. (ὁμολογουμένως μέγα ἐστὶν τὸ τ. εὐσεβ. μυστήριον· ὤφθη ἀγγέλοις, ἐπιστεύθη ἐν κόσμῳ.).... θεός (ΘC) h. I et cdd. reliqui lit. minusculis scr. praeter tres supra allatos fere omnes; Lectt.; Ar. p. Sl. ms. Chrs. Thdret. Did. Euthal. Maced. Damsc. Oec. Thphyl. Praetereaque huic lectioni favere putant: Ign. (ad Eph. θεοῦ ἀνθρωπίνως φανερουμένου.) Cstitt. apost. (θεὸς κύριε ὁ ἐπιφανεὶς ἡμῖν ἐν σαρκί.) Hippol. (θεὸς ἐν σώματι ἐφανερώθη.) Gr. thaum. s. potius Apollin. ap. Phot. (θεὸς ἐν σαρκὶ φανερωθείς.) — h. ὤφθη ἀνθρώποις 5. Clem. ap. Oec.

# IV.

1 Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστή- 2 Tim
σονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασιν πλάνοις καὶ δι- 3, 1.
2 δασκαλίαις δαιμονίων, [2] ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμέ-
3 νων τὴν ἰδίαν συνείδησιν, [3] κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων,
ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ
4 ἐπεγνωκόσιν τὴν ἀλήθειαν, [4] ὅτι πᾶν κτίσμα θεοῦ καλὸν καὶ οὐδὲν
5 ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· [5] ἁγιάζεται γὰρ διὰ
λόγου θεοῦ καὶ ἐντεύξεως.

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Χρι-
στοῦ Ἰησοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς
7 διδασκαλίας ᾗς παρηκολούθηκας· [7] τοὺς δὲ βεβήλους καὶ γραώδεις 2 Tim.
8 μύθους παραιτοῦ. γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν. [8] ἡ γὰρ 3, 10.
σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια
πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν 2 Tim. 1, 1
9 καὶ τῆς μελλούσης. [9] πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος. 1 Tim
10 [10] εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ 1, 15. Col. 1.
θεῷ ζῶντι, ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. 29.

11
12 Παράγγελλε ταῦτα καὶ δίδασκε. [12] μηδείς σου τῆς νεότητος Tit. 2.
καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀνα- 15. Tit. 2.
13 στροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ. [13] ἕως ἔρχομαι, πρόσεχε 7. 1 Tim
14 τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. [14] μὴ ἀμέλει τοῦ 4, 16.
ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως

---

Cap. IV. 1. Hab. *πλάνης* 1. al. pl. Vg. Just. Clem. ms. Or. Ath. al. m. (utrque h. Chrs. ms. Thdret. Aug.) [Cf. 1 Jo. 4, 6.] — om. *καὶ* D* d. Lcif. al.

2. Rc. Kn. Sz. *κεκαυτηριασμ.* [*κεκαυστ.* c. A al. m. Or. ed. Cyr. Thdret. (alicubi.) — om. *ἰδίαν* 41. 46.* Clem. Archel. Ambrst. .. h. *συνείδ. ἑαυτῶν* D*. .. *οἰκείαν συν.* Or. (1.)

3. Hab. *ἀπεχόντων* Erp. Faust. manich.

6. Rc. Kn. Sz. *Ἰησ. Χρ.* et *ἧ*. [*ἧς* c. A 80.] — h. *παρηκολούθησας* CFG.

8. Hab. *ἐπαγγελίας* 31. al. pl. Syr. p. in m. Thdret. ms. Euthal. (non Clem.)

10. Rc. Kn. Sz. *καὶ κοπ.* [om. c. ACD al. Syr. Vg. d. al. Chrs. al.] — Ln. *καὶ ἀγωνιζόμεθα* c. ACFG gr. al. Syr. p. Chrs. ed. (alicubi.)

12. Rc. Kn. post *ἀγάπ.* add. *ἐν πνεύματι*. [om. c. ACDFG al. m.; vv. pl. Clem. al. m.]

τῶν χειρῶν τοῦ πρεσβυτερίου. 15 ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, 15
1 Tim. 4, 13. ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ πᾶσιν. 16 ἔπεχε σεαυτῷ καὶ τῇ δι- 16
δασκαλίᾳ, ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις
καὶ τοὺς ἀκούοντάς σου.

## V.

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεω- 1
τέρους ὡς ἀδελφούς, 2 πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελ- 2
φὰς ἐν πάσῃ ἁγνείᾳ. 3 Χήρας τίμα τὰς ὄντως χήρας. 4 εἰ δέ τις 3 4
χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον
εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστιν
ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ. 5 ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη 5
ἤλπικεν ἐπὶ τὸν θεὸν καὶ προσμένει ταῖς δεήσεσιν καὶ ταῖς προσ-
ευχαῖς νυκτὸς καὶ ἡμέρας· 6 ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. 7 καὶ 6 7
ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν. 8 εἰ δέ τις τῶν ἰδίων 8
καὶ μάλιστα οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου
χείρων. 9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, 9
ἑνὸς ἀνδρὸς γυνή, 10 ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρό- 10
φησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπ-
ήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. 11 νεωτέρας δὲ χή- 11
ρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσουσιν τοῦ Χριστοῦ, γαμεῖν
θέλουσιν, 12 ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· 13 ἅμα 12 13
δὲ καὶ ἀργαὶ μανθάνουσιν περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ
ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα.
14 βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδε- 14
μίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν· 15 ἤδη γὰρ 15
ἐξετράπησάν τινες ὀπίσω τοῦ σατανᾶ. 16 εἴ τις πιστὴ ἔχει χήρας, 16

---

15. Rc. Kn. Sz. ἐν πᾶσ. [om. c. ACDFG al.; vv. pm.; Clem. Chrs. al.]
Cap. V. 4. Rc. καλὸν καὶ ἀπόδεκτ.
8. Rc. Kn. Sz. τῶν οἰκ. [om. c. ADFG.] — h. προνοεῖται D*FG al.
11. Rc. Kn. Sz. καταστρηνιάσωσι. [-σουσιν c. AFG al.]
14. Hab. τὰς νεωτ. D* al. et νεωτ. χήρας 39. al. pl. Sl. Chrs. al.
16. Rc. Kn. Sz. πιστὸς ἢ πιστή. [om. c. ACFG al. Cpt. Vg. ms. Am. Har.* al. Ath. . . om. ἢ πιστή Vg. Ambr. al. . . h. εἴ τις πιστὴν ἔχει χήραν Aeth.; si quis fideles h. viduas g. Vg. ms.]

ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως
χήραις ἐπαρκέσῃ.
17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν,
18 μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. [18] λέγει γὰρ ἡ 1 Cor. 9, 9.
γραφή· Οὐ φιμώσεις βοῦν ἀλοῶντα, καί· Ἄξιος ὁ ἐργάτης τοῦ *Dt. 25, 4. Lc. 10, 7.
19 μισθοῦ αὐτοῦ. [19] κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, Mt. 10, 10.
20 ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. [20] Τοὺς ἁμαρτάνοντας ἐν-
ώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν.
21 Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ καὶ 2 Tim. 4, 1.
τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος,
22 μηδὲν ποιῶν κατὰ πρόσκλισιν. [22] Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει,
23 μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. σεαυτὸν ἁγνὸν τήρει. [23] μη-
κέτι ὑδροπότει, ἀλλὰ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχον καὶ τὰς
24 πυκνάς σου ἀσθενείας. [24] Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί
25 εἰσιν προάγουσαι εἰς κρίσιν, τισὶν δὲ καὶ ἐπακολουθοῦσιν· [25] ὡσ-
αύτως δὲ καὶ τὰ ἔργα τὰ καλὰ πρόδηλα, καὶ τὰ ἄλλως ἔχοντα
κρυβῆναι οὐ δύνανται.

## VI.

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης
τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ δι-
2 δασκαλία βλασφημῆται. [2] οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ κατα-
φρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι
πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.
3 Ταῦτα δίδασκε καὶ παρακάλει. [3] εἴ τις ἑτεροδιδασκαλεῖ καὶ
μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
4 στοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, [4] τετύφωται, μηδὲν ἐπι-

---

16. Lɴ. ἐπαρκείσθω αὐτ. c. AFG (*sufficienter tribuat* g.).
17. Om. ἐν FG gr. — 18. h. οὐ κημώσεις D*.
19. Om. ἐκτός usq. μαρτ. cdd. lat. ap. Hier.; Cypr. Ambrst. al.
20. Lɴ. τοὺς δέ c. AD* d. Thphyl. Ambrst. Hier.; etiam post ἁμαρτ. pon.
21. Rc. καὶ κυρίου Ἰησ. Χρ. — Lɴ. πρόσκλησιν c. AD al. pl. Cpt. Sl. Ath. Chrs. al. (non Clem.) .. h. χάριν 93. (s. X.)
23. Rc. Kɴ. Sz. στόμαχ. σου. [om. c. AD* al. d. Ambrst.]
25. Rc. Kɴ. Sz. om. δέ [scr. c. AFG], b. τὰ καλὰ ἔργ. πρόδ. ἐστι [om. c. A 67.** (sic vdtr, non 67.*) .. h. εἰσίν DFG al.] et in f. δύναται. [ctra AD al. pl. Thdret.]

στάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνε-
ται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί, 5 διαπαρατριβαὶ 5
2 Tim. 3, 8. διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας,
νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. 6 ἔστιν δὲ πορισμὸς μέ- 6
γας ἡ εὐσέβεια μετὰ αὐταρκείας. 7 οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν 7
κόσμον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα· 8 ἔχοντες δὲ διατροφὰς 8
καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. 9 οἱ δὲ βουλόμενοι πλου- 9
τεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς
ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσιν τοὺς ἀνθρώπους εἰς
ὄλεθρον καὶ ἀπώλειαν. 10 ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ 10
φιλαργυρία, ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως
καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

Σὺ δέ, ὦ ἄνθρωπε θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, 11
εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραϋπάθειαν. 12 ἀγωνίζου 12
τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν
ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν
μαρτύρων. 13 παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωογονοῦν- 13
τος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου
Πιλάτου τὴν καλὴν ὁμολογίαν, 14 τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον 14
ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
15 ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασι- 15
λεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, 16 ὁ μόνος 16
ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων
οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον, ἀμήν.

Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, 17

---

Cap. VI. 5. Rc. παραδιατριβαί. .. etiam παρατριβ. et διατριβ. leg. — Rc. Kn. Sz. in f. add. ἀφίστασο ἀπὸ τῶν τοιούτων. [om. c. AD* FG al. Cpt. Sah. Aeth. Vg. It.]

7. Rc. Kn. Sz. δῆλον ὅτι. [om. c. AFG 17. g. Cpt. al. Polyc. (pro ὅτι h. ἀλλά, sic etiam Aug.) .. h. ἀληθές D* Syr. p. in m.]

8. Hab. διατροφήν DFG al. g. Or. — h. ἀρκεσθησώμεθα 30. al. Chrs. ms. Hier. al.

9. Hab. παγίδ. τοῦ διαβόλου D*FG al. Vg. It. Chrs. Antioch. Thdret. al. — h. ἀνονήτους 2. al. Vg. d. g. Chrs. Anton. al.

11. Rc. Kn. Sz. τοῦ θεοῦ. [om. c. A 17.] — Rc. Kn. πραότητα. [πραϋπάθ. c. AFG 71. (Ign.) Petr. alex. al. .. h. πραΰτητα D* al.]

12. Rc. εἰς ἣν καί. — 13. Rc. Kn. Sz. ζωοποιοῦντος.

17. Hab. τοῦ νῦν αἰῶνος DE Syr. Vg. d. e. al. Bas. Hier. al.

μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ παρ-
18 έχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν, [18] ἀγαθοεργεῖν, πλου-
19 τεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, [19] ἀποθη-
σαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβων-
ται τῆς ὄντως ζωῆς.
20 Ὦ Τιμόθεε, τὴν παραθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βε-
21 βήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, [21] ἥν
τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν.
Ἡ χάρις μεθ' ὑμῶν.

## ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β.

1 Παῦλος, ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος θεοῦ κατ'
2 ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ, [2] Τιμοθέῳ ἀγαπητῷ τέκνῳ.
χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυ-
ρίου ἡμῶν.
3 Χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ
συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσε-
4 σίν μου νυκτὸς καὶ ἡμέρας, [4] ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου
5 τῶν δακρύων ἵνα χαρᾶς πληρωθῶ, [5] ὑπόμνησιν λαβὼν τῆς ἐν σοὶ

---

17. Rc. Kn. Sz. ἀλλ' ἐν [ἐπὶ c. AD*FG al. m. Or. ms. Chrs. Thphyl.] τῷ (om. D*G al. Thphyl.) θ. τῷ ζῶντι. [om. c. AG al. m.; vv. m.; Or. ms. Bas. al.] — Ln. τὰ πάντα c. A al. (non Or. Bas. al. m.) .. om. πάντ. FG g. . . Rc. pon. πλουσ. πάντ.

19. Rc. pro ὄντως h. αἰωνίου.

20. Rc. παρακαταθήκην. — h. καινοφωνίας G al. Arm. Vg. It. Ath. Bas. Chrs. Ir. Tert. al.

21. Rc. Kn. Sz. μετὰ σοῦ. [μ. ὑμ. c. AFG al. Cpt. g. (utrq.)] — Rc. et Kn. (—) in f. add. ἀμήν.

*) Rc. et Kn. (—) subscr. h. Πρὸς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς c. 12. al. pl. .. h. πρ. Τιμ. πρ. DEG et add. ἀπ. Λαοδ. A. . . add. ἀπ' Ἀθηνῶν Erp. . . ἀπ' Ἀθην. διὰ Τίτου τ. μαθητοῦ αὐτοῦ Cpt.

Cap. I. 1. Χρ. Ἰησ. c. DEFG al. pm. Syr. p. Cpt. Vg. ms. It. Ambrst. .. Rc. Kn. Sz. Ln. Ἰ. Χρ.

5. Rc. Kn. Sz. λαμβάνων. [λαβ. c. ACFG al.]

ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησεν πρῶτον ἐν τῇ μάμμῃ σου
Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. 6 Δι' 6
ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὅ
Rom. 8, ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. 7 οὐ γὰρ ἔδωκεν 7
15. ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σω-
φρονισμοῦ. 8 μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν, 8
μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ
κατὰ δύναμιν θεοῦ 9 τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει 9
ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν
Tit. 1, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, 10 φα- 10
3. νερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Χριστοῦ
Ἰησοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ
1 Tim. ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου, 11 εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπό- 11
2, 7. στολος καὶ διδάσκαλος ἐθνῶν· 12 δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, 12
ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι
ὅτι δυνατός ἐστιν τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέ-
ραν. 13 ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας, 13
ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ· 14 τὴν καλὴν παραθή- 14
κην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.
Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, 15
ὧν ἐστὶν Φύγελος καὶ Ἑρμογένης. 16 δῴη ἔλεος ὁ κύριος τῷ Ὀνησι- 16
φόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξεν καὶ τὴν ἅλυσίν μου οὐκ
ἐπησχύνθη, 17 ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαίως ἐζήτησέν με 17
καὶ εὗρεν. 18 δῴη αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ 18
τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησεν, βέλτιον σὺ γινώσκεις.

## II.

Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ 1

6. Hab. ὑπομιμν. DE. — 10. Rc. Kn. Sz. Ἰ. Χρ. [Χρ. Ἰ. c. AD d. e. Sah.]
11. Ln. om. ἐθνῶν c. A al.
12. Hab. παρακαταθήκην 23. al. pm. Chrs. Thphyl. — om. μοῦ D*E al.
14. Rc. παρακαταθήκην.
15. Rc. Kn. Sz. Φύγελλος. [-γελος c. CDEFG al. m. Syr. utr. Arm. It. Bas. Hier. al. (non Or.)]
16. Ln. ἐπαισχύνθη c. ADFG (h. καταισχ. FG) al. pl. Bas. al.
17. Rc. Kn. Sz. σπουδαιότερον. [-ως c. CD*FG al. Or. Bas. . . h. σπουδαιοτέρως A al. Anton.]

2 Ἰησοῦ, 2 καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα
παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους
3 διδάξαι. 3 Συγκακοπάθησον ὡς καλὸς στρατιώτης Χριστοῦ Ἰησοῦ.
4 4 οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα
5 τῷ στρατολογήσαντι ἀρέσῃ. 5 ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦ-
6 ται ἐὰν μὴ νομίμως ἀθλήσῃ. 6 τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον
7 τῶν καρπῶν μεταλαμβάνειν. 7 νόει ὃ λέγω· δώσει γάρ σοι ὁ κύ-
8 ριος σύνεσιν ἐν πᾶσιν. 8 Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον
9 ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, 9 ἐν ᾧ
κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος, ἀλλὰ ὁ λόγος τοῦ θεοῦ
10 οὐ δέδεται. 10 διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα
καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰω-
11 νίου. 11 Πιστὸς ὁ λόγος. εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· Rom. 6, 8.
12 12 εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνησόμεθα, κἀκεῖνος
13 ἀρνήσεται ἡμᾶς· 13 εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνή-
σασθαι γὰρ ἑαυτὸν οὐ δύναται.

14 Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ κυρίου, μὴ
λογομαχεῖν ἐπ᾽ οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.
15 15 σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ θεῷ, ἐργάτην ἀν-
16 επαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. 16 τὰς δὲ
βεβήλους κενοφωνίας περιΐστασο· ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσε-
17 βείας, 17 καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει. ὧν ἐστὶν 1 Tim.
18 Ὑμέναιος καὶ Φίλητος, 18 οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, 1, 20.
λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσιν τήν τινων

---

Cap. II. 3. Rc. Kn. Sz. σὺ οὖν κακοπ. [συγκακ. c. AC*D*EFG al. Syr. p. in m. .. om. σὺ οὖν vv. m. Ambrst. al.] — h. συστρατ. D*Egr. — Rc. Kn. Ἰ. Χρ.

4. Hab. στρατευόμ. τῷ θεῷ FG Vg. g. Cypr. Hier. al. m.

7. Rc. Kn. Sz. pro ὃ [c. ACFG al. Chrs.] h. ἅ. — Rc. Kn. δῴη.

12. Rc. Kn. Sz. ἀρνούμεθα. [ἀρνησόμ. c. A al. Sl. Vg. (ante h. sustinebimus; sustinemus Am.) Chrs. Thphyl. Tert. al.]

13. Rc. Kn. om. γάρ.

14. Hab. τοῦ θεοῦ CFG al. pm. Vg. ms. g. al. Chrs. al.; etiam Χριστοῦ leg. — Ln. λογομάχει c. AC* Aeth. Vg. It. Ambrst. al. (non Clem.) — Rc. Kn. Sz. εἰς οὐδ. [ἐπ᾽ c. AC al. et (h. ἐπ᾽ οὐδενί) FG Vg. It. Ambrst. al.]

16. Hab. καινοφωνίας G al. d. e. (g. utrque h.) Chrs. Ambrst. al.

πίστιν. [19] ὁ μέντοι στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν, ἔχων τὴν 19
Nm. 16, 5. σφραγῖδα ταύτην· Ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ, καί· Ἀποστήτω
ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα κυρίου. [20] ἐν μεγάλῃ δὲ 20
οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα
καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμὴν ἃ δὲ εἰς ἀτιμίαν· [21] ἐὰν οὖν 21
τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμέ-
νον, εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.
[22] τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πί- 22
στιν, ἀγάπην, εἰρήνην μετὰ πάντων τῶν ἐπικαλουμένων τὸν κύριον
ἐκ καθαρᾶς καρδίας. [23] τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις 23
παραιτοῦ, εἰδὼς ὅτι γεννῶσιν μάχας· [24] δοῦλον δὲ κυρίου οὐ δεῖ 24
μάχεσθαι, ἀλλὰ ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον,
[25] ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δώῃ 25
αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, [26] καὶ ἀνανήψω- 26
σιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ
ἐκείνου θέλημα.

## III.

1 Tim. 4, 1. Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται 1
Rom. 1, 29 sqq. καιροὶ χαλεποί. [2] ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, 2
ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι,
ἀνόσιοι, [3] ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλ- 3
άγαθοι, [4] προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ 4
φιλόθεοι, [5] ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνη- 5
μένοι· καὶ τούτους ἀποτρέπου. [6] ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες 6

---

19. Rc. τὸ ὄνομ. Χριστοῦ.
21. Rc. Kn. Sz. καὶ εὔχρ. [om. c. AC**D*EFG al. Syr. It. al. Ephr. Chrs. al. (h. Or. constanter.)]
22. Rc. Kn. Sz. om. πάντ. [scr. c. ACFG (FG om. τῶν) al. Aeth. Sl. g. Chrs. al.]
24. Hab. νήπιον D*gr. FG gr. Aeth.
25. Rc. Kn. Sz. πραότητ. [πραΰτ. c. ACD* al. Ephr. al.] et δῷ. [δώῃ c. ACD*FG al. Ephr. al.] — h. ἀντιδιαθεμένους C. .. ἀντικειμένους E in m. FG.

Cap. III. 1. Rc. Kn. Sz. γίνωσκε. [-σκετε c. AFG al. Aeth. g. Aug.]
2. Hab. ἄχρηστοι pro ἀχάρ. C al.

εἰς τὰς οἰκίας καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρ-
7 τίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, 7 πάντοτε μανθάνοντα καὶ
8 μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. 8 ὃν τρόπον δὲ Ex. 7, 11.
Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτως καὶ οὗτοι ἀνθί-
στανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι 1 Tim. 6, 5.
9 περὶ τὴν πίστιν. 9 ἀλλ᾽ οὐ προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια
10 αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο. 10 Σὺ δὲ 1 Tim. 4, 6.
παρηκολούθησάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ
11 πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, 11 τοῖς διωγμοῖς,
τοῖς παθήμασιν, οἷά μοι ἐγένοντο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύ-
στροις· οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ
12 κύριος. 12 καὶ πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰη-
13 σοῦ διωχθήσονται. 13 Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψου-
14 σιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. 14 σὺ δὲ μένε ἐν
15 οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνων ἔμαθες, 15 καὶ ὅτι
ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς
16 σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. 16 πᾶσα γραφὴ θεό-
πνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἐλεγμόν, πρὸς
17 ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, 17 ἵνα ἄρτιος ᾖ ὁ
τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

## IV.

1 Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ τοῦ 1 Tim. 5, 21.

---

6. Rc. αἰχμαλωτεύοντες τὰ γυν. — h. καὶ ἡδοναῖς ποικ. A Syr. p. in m. Chrs. Thdret.
8. Hab. Ἰωάννης C*... Jamnes Vg. ms. Am. Cypr. al. — h. Μαμβρῆς FG Vg. It. Cslitt. Hipp. Mac. Or. int. al. pm. — h. Μωϋσῇ 1. al. m. Chrs. al.
9. Hab. διάνοια A.
10. Rc. Kn. Sz. παρηκολούθηκας. [-σας c. ACFG al.]
11. Rc. Kn. Sz. ἐγένετο. [-οντο c. A al. m.] — Ln. ἐρύσατο c. AD*.
14. Rc. Kn. Sz. τίνος. [τίνων c. ACFG al. Sl. ms. It. Ambrst.]
15. Ln. (τὰ) ἱερά... om. C*D**FG al.
16. Om. καί ante ὠφέλ. Syr. Ar. pol. Vg. Clem. Or. (1.) Tert. al. — Rc. Kn. Sz. ἔλεγχον. [ἐλεγμ. c. AFG al.]

Cap. IV. 1. Rc. et Kn. (—) διαμ. οὖν ἐγώ et τοῦ κυρίου Ἰησ. Χρ. [etiam Sz. Ἰ. Χρ. pon... Χρ. Ἰ. c. ACD*F al. Cpt. It. Vg. ms. Did. al. m.]

μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ
καὶ τὴν βασιλείαν αὐτοῦ· [2] κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως 2
ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ
καὶ διδαχῇ. [3] ἔσται γὰρ καιρός, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας 3
οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἑαυτοῖς ἐπισωρεύ-
σουσιν διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν, [4] καὶ ἀπὸ μὲν τῆς 4
ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπή-
σονται. [5] σὺ δὲ νῆφε ἐν πᾶσιν, κακοπάθησον, ἔργον ποίησον εὐ- 5
Phil. 2, 17. αγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. [6] Ἐγὼ γὰρ ἤδη σπέν- 6
δομαι, καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκεν. [7] τὸν ἀγῶνα 7
τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα·
Jac. 1, 12. [8] λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει 8
μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ
ἐμοὶ ἀλλὰ καὶ πᾶσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ.

Σπούδασον ἐλθεῖν πρός με ταχέως. [10] Δημᾶς γάρ με ἐγκατέ- 9 10
λιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην,
Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν· [11] Λουκᾶς ἐστιν 11
μόνος μετ' ἐμοῦ. Μᾶρκον ἀναλαβὼν ἄγαγε μετὰ σεαυτοῦ· ἔστιν
γάρ μοι εὔχρηστος εἰς διακονίαν. [12] Τύχικον δὲ ἀπέστειλα εἰς Ἔφε- 12
σον. [13] τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ, ἐρχό- 13
μενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. [14] Ἀλέξανδρος 14
ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδώσει αὐτῷ ὁ κύριος
κατὰ τὰ ἔργα αὐτοῦ. [15] ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀντέστη 15
τοῖς ἡμετέροις λόγοις. [16] ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι 16

---

1. Hab. κρῖναι FG al. m. Thdret. Thphyl. — LN. pro κατά hab. καί c. ACD*FG al. Cpt. It. Vg. ms. Am. Har. Cyr. al. (Chrs. κατά in text.; ἐν in comm.)
2. Pon. ἀκαίρ. εὐκ. C et παρακ. ἐπιτίμ. FG al. Vg. It. Or. Ambrst. al.
3. Rc. τὰς ἐπιθ. τὰς ἰδίας.
6. Rc. KN. Sz. τῆς ἐμῆς ἀναλ.
7. LN. τὸν καλ. ἀγ. c. AG al. Vg. g. Chrs. (1.) al. [τ. ἀ. τ. κ. Or. 3.]
8. Om. πᾶσ. D*E al. Syr. Erp. Vg. d. e. Ambrst. al.
10. Leg. Κρίσκης, Crispus (Syr.), Priscus (Ar. p.). — h. εἰς Γαλλίαν C al. Aeth. cdd. lat. Eus. Epiph. dis. Hier. — LN. Δελματ. c. C al. m. Damsc. Oec. . . h. Δερματίαν A.
11. Rc. KN. Sz. ἄγε. [ἄγαγε c. A al. m. Thdret.]
14. Rc. KN. ἀποδῴη.
15. Rc. KN. Sz. ἀνθέστηκε. [ἀντ. c. ACD*FG al.]

*συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη·*
17 *17 ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν με, ἵνα δι' ἐμοῦ τὸ*
*κήρυγμα πληροφορηθῇ καὶ ἀκούσωσιν πάντα τὰ ἔθνη, καὶ ἐῤῥύ-*
18 *σθην ἐκ στόματος λέοντος. 18 ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς*
*ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον·*
*ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*
19 *Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον.*
20 *20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μι-*
21 *λήτῳ ἀσθενοῦντα. 21 σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. ἀσπάζεταί*
*σε Εὔβουλος καὶ Πούδης καὶ Λῖνος καὶ Κλαυδία καὶ οἱ ἀδελφοὶ*
*πάντες.*
22 *Ὁ κύριος Ἰησοῦς μετὰ τοῦ πνεύματός σου. ἡ χάρις μεθ' ὑμῶν.*

## *ΠΡΟΣ ΤΙΤΟΝ.*

1 *Παῦλος δοῦλος θεοῦ, ἀπόστολος δὲ Χριστοῦ Ἰησοῦ κατὰ πίστιν*
2 *ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν 2 ἐπ'*
*ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ χρόνων*
3 *αἰωνίων, 3 ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κη-* 2 Tim.
*ρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ,* 1, 10.

---

16. Ln. *παρεγένετο* c. ACFG al. (Chrs. utrq.)
17. Rc. Kn. Sz. *ἀκούσῃ*. — Ln. *ἐρύσθην* c. A.
18. Rc. Kn. Sz. *καὶ ῥύσ.* [om. c. ACD* al. Vg. d. e. al. Chrs. ms. (1.) Hier. al. . . h. *ἐῤῥύσατο* FG Vg. It. Hier. al.]
19. Hab. *Πρίσκιλλαν* 47. al. m. Syr. cdd. lat. al. Chrs. al.
21. Hab. *Μηλώτῳ* A. . . *Μελίτῃ* Ar.
22. Rc. Kn. Sz. *Ἰ. Χριστός*. [om. c. A al. et (om. etiam *Ἰησ.*) FG al. Aeth. g.] — Rc. et Kn. (—) in f. add. *ἀμήν*.

*) Rc. et Kn. (—) subscr. h. *Πρὸς Τιμόθεον δευτέρα, τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Ῥώμης, ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι Νέρωνι* c. 12. al. pl. . . h. tantum *πρ. Τιμ. δευτ.* CDFG et add. *ἐγρ. ἀπὸ Λαοδικείας* A.

Cap. I. 1. *Χρ. Ἰ.* c. A al. Syr. p. ed. lat. Ambrst. . . Rc. Kn. Sz. Ln. *Ἰ. Χρ.*

1 Tim. 4 Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν. χάρις καὶ εἰρήνη ἀπὸ 4
1, 2. 2 Tim. θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν.
1, 2. 2 Jo. 3. Τούτου χάριν ἀπέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπι- 5
διορθώσῃς καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι
1 Tim. 3, 2 sqq. διεταξάμην, 6 εἴ τις ἐστὶν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα 6
ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα. 7 δεῖ γὰρ τὸν 7
ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ
ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, 8 ἀλλὰ φιλό- 8
ξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, 9 ἀντεχόμε- 9
νον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρα-
καλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγ-
χειν. 10 Εἰσὶν γὰρ πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρενα- 10
πάται, μάλιστα οἱ ἐκ περιτομῆς, 11 οὓς δεῖ ἐπιστομίζειν, οἵτινες 11
ὅλους οἴκους ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους
χάριν. 12 εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ 12
ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. 13 ἡ μαρτυρία αὕτη ἐστὶν 13
ἀληθής. δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν
τῇ πίστει, 14 μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀν- 14
Rom. 14, 20. θρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. 15 πάντα καθαρὰ τοῖς 15
καθαροῖς· τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ
μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. 16 θεὸν ὁμολογοῦ- 16
σιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς
καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

---

4. Rc. Ln. χάρ., ἔλεος, εἰρ. [om. c. C**DEFG al. Syr. Vg. It. al. Chrs. (dis.) Or. int. (dis.) Damsc. Hier. al.] — Rc. Kn. Sz. κυρίου [om. c. A al. Vg. d. e. (Dgr. om. Χρ.) al. Thdret. ms. Or. int. al.] Ἰ. Χρ. [Χρ. Ἰ. c. AC al. Vg. d. e. al. Thdret. al.]

5. Rc. Kn. Sz. κατέλιπ. [ἀπ. c. ACDFG al. m. Or. Bas. ms.] — Rc. Kn. ἐπιδιορθώσῃ. [-σῃς c. ADEFG al. pm.]

9. Pro ἐν τ. διδ. τ. ὑγ. h. τοὺς ἐν πάσῃ θλίψει A.

10. Rc. Kn. Sz. πολλ. καί. [om. c. ACF al. pl.; vv. pm.; Clem. al. m.] — h. καὶ ματαιολ. FG al. pm. Syr. al. — Ln. μάλ. (δέ) c. CDgr. Egr. Vg. ms.

12. Om. αὐτῶν post ἴδ. FGgr. Clem.

15. Rc. Kn. Sz. πάντ. μέν. [om. c. ACD*EFG etc.] — Ln. μεμιαμμένοις c. AD* al. Chrs. . . h. μεμιαμένοις G al. (μεμιασμ. Clem. Or.)

## II.

1 2 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, [2] πρεσβύτας
νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ
3 ἀγάπῃ, τῇ ὑπομονῇ· [3] πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱερο- 1 Tim. 3, 11
πρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδα-
4 σκάλους, [4] ἵνα σωφρονίζωσιν τὰς νέας φιλάνδρους εἶναι, φιλο-
5 τέκνους, [5] σώφρονας, ἁγνάς, οἰκουργούς, ἀγαθάς, ὑποτασσομένας
6 τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται. [6] Τοὺς
7 νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, [7] περὶ πάντα σεαυτὸν 1 Tim. 4, 12
παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀφθορίαν, σε-
8 μνότητα, [8] λόγον ὑγιῆ ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ
9 μηδὲν ἔχων λέγειν περὶ ἡμῶν φαῦλον. [9] Δούλους δεσπόταις ἰδίοις
10 ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, [10] μὴ
νοσφιζομένους, ἀλλὰ πᾶσαν πίστιν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν
διδασκαλίαν τὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν.
11 [11] Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ σωτήριος πᾶσιν ἀνθρώποις,
12 [12] παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμι-
κὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ
13 νῦν αἰῶνι, [13] προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν
τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,
14 [14] ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πά- Gal. 1, 4.
σης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν
ἔργων.

---

Cap. II. 3. Hab. *κατασχήματι* F (non G.). — h. *ἱεροπρεπεῖ* 17. al. Syr. utr. Vg. d. e. al. Clem. Bas. Thdret. Hier. al. — h. *μηδὲ οἴνῳ* AC al. (non Clem.)

4. Ln. *σωφρονίζουσιν* c. AG. — Rc. Kn. Sz. *οἰκουρούς*. [*οἰκουργ.* c. ACD*EFG.]

7. Hab. *ἑαυτόν* D al. Chrs. — Rc. Kn. Sz. *ἀδιαφθορ.* [*ἀφθ.* c. ACD*E al. m. Damsc. .. h. *ἀφθονίαν* FGgr.] — ante *σεμνότ.* add. *ἁγνείαν* C al. Syr. p. al. Hier.; post *σεμν.* add. *ἀφθαρσίαν* D**Egr. al. pl. Syr. p. al. Chrs. ms. Thdret.

8. Rc. *περὶ ὑμῶν*. (sic A.)

10. Hab. *μηδὲ νοσφ.* DFG al. — Rc. Kn. om. *τήν* ante *τοῦ*.

11. Rc. Kn. Sz. *ἡ σωτήρ.* [*σωτήρ.* c. ACD Syr. utr. .. h. *τοῦ σωτῆρος ἡμῶν* FG Vg. g. al. Cyr. hr. Leif. al. (*ἡ σωτήρ.* Clem.)]

Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. 15
1 Tim 4, 12. μηδείς σου περιφρονείτω.

## III.

Ὑπομίμνησκε αὐτούς, ἀρχαῖς, ἐξουσίαις ὑποτάσσεσθαι, πειθ- 1
αρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, [2] μηδένα βλασ- 2
φημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραΰτητα
πρὸς πάντας ἀνθρώπους. [3] ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπει- 3
θεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις,
ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους·
[4] ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος 4
ἡμῶν θεοῦ, [5] οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς, 5
ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας
καὶ ἀνακαινώσεως πνεύματος ἁγίου [6] οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, 6
διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, [7] ἵνα δικαιωθέντες τῇ ἐκεί- 7
νου χάριτι κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. [8] πι- 8
στὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα
φροντίζωσιν καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες θεῷ. ταῦτά
ἐστιν καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις· [9] μωρὰς δὲ ζητήσεις καὶ 9
γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶν γὰρ
ἀνωφελεῖς καὶ μάταιοι. [10] αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευ- 10
τέραν νουθεσίαν παραιτοῦ, [11] εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος 11
καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.
Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τύχικον, σπούδασον ἐλ- 12
θεῖν πρὸς μὲ εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. [13] Ζη- 13

---

Cap. III. 1. Rc. Kn. Sz. καὶ ἐξουσ. [om. c. ACDgr. Egr. FG al. g. Damsc.] — add. καί et ante πειθ. (FG) et post πειθ. (A).

2. Rc. Kn. Sz. πραότητ. [πραΰτ. c. AC al.]

5. Rc. Kn. Sz. ὧν ἐποιήσ. [ἃ c. AC*DFG al. Clem. Cyr.]. — Ln. τοῦ λουτρ. c. A. — h. διὰ πνεύμ. DEFG It. Lcif. al.

6. Hab. τοῦ κυρίου 31. Cyr. hr.; τ. θεοῦ Lct. 17. (s. XV.)

7. Rc. Kn. Sz. γενώμεθα [γενηθῶμ. c. ACFG al. Chrs. Ath.], et v. 8. τῷ [om. c. ADFG al. pl. Thdret. ms.] θεῷ et τὰ [om. c. ACDEG al. Chrs.] καλά.

9. Hab. ἔριν DFGgr.

10. Hab. μίαν νουθεσ. ἢ (h. καί Chrs. Thdret. ms.) δευτέρ. FG g. . . μίαν νουθ. καὶ δύο DE d. e. Chrs. ap. Wtst. . . om. καὶ δευτέρ. Ir. (etiam h.) Tert. Cypr. al. m. [h. Or. Ath. etc.]

*νᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν*
14 *αὐτοῖς λείπῃ.* [14] *μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων*
*προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.*
15 *Ἀσπάζονταί σε οἱ μετ᾽ ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦν-*
*τας ἡμᾶς ἐν πίστει.*
*Ἡ χάρις μετὰ πάντων ὑμῶν.*

## ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ.

1 *Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς Φιλή-*
2 *μονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν* [2] *καὶ Ἀπφίᾳ τῇ ἀδελφῇ καὶ*
*Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ.*
3 [3] *χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ*
*Χριστοῦ.*
4 *Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ*
5 *τῶν προσευχῶν μου,* [5] *ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν*
6 *ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους,* [6] *ὅπως*
*ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς*
7 *ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστόν.* [7] *χαρὰν γὰρ πολλὴν ἔσχον καὶ*

---

13. Hab. *Ἀπόλλωνα* FG.
15. Hab. *ἀσπάσασθε τούς* A. — Rc. et Kn. Ln. (—) in f. add. *ἀμήν*. [om. c. ACD* al. Aeth. d. Hier. al.]
*) Rc. et Kn. (—) subscr. h. *Πρὸς Τίτον τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας* c. I al. pm. (sed omnes hi cdd. *πρῶτον* vdntr omittere.) .. *ἀπ. Νικ.* add. etiam A. .. h. tantum *πρ. Τίτ.* CDEFG... add. *διὰ Ζηνᾶ κ. Ἀπολλώ* Syr. et *διὰ Ἀρτεμᾶ* Cpt.
1. Pon. *Ἰ. Χρ.* D*E al. m.; vv. m.; Chrs. al.
2. Rc. Kn. Sz. *τῇ ἀγαπητῇ.* [*ἀδ.* c. AD*EFG al. vv. m. Hes. Hier.]
5. Ln. *εἰς τόν* c. ACD*E 17. (Latt. *in Domino I. et in omnes.*)
6. Hab. *ἐναργής* (evidens) Vg. cdd. ap. Hier. Pel. (manifesta) d. e. — Ln. om. *τοῦ* c. A 17. — Rc. *ἐν ὑμῖν* et Rc. Kn. Sz. *Χρ. Ἰησοῦν.* [om. c. AC al. Cpt. Hier. al.]
7. Rc. Kn. *χάριν* et Rc. Kn. Sz. *ἔχομεν πολλ.* [*πολλ. ἔσχ.* c. ACFG al. Vg. g. al. Thdret. al. .. h. *π. ἔσχομεν* D*E d. e. Hier.]

*παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀνα-*
*πέπαυται διὰ σοῦ, ἀδελφέ.* 8 *Διὸ πολλὴν ἐν Χριστῷ παῤῥησίαν* 8
*ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον,* 9 *διὰ τὴν ἀγάπην μᾶλλον παρα-* 9
*καλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος*
1 Cor. *Χριστοῦ Ἰησοῦ·* 10 *παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέν-* 10
4, 15. *νησα ἐν τοῖς δεσμοῖς, Ὀνήσιμον,* 11 *τόν ποτέ σοι ἄχρηστον, νυνὶ* 11
Act. 13, 33. *δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψά σοι.* 12 *σὺ δὲ αὐτόν,* 12
*τουτέστιν τὰ ἐμὰ σπλάγχνα,* 13 *ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν* 13
*κατέχειν, ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου·*
14 *χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς* 14
*κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον·* 15 *τάχα γὰρ* 15
*διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,* 16 *οὐκ-* 16
*έτι ὡς δοῦλον ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα*
*ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ·* 17 *εἰ οὖν* 17
*με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.* 18 *εἰ δέ τι ἠδίκησέν* 18
*σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγα.* 19 *ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ* 19
*χειρί, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφεί-*
*λεις.* 20 *ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν κυρίῳ· ἀνάπαυσόν μου* 20
*τὰ σπλάγχνα ἐν Χριστῷ.*

*Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ἃ* 21
*λέγω ποιήσεις.* 22 *ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γάρ,* 22
*ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.*

*Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ* 23
*Ἰησοῦ,* 24 *Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.* 24

---

9. Hab. *ἀνάγκην μᾶλλ.* A. — Rc. Kn. Sz. *Ἰ. Χρ.*

10. Ln. *ἐγὼ ἐγένν.* c. A al. Sl. ms. Chrs. — Rc. Kn. Sz. *δεσμ. μου.* [om. c. A D* E F G al. Vg. It. Hier. al.]

11. Hab. *δὲ καί* G al. Vg. g. Hier. (Sz. per error. om. *ἐμοί.*) — Rc. Kn. Sz. in f. om. *σοί.* [scr. c. A C D* E (D E al. d. e. al. Chrs. h. *ἔπεμψα.*) 17. Syr. Vg. It. al. Hier.]

12. Rc. Kn. Sz. in f. add. *προσλαβοῦ.* [om. c. A (A 17. om. etiam *σὺ δέ* atque ita Ln.) F G gr. 17. . . etiam post *σὺ δέ* et post *αὐτόν* pon.]

18. Rc. Kn. Sz. *ἐλλόγει.* [*ἐλλόγα* s. *ἐνλόγα* c. A C D* F G al.]

20. Rc. pro *Χρ.* h. *κυρίῳ.*

21. Rc. Kn. Sz. pro *ἅ* [c. A C al. Cpt.] h. *ὅ.*

23. Rc. *ἀσπάζονται.*

25 *Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν.*

## *ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ.*

1 *Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν*
*ἐν τοῖς προφήταις ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν*
2 *ἐν υἱῷ,* [2] *ὃν ἔθηκεν κληρονόμον πάντων, δι᾽ οὗ καὶ ἐποίησεν τοὺς*
3 *αἰῶνας,* [3] *ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστά-*
*σεως αὐτοῦ φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ,*
*καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος ἐκάθισεν ἐν δεξιᾷ τῆς με-*
4 *γαλωσύνης ἐν ὑψηλοῖς,* [4] *τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων,*
5 *ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα.* [5] *τίνι γὰρ*
*εἶπέν ποτε τῶν ἀγγέλων· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά* *Ps. 2, 7.
*σε; καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι* *2 Sam. 7, 14.
6 *εἰς υἱόν;* [6] *ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκου-*
*μένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ.* *Ps. 97, 7. *Dt. 32, 43.
7 [7] *καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ* *Ps. 104, 4.
8 *πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα,* [8] *πρὸς δὲ τὸν*
*υἱόν· Ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος* *Ps. 45, 6. 7.
9 *εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.* [9] *ἠγάπησας δικαιοσύνην*
*καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέν σε, ὁ θεός, ὁ θεός σου*

---

25. Rc. et Kn. (—) in f. add. *ἀμήν.*

*) Rc. et Kn. (—) subscr. h. *Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου* c. 44. al. pm. .. h. tantum *πρ. Φιλ.* (om. A) CDE etc.

Cap. I. 1. Rc. *ἐπ᾽ ἐσχάτων.*

2. Hab. *διό* pro *δι᾽ οὗ* 109. (s. XI.)

3. Rc. Kn. Sz. *δι᾽ ἑαυτοῦ καθαρ. ποιησ. τ. ἁμαρτ. ἡμῶν.* [om. *δι᾽ ἑ.* (h. *δι᾽ αὐτ.* D* d. e. Did. al.) c. AB al. Arm. Vg. Cyr. (saepe) Sedul. et *ἡμ.* c. ABD*E al. Syr. Vg. al. Ath. Cyr. utr. al. m.]

8. Om. *τοῦ αἰῶν.* B 17. — Ln. *καὶ ἡ ῥάβδ.* [c. AB 53. et (omisso *ἡ*) D*E d. e. Vg. ms. Am. Aeth.] *τῆς εὐθ.* [c. AB 53.] *ῥάβδ.* [omisso *ἡ* c. AB 53.] — h. *βασιλ. αὐτοῦ* B.

9. Hab. *ἐμίσ. ἀδικίαν* A al. Cyr. Eus. al.

*Ps.102, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. 10 καί· Σὺ κατ' 10
25-27. (26-28.) ἀρχάς, κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰ-
σὶν οἱ οὐρανοί· 11 αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες 11
ὡς ἱμάτιον παλαιωθήσονται, 12 καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐ- 12
τούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ
*Ps.110, 1. ἐκλείψουσιν. 13 πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε· Κάθου 13
ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου; 14 οὐχὶ πάντες εἰσὶν λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀπο- 14
στελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

## II.

Διὰ τοῦτο δεῖ περισσοτέρως προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσιν, 1
Gal. 3, 19. Act. 7, 53. μήποτε παραρρυῶμεν. 2 εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγέ- 2
νετο βέβαιος καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον
μισθαποδοσίαν, 3 πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες 3
σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου, ὑπὸ τῶν
ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, 4 συνεπιμαρτυροῦντος τοῦ θεοῦ 4
σημείοις τε καὶ τέρασιν καὶ ποικίλαις δυνάμεσιν καὶ πνεύματος
ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν.

Οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ 5
*Ps. 8, 4-6. ἧς λαλοῦμεν. 6 διεμαρτύρατο δέ πού τις λέγων· Τί ἐστιν ἄνθρω- 6
πος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;
7 ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφά- 7
*Heb. 10, 13. 1 Cor. 15, 27. νωσας αὐτόν, 8 πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. ἐν 8
τῷ γὰρ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον·
νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. 9 τὸν δὲ βραχύ 9

---

11. Kn. διαμενεῖς. (sic Vg.)
12. Hab. ἀλλάξεις D* 43. Vg. d. e. Tert. — Ln. ὡς ἱμάτιον, καὶ ἀλλ. c. ABD*E (h. ὡσεὶ et antea ὡς περιβ. D*E) d. e. Aeth. Arm.
14. Hab. διακονίας B Or. (2; -αν 5.)
Cap. II. 1. Ln. παραρυῶμ. c. AD al.
6. Ln. τίς ἐστ. c. C* (hab. A in psalmo) Cpt. Tol. d. e. Damsc.
7. Rc. et Kn. Ln. (—) in f. add. καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. [om. c. BDgr. E**gr. al. pl. Syr. (diff. cdd. et edd.) Sl. ms. Chrs. Damsc. al.]
8. Ln. ὑποτάξαι (αὐτῷ) .. om. B (ap. Btlj.; om. post ὁρῶμ. ap. Bch. et Sz.) d. e. (etiam post ἀφῆκ. om. d. e.)

τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα
τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι θεοῦ ὑπὲρ
10 παντὸς γεύσηται θανάτου. [10] ἔπρεπεν γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα
καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχη-
11 γὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. [11] ὅ τε γὰρ
ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπ- Jo. 20,
12 αισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, [12] λέγων· Ἀπαγγελῶ τὸ ὄνομά 17. *Ps. 22,
13 σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. [13] καὶ πά- 22. (23.)
λιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ 2Sam. 22, 3.
14 τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός. [14] ἐπεὶ οὖν τὰ παιδία κεκοινώ- *Es. 8,
νηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν 17. 18.
αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ
15 θανάτου, τουτέστιν τὸν διάβολον, [15] καὶ ἀπαλλάξῃ τούτους ὅσοι
16 φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. [16] οὐ
γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπι-
17 λαμβάνεται. [17] ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆ-
ναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν,
18 εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. [18] ἐν ᾧ γὰρ πέπονθεν
αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

## III.

1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοή-
σατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν,
2 [2] πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν τῷ οἴκῳ Heb. 3,
3 αὐτοῦ. [3] πλείονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται, καθ' 5.
4 ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. [4] πᾶς
γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ πάντα κατασκευάσας

---

9. Hab. χωρὶς pro χάριτι 53. 67.** cdd. ap. Or. et ap. Hier. Syr. in cdd. Nestorian. (his tribuunt lection. Oec. et Thphyl.) Thdret. al. [Cf. 1 Cor. 15, 27 . . . χωρ. ad v. 8. notatum vdtr.]

14. Rc. Kn. Sz. σαρκ. κ. αἵμ. [αἵμ. κ. σαρκ. c. ABCDE al.; vv. m.; Or. Eus. Cyr. utr. Ath. Chrs. al.] — h. αὐτῶν παθημάτων D*E Eus. Hier.

15. Hab. ἀποκαταλλάξῃ A. — 17. h. ταῖς ἁμαρτίαις A al. Ath. Chrs.

Cap. III. 1. Rc. et Kn. (—) Χριστὸν Ἰησ.

2. Rc. Kn. Sz. Ln. ἐν ὅλῳ . . . om. c. B Cpt. Sah. Erp. Ambr. (accurate cit.)

4. Rc. Kn. Sz. τὰ πάντ. [om. c. ABCD*E al. m. Chrs. ms.]

Heb. 3, 2. θεός. 5 καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θερά- 5
* Nm. πων εἰς μαρτύριον τῶν λαληθησομένων, 6 Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ 6
12, 7. τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐὰν τὴν παῤῥησίαν καὶ τὸ
καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν.
* Ps. 95, 7-11. Διό, καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον· Σήμερον, ἐὰν τῆς 7
φωνῆς αὐτοῦ ἀκούσητε, 8 μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν 8
τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ,
9 οὗ ἐπείρασαν οἱ πατέρες ὑμῶν ἐν δοκιμασίᾳ καὶ εἶδον τὰ ἔργα 9
μου τεσσαράκοντα ἔτη. 10 διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ καὶ 10
εἶπον· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς
Heb. 4, 3. μου, 11 ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· Εἰ εἰσελεύσονται εἰς τὴν κατά- 11
παυσίν μου. 12 βλέπετε, ἀδελφοί, μήποτε ἔσται ἔν τινι ὑμῶν καρ- 12
δία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος, 13 ἀλλὰ 13
παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον
καλεῖται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις ἀπάτῃ τῆς ἁμαρτίας·
14 μέτοχοι γὰρ τοῦ Χριστοῦ γεγόναμεν, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑπο- 14
Heb. 3, 7. 8. στάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν, 15 ἐν τῷ λέγεσθαι· 15
Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρ-
δίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ. 16 τίνες γὰρ ἀκούσαντες παρ- 16
επίκραναν; ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋ-
* Nm. 14, 34 sqq. σέως; 17 τίσιν δὲ προσώχθισεν τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρ- 17
τήσασιν; ὧν τὰ κῶλα ἔπεσαν ἐν τῇ ἐρήμῳ. 18 τίσιν δὲ ὤμοσεν 18
μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς ἀπειθήσα-
σιν; 19 καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν. 19

---

6. Hab. ὅς οἶκ. D* al. Vg. d. e. Lcif. Ambr. . . οὗ ὁ οἶκ. 2. al. — Rc. Kn. Sz. ἐάνπερ. [ἐάν c. BD*E al.] — om. μέχρ. τ. βεβ. B Aeth. Lcif. Ambr.; om. βεβ. Syr.; etiam post κατάσχ. pon. [Cf. v. 14.]

9. Rc. Kn. Sz. ἐπείρ. με [om. c. ABCD*E al. Cpt. d. e. Lcif.] οἱ π. ὑμ. ἐδοκίμασάν με. [ἐν δοκ. c. iisd. et Clem. Did.]

10. Om. διό 43. al. Cyr. Ambr. — Rc. Kn. Sz. γενεᾷ ἐκείνῃ. [ταύτ. c. ABD*gr. al. m. Vg. Clem.] — Ln. εἶπα c. AD al. Chrs. ms. (non Clem.)

12. Hab. βλέπ. δέ 114. (s. XV.); itaque d. e.

16. Rc. τινὲς γάρ.

17. Ln. δὲ (καὶ) προσ. c. A d. e. — Rc. Kn. Sz. ἔπεσεν. [-σαν c. CDE Cyr.; etiam -σον leg.]

# IV.

1 Φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν
2 εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. [2] καὶ γάρ
ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λό-
γος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκερασμένους τῇ πίστει τοῖς ἀκού-
3 σασιν. [3] εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, Ps. 95, 11.
καθὼς εἴρηκεν· Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· Εἰ εἰσελεύσονται εἰς Heb. 3, 11.
τὴν κατάπαυσίν μου, καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου
4 γενηθέντων. [4] εἴρηκεν γάρ που περὶ τῆς ἑβδόμης οὕτως· Καὶ κατ- Gn. 2, 2.
έπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐ-
5 τοῦ. [5] καὶ ἐν τούτῳ πάλιν· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
6 μου. [6] ἐπεὶ οὖν ἀπολείπεται τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρό-
7 τερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, [7] πάλιν τινὰ Ps. 95, 7.
ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαυὶδ λέγων μετὰ τοσοῦτον χρόνον, Heb. 3, 15.
καθὼς προείρηται· Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ
8 σκληρύνητε τὰς καρδίας ὑμῶν. [8] εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν,
9 οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. [9] ἄρα ἀπολείπεται
10 σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ. [10] ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατά-
παυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ ὥσπερ
ἀπὸ τῶν ἰδίων ὁ θεός.

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα
12 μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. [12] ζῶν γάρ
ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν
δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος,

---

Cap. IV. 1. Hab. *ἡμῶν* 5. al. Vg. ms. et Sixt. Thdret.

2. Rc. Kn. Sz. *συγκεκραμένος* c. 17. al. pl. Syr. Erp. Vg. (non Am.) Cyr. (alic.). .. *συγκεκερασμένους* c. AB (*συγκεκραμένους* ap. Btlj.) CD* al. et *συγκεκραμένους* s. *-κραμμένους* D**E al. pl.; vv. pm. — h. *τῶν ἀκουσάντων* D* Syr. p. in m. Sl.; *τοὺς ἀκούσαντας* Chrs. ms.

3. Hab. *εἰσερχώμεθα οὖν* AC al. Cpt.; *εἰσ. δέ* Syr. Arm.

4. Om. *γάρ*, jungens *εἴρ.* c. *καίτοι*, 109 lat. (s. XI.) — om. *ἐν τ. ἡμ. τ. ἑβδ.* A.

5. Pro *εἰ* h. *καί* D* d. e.

7. Rc. Kn. Sz. *εἴρηται.* [*προείρ.* c. ACD*E al. m.; vv. pl.; PP. m. .. h. *προείρηκεν* B al.]

12. Rc. Kn. Sz. *ψυχ.*[illegible] *καί.* [om. c. ABCH al. Or. (3.) Eus. al. m.]

ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρ-
δίας· [13] καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ 13
γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν
ὁ λόγος.
Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰη- 14
σοῦν τὸν υἱὸν τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. [15] οὐ γὰρ ἔχο- 15
μεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν,
πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας.
[16] προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα 16
λάβωμεν ἔλεος καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

## V.

Heb. 8, 3. Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώ- 1
πων καθίσταται τὰ πρὸς τὸν θεόν, ἵνα προσφέρῃ δῶρά καὶ θυ-
σίας ὑπὲρ ἁμαρτιῶν, [2] μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσιν καὶ 2
πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, [3] καὶ δι' αὐτὴν 3
ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ περὶ αὐτοῦ προσφέρειν
* 1 Chr. 23, 13. περὶ ἁμαρτιῶν. [4] καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ 4
καλούμενος ὑπὸ τοῦ θεοῦ, καθώσπερ καὶ Ἀαρών. [5] οὕτως καὶ ὁ 5
Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας
* Ps. 2, 7. πρὸς αὐτόν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· [6] καθὼς 6
* Ps. 110, 4. Heb. 7, 17. καὶ ἐν ἑτέρῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελ-
χισεδέκ. [7] ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ 7
ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυ-
γῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς
εὐλαβείας, [8] καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθεν τὴν ὑπακοήν, 8
[9] καὶ τελειωθεὶς ἐγένετο πᾶσιν τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σω- 9
τηρίας αἰωνίου, [10] προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ 10

---

15. Rc. Sz. Ln. πεπειρασμένον. [πεπειραμ. c. (B?) C al. pl. Or. (2; -ρασμένον 4.) Gr. nyss. Cyr. Chrs. ms. al.]
16. Rc. Kn. Sz. ἔλεον. — om. εὕρωμ. B. et εἰς D*E d. e.
Cap. V. 3. Rc. Kn. Sz. διὰ ταύτην [δι' αὐτ. c. ABC* al. Syr. utr. Chrs. ms. al.], tum ἑαυτοῦ [αὐτ. c. BD* al.] et ὑπὲρ ἁμ. [περὶ c. ABC*D* al. Chrs. ms. Thdret.]
4. Rc. ὁ καλούμ. et ὁ Ἀαρ. — Rc. Kn. Sz. καθάπερ. .. Ln. καθώς c. C*D* Chrs. Proc. .. καθώσπ. c. AB.

11 τὴν τάξιν Μελχισεδέκ. [11] Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμή-
12 νευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. [12] καὶ γὰρ ὀφεί-
λοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ
διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ,
13 καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς. [13] πᾶς 1 Cor 3, 2
γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ
14 ἐστιν· [14] τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ
αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ
κακοῦ.

## VI.

1 Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τε-
λειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας
2 ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεόν, [2] βαπτισμῶν διδαχῆς,
ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.
3 4 [3] καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ θεός. [4] ἀδύνατον γάρ,
τοὺς ἅπαξ φωτισθέντας γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου
5 καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου [5] καὶ καλὸν γευσαμένους
6 θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος [6] καὶ παραπεσόντας πά-
λιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν
7 τοῦ θεοῦ καὶ παραδειγματίζοντας. [7] γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐ-
τῆς ἐρχόμενον πολλάκις ὑετὸν καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις
δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ·
8 [8] ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους ἀδόκιμος καὶ κατάρας ἐγ-
γύς, ἧς τὸ τέλος εἰς καῦσιν.
9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα καὶ ἐχό-
10 μενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν. [10] οὐ γὰρ ἄδικος ὁ θεός,
ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς
11 τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. [11] ἐπι-

---

12. Ln. ὑμᾶς τινά. — om. καὶ ante οὐ B** C 17. Vg. Cpt. Or. (3.) Cyr. Chrs. ms. Aug. (hab. 2. Clem.)

Cap. VI. 2. Ln. διδαχήν c. B d. .. h. διαδοχῆς 43. (s. XIII.)

3. Hab. ποιήσωμεν ACD gr. E gr. al. pm. Arm. Thdret. (comm.) Oec.

7. Om. καὶ ante γεωργ. D* Syr. Arr. Vg. d. e.

10. Rc. τοῦ κόπου τῆς ἀγάπ. [Cf. 1 Ths. 1, 3.] — h. διακονοῦντες D* d. e.

θυμοῦμεν δέ, ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς
τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, [12] ἵνα μὴ νωθροὶ γέ- 12
νησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούν-
των τὰς ἐπαγγελίας. [13] τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεός, 13
ἐπεὶ κατ' οὐδενὸς εἶχεν μείζονος ὀμόσαι, ὤμοσεν καθ' ἑαυτοῦ,
* Gn 22, 17. [14] λέγων· Εἰ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ 14
σε· [15] καὶ οὕτως μακροθυμήσας ἐπέτυχεν τῆς ἐπαγγελίας. [16] ἄν- 15 16
θρωποι γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσιν, καὶ πάσης αὐτοῖς ἀντι-
λογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· [17] ἐν ᾧ περισσότερον βουλόμενος 17
ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον
τῆς βουλῆς αὐτοῦ ἐμεσίτευσεν ὅρκῳ, [18] ἵνα διὰ δύο πραγμάτων 18
ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι θεόν, ἰσχυρὰν παράκλη-
σιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος·
[19] ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ 19
εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, [20] ὅπου πρό- 20
δρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ
ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

## VII.

* Gn. 14, 18 sqq. Οὗτος γὰρ ὁ Μελχισεδέκ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ θεοῦ 1
τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς
Heb. 7, 4. τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν, [2] ᾧ καὶ δεκάτην ἀπὸ πάντων 2
ἐμέρισεν Ἀβραάμ, πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης
ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστιν βασιλεὺς εἰρήνης, [3] ἀπάτωρ, 3
ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων,
ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.
Heb. 7, 2. [4] θεωρεῖτε δέ, πηλίκος οὗτος ᾧ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν 4
ἀκροθινίων ὁ πατριάρχης. [5] καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερα- 5
τείαν λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν

---

14. Rc. Kn. Sz. ἦ μήν. [εἰ μ. c. ABCDE al. Did. Damsc.]
16. Rc. Kn. Sz. μὲν γάρ. [om. c. ABD* al. Vg. d. e. al. Cyr. Ambr.]
17. Hab. περισσοτέρως B et ἐπιδείξασθαι A 47. Thphyl.
18. Hab. τὸν θεόν AC al. Cyr. Did. Chrs.
19. Ln. ἀσφαλῆν c. ACD al.
Cap. VII. 1. Ln. ὃς συναντ. c. ABDE al. — 2. h. παντός B.
4. Rc. Kn. Sz. ᾧ καί. [om. c. BD* d. e. Tol. al.]

νόμον, τουτέστιν τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ
6 τῆς ὀσφύος Ἀβραάμ· [6] ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκά-
7 τωκεν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν. [7] χωρὶς
δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.
8 [8] καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ
9 δὲ μαρτυρούμενος ὅτι ζῇ. [9] καὶ ὡς ἔπος εἰπεῖν, δι' Ἀβραὰμ καὶ
10 Λευῒς ὁ δεκάτας λαμβάνων δεδεκάτωται· [10] ἔτι γὰρ ἐν τῇ ὀσφύϊ
11 τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ Μελχισεδέκ. [11] εἰ μὲν οὖν
τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, ὁ λαὸς γὰρ ἐπ' αὐτῆς
νενομοθέτηται, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον
12 ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; [12] μετα-
τιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γί-
13 νεται. [13] ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ'
14 ἧς οὐδεὶς προσέσχεν τῷ θυσιαστηρίῳ· [14] πρόδηλον γάρ, ὅτι ἐξ
Ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν, εἰς ἣν φυλὴν περὶ ἱερέων οὐδὲν
15 Μωϋσῆς ἐλάλησεν. [15] καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ
16 κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, [16] ὃς οὐ
κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς
17 ἀκαταλύτου. [17] μαρτυρεῖται γάρ· ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ * Ps. 110, 4. Heb. 5, 6.
18 τὴν τάξιν Μελχισεδέκ. [18] ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης
19 ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές· [19] οὐδὲν γὰρ ἐτελείω-
σεν ὁ νόμος· ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν
20 τῷ θεῷ. [20] καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας, — οἱ μὲν γὰρ
21 χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, [21] ὁ δὲ μεθ' ὁρκωμοσίας

---

6. Rc. Kn. Sz. τὸν Ἀβρ. [om. c. BCD* al.] — h. εὐλόγησεν (s. ηὐλ. ut AD, inde Ln. ηὐλόγηκεν) AC al. Chrs.
9. Rc. Kn. Sz. Λευΐ. [Λευΐς c. AB.]
10. Rc. Kn. Sz. ὁ Μελχ. [om. c. BCD* al. Chrs.]
11. Rc. Kn. Sz. ἐπ' αὐτῇ [-τῆς c. ABCD*E al. Cyr. .. h. -τήν 39. al. Thphyl.] νενομοθέτητο. [-ται c. ABCD* al. Cyr.]
12. Om. καὶ νόμ. B.
13. προσέσχ. c. AC al. Oec. .. Rc. Kn. Sz. Ln. προσέσχηκεν .. etiam προσέστηκεν, μετέσχεν leg.
14. Rc. Kn. Sz. οὐδὲν περὶ ἱερωσύνης. [π. ἱερέων οὐδ. c. ABC*D*E al.; vv. m.; Cyr. Chrs.]
16. Rc. Kn. Sz. σαρκικῆς. [-νης c. ABCD* al. m. Dion. alex. Cyr. Chrs. ms. Damsc.] et v. 17. μαρτυρεῖ.
19. Hab. ἐγγίζωμεν A al.

Heb. 7, 17. διὰ τοῦ λέγοντος πρὸς αὐτόν· Ὤμοσεν κύριος, καὶ οὐ μεταμελη-
Heb. 8, 6. θήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα· — [22]κατὰ τοσοῦτο κρείττονος 22
διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. [23]καὶ οἱ μὲν πλείονές εἰσιν ἱερεῖς 23
γεγονότες διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν· [24]ὁ δέ, διὰ τὸ 24
μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην· [25]ὅθεν 25
καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ
τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. [26]τοιοῦτος 26
γὰρ ἡμῖν καὶ ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρι-
σμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενό-
μενος, [27]ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, 27
πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν
τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. [28]ὁ νό- 28
μος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λό-
γος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τε-
τελειωμένον.

## VIII.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, 1
ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,
[2]τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν 2
Heb. 5, 1. ὁ κύριος, οὐκ ἄνθρωπος. [3]πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν 3
δῶρά τε καὶ θυσίας καθίσταται, ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦ-
τον ὃ προσενέγκῃ. [4]εἰ μὲν οὖν ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς, ὄν- 4
*Ex. 25, 40. των τῶν προσφερόντων κατὰ νόμον τὰ δῶρα, [5]οἵτινες ὑποδείγματι 5
καὶ σκιᾷ λατρεύουσιν τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋ-
σῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν· Ὅρα γάρ, φησίν, ποιήσεις πάντα
κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει· [6]νῦν δὲ διαφόρω- 6

---

21. Rc. Kn. Sz. Ln. add. in f. κατὰ τὴν τάξιν Μελχισεδέκ. .. om. c. BC al. Sah. Basm. Arm. Vg. (etiam Am.) Ambr.

22. Rc. Kn. Sz. τοσοῦτον. [-το c. ABD* al. Ath. . . add. καί B Damsc.]

26. Rc. Kn. (Sz. lectiones confundit.) om. καί ante ἔπρ. [scr. c. ABDgr. Egr. Syr. Erp. Eus.]

Cap. VIII. 2. Rc. Kn. Sz. καὶ οὐκ. [om. c. BD* 17. Arr. d. e. Eus.]

4. Rc. Kn. μὲν γάρ. [οὖν c. ABD* al. Vg. d. e. al.] — Rc. Kn. Sz. ὄντ. τῶν ἱερέων [om. c. ABD*E al. Vg. d. e. al.] et κατὰ τόν. [om. c. AB al.]

5. Rc. Kn. ποιήσῃς. [-σεις c. ABD al. pl. Or. Chrs. al.]

τέρας τέτυχεν λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστιν διαθήκης με- Heb. 7, 22.
7 σίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. [7] Εἰ γὰρ ἡ
8 πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. [8] μεμ-
φόμενος γὰρ αὐτοὺς λέγει· Ἰδού, ἡμέραι ἔρχονται, λέγει κύριος, *Jer. 31, 31-34.
καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα δια-
9 θήκην καινήν, [9] οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν
αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν
αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ
10 μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος. [10] ὅτι αὕτη ἡ διαθήκη Heb. 10, 16.
ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει
κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρ-
δίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν καὶ αὐ- 2 Cor. 6, 16.
11 τοὶ ἔσονταί μοι εἰς λαόν. [11] καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πο-
λίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· Γνῶθι τὸν
κύριον· ὅτι πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν,
12 [12] ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν Heb. 10, 17.
13 οὐ μὴ μνησθῶ ἔτι. [13] ἐν τῷ λέγειν καινὴν πεπαλαίωκεν τὴν πρώ-
την· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.

## IX.

1 Εἶχεν μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας τό τε ἅγιον
2 κοσμικόν. [2] σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία *Ex. 40, 2 sqq.
καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια.
3 [3] μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων,
4 [4] χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περι-

6. Rc. Kn. Sz. τέτευχε. [τέτυχ. c. AD* al. Ath. al. . . h. τετύχηκεν 27. al. m. Ath. Bas. Chrs. al.] — om. καί D* gr. Egr. al. Thdret. ed. Damsc.
8. Rc. Kn. Sz. αὐτοῖς. [-τούς c. AD* al. Thdret.]
10. Ln. διαθ. (μου) ἥν c. AD gr. Egr. — h. καρδίαν 70. al. Clem.
11. Rc. pro πολίτην h. πλησίον. — om. αὐτοῦ ante λέγ. D* E 46. d. e. — Rc. Kn. Sz. μικρ. αὐτῶν. [om. c. ABD* E al. Vg. d. e. al. Clem. al.]
12. Rc. Kn. Sz. Ln. ἁμαρτ. αὐτ. καὶ τῶν ἀνομιῶν αὐτῶν. . . om. c. B 17. 23. al. Syr. Erp. Cpt. Basm. Vg. Clem. . . ante κ. τ. ἁμαρτ. pon. Chrs. et h. ἔσομ. ταῖς ἁμαρτίαις αὐτ. καὶ τῶν ἀνομιῶν etc. Cyr.

Cap. IX. 1. Rc. πρώτ. σκηνή. . . h. πρ. ἐκείνη 37; etiam διαθήκη add.
2. Ln. ἅγια ἁγίων c. AD* E d. e. . . h. τὰ ἅγια B.
3. Hab. τὰ ἅγια τῶν BD** al. Cpt. Basm.
4. Om. χρ. θυμιατ. καί et v. 2. post ἄρτων add. καὶ τὸ χρ. θυμ. B Basm.

κεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ
μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς δια-
θήκης· [5] ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ 5
ἱλαστήριον, περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ μέρος. [6] Τούτων 6
δὲ οὕτως κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς
εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, [7] εἰς δὲ τὴν δευτέραν 7
ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος ὃ προσ-
φέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, [8] τοῦτο δηλοῦν- 8
τος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων
ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν, [9] ἥτις παραβολὴ εἰς 9
τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ᾽ ἣν δῶρά τε καὶ θυσίαι προσ-
φέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα,
[10] μόνον ἐπὶ βρώμασιν καὶ πόμασιν καὶ διαφόροις βαπτισμοῖς, δι- 10
καιώματα σαρκὸς μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν γενομένων ἀγαθῶν, 11
διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν
οὐ ταύτης τῆς κτίσεως, [12] οὐδὲ δι᾽ αἵματος τράγων καὶ μόσχων, 12
διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν
λύτρωσιν εὑράμενος. [13] εἰ γὰρ τὸ αἷμα τράγων καὶ ταύρων καὶ 13
σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν
τῆς σαρκὸς καθαρότητα, [14] πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, 14
ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ,
καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν
θεῷ ζῶντι.

Heb. 12, 24. Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν, ὅπως θανάτου 15
γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων
τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

---

5. LN. Χερουβεὶν c. B. (h. -βὶν D*, -βεὶμ A.) — Sz. per error. τῆς δόξ. . . ita D.
9. Rc. KN. καθ᾽ ὅν. [ἣν c. ABD* gr. al. Sl. ms. Vg. Damsc. Oec. (comm.)]
10. Rc. καὶ δικαιώμασι. . . h. δικαίωμα D* Sah. d. e.
11. Rc. KN. Sz. pro γενομ. [c. BD* Syr. utr. d. e. Chrs.] h. μελλόντων.
12. Hab. εὑρόμενος D* E al. Chrs. ms. al.
14. Pro αἰων. h. ἁγίου D* al. m. Vg. d. e. al. Cyr. Ath. (alic.) Did. al. — Rc. Sz. συνείδ. ὑμῶν. — LN. in f. add. καὶ ἀληθινῷ c. A al. Cpt. Sl. Chrs. Mac. Thphyl.

16 [16]ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου·
17 [17]διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ
18 διαθέμενος· [18]ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.
19 [19]λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ τὸν νόμον ὑπὸ Μωϋσέως
παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τῶν τράγων μετὰ
ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ
20 πάντα τὸν λαὸν ἐράντισεν, [20]λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης * Ex. 24, 8.
21 ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός. [21]καὶ τὴν σκηνὴν δὲ καὶ πάντα
22 τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐράντισεν. [22]καὶ σχε-
δὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱ-
23 ματεκχυσίας οὐ γίνεται ἄφεσις. [23]ἀνάγκη οὖν, τὰ μὲν ὑποδείγματα
τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια
24 κρείττοσιν θυσίαις παρὰ ταύτας. [24]οὐ γὰρ εἰς χειροποίητα ἅγια
εἰσῆλθεν Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν
οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν,
25 [25]οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσ-
26 έρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ· [26]ἐπεὶ ἔδει
αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου, νυνὶ δὲ ἅπαξ ἐπὶ
συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ
27 πεφανέρωται. [27]καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ
28 ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, [28]οὕτως καὶ ὁ Χριστός, ἅπαξ
προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χω-
ρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

## X.

1 Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν Col. 2, 17.

---

17. Pro *μήποτ.* h. *μὴ τότε* D*; Isid. utrque commemorat. — Ln. *ὁ διαθέμενος;* (sic interpg.)

19. Rc. Kn. Sz. om. *τόν* ante *νόμ.* [scr. c. ACD* al. Cpt. Basm. Chrs. ms. Thdret. Thphyl.] et *τῶν* ante *τράγ.* [scr. c. ACDE al. . . om. *κ. τ. τράγ.* 46. al. Syr. Ar. Chrs.; pon. *τ. τράγ. κ. τ. μόσχ.* DE Aeth.], iid. (etiam v. 21.) *ἐῤῥάντ.* [*ἐράντ.* c. ACDE al.; etiam v. 21.]

21. Cf. ad v. 19.

24. Ln. *εἰσῆλθ. ἅγ.* c. A. — Rc. Kn. Sz. *ὁ Χρ.* [ctra AC*D* al.]

26. Pro *πολλάκ.* h. *πολλά* D*E gr. — Ln. *τῆς ἁμαρτ.* c. A 17. (non Or.)

28. Rc. om. *καί* post *οὕτ.* — Ln. in f. add. *διὰ πίστεως* c. A al. Syr. p. Sl. ms. Damsc.; etiam ante *εἰς* pon.

*τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις αἷς
προσφέρουσιν εἰς τὸ διηνεκές, οὐδέποτε δύνανται τοὺς προσερχομέ-
νους τελειῶσαι· 2 ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ* 2
*μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας ἅπαξ
κεκαθαρισμένους; 3 ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυ-* 3
*τόν· 4 ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.* 4
* Ps. 40, *5 διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· Θυσίαν καὶ προσφορὰν* 5
6-8. (7-9.) *οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι, 6 ὁλοκαυτώματα καὶ περὶ* 6
*ἁμαρτίας οὐκ ηὐδόκησας· 7 τότε εἶπον· Ἰδού, ἥκω — ἐν κεφαλίδι* 7
*βιβλίου γέγραπται περὶ ἐμοῦ — τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέλημά
σου. 8 ἀνώτερον λέγων· ὅτι θυσίας καὶ προσφορὰς καὶ ὁλοκαυτώ-* 8
*ματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδὲ ηὐδόκησας, αἵτινες
κατὰ νόμον προσφέρονται, 9 τότε εἴρηκεν· Ἰδού, ἥκω τοῦ ποιῆσαι* 9
*τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ, 10 ἐν* 10
*ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰη-
σοῦ Χριστοῦ ἐφάπαξ.*

*Καὶ πᾶς μὲν ἀρχιερεὺς ἕστηκεν καθ' ἡμέραν λειτουργῶν καὶ* 11
*τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται
περιελεῖν ἁμαρτίας· 12 οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας* 12
* Ps. *θυσίαν εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, 13 τὸ λοιπὸν* 13
110, 1. Heb. 2, *ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν*
8. *αὐτοῦ. 14 μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγια-* 14
*ζομένους. 15 μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον· μετὰ γὰρ* 15

Cap. X. 1. Ln. om. *αἷς* c. A (A** tum h. *αἱ οὐδέπ.*) al. Arm. .. Rc. Kn. Sz. *ἃς .. αἷς* c. D* 73. fragm. vet.; Chrs. ms. Thdret. — Rc. Kn. Sz. *δύναται.* [ctra A C al. pl. Syr. Erp. Sl. ms. Chrs. ms. Thdret. (comm.) al.]

2. Rc. om. *οὐκ.* — om. *ἔτι* D* d. e. Chrs. — Rc. Kn. Sz. *κεκαθαρμένους.* [*κεκαθαρισμ.* c. A C (A C *κεκαθεερισμ.* et sic Ln.) D*E al. m.]

5. Pro *σῶμα* h. *ὠτία* Syr. p. in m.

8. Rc. Kn. Sz. *θυσίαν κ. προσφοράν.* [-*ας* bis c. AD* al. Syr. Vg. d. e. al. Cyr.] — h. *π. ἁμαρτιῶν* DE d. e. — Rc. Kn. Sz. *κατὰ τόν.* [om. c. A C al. Sah. Cyr. Chrs. Thdret.]

9. Rc. et Kn. (—) *ποιῆσ. ὁ θεός.*

10. Hab. *οἱ διά* D**E in m. al. pm. Sl. ms. Damsc. al. — h. *τοῦ αἵματος* D*E d. e. — Rc. *τοῦ Ἰ. Χρ.*

11. Rc. Kn. Sz. *ἱερεύς.* [*ἀρχ.* c. AC al. pm. Syr. Erp. al. Cyr. Thdret. al.] — om. *καί* post *λειτ.* D*E d. e.

12. Rc. *αὐτὸς δέ.* — Ln. *ἐκ δεξιῶν* c. A 31. Pseudo-Ign.

16 τὸ εἰρηκέναι· 16 Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ * Jer. 31, 33.
τὰς ἡμέρας ἐκείνας, λέγει κύριος· Διδοὺς νόμους μου ἐπὶ καρδίας 34.
17 αὐτῶν, καὶ ἐπὶ τὴν διάνοιαν αὐτῶν ἐπιγράψω αὐτούς, 17 καὶ τῶν Heb. 8, 10. 12.
ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθήσομαι ἔτι.
18 18 ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.
19 Ἔχοντες οὖν, ἀδελφοί, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων
20 ἐν τῷ αἵματι Ἰησοῦ, 20 ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ
ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστιν τῆς σαρκὸς αὐτοῦ,
21 22 21 καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ, 22 προσερχώμεθα μετ᾽
ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ῥεραντισμένοι τὰς καρ-
23 δίας ἀπὸ συνειδήσεως πονηρᾶς, 23 καὶ λελουμένοι τὸ σῶμα ὕδατι
καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ
24 ὁ ἐπαγγειλάμενος· 24 καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν
25 ἀγάπης καὶ καλῶν ἔργων, 25 μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν
ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλ-
λον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.
26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπί-
γνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία,
27 27 φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλον-
28 τος τοὺς ὑπεναντίους. 28 ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰ- * Dt. 17, 6.
29 κτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνήσκει· 29 πόσῳ, δοκεῖτε,
χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας
καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ
30 τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας. 30 οἴδαμεν γὰρ τὸν εἰπόντα· * Dt. 32, 35.
Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω. καὶ πάλιν· Κρινεῖ κύριος τὸν Rom. 12, 19.
31 λαὸν αὐτοῦ. 31 φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. * Ps. 135, 14.
32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες

---

15. Rc. Kn. Sz. προειρηκ. [εἰρ. c. ACDE al. m.; vv. pl.; Chrs. al.]
16. Rc. Kn. Sz. τῶν διανοιῶν. [ctra ACD*gr. al. Vg. ms. Am.] — add. in f. ὕστερον λέγει 29. al. m. Basm. al.
17. Om. αὐτ. post ἁμαρτ. D* al. Vg. d. e. Ambr. — Rc. Kn. Sz. μνησθῶ. [ctra ACD*E 17. Cpt. Basm.]
22. Rc. Kn. Sz. ἐῤῥαντισμ. [ῥεραντ. c. A 31. 39. al. .. h. ἐραντισμ. D 37.]
29. Ln. om. ἐν ᾧ ἡγ. c. A Chrs.
30. Rc. Sz. Ln. et Kn. (—) ἀνταποδ., λέγει κύριος. .. om. c. D* 17. 67.** al. Syr. Erp. Cpt. Aeth. Vg. d. e.

πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, [33] τοῦτο μὲν ὀνειδισμοῖς 33
τε καὶ θλίψεσιν θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀνα-
στρεφομένων γενηθέντες. *[34] καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε, 34
καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε,
γινώσκοντες ἔχειν ἑαυτοὺς κρείττονα ὕπαρξιν καὶ μένουσαν. [35] μὴ 35
ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μεγάλην μισθαπο-
δοσίαν. [36] ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ θεοῦ 36
• Hab. 2, 3. 4. ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν· [37] Ἔτι γὰρ μικρὸν ὅσον 37
Rom. 1, 17. ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ· [38] ὁ δὲ δίκαιός μου ἐκ πί- 38
στεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν
αὐτῷ. [39] ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πί- 39
στεως εἰς περιποίησιν ψυχῆς.

## XI.

Ἔστιν δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος 1
οὐ βλεπομένων. [2] ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. 2
[3] Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ 3
• Gn. 4, 4. ἐκ φαινομένων τὸ βλεπόμενον γεγονέναι. [4] Πίστει πλείονα θυσίαν 4
Ἄβελ παρὰ Κάϊν προσήνεγκεν τῷ θεῷ, δι᾽ ἧς ἐμαρτυρήθη εἶναι
δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ, καὶ δι᾽
• Gn. 5, 24. αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. [5] Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν 5
θάνατον, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός. πρὸ
γὰρ τῆς μεταθέσεως μεμαρτύρηται εὐαρεστηκέναι τῷ θεῷ· [6] χωρὶς 6
δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσ-

---

34. Rc. τοῖς δεσμοῖς μου (sic Clem.; h. τοῖς δεσμοῖς Or.) et ἐν ἑαυτοῖς. . . Kn. Sz. ἑαυτοῖς. [ἑαυτούς c. A al. Syr. Vg. d. e. al. Clem.] — Rc. Kn. Sz. ὕπαρξ. ἐν οὐρανοῖς. [om. c. AD* 17. Cpt. Aeth. Vg. d. e. Clem.]

38. Rc. Kn. Sz. om. μοῦ. [scr. c. A Arm. Vg. Clem. (totum loc. cit.) Eus. (alic.) Thdret. (alic.) Proc. Sedul. . . post πίστ. add. μοῦ D* Syr. Cpt. d. e. Eus. Thdret. (alic.) Cypr. Hier.]

Cap. XI. 3. Pon. τὸ ἐκ μὴ (Syr. Vg. d. e.) Ath. Chrs. (comm.) al. — Rc. Kn. Sz. τὰ βλεπόμενα. [τὸ βλ. c. AD*E 17. Cpt. d. e. Clem. Ath. al.]

4. Ln. τῷ θεῷ c. AD* 17. — Rc. λαλεῖται. [λαλεῖ c. A al. pm. Syr. utr. Vg. (non d. e. Har.) al. Clem. (ante h. αὐτῷ τοῦ θεοῦ) Or. Gr. nyss. Chrs. (comm.) al. m.]

5. Rc. Kn. Sz. μεταθέσ. αὐτοῦ. [om. c. AD* al. Vg. d. e.] — Rc. Kn. Sz. εὐηρεστηκ. [εὐαρεστ. c. A al. m.]

ἐρχόμενον τῷ θεῷ, ὅτι ἔστιν καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαπο-
7 δότης γίνεται. [7] Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλε- * Gn. 6, 8 sqq.
πομένων, εὐλαβηθεὶς κατεσκεύασεν κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου
αὐτοῦ, δι' ἧς κατέκρινεν τὸν κόσμον καὶ τῆς κατὰ πίστιν δικαιο-
8 σύνης ἐγένετο κληρονόμος. [8] Πίστει ὁ καλούμενος Ἀβραὰμ ὑπήκου- * Gn. 12, 1. 4.
σεν ἐξελθεῖν εἰς τόπον ὃν ἔμελλεν λαμβάνειν εἰς κληρονομίαν, καὶ
9 ἐξῆλθεν μὴ ἐπιστάμενος ποῦ ἔρχεται. [9] πίστει παρῴκησεν εἰς γῆν
τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας, μετὰ Ἰσαὰκ
10 καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς· [10] ἐξ-
εδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δη-
11 μιουργὸς ὁ θεός. [11] Πίστει καὶ αὐτὴ Σάῤῥα δύναμιν εἰς κατα- * Gn. 17, 19.
βολὴν σπέρματος ἔλαβεν καὶ παρὰ καιρὸν ἡλικίας, ἐπεὶ πιστὸν
12 ἡγήσατο τὸν ἐπαγγειλάμενον. [12] διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ
ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ * Gn. 15, 5. et 22, 17.
ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.
13 [13] Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγε- * Gn. 23, 4.
λίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμο- * Ps. 39, 12 (13.)
14 λογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. [14] οἱ γὰρ
15 τοιαῦτα λέγοντες ἐμφανίζουσιν, ὅτι πατρίδα ἐπιζητοῦσιν. [15] καὶ εἰ
μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξέβησαν, εἶχον ἂν καιρὸν ἀνα-
16 κάμψαι· [16] νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου.
διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς ἐπικαλεῖσθαι αὐτῶν·
17 ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν. [17] Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν * Gn. 22, 1 sqq.
Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας
18 ἀναδεξάμενος, [18] πρὸς ὃν ἐλαλήθη· ὅτι ἐν Ἰσαὰκ κληθήσεταί * Gn. 21, 12. Rom. 9, 7.

---

8. Rc. Kn. Sz. om. ὁ. [scr. c. AD* Arm. Vg. Thdret.] et h. τὸν τόπ. [om. c. AD*.]

9. Rc. Kn. Sz. τὴν γῆν. [om. c. A al. pl. Oec.]

11. Rc. ἡλικίας ἔτεκεν. [om. c. A D* 17. Vg. d. e. al. Chrs. ms.; sed pro καὶ post ἔλαβ. h. εἰς τὸ τεκνῶσαι D* gr. E gr. 116. Arm.]

12. Ln. ἐγενήθησαν c. AD* (si recte Wtst.) al.; orti sunt Vg. d. e. — Rc. pro ὡς ἡ h. ὡσεί. — om. ἡ παρὰ τὸ χ. D* E d. e. Aeth.

13. Ln. pro λαβόντ. h. προσδεξάμενοι c. A. .. κομισάμενοι 17. al. Chrs. (2.) al. — Rc. ἰδ. καὶ πεισθέντες κ. ἀσπ.

15. Rc. Kn. Sz. ἐξῆλθον. [ἐξέβ. c. A D* E al. Chron. alex. Damsc.]

σοι σπέρμα, 19 λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς 19
* Gn. 27, 28. ὁ θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. 20 πίστει καὶ 20
* Gn. 48, 15 sqq. et 47, 31. περὶ μελλόντων ηὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. 21 πί- 21
στει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησεν καὶ
* Gn. 50, 24. προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. 22 πίστει Ἰωσὴφ 22
τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσεν καὶ περὶ
* Ex. 2, 2 sqq. τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. 23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη 23
τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον,
καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. 24 πίστει Μωϋ- 24
σῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ,
25 μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ ἢ πρόσ- 25
καιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, 26 μείζονα πλοῦτον ἡγησάμενος 26
τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπεν
γὰρ εἰς τὴν μισθαποδοσίαν. 27 πίστει κατέλιπεν Αἴγυπτον, μὴ 27
φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν
* Ex. 12, 11 sqq. ἐκαρτέρησεν. 28 πίστει πεποίηκεν τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ 28
* Ex. 14, 22. αἵματος, ἵνα μὴ ὁ ὀλεθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. 29 πί- 29
στει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς γῆς, ἧς πεῖραν
* Jos. 6, 20. λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν. 30 Πίστει τὰ τείχη Ἰεριχὼ 30
* Jos. 2, 1. et 6, 17. Jac. 2, 25. ἔπεσαν κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. 31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ 31
συναπώλετο τοῖς ἀπειθήσασιν, δεξαμένη τοὺς κατασκόπους μετ'
εἰρήνης. 32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρό- 32
νος περὶ Γεδεών, Βαράκ, Σαμψών, Ἰεφθάε, Δαυίδ τε καὶ Σα-

---

19. Rc. Kn. Sz. *ἐγείρειν.* [-ραι c. A al. Cyr. Chron. alex.] — Ln. *δύναται* c. A. (h. *ἐγείρειν δυνατός* Or.)

20. Rc. Kn. Sz. om. *καί* ante *περί.* [scr. c. AD* 17. 67.** al. Vg. d. e. Chrs. (text.) Thdret. Damsc.]

23. Om. *εἰδ.* 44. (s. XIII.) 47. (s. XI.) al. — Ln. *τὸ δόγμα* c. A (vdtr; sed omnes literae praeter *δ* abscissae s.) 34. (s. XII.)

26. Rc. *τῶν ἐν Αἰγύπτῳ*. . . Ln. *τ. ἐν Αἰγύπτου* c. A al. . . h. *τ. Αἰγυπτίων* 23. Arm. Vg. [*τ. Αἰγύπτου* c. bDE al. pl. Syr. al. Clem. Eus. Chrs. al.]

28. Rc. Kn. Sz. *ὀλοθρεύων.* [*ὀλεθρ.* c. ADE Damsc.]

29. Rc. Kn. Sz. om. *γῆς.* [scr. c. AD*E al.; vv. m.; Chrs. Thdret. ms.] — h. *κατεποντίσθησαν* 10. al. m. Chrs. (2.) Thdret.

32. Ln. pon. *μὲ γάρ* c. AD. — Rc. Kn. Sz. *Βαρ. τε* [om. c. AD Vg. d. e. (h. *καὶ Βαρ.* D d. e.) Clem.] *καὶ Σαμψ. καὶ Ἰεφθ.* [om. utrque c. A 17. Vg. al. Clem. al.; prius etiam c. d. e.]

33 *μονὴλ καὶ τῶν προφητῶν,* [33] *οἳ διὰ πίστεως κατηγωνίσαντο βα-*
*σιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν*
34 *στόματα λεόντων,* [34] *ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μα-*
*χαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν*
35 *πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων·* [35] *ἔλαβον γυναῖκες ἐξ ἀνα-*
*στάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσ-*
*δεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν·*
36 [36] *ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν*
37 *καὶ φυλακῆς·* [37] *ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ*
*μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν,*
38 *ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι,* [38] *ὧν οὐκ ἦν ἄξιος ὁ*
*κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς*
39 *ὀπαῖς τῆς γῆς.* [39] *καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως*
40 *οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,* [40] *τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν*
*τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.*

## XII.

1 *Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέ-*
*φος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον*
*ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα,*
2 [2] *ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς*
*ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινεν σταυρόν, αἰσχύνης κατα-*
3 *φρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ κεκάθικεν.* [3] *ἀναλογί-*
*σασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς*
*ἑαυτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.*

---

34. Ln. *μαχαίρης* et *ἐδυναμ.* c. AD*.
35. Ln. *γυναῖκας* c. AD*. (*accep. mulieres de resurrect. mortuorum suorum* d. e.)
37. Om. *ἐπρίσθησ.* Aeth. Clem. (pro *ἐπρ.* D* habere *ἐπειράσθησ.* refert Wtst.) — om. *ἐπειράσθ.* 2. al. Syr. Erp. Aeth. Or. (1; h. 4.) Eus. Thphyl. .. h. *ἐπρήσθ.* 110. 111. .. ante *ἐπρίσθ.* pon. 17. — Ln. *μαχαίρης* c. D* (in A ultimae literae abscissae s.)
38. Ln. *ἐπὶ ἐρημ.* c. A al. Or. (1; *ἐν* Clem. Or. 2.) Socr.
39. Ln. *τὰς ἐπαγγελίας* c. A 80. Ar. pol. (nec Clem. nec Or.)

Cap. XII. 2. Rc. pro *κεκάθ.* h. *ἐκάθισεν.* (sic Or.)
3. Rc. Kn. Sz. *αὐτόν.* [*ἑαυτ.* c. A. .. h. *ἑαυτούς* D*E Syr. Erp. Vg. ms. Am. Thphyl.; in vobis d. e.] — h. *ἐκλελυμένοι* D*.

*Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγω-* 4
* Prov. 3, 11. 12. *νιζόμενοι,* 5 *καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς* 5
*διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου*
*ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος·* 6 *ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ* 6
*δὲ πάντα υἱὸν ὃν παραδέχεται.* 7 *εἰς παιδείαν ὑπομένετε. ὡς υἱοῖς* 7
*ὑμῖν προσφέρεται ὁ θεός· τίς γὰρ υἱὸς ὃν οὐ παιδεύει πατήρ;* 8 *εἰ* 8
*δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασιν πάντες, ἄρα νόθοι*
*καὶ οὐχ υἱοί ἐστε.* 9 *εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχο-* 9
*μεν παιδευτὰς καὶ ἐνετρεπόμεθα· οὐ πολὺ μᾶλλον ὑποταγησόμεθα*
*τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν;* 10 *οἱ μὲν γὰρ πρὸς ὀλίγας* 10
*ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον*
*εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.* 11 *πᾶσα δὲ παιδεία πρὸς* 11
*μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι ἀλλὰ λύπης, ὕστερον δὲ καρ-*
*πὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης.*
* Es. 35, 3. *Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀν-* 12
* Prov. 4, 26. *ορθώσατε,* 13 *καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα* 13
*μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.* 14 *εἰρήνην διώκετε μετὰ* 14
*πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον·*
* Dt. 29, 18. 15 *ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ, μή* 15
*τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ δι᾽ αὐτῆς μιανθῶσιν οἱ*
* Gn. 25, 31 sqq. *πολλοί,* 16 *μή τις πόρνος ἢ βέβηλος ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς* 16
*ἀπέδοτο τὰ πρωτοτόκια ἑαυτοῦ.* 17 *ἴστε γάρ, ὅτι καὶ μετέπειτα* 17
*θέλων κληρονομῆσαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη· μετανοίας γὰρ*
*τόπον οὐχ εὗρεν, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.*

---

4. Hab. *ἀντεκατέστ.* 1. al. m. Chrs. ms. Thdret. Thphyl. ms.

5. Hab. *ἐκλέλυσθε* 106. al. Chrs. (comm.) Thphyl. ms. — om. *μου* D* al. d. e. Clem. (1.) Thdret. ms.

7. Rc. Kn. Sz. pro *εἰς* [c. ADE al. pl. Chrs. ms. Proc. Damsc. Thphyl. ms. et (in disciplina perseverate) Vg. d. e. Syr. Arr. Cpt. Aeth. Arm.] h. *εἰ*, tum *γάρ ἐστιν* [om. c. A Vg. Sah. Or.].

9. Rc. Kn. Sz. *πολλῷ.* [*πολύ* c. A D* (add. *δέ* D*.)]

11. Om. *δέ* post *πᾶσα* D* al. Arm. Chrs. ms. (1.); etiam *μέν* leg.

15. Rc. Kn. Sz. *διὰ ταύτης* [*δι᾽ αὐτ.* c. A 17. 67.** al. Clem. al.] et om. *οἱ* [scr. c. A. 47. Clem. Thdret.].

16. Om. *ὅς* D*gr. — Ln. *ἀπέδετο* c. A. — Rc. Kn. Sz. *αὐτοῦ.* [*ἑαυτ.* c. A. . . om. Arm. Clem.]

18 Οὐ γάρ· προσεληλύθατε ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρὶ ᵃ Dt. 4, 11.
19 καὶ γνόφῳ καὶ ζόφῳ καὶ θυέλλῃ 19 καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ᵃ Ex. 19, 16.
ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς
20 λόγον· 20 οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· Κἂν θηρίον θίγῃ ᵃ Ex. 19, 12. 13.
21 τοῦ ὄρους, λιθοβοληθήσεται· 21 καί, οὕτως φοβερὸν ἦν τὸ φαντα- ᵃ Dt. 9, 19.
22 ζόμενον, Μωϋσῆς εἶπεν· Ἔκφοβός εἰμι καὶ ἔντρομος· 22 ἀλλὰ προσ-
εληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρα-
23 νίῳ, καὶ μυριάσιν, ἀγγέλων 23 πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων
ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύ-
24 μασιν δικαίων τετελειωμένων, 24 καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, Heb. 9, 15.
25 καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. 25 βλέ-
πετε μὴ παραιτήσησθε τὸν λαλοῦντα· εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον
ἐπὶ γῆς παραιτησάμενοι τὸν χρηματίζοντα, πολὺ μᾶλλον ἡμεῖς οἱ
26 τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι, 26 οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευ- ᵃ Hagg. 2, 6.
σεν τότε, νῦν δὲ ἐπήγγελται λέγων· Ἔτι ἅπαξ ἐγὼ σείσω οὐ μόνον
27 τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. 27 τὸ δέ· Ἔτι ἅπαξ, δηλοῖ τῶν
σαλευομένων μετάθεσιν ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευό-
28 μενα. 28 διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν,
δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ θεῷ, μετὰ εὐλαβείας καὶ δέους·
29 29 καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον. ᵃ Dt. 4, 24.

---

18. Rc. Kn. Sz. post ψηλαφ. add. ὄρει. [om. c. AC al. Syr. Erp. Cpt. Sah. Aeth. d. Vg. ms. Am. Chrs. (comm.) al.; etiam ante ψηλαφ. pon.; ita Chrs. (text.) — om. καί ante κεκαυμ. (h. κεκαλυμμένῳ D* gr. Pseudo-Ath.) D* 67.** Sah. Arm. — Rc. Kn. Sz. pro ζόφ. [c. ACD* al.] h. σκότῳ.
19. Ln. προσθεῖναι c. A.
20. Rc. in f. add. ἢ βολίδι κατατοξευθήσεται.
21. Hab. ἔμφοβος 74. al. Chrs. ms. Thdret. Thphyl.
24. Rc. κρείττονα. — h. τὸ Ἄβ. b al. m. Syr. al. Bas. Cyr. al.
25. Rc. τῆς γῆς et Rc. Kn. Sz. ἔφυγον [ἐξ. c. AC al. Vg. d. Sl. Cyr. Epiph. Chrs.] τὸν ἐπί [post παρ. pos. τόν c. ACD al. Cyr. Damsc.; etiam τὸν ἐ. γῆς post παρ. pon.], tum πολλῷ. [πολύ c. ACD* Sah.] — h. ὑμεῖς C 43.
26. Rc. Kn. σείω. [-σω c. AC al. m.; vv. m.; Ath. Cyr. al.]
27. Rc. Kn. Sz. τ. σαλ. τὴν μετ. et Ln. τὴν τ. σαλ. μετ. c. A. .. om. c. CD*. — om. ἵνα usq. σαλ. A.
28. Hab. ἔχομεν 1. al. pm. Vg. al. Ath. al. et λατρεύομεν 1. al. pm. Sl. Ath. al. — h. εὐχαρίστως D* gr. al. — Rc. Kn. Sz. αἰδοῦς κ. εὐλαβ. [εὐλ. κ. δέους c. ACD* al. Cpt. Sl. Chrs. Thphyl. ms. (δ. κ. εὐλ. pon.)

# XIII.

Ἡ φιλαδελφία μενέτω. 2 τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· 1 2
διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. 3 μιμνήσκεσθε 3
τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακουχουμένων ὡς καὶ αὐτοὶ
ὄντες ἐν σώματι. 4 τίμιος ὁ γάμος ἐν πᾶσιν, καὶ ἡ κοίτη ἀμίαντος· 4
πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. 5 ἀφιλάργυρος ὁ τρόπος, 5
* Jos. 1, 5. ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· Οὐ μή σε ἀνῶ οὐδ'
* Ps. 118, 6. οὐ μή σε ἐγκαταλίπω, 6 ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· Κύριος 6
ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;
7 μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λό- 7
γον τοῦ θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μι-
μεῖσθε τὴν πίστιν.

Ἰησοῦς Χριστὸς ἐχθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶ- 8
νας. 9 διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ 9
χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελή-
θησαν οἱ περιπατοῦντες.

Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ 10
* Lv. 4, 12. τῇ σκηνῇ λατρεύοντες. 11 ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα εἰς 11
τὰ ἅγια περὶ ἁμαρτίας διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατα-
καίεται ἔξω τῆς παρεμβολῆς. 12 διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ 12
τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. 13 τοίνυν 13
ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐ-
τοῦ φέροντες· 14 οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν 14
* Ps. 50, 14. et μέλλουσαν ἐπιζητοῦμεν. 15 δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰ- 15
* Hos. 14, 3. νέσεως διὰ παντὸς τῷ θεῷ, τουτέστιν καρπὸν χειλέων ὁμολογούν-
των τῷ ὀνόματι αὐτοῦ.

Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις 16
γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός. 17 πείθεσθε τοῖς ἡγουμένοις 17

---

Cap. XIII. 4. Ln. πόρν. γάρ c. AD* 53. Cpt. Vg. Anton. et Max. (non Clem.)

8. Rc. Kn. Sz. χθές. [ἐχθ. c. AD* al. (non Or.)]

9. Rc. περιφέρ. — Rc. Kn. Sz. οἱ περιπατήσαντες. [-τοῦντες c. AD*.]

10. Om. ἐξουσ. D* 53. d; ante οὐκ pon. Chrs.

11. Rc. Kn. Sz. περ. ἁμ. pon. post αἱμ. [post ἅγ. c. C* al. Syr. al.; om. A Chrs. (1; comm.)]

ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὡς λόγον ἀποδώσοντες
ὑπὲρ τῶν ψυχῶν ὑμῶν· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στε-
νάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.
18 Προσεύχεσθε περὶ ἡμῶν· πειθόμεθα γὰρ ὅτι καλὴν συνείδη-
19 σιν ἔχομεν, ἐν πᾶσιν καλῶς θέλοντες ἀναστρέφεσθαι. [19] περισσο-
τέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.
20 Ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα
τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν κύριον
21 ἡμῶν Ἰησοῦν, [21] καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ
ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον
αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.
22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρα-
23 κλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. [23] γινώσκετε τὸν
ἀδελφὸν ἡμῶν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχη-
24 ται, ὄψομαι ὑμᾶς. [24] ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν
καὶ πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.
25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν.

---

18. Hab. καὶ περί D* Chrs. — Rc. Kn. Sz. πεποίθαμεν. [πειθόμ. c. AC*D* al.]
20. Hab. Χριστὸν Ἰησ. bD* al. pm.; vv. pl.; Chrs. Thdret.
21. Ln. ἔργ. καὶ λόγῳ c. A Chrs. [Cf. 2 Thss. 2, 17.] .. om. ἔργ. D* Vg. d. Fulg. — Ln. αὐτὸς ποιῶν c. C 71. d. .. h. αὐτῷ π. A Gr. nyss. — om. ᾧ ἡ δ. usq. ἀμ. 43. (s. XIII.) al. — Rc. Kn. Sz. Ln. αἰῶνας τῶν αἰώνων... om. c. D al. m. Ar. Arm. Clem. Thdret. (alic.)
22. Ln. ἀνέχεσθαι c. D al. m. Arm. Vg. (non Am.; ut vdtr.)
23. Rc. Kn. Sz. om. ἡμῶν. [scr. c. ACD* al. pm.; vv. pm.; Max.]
*) Rc. et Kn. (—) subscr. h. Πρὸς Ἑβραίους ἐγράφη ἀπὸ τῆς Ἰταλικῆς διὰ Τιμοθέου c. 6. al. pl. .. h. tantum πρ. Ἑβρ. C .. add. ἀπὸ Ῥώμης A et ἀπὸ Ἀθηνῶν (ἄλλοι δέ· ἀπ' Ἰταλίας) 66. (s. XVI.) .. h. τοῦ ἁγίου Παύλου etc. 68. (s. XIV.) al.

# ΕΠΙΣΤΟΛΑΙ ΚΑΘΟΛΙΚΑΙ.

## ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ.

Ἰάκωβος θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος ταῖς δώδεκα φυ- 1
λαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν.

Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περι- 2
1 Pet. 1, 6. πέσητε ποικίλοις, 3 γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν κατεργάζεται 3
ὑπομονήν. 4 ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ 4
ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. 5 εἰ δέ τις ὑμῶν λείπεται σοφίας, 5
αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος,
καὶ δοθήσεται αὐτῷ. 6 αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· 6
ὁ γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπι-
ζομένῳ. 7 μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ 7
τοῦ κυρίου, 8 ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς 8
αὐτοῦ. 9 Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, 9
1 Pet. 1, 24. 10 ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου 10
παρελεύσεται. 11 ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι καὶ ἐξήρα- 11
νεν τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν καὶ ἡ εὐπρέπεια τοῦ
προσώπου αὐτοῦ ἀπώλετο· οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις
2 Tim. 4, 8. αὐτοῦ μαρανθήσεται. 12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, 12

Cap. I. 3. Hab. *δόκιμον* 28. (s. XII.) al. — Rc. Kn. Sz. Ln. *ὑμῶν τῆς πίστεως*. .. om. c. B (etiam Barb. 1.) 81. (s. XII.) Syr. p. Corb. Cassiod.

6. Hab. *καὶ οὐκ* H al. pl. Thphyl. — 9. om. *ὁ* ante *ἀδελφ.* B.

11. Hab. *πορίαις* A al... *εὐπορείαις* 30; honoribus Luxov.

12. Hab. *μακ. ἄνθρωπος* A al. Cpt. Ar.

ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγεί-
13 λατο τοῖς ἀγαπῶσιν αὐτόν. [13] μηδεὶς πειραζόμενος λεγέτω· ὅτι ἀπὸ
θεοῦ πειράζομαι. ὁ γὰρ θεὸς ἀπείραστός ἐστιν κακῶν, πειράζει
14 δὲ αὐτὸς οὐδένα. [14] ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπι-
15 θυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· [15] εἶτα ἡ ἐπιθυμία συλ-
λαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει
θάνατον.
16 17 Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. [17] πᾶσα δόσις ἀγαθὴ
καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν καταβαῖνον ἀπὸ τοῦ πατρὸς
τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα.
18 [18] βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς
ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.
19 Ἴστε, ἀδελφοί μου ἀγαπητοί. ἔστω δὲ πᾶς ἄνθρωπος ταχὺς
20 εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· [20] ὀργὴ
21 γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐκ ἐργάζεται. [21] διὸ ἀποθέμενοι
πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν πραΰτητι δέξασθε τὸν
22 ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. [22] γίνεσθε
δὲ ποιηταὶ λόγου, καὶ μὴ ἀκροαταὶ μόνον παραλογιζόμενοι ἑαυτούς.
23 [23] ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶν καὶ οὐ ποιητής, οὗτος ἔοικεν
ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ·
24 [24] κατενόησεν γὰρ ἑαυτὸν καὶ ἀπελήλυθεν καὶ εὐθέως ἐπελάθετο
25 ὁποῖος ἦν. [25] ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας
καὶ παραμείνας, οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ ποιη-

---

12. Rc. Kn. Sz. ἐπηγγ. ὁ κύριος. [om. c. AB Arm. (hab. ed. Ven.) Corb... h. κύριος C... ὁ θεός 4. al. Syr. Vg. al.]
13. Rc. τοῦ θεοῦ.
17. Hab. παρὰ τοῦ H al. m. — h. ἀποσκιάσματος B; modicum obumbrationis Corb.
19. Rc. Kn. Sz. pro ἴστε [c. A (add. δέ) BC al. Vg. Corb. Cpt. al. Aug.] h. ὥστε et om. δέ. [scr. c. BC al. Vg. Corb. Cpt. Aug... h. καὶ ἔστω A 13.] .. plane om. ἴστε 42. 47. (s. XI.); et vos Syr. .. om. μοῦ ἀγαπ. 13; etiam var. pon.
20. Rc. Kn. Sz. οὐ κατεργάζ. [οὐκ ἐργ. c. AB al. m.]
22. Om. δέ H 105. Har. al.; etiam οὖν leg. — pro λόγ. hoc v. et v. sq. legitur νόμου. — Rc. Kn. Sz. μόν. ἀκρ. [ἀκρ. μόν. c. B al. Vg. Corb. Hier.; etiam om. μόνον.]
23. Om. ὅτι A Hier.
25. Rc. Kn. Sz. οὗτος οὐκ ἀκρ. [om. c. ABC al. Syr. Vg. Corb. al.]

τῆς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται. 26 εἴ τις 26
δοκεῖ θρῆσκος εἶναι, μὴ χαλιναγωγῶν γλῶσσαν ἑαυτοῦ ἀλλὰ ἀπατῶν
καρδίαν ἑαυτοῦ, τούτου μάταιος ἡ θρησκεία. 27 θρησκεία καθαρὰ 27
καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστίν, ἐπισκέπτεσθαι
ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν
ἀπὸ τοῦ κόσμου.

## II.

Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ 1
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης. 2 ἐὰν γὰρ εἰσέλθῃ εἰς συν- 2
αγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ
καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, 3 ἐπιβλέψητε δὲ ἐπὶ τὸν φοροῦντα 3
τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε· Σὺ κάθου ὧδε καλῶς, καὶ
τῷ πτωχῷ εἴπητε· Σὺ στῆθι ἐκεῖ ἢ κάθου ὑπὸ τὸ ὑποπόδιόν μου,
4 οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν. 4
Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς 5
πτωχοὺς τῷ κόσμῳ πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασι-
λείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; 6 ὑμεῖς δὲ ἠτιμάσατε 6
τὸν πτωχόν. οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ
ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; 7 οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν 7
* Lv. 19, 18. Mt. 22, 39. ὄνομα τὸ ἐπικληθὲν ἐφ᾽ ὑμᾶς; 8 εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν 8
κατὰ τὴν γραφήν· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς

---

26. Ln. εἰ δέ c. C 31. Cpt. Vg. Corb. . . h. καὶ εἰ Syr. al. — Rc. et Kn. (—) εἶναι ἐν ὑμῖν. — Rc. Kn. Sz. bis αὐτοῦ et Ln. γλ. αὐτοῦ, καρδ. ἑαυτ. . . ἑαυτ. prius c. B, poster. c. BC.
27. Leg. θρησκ. γάρ (A Syr.) et θρ. δέ (Corb.) — Kn. om. τῷ c. G al. pl. Thphyl.

Cap. II. 2. Rc. Kn. Sz. εἰς τήν. [om. c. BC.]
3. ἐπιβλ. δέ c. BC 69. Corb. Cpt. Syr. p. . . Rc. Kn. Sz. Ln. καὶ ἐπιβλ. — Rc. et Kn. (—) αὐτῷ· Σὺ καθ. — Rc. Kn. Sz. ὧδε ὑπό. — pro ὑπό h. ἐπί B al. Syr. utr. Erp. — Ln. τῶν ποδῶν μου c. A 13. (et vv. m.; vdtr.)
4. Rc. Kn. Sz. καὶ οὐ. [om. c. ABC al. m. Syr. utr. Vg. Corb. al. m. Cyr. al. (h. Thphyl. et Oec. dis.)] — om. οὐ B* 27. 29. (retento, ut vdtr, καί 27. 29.) Sah. Corb. — Rc. Sz. Ln. πονηρῶν; (sic interpg.)
5. Rc. τ. κόσμ. τούτου. — h. τῆς ἐπαγγελίας A.
6. Hab. καταδυν. ὑμᾶς AH al. — 7. h. καί pro οὐκ A 13. Aeth.
8. Hab. ἑαυτόν 42. al. pl. Thphyl.

9 ποιεῖτε· [9] εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε ἐλεγχόμενοι
10 ὑπὸ τοῦ νόμου ὡς παραβάται. [10] ὅστις γὰρ ὅλον τὸν νόμον τη-
11 ρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονεν πάντων ἔνοχος. [11] ὁ γὰρ εἰπών· *Ex. XX, 13 seq.
Μὴ μοιχεύσῃς, εἶπεν καί· Μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύεις, φο-
12 νεύεις δέ, γέγονας παραβάτης νόμου. [12] οὕτως λαλεῖτε καὶ οὕτως
13 ποιεῖτε ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. [13] ἡ γὰρ
κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος· κατακαυχᾶται ἔλεος κρίσεως.
14 Τί ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν τις λέγῃ ἔχειν, ἔργα δὲ
15 μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; [15] ἐὰν ἀδελφὸς ἢ ἀδελφὴ
16 γυμνοὶ ὑπάρχωσιν καὶ λειπόμενοι τῆς ἐφημέρου τροφῆς, [16] εἴπῃ δέ
τις αὐτοῖς ἐξ ὑμῶν· Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτά-
ζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφε-
17 λος; [17] οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔχῃ ἔργα, νεκρά ἐστιν καθ᾽
18 ἑαυτήν. [18] ἀλλ᾽ ἐρεῖ τις· Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω. δεῖξόν
μοι τὴν πίστιν σου χωρὶς τῶν ἔργων, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων
19 μου τὴν πίστιν. [19] σὺ πιστεύεις ὅτι εἷς θεός; καλῶς ποιεῖς· καὶ
20 τὰ δαιμόνια πιστεύουσιν καὶ φρίσσουσιν. [20] θέλεις δὲ γνῶναι, ὦ ἄν-

---

10. Rc. Kn. Sz. τηρήσει. [-σῃ c. BC al. Vg. Corb. Thphyl... h. πληρώσει A al.] et πταίσει. [-σῃ c. ABC Vg. Corb. Thphyl.]

11. Rc. Kn. Sz. μοιχεύσεις, φονεύσεις. [-εις bis c. ABC (pon. φον., μοιχ. et antea μὴ φον., μὴ μοιχ. C al.) al.]

13. Rc. Kn. Sz. ἀνίλεως. [ἀνέλ. c. AB (ἀνέλεως ap. Bch.) C al. pl. Oec.; etiam ἀνήλεος, ἀνήλεως et aliter leg.] — Rc. καὶ κατακ... Ln. κατακ. δέ c. A al. Vg. Corb. Syr. p... etiam κατακαυχᾶ τε et κατακαυχάσθω δέ (A) et aliter leg... h. ελεον (ἐλεῶν?) CH al. longe pl. Oec.

14. Rc. Kn. Sz. τί τό. [om. c. BC*H.]

15. Rc. Kn. Sz. Ln. ἐὰν δέ... om. c. B al. m. Corb. Sah. Arm. al... h. καί Syr.; γάρ Cyr. — h. ἢ λειπόμ. A al. Aeth. al. — Rc. Kn. Sz. Ln. λειπόμ. ὦσι... om. c. BC 102. Syr. Antioch.

16. Hab. καὶ εἴπ. A al. Syr. Aeth. — Ln. om. τό c. B.

18. Rc. pro χωρίς [c. ABCH al. pm.; vv. ut vdtr. omn. praeter Ar. pol. Slav. (eae hab. c. Thphyl. et cdd. gr. ἐκ)] h. ἐκ. — Rc. Kn. Sz. ἔργ. σου [om. c. AB 13. 69. 73. al. Vg. Corb. Syr. al... om. σοῦ post πίστ. 68. Corb... om. plane χωρὶς τ. ἔργ. Oec.] et (etiam Ln.) πίστ. μου... om. c. BC 13. 69. 73. al. Corb... etiam post ἔργ. om. Syr. p. Vg. Corb.

19. εἷς θεός c. Corb. et addito ἐστίν B 69. Thphyl... Rc. Kn. Sz. ὁ θεὸς εἷς ἐστι... Ln. εἷς ἐστ. ὁ θ. c. A 68. Arm. Vg... h. εἷς ὁ θ. ἐστ. C Syr. Cpt. Cyr.

* Gn. 22, 9. θρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων ἀργή ἐστιν; 21 Ἀβραὰμ 21
ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν
αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; 22 βλέπεις, ὅτι ἡ πίστις συνήργει τοῖς 22
* Gn. 15, 6. Rom. 4, 3. Gal. 3, 6. ἔργοις αὐτοῦ καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη, 23 καὶ ἐπλη- 23
ρώθη ἡ γραφὴ ἡ λέγουσα· Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ
ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· καὶ φίλος θεοῦ ἐκλήθη. 24 ὁρᾶτε, 24
ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνον.
* Jos. 2, 1. et 6, 17. Heb. 11, 31. 25 ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑπο- 25
δεξαμένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; 26 ὥσπερ γὰρ 26
τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς
τῶν ἔργων νεκρά ἐστιν.

## III.

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι 1
μεῖζον κρῖμα λημψόμεθα. 2 πολλὰ γὰρ πταίομεν ἅπαντες· εἴ τις 2
ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι
καὶ ὅλον τὸ σῶμα. 3 εἰ δὲ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στό- 3
ματα βάλλομεν εἰς τὸ πείθεσθαι ἡμῖν αὐτούς, καὶ ὅλον τὸ σῶμα
αὐτῶν μετάγομεν· 4 ἰδοὺ καὶ τὰ πλοῖα, τηλικαῦτα ὄντα καὶ ὑπὸ 4
ἀνέμων σκληρῶν ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου
ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται· 5 οὕτως καὶ ἡ γλῶσσα 5
μικρὸν μέλος ἐστὶν καὶ μεγαλαυχεῖ. ἰδού, ἡλίκον πῦρ ἡλίκην ὕλην

---

20. Rc. Kn. Sz. pro ἀργή [c. B al. Vg. ms. Am. al. Aug.] h. νεκρά.

22. Hab. συνεργεῖ A. — 23. om. δέ G 69. Vg. Syr. al.

24. Rc. ὁρᾶτ. τοίνυν.

25. Hab. οὕτως pro ὁμ. δέ C Syr. cdd. lat. al. — h. τοὺς κατασκόπους CG al. m. Syr. utr. al. m.

26. Om. γάρ B Syr. al.; h. δέ Corb.

Cap. III. 1. Hab. πολύ pro πολλοί G.

3. Pro εἰ δέ [c. ABG al. pm. Vg. Corb. al. Oec. .. om. Syr.] Rc. ἰδού et Kn. Sz. ἴδε c. C al. pl. Damsc. Thphyl. dis. — h. τὸ στόμα A al. Arm. — Rc. Kn. Sz. πρὸς τό. [εἰς c. BC.] — Rc. Kn. Sz. Ln. αὐτ. ἡμ. .. ἡμ. αὐτ. c. AC al.

4. Hab. βούλεται omisso ἄν B.

5. Hab. ὡσαύτως καί A al. — Ln. μεγάλα αὐχεῖ c. A. (Vg. Corb.) — Rc. Kn. Sz. ὀλίγον πῦρ. [ἡλ. c. A (A*? A**?) BC* Vg. Chrs. al.]

6 ἀνάπτει· [6]καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας ἡ γλῶσσα
καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα καὶ
φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης.
7 [7]πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων
8 δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ· [8]τὴν δὲ γλῶσ-
σαν οὐδεὶς δαμάσαι δύναται ἀνθρώπων. ἀκατάστατον κακόν, με-
9 στὴ ἰοῦ θανατηφόρου. [9]ἐν αὐτῇ εὐλογοῦμεν τὸν κύριον καὶ πατέρα,
καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν
10 θεοῦ γεγονότας· [10]ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ
11 κατάρα. οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτως γίνεσθαι. [11]μήτι ἡ
12 πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; [12]μὴ δύ-
ναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι ἢ ἄμπελος σῦκα; οὔτε
ἁλυκὸν γλυκὺ ποιῆσαι ὕδωρ.

13 Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀνα-
14 στροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. [14]εἰ δὲ ζῆλον πικρὸν
ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύ-
15 δεσθε κατὰ τῆς ἀληθείας. [15]οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατ-
16 ερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης. [16]ὅπου γὰρ ζῆλος
17 καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. [17]ἡ δὲ
ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής,
εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος, ἀνυπό-
18 κριτος. [18]καρπὸς δὲ δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν
εἰρήνην.

## IV.

1 Πόθεν πόλεμοι καὶ πόθεν μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ

---

6. Rc. Kn. Sz. οὕτως ἡ γλ. καθ. [om. c. AB al. Syr. (h. Syr. antea: *mundus iniquitatis sicut ramus est.* .. v. 5. ὕλην ramos.) Vg. Corb. al. Isid. Antioch. Damsc.] — Pro γενέσ. h. γεέννης Cyr. in schol. ed. 15. al.

8. Rc. Kn. Sz. ἀκατάσχετον. [ctra AB 7. Vg. Corb. al.]

9. Rc. Kn. Sz. pro κύρ. h. θεόν. — h. γεγενημένους A al. Damsc.

12. Rc. Kn. Sz. σῦκα; οὕτως [om. c. ABC 83. Arm.] et Rc. Sz. pergt οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκύ.

13. Om. τίς 1. al. pm. Ar. pol.; etiam εἴ τις leg.

14. Hab. καυχᾶσθε A al. Corb.

17. Rc. Kn. Sz. καὶ ἀνυπ. — 18. Rc. τῆς δικαιοσ.

Cap. IV. 1. Rc. Kn. om. πόθ. ante μάχ. [scr. c. ABC al. Corb. al. Thphyl.]

τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; [2] ἐπι- 2
θυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε
ἐπιτυχεῖν. μάχεσθε καὶ πολεμεῖτε. οὐκ ἔχετε διὰ τὸ μὴ αἰτεῖσθαι
ὑμᾶς· [3] αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν 3
ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. [4] μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φι- 4
λία τοῦ κόσμου ἔχθρα τοῦ θεοῦ ἐστίν; ὃς ἂν οὖν βουληθῇ φίλος
εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ θεοῦ καθίσταται. [5] ἢ δοκεῖτε ὅτι 5
κενῶς ἡ γραφὴ λέγει· Πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκι-
* Prov. 3, 34. σεν ἐν ἡμῖν; [6] μείζονα δὲ δίδωσιν χάριν· διὸ λέγει· Ὁ θεὸς ὑπερ- 6
ηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν. [7] ὑποτάγητε οὖν 7
τῷ θεῷ· ἀντίστητε δὲ τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ᾽ ὑμῶν· [8] ἐγγί- 8
σατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ
ἁγνίσατε καρδίας, δίψυχοι. [9] ταλαιπωρήσατε καὶ πενθήσατε καὶ 9
κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω καὶ ἡ χαρὰ
εἰς κατήφειαν. [10] ταπεινώθητε ἐνώπιον κυρίου, καὶ ὑψώσει ὑμᾶς. 10

Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ 11
ἢ κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον· εἰ
δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ κριτής. [12] εἷς ἐστὶν 12
ὁ νομοθέτης καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ
τίς εἶ, ὁ κρίνων τὸν πλησίον;

Ἄγε νῦν οἱ λέγοντες· Σήμερον καὶ αὔριον πορευσώμεθα εἰς 13
τήνδε τὴν πόλιν καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν καὶ ἐμπορευσώμεθα

---

2. Rc. οὐκ ἔχ. δὲ διά.

4. Rc. Kn. Sz. μοιχοὶ καὶ μοιχαλ. [om. c. AB 13. et (tantum μοιχοί reddentibus) Syr. Cpt. Aeth. Arm. Vg. Corb.] — Ln. ἐχθρά. (ita Vg. Corb.) — Sz. per error. ante φιλία om. ἡ. — om. οὖν G al. pl. Oec.

5. Sz. λέγει; πρός (sic interpg.)... h. λέγ. πρ. φθόνον; ἐπιπ. 66. al. Oec. et aliter al.

7. Rc. Kn. Sz. om. δέ post ἀντίστ. [scr. c. ABH al. longe pl. Syr. utr. Vg. Corb. al.; h. οὖν 10. 36.]

10. Rc. Kn. Sz. τοῦ κυρ. [om. c. A B al. Or.]

11. Rc. Kn. Sz. καὶ κρίνων. [ἢ c. AB al. vv. pm. Thphyl.]

12. Rc. om. καὶ κριτής et δέ. — Rc. Kn. Sz. ὃς κρίνεις τὸν ἕτερον; [ὁ κρ. c. AB al. pm. Syr. Sl. Thphyl.; πλησ. c. AB al. m. Syr. Vg. Corb. Flor. al. Thphyl.]

13. Rc. Ln. ἢ αὔρ. [καί c. A (etiam B admodum probabiliter ap. Btlj.) G al. pl. Syr. p. al. Cyr. Oec. Thphyl.] — Rc. Ln. πορευσόμ., ποιήσομ., ἐμπορευσόμ., κερδήσομ. [ctra A (sed h. ἐμπορευσόμ. et κερδήσομ.)

14 καὶ κερδήσωμεν, [14] οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία
γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ ἐστε ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα
15 καὶ ἀφανιζομένη· [15] ἀντὶ τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ κύριος θελήσῃ,
16 καὶ ζήσομεν καὶ ποιήσομεν τοῦτο ἢ ἐκεῖνο. [16] νῦν δὲ καυχᾶσθε
ἐν ταῖς ἀλαζονείαις ὑμῶν. πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν.
17 [17] εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστίν.

## V.

1 Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαι-
2 πωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. [2] ὁ πλοῦτος ὑμῶν σέσηπεν, καὶ
3 τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν, [3] ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυ-
ρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται καὶ φά-
γεται τὰς σάρκας ὑμῶν ὡς πῦρ. ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. * Ps. 21. 9.
4 [4] ἰδού, ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν,
ὁ ἀπεστερημένος ἀφ' ὑμῶν, κράζει, καὶ αἱ βοαὶ τῶν θερισάντων
5 εἰς τὰ ὦτα κυρίου σαβαὼθ εἰσελήλυθαν. [5] ἐτρυφήσατε ἐπὶ τῆς γῆς
καὶ ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ἐν ἡμέρᾳ σφαγῆς.
6 [6] κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.
7 Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ κυρίου.
ἰδού, ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν
8 ἐπ' αὐτῷ ἕως λάβῃ πρώϊμον καὶ ὄψιμον· [8] μακροθυμήσατε καὶ

---

• B (ap. Bch. dis. et ap. Btlj. vdtr.) GH al. longe pl. Oec. Thphyl. .. h. ibimus etc. Vg. Corb. Ltt.]

14. Ln. τὰ τῆς c. A al. .. om. B. — om. γὰρ ἡ ante ζωή B Arm.; h. δέ Corb. — Ln. om. γάρ post ἀτμ. c. A Vg. al. — Rc. Kn. Sz. γάρ ἐστιν. [ἐστέ c. A (h. ἔσται) BH (h. ἔσται ut pl. reliqui) al. longe pl. Syr. p. Aeth.] — om. ἡ ante πρός B. — Rc. Kn. Sz. ἔπειτ. δέ. [καί c. AB al. Vg. Corb. Damsc. Hier. .. h. δὲ καί 6. al, pl. .. om. plane 36. 96. (etiam ἔπ. om.) al. Syr. p. Tol. Har.]

15. Rc. Kn. Sz. ζήσωμ. [ctra AB al. m. Corb. .. h. et si vixerimus Vg.; om. si Am.] et Rc. Kn. ποιήσωμ. [ctra AB al. pm. Vg. et omisso καί Syr. al. Hier. Cassiod.] — 17. Om. ποιεῖν 22. al. m. Syr. Arm. Hier.

Cap. V. 3. Kn. ὑμῶν· ὡς πῦρ ἐθησ. (sic Oec. comm. et Syr.) .. h. ὑμῶν ὁ ἰός· ὡς πῦρ ἐθησ. A al. .. ὑμ. ὡς πῦρ. ὃ ἐθησ. Arr. al. Thphyl.

4. Rc. Kn. Sz. εἰσεληλύθασιν. [-θαν c. A (h. -θεν) B.]

5. Om. καί A 73. Cpt. — h. τὰς σάρκας 40. 73. Syr. — Rc. Kn. Sz. ὡς ἐν. [om. c. AB al. Cpt. Vg. Corb. .. om. ἐν ἡμ. σφ. Aeth.]

7. Om. ἐπ' αὐτῷ Arm. Aeth. .. h. ἐπ' αὐτόν H al. pl. Thphyl. .. ἐπ' αὐ-

ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ κυρίου
ἤγγικεν. 9 μὴ στενάζετε, ἀδελφοί, κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε· 9
ἰδού, ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. 10 ὑπόδειγμα λάβετε, ἀδελ- 10
φοί, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ
ἐλάλησαν ἐν τῷ ὀνόματι κυρίου. 11 ἰδού, μακαρίζομεν τοὺς ὑπο- 11
μείναντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος κυρίου εἴ-
δετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ κύριος καὶ οἰκτίρμων.
Mt. 5, Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν 12
34 sqq. μήτε τὴν γῆν μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ ναὶ καὶ
τὸ οὒ οὔ, ἵνα μὴ ὑπὸ κρίσιν πέσητε.
Κακοπαθεῖ τις ἐν ὑμῖν, προσευχέσθω. εὐθυμεῖ τις, ψαλλέτω. 13
14 ἀσθενεῖ τις ἐν ὑμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς 14
ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν ἀλείψαντες αὐτὸν ἐλαίῳ
ἐν τῷ ὀνόματι κυρίου. 15 καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κά- 15
μνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς,
ἀφεθήσεται αὐτῷ. 16 ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα 16
καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. πολὺ ἰσχύει δέησις δι-
1 Rg. καίου ἐνεργουμένη. 17 Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ 17
18, 1. Lc. 4, 25. προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς

---

τῆς 43. — Rc. Kn. Sz. Ln. ἕως ἄν. .. om. c. AG al. pl. Sah. al. Oec. (text.) Thphyl.; etiam οὗ legitur. — Rc. Kn. Sz. λάβῃ ὑετόν. .. om. c. B 9. Vg. Har. Sah. al. et (h. καρπόν) Corb. al. Antioch. Cassiod.; etiam ante λάβ. pon.; etiam pro ὑετ. leg. καὶ τόν.

9. Rc. Kn. Sz. κατ' ἀλλ. ante ἀδ. pon.; om. 23. al. m. — Rc. κατακριθ. et om. ὁ.

10. Rc. τῆς κακοπ., ἀδ. μου. .. μοῦ add. etiam Kn. Sz. [om. c. AB al. m. Vg. Corb. al. Chrs.] — Rc. Kn. Sz. om. ἐν. [scr. c. B al. pl. Syr. Vg. Corb. al. Thphyl.; h. ἐπί 40.] — pro λάβ. h. ἔχετε post μακρ. A al.

11. Rc. Sz. ὑπομένοντας. — h. πολυεύσπλαγχνος 25. al. pm. Clem. Ephr. Damsc. Thphyl. — om. ὁ κύρ. GH al. pl. Ar. pol. Sl. ms. Thphyl. .. om. ὁ B. .. post οἰκτ. pon. 123.**

12. Hab. εἰς κρίσ. 43. 95.* Sl. ms. .. εἰς ὑπόκρισ. G al. pl. Arm. Ar. pol. Sl. Antioch. Oec. Thphyl.

14. Om. αὐτ. ante ἐλαίῳ B Arm. — Rc. Kn. Sz. τοῦ κυρ. [om. c. A al. .. om. etiam κυρ. B. .. etiam Ἰησ. Χρ. et τ. κυρ. Ἰησ. leg.]

16. Ln. οὖν ἀλλήλ. [c. AB al. m. Vg. al.; h. δέ Syr. Sl. ms.] τὰς ἁμαρτίας [c. AB al. Sl. ms.] καὶ προσεύχ. [c. AB 73.]

18 ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ· 18 καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐ-
ρανὸς ὑετὸν ἔδωκεν καὶ ἡ γῆ ἐβλάστησεν τὸν καρπὸν αὐτῆς.
19 Ἀδελφοί μου, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας
20 καὶ ἐπιστρέψῃ τις αὐτόν, 20 γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρ-
τωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύ- 1 Pet. 4, 8.
ψει πλῆθος ἁμαρτιῶν.

# ΠΕΤΡΟΥ Α.

1 Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ ἐκλεκτοῖς παρεπιδήμοις διασπο-
2 ρᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, 2 κατὰ
πρόγνωσιν θεοῦ πατρός, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ
ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ. χάρις ὑμῖν καὶ εἰρήνη πλη-
θυνθείη.
3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν
4 δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, 4 εἰς κληρονομίαν ἄφθαρ-
τον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς
5 5 τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν
6 ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ. 6 ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλί- Jac. 1. 2. 4.
7 γον ἄρτι, εἰ δέον ἐστίν, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, 7 ἵνα
τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον χρυσίου τοῦ ἀπολλυ-

19. Rc. Kn. Sz. om. μου. [scr. c. ABH al. m. Syr. utr. Vg. Corb. al. m. Thphyl.]

20. Hab. γινώσκετε B.. om. plane Sah. Corb. Ambrst. Cassiod. — Ln. ψυχὴν αὐτοῦ c. A (h. τὴν ψυχ. α.) al.; vv. pm. (non Corb.. B nec ap. Bch., nec ap. Btlj. h.) Cyr. Did. Ambrst. Cassiod. — h. θανάτ. αὐτοῦ B (ap. Bch. et Btlj.) Corb.

Cap. I. 1. Om. κ. Βιθυν. B*.

4. Hab. εἰς ἡμᾶς 5. al. Har. Oec.; ἡμ. καὶ ὑμ. Aeth.

6. Hab. ἀγαλλιάσεσθε Vg. Aeth. Or. Fulg. et (addito in aeternum) Syr. Erp. — om. ἐστίν B.

7. Rc. πολὺ τιμιώτερον.

μένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν
καὶ τιμὴν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, [8] ὃν οὐκ ἰδόντες ἀγαπᾶτε, 8
εἰς ὃν ἄρτι μὴ ὁρῶντες πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ
καὶ δεδοξασμένῃ, [9] κομιζόμενοι τὸ τέλος τῆς πίστεως, σωτηρίαν 9
ψυχῶν. [10] περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται 10
οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, [11] ἐρευνῶντες εἰς τίνα 11
ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ προμαρτυρό-
μενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας, [12] οἷς 12
ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς ὑμῖν δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγ-
γέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς πνεύματι ἁγίῳ ἀποστα-
λέντι ἀπ᾽ οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, 13
τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰη-
σοῦ Χριστοῦ. [14] ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς 14
πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, [15] ἀλλὰ κατὰ τὸν καλέ- 15
σαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε,
• Lv. 11, 44. [16] διότι γέγραπται· Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος. [17] καὶ εἰ πα- 16 17
τέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου
ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, [18] εἰ- 18
δότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς
ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, [19] ἀλλὰ τιμίῳ αἵματι 19
ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, [20] προεγνωσμένου μὲν 20
πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ᾽ ἐσχάτου τῶν χρόνων

---

7. Om. *διὰ π. δ. δοκ.* 96. (s. XI.) al. .. h. *δεδοκιμασμένου* omisso *δέ* 40. al.; retento *δέ* 25. al. .. om. *δέ* 60. Syr. utr. Vg. al. .. h. *καὶ διὰ πυρ. δεδοκιμασμένου* 68. Clem. Or.

8. Rc. Kn. Sz. pro *ἰδόντ.* [c. BC al. m.; vv. m.; Ir. Fulg.] h. *εἰδότες.* — post *ὁρῶντ.* add. *πιστεύετε* 68. Vg. Lux. Aug. Ir. (1.); add. *ἀγαπᾶτε* Lect. 55. — h. *ἀγαλλιᾶτε* B Or.; etiam *ἀγαλλιάσεσθε* leg.

9. Rc. Kn. Sz. Ln. *πίστ. ὑμῶν.* .. om. c. B al. Clem. (totum loc. citat.) Ath. Cyr. Aug.; etiam *ἡμῶν* leg.

11. Om. *Χριστοῦ* B; h. *θεοῦ* 26.

12. Rc. Kn. *ἡμῖν δέ.* — Rc. Kn. Sz. *ἐν πνεύμ.* [om. c. AB al. Vg. Sl. Cyr. Did. al.]

16. Rc. Kn. Sz. *ἅγ. γένεσθε* [*ἔσεσθ.* c. ABC al. m. Vg. Clem. Cyr. Opt. (dis.) .. h. *γίνεσθε* G al. pm. Oec. Thphyl.] et add. in f. *εἰμί.* [om. c. AB Clem. Cyr.]

20. Rc. Kn. Sz. *ἐσχάτων.*

21 δι' ὑμᾶς [21] τοὺς δι' αὐτοῦ πιστοὺς εἰς θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ
νεκρῶν καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα
22 εἶναι εἰς θεόν. [22] Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς
ἀληθείας εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καρδίας ἀλλήλους ἀγα-
23 πήσατε ἐκτενῶς, [23] ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς ἀλλὰ
24 ἀφθάρτου, διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος. [24] διότι πᾶσα Es. 40, 6 sq. (Jac. 1, 10. 11.)
σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου· ἐξηράνθη
25 ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν· [25] τὸ δὲ ῥῆμα κυρίου μένει εἰς
τὸν αἰῶνα. τοῦτο δέ ἐστιν τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

## II.

1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρί-
2 σεις καὶ φθόνους καὶ πάσας καταλαλιάς [2] ὡς ἀρτιγέννητα βρέφη
τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς
3 4 σωτηρίαν, [3] εἰ ἐγεύσασθε ὅτι χρηστὸς ὁ κύριος. [4] πρὸς ὃν προσ- Ps. 34, 8. (9.)
ερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον
5 παρὰ δὲ θεῷ ἐκλεκτόν, ἔντιμον, [5] καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰ-
κοδομεῖσθε, οἶκος πνευματικὸς εἰς ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευ-
6 ματικὰς θυσίας εὐπροσδέκτους θεῷ διὰ Ἰησοῦ Χριστοῦ· [6] διότι Es. 28, 16.

---

20. Hab. δι' ἡμᾶς A C al. Max.
21. Rc. Kn. Sz. pro πιστούς [c. AB 9. Vg. cd. lat.] h. πιστεύοντας; .. etiam πιστεύσαντας leg.
22. Rc. Kn. Sz. *διὰ πνεύματος εἰς* [om. c. ABC al. vv. pl.] et *καθαρᾶς καρδ.* [om. c. AB cdd. lat. (Vg. *in fraternitatis amore simplici ex corde* etc.) Gild.]
23. Rc. et Kn. (—) in f. add. *εἰς τὸν αἰῶνα.*
24. Ln. om. ὡς ante χόρτ. c. A al. m. Syr. Har. Or. Thphyl. al. — Rc. pro αὐτῆς h. ἀνθρώπου. — Rc. Sz. et Kn. (—) *αὐτοῦ* ἐξέπ. [om. c. AB al. m. Syr. Arm. Vg. ms. Am. Or. Did. al.]
25. Om. τὸ ῥῆμα τό A.
Cap. II. 1. Om. πάσας A Syr. Aeth. Gild. et (h. *ὑπόκρισιν* et *φθόνον* et *καταλαλιάν*) Clem. Ruf. Aug.
2. Rc. om. εἰς σωτηρίαν.
3. Rc. Kn. Sz. *εἴπερ.* [εἰ c. AB Clem.] — h. *Χριστός* G al. pl. Clem. Gr. naz. Proc. Thphyl. (text.)
5. Hab. *ἐνοικοδομ.* C . . . *ἐποικοδ.* A** al. m. Vg. Cyr. Proc. ap. Niceph. — Rc. Kn. Sz. om. εἰς [scr. c. ABC al. m. Cpt. Aeth. Arm. Tol. Or. (3.) Cyr. Eus. Proc. Hil. al. (Hier. utrque)] et h. *τῷ θεῷ.* [om. c. AB al.]
6. Rc. *διὸ καί.*

περιέχει ἐν γραφῇ· Ἰδού, τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον,
ἐκλεκτόν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.
* Ps. 118, 22. Mt. 21, 42. [7] ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν· ἀπειθοῦσιν δέ, λίθον ὃν ἀπεδοκί- 7
μασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας καὶ λί-
θος προσκόμματος καὶ πέτρα σκανδάλου, [8] οἳ προσκόπτουσιν τῷ 8
* Ex. 19, 6. λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν. [9] ὑμεῖς δὲ γένος ἐκλεκτόν, 9
* Es. 43, 20. 21. βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς
ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυ-
* Hos. 2, 23. Rom. 9, 25. μαστὸν αὐτοῦ φῶς· [10] οἵ ποτε οὐ λαός, νῦν δὲ λαὸς θεοῦ, οἱ οὐκ 10
ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.
Ἀγαπητοί, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπ- 11
έχεσθε τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς
ψυχῆς, [12] τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, 12
ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων
ἐποπτεύσαντες δοξάσωσιν τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.
Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον, εἴτε βα- 13
σιλεῖ ὡς ὑπερέχοντι, [14] εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις 14
εἰς ἐκδίκησιν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν· [15] ὅτι οὕτως 15
ἐστὶν τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρό-
νων ἀνθρώπων ἀγνωσίαν. [16] ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα 16
ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν ἀλλ' ὡς δοῦλοι θεοῦ, [17] πάν- 17
τας τιμήσατε, τὴν ἀδελφότητα ἀγαπᾶτε, τὸν θεὸν φοβεῖσθε, τὸν
βασιλέα τιμᾶτε. [18] Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς 18
δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς

---

6. Rc. Kn. Sz. ἐν τῇ γρ. .. om. τῇ c. AB al. .. Ln. ἡ γραφή c. C al. Vg. Hier. Aug.

7. Hab. ἀπιστοῦσιν δέ B al. — Ln. λίθος c. AB al. Oec.

8. Hab. ὅσοι pro οἳ C* al. novem, Syr. p.; etiam ᾗ, ᾗ καί, ἃ leg. — h. λόγ. ἀπιστοῦντες B.

11. Rc. Kn. Sz. Ln. ἀπέχεσθαι et Ln. add. ὑμᾶς c. C Vg. .. ἀπέχεσθε c. AG al. pl. Did. al.

12. Hab. καταλαλῶσιν G al. pm. Clem. ms. — Ln. ἐποπτεύοντες c. B al. (Vg.) Thphyl.

13. Rc. Kn. Sz. ὑποτ. οὖν. [om. c. AB al. Syr. Vg. ms. Am. al. Did. Cass.]

14. Rc. ἐκδίκησ. μέν. — 15. h. ἐργασίαν 96. 142. Clem.

17. Hab. ἀγαπήσατε GH al. pl.; tum τιμήσατε 73.

19 σκολιοῖς. [19] τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει τις
20 λύπας πάσχων ἀδίκως. [20] ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ
κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες
21 ὑπομενεῖτε· τοῦτο γὰρ χάρις παρὰ θεῷ. [21] εἰς τοῦτο γὰρ ἐκλήθητε,
ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμ- 1 Pet. 3. 18.
22 μόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ, [22] ὃς ἁμαρτίαν οὐκ *Es. 53. 9.
23 ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, [23] ὃς λοιδορού-
μενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρί-
24 νοντι δικαίως, [24] ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ
σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι τῇ *Es. 53. 5. 6.
25 δικαιοσύνῃ ζήσωμεν, οὗ τῷ μώλωπι ἰάθητε· [25] ἦτε γὰρ ὡς πρό-
βατα πλανώμενοι, ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπί-
σκοπον τῶν ψυχῶν ὑμῶν.

## III.

1 Ὁμοίως γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ Eph. 5. 22
εἴ τινες ἀπειθοῦσιν τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς Col. 3. 18.
2 ἄνευ λόγου κερδηθήσονται, [2] ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν
3 ἀναστροφὴν ὑμῶν. [3] ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν καὶ
4 περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος, [4] ἀλλ' ὁ κρυπτὸς

---

19. Hab. *χάρ. παρὰ τῷ θεῷ* C al. m. Syr. al. Ephr. al.; etiam alia add. — h. *συνείδ. ἀγαθὴν θεοῦ* A* 13. et omisso *θεοῦ* C al. m. Syr. utr. al. Anton. et Max. Thphyl.

20. Rc. Kn. Sz. om. *γάρ* post *τοῦτο*. [scr. c. AB al. Sl. ms. Tert. al.]

21. Om. *καί* et h. *περὶ ὑμ.* A. — pro *ἔπαθ.* h. *ἀπέθανεν* 5. al. Syr. al. Ephr. Damsc. Ambr. Fulg. — Rc. Kn. Ln. *ὑμῶν*, *ὑμῖν*. .. h. *ἡμῶν*, *ἡμῖν* (B dubium est) 2. al. m. Syr. al. Ephr. Aug. [*ἡμ.*, *ὑμ.* c. 1. al. pl. Sl. (var.) Vg. (non Am. Har. Tol. Demid.) Cyr. Damsc. Thphyl. Cypr. Tert. al.]

24. Rc. Kn. Sz. *αὐτοῦ ἰάθ.* [om. c. ABCH al. pm.]

25. Om. *ἦτε γάρ* B. — Rc. Kn. Sz. *πλανώμενα*. [*-νοι* c. AB al. cdd. lat. Fulg.]

Cap. III. 1. Rc. Kn. Sz. *αἱ γυν.* [om. c. AB.] — om. *καί* B al. Arm. Fulg. Gel. .. h. *εἰ καί τιν.* C al. m. .. *καὶ οἵτινες* 2. al. Syr. al. Thphyl. Cass. .. *καί τινες* H 23. .. *οἵτινες* 38. (h. *καὶ εἴ τινες* Clem.) — Rc. Kn. Sz. *κερδηθήσωνται*. [*-σονται* c. ABG al. pm. Clem. (pro *ἵνα* h. *ὡς*) al.]

3. Hab. *ἐκπλοκ.* 28. al. m. Clem. (mss. 2.) Oec. — Ln. om. *τριχ.* c. C Arm. Clem. (Vg. capillatura) et h. *ἢ περιθ.* c. C Vg. Cypr. al. (non Clem.)

τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου
πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές. 5 οὕτως γάρ ποτε 5
καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι εἰς θεὸν ἐκόσμουν ἑαυτάς, ὑπο-
* Gn.18, 12. τασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, 6 ὡς Σάῤῥα ὑπήκουεν τῷ Ἀβραάμ, 6
κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι καὶ
μὴ φοβούμεναι μηδεμίαν πτόησιν. 7 Οἱ ἄνδρες ὁμοίως, συνοικοῦν- 7
τες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ, ἀπονέμον-
τες τιμὴν ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι
τὰς προσευχὰς ὑμῶν.

Τὸ δὲ τέλος πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔ- 8
σπλαγχνοι, ταπεινόφρονες, 9 μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ 9
λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες· ὅτι εἰς τοῦτο
* Ps.34, 12 sqq. ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. 10 ὁ γὰρ θέλων ζωὴν ἀγα- 10
πᾶν καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς παυσάτω τὴν γλῶσσαν ἀπὸ κακοῦ
καὶ χείλη τοῦ μὴ λαλῆσαι δόλον, 11 ἐκκλινάτω δὲ ἀπὸ κακοῦ καὶ 11
ποιησάτω ἀγαθόν, ζητησάτω εἰρήνην καὶ διωξάτω αὐτήν· 12 ὅτι 12
ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν,
πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά.

Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ ζηλωταὶ γένησθε; 13
* Es. 8, 12. 13. 14 ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι. τὸν δὲ φόβον 14
αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε· 15 κύριον δὲ τὸν Χριστὸν 15
ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν· ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν

---

4. Ln. ἡσυχ. κ. πρ. c. B Vg. Cypr. al. (non Clem. Hier.)
5. Rc. Kn. Sz. ἐπὶ τὸν θεόν. [εἰς c. A B C al. m. Thphyl.]
6. Leg. ἐγεννήθητε. — Rc. Kn. Sz. ὑπήκουσε. [-εν c. B al. Vg. (non Am.) Syr. Ar. Aug. Fulg.]
7. Om. οἱ B. — Rc. συγκληρονόμοις et ἐκκόπτεσθ. — h. ποικίλης χάρ. A C al. Cpt. Hier. (dis.); etiam post χάρ. pon. — h. ζώσης 42. al. pm. Oec. (comm.) — h. ταῖς προσευχαῖς B.
8. Rc. pro ταπειν. h. φιλόφρονες. — 9. Rc. Kn. εἰδότες ὅτι.
10. Hab. καὶ ἀγαπῶν ἡμ. ἰδ. ἀγ. 22. 60. Tol. Cass. — Rc. Kn. Sz. γλ. αὐτοῦ et χείλ. αὐτοῦ.
11. Rc. Kn. Sz. om. δέ. [scr. c. A B C* al. Syr. p. Tol. Vg. ms. Am.* (vdtr.)]
12. Rc. Kn. ὅτι οἱ ὀφθ.
13. Rc. Kn. Sz. pro ζηλ. h. μιμηταί. — h. γένοισθε B.
14. Om. μηδὲ ταραχθ. B G 43. (etiam καὶ οὐ μὴ ταρ. leg.) . . h. Clem.
15. Rc. Kn. Sz. τὸν θεόν. — Ln. om. δὲ ante ἀεί (om. ἀεί A 123. Arm.) c. C al. m.; vv. m. (hab. Clem.)

παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, ἀλλὰ μετὰ
16 πραΰτητος καὶ φόβου· [16] συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα ἐν ᾧ κατα-
λαλεῖσθε καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν
17 Χριστῷ ἀναστροφήν. [17] κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι
18 τὸ θέλημα τοῦ θεοῦ, πάσχειν ἢ κακοποιοῦντας· [18] ὅτι καὶ Χρι- 1 Pet. 2, 21.
στὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθεν, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα
ἡμᾶς προσαγάγῃ τῷ θεῷ, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ
19 πνεύματι. [19] ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν πορευθεὶς ἐκήρυ-
20 ξεν, [20] ἀπειθήσασίν ποτε ὅτε ἀπεξεδέχετο ἡ τοῦ θεοῦ μακροθυμία Gn. 6.
ἐν ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγοι, τουτ-
21 έστιν ὀκτὼ ψυχαί, διεσώθησαν δι' ὕδατος. [21] ὃ καὶ ὑμᾶς ἀντίτυπον
νῦν σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως
22 ἀγαθῆς ἐπερώτημα εἰς θεόν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ, [22] ὅς
ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, πορευθεὶς εἰς οὐρανὸν ὑποταγέντων αὐτῷ
ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

## IV.

1 Χριστοῦ οὖν παθόντος σαρκὶ καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν
2 ὁπλίσασθε, ὅτι ὁ παθὼν σαρκὶ πέπαυται ἁμαρτίας, [2] εἰς τὸ μηκέτι
ἀνθρώπων ἐπιθυμίαις ἀλλὰ θελήματι θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ

---

15. Rc. Kn. Sz. om. ἀλλά.
16. καταλαλεῖσθε c. B 69. 137. Clem. .. Rc. Kn. Sz. Ln. καταλαλῶσιν (Ln. -λοῦσιν) ὑμῶν ὡς κακοποιῶν. .. om. ὡς κακοπ. etiam Vg. Arm. Syr. p. (c. ast. hab.)
17. Rc. θέλει.
18. Hab. ὑπὲρ ἁμαρτ. G al. Did. Oec.; pro ἁμαρτ. leg. ἡμῶν, ἁμαρτωλῶν (Did.), ἁμαρτιῶν ἡμῶν [sic Ln. c. C al.; vv. m. Cypr. Aug.], ἁμαρτ. ὑπὲρ ὑμῶν (ut A) s. ἡμῶν A G al. m. Cpt. al. Sever. al. — Ln. pro ἔπαθ. h. ἀπέθανεν c. A C al. m.; vv. m. Cyr. al. — Rc. τῷ πνεύμ.
19. Pro πνεύμασιν leg. πνεύματι et πν. ἁγίῳ. (sic C ut vdtr, post φυλακῇ addito κατακεκλεισμένοις, qd add. etiam cdd. al.; vv. m.; Ath. al.)
20. Rc. ἅπαξ ἐξεδέχετο (sic nullus ut vdtr cd. hab.) .. h. ἅπαξ ἐδέχ. 29. al. Ar. pol. — Rc. Kn. Sz. ὀλίγαι. [-γοι c. A B al. Vg. Or. Cypr. al.]
21. Rc. pro ὃ h. ᾧ. — Rc. Kn. Sz. ἡμᾶς. [ὑμ. c. A al. m. Syr. Arm. Vg. Aug. al.]
Cap. IV. 1. Rc. Kn. Sz. παθόντ. ὑπὲρ ἡμῶν [om. c. BC al. Sah. Vg. Aug. Fulg.; etiam transpon.] et ἐν σαρκί. [om. c. A C G al. pm. Sl. Vg. ms Am. Thphyl.]

*βιῶσαι χρόνον.* [3] *ἀρκετὸς γὰρ ὁ παρεληλυθὼς χρόνος τὸ βούλημα* 3
*τῶν ἐθνῶν κατειργάσθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις,*
*οἰνοφλυγίαις, κώμοις, πότοις καὶ ἀθεμίτοις εἰδωλολατρείαις,* [4] *ἐν* 4
*ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας*
*ἀνάχυσιν, βλασφημοῦντες,* [5] *οἳ ἀποδώσουσιν λόγον τῷ ἑτοίμως ἔχοντι* 5
*κρῖναι ζῶντας καὶ νεκρούς.* [6] *εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελί-* 6
*σθη, ἵνα κριθῶσιν μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσιν δὲ κατὰ θεὸν*
*πνεύματι.*

*Πάντων δὲ τὸ τέλος ἤγγικεν. σωφρονήσατε οὖν καὶ νήψατε* 7
*εἰς προσευχάς,* [8] *πρὸ πάντων τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχον-* 8
Prv. 10, 12. Jac 5, 20 *τες, ὅτι ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν,* [9] *φιλόξενοι εἰς ἀλλή-* 9
*λους ἄνευ γογγυσμοῦ,* [10] *ἕκαστος καθὼς ἔλαβεν χάρισμα, εἰς ἑαυ-* 10
*τοὺς αὐτὸ διακονοῦντες ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος θεοῦ·*
[11] *εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ, εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς* 11
*χορηγεῖ ὁ θεός, ἵνα ἐν πᾶσιν δοξάζηται ὁ θεὸς διὰ Ἰησοῦ Χρι-*
*στοῦ, ᾧ ἐστὶν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων·*
*ἀμήν.*

*Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν* 12
*ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος,* [13] *ἀλλὰ καθὸ κοινωνεῖτε* 13
*τοῖς τοῦ Χριστοῦ παθήμασιν χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει*
*τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.* [14] *εἰ ὀνειδίζεσθε ἐν ὀνόματι* 14
*Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ'*
*ὑμᾶς ἀναπαύεται.* [15] *μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς ἢ κλέ-* 15

---

3. Rc. Sz. et Kn. (—) *γάρ ἡμῖν.* — Rc. Kn. Sz. *χρόν. τοῦ βίου τὸ θέλημα* [*βούλ.* c. ABC al. m. Clem. Thphyl.] et *κατεργάσασθαι.* [*κατειργ.* c. A B al. Clem.]

7. Rc. Kn. Sz. *εἰς τάς.* [om. c. AB al.]

8. Rc. Kn. Sz. Ln. *πάντ. δέ* . . . om. c. A (vdtr) B al. Arm. Tol. Har. Am. — Rc. Kn. Sz. *ἡ ἀγάπ.* [om. c. AG al. pm. Oec.] et Rc. Sz. *καλύψει.*

9. Rc. Kn. Sz. *γογγυσμῶν.* [ctra A B al. pm. Syr. Arr. Vg. Cyr. al.]

11. Hab. *ὡς χορηγ.* GH al. m. Sl. ms. — om. *ἐστίν* A al. Arm. Arr.

13. Rc. *καθώς.*

14. Sz. Ln. *δόξ. καὶ δυνάμεως* c. A al. pl.; vv. pl.; (non Syr. Lux.) Ath. al. (non Clem. Cyr. Tert. Fulg.) — om. *καὶ τό* 15. al. Syr. utr. Aeth. Thphyl. Cypr. (h. *quoniam gloriae Dei spiritus in vobis requiescit* Am) — h. *ἐπαναπ.* A al. . . *ἀναπέπαυται* 68. al. pl. Cyr. Ath. Ephr. al. — Rc. Kn. Sz. in f. add. *κατὰ μὲν αὐτοὺς βλασφημεῖται,*

16 πτης ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριοεπίσκοπος· [16] εἰ δὲ ὡς Χριστιανός,
17 μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ ὀνόματι τούτῳ. [17] ὅτι
ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ· εἰ δὲ
πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ θεοῦ εὐ-
18 αγγελίῳ; [18] καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτω- * Prv. 11, 31.
19 λὸς ποῦ φανεῖται; [19] ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ
θεοῦ πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθο-
ποιΐαις.

## V.

1 Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ
μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀπο-
2 καλύπτεσθαι δόξης κοινωνός· [2] ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ
θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς ἀλλ' ἑκουσίως, μηδὲ αἰσχρο-
3 κερδῶς ἀλλὰ προθύμως, [3] μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων
4 ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. [4] καὶ φανερωθέντος τοῦ ἀρχι-
ποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.
5 Ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις, πάντες δὲ ἀλλήλοις
τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντι- * Prov. 3, 34.
6 τάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν. [6] ταπεινώθητε οὖν ὑπὸ τὴν

---

κατὰ δὲ ὑμᾶς δοξάζεται. [om. c. AB al. pm. Syr. Erp. Aeth. Copt. Arm. Vg. Tert. Ambr. Beda. (h. Har. Tol. Am. Ar. pol. Cypr.)]

15. Ln. ἀλλοτριεπίσκ. c. B. . . h. ἀλλότριος ἐπίσκοπος A al.

16. Rc. Kn. Sz. pro ὀνόμ. [c. AB al. m. Syr. utr. Vg. al. Cyr. Ephr. Tert. al.] h. μέρει.

17. Hab. ὑμῶν A** al. Aeth. Sl. Oec. (comm.)

19. Rc. Kn. Sz. ὡς πιστῷ. [om. c. AB al. Vg. al. Ath.] Iid. ἑαυτῶν kit. c. AGH al. pl. Oec. . . om. B.] ἐν ἀγαθοποιΐᾳ. [-αις c. A al. m Syr. Erp. Vg. Hier.]

Cap. V. 1. Ln. om. τούς c. AB 69. 137. et h. πρεσβ. οὖν c. AB al. m Arm. Vg. Hier.; etiam νῦν et δέ leg.

2. Hab. τοῦ Χριστοῦ 2. al. Cyr. Chrs. al.; etiam τοῦ κυρίου et ἡμῶν leg.; etiam om. — Ln. ἑκουσ. κατὰ θεόν c. A al. m. Vg. Har. Syr. p. al. Thphyl. al.; etiam post ἐπισκ. pon.; etiam καὶ κ. θ. leg. — pro μηδέ h. μή AG al. Syr. al.

3. Om. versum B.

5. Rc. Kn. Sz. ἀλλήλ. ὑποτασσόμενοι. [om. c. AB al. Syr. Vg. Har. al. Antioch.; etiam ὑποτάσσεσθε et ὑποτάγωμεν leg.] — om. ὁ B al.

*Ps. 55, 23. *κραταιὰν χεῖρα τοῦ θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ,* 7 *πᾶσαν τὴν* 7
*μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ᾽ αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν.*
*Νήψατε, γρηγορήσατε. ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων* 8
*ὠρυόμενος περιπατεῖ ζητῶν τίνα καταπίῃ·* 9 *ᾧ ἀντίστητε στερεοὶ* 9
*τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν*
*ἀδελφότητι ἐπιτελεῖσθαι.* 10 *ὁ δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας* 10
*ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον πα-*
*θόντας αὐτὸς καταρτίσει, στηρίξει, σθενώσει.* 11 *αὐτῷ τὸ κράτος* 11
*εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*
*Διὰ Σιλουανοῦ ὑμῖν πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι᾽ ὀλί-* 12
*γων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ*
*χάριν τοῦ θεοῦ, εἰς ἣν στῆτε.* 13 *ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι* 13
Rom. 16, 16 etc. *συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου.* 14 *ἀσπάσασθε ἀλλήλους ἐν* 14
*φιλήματι ἀγάπης.*
*Εἰρήνη ὑμῖν πᾶσιν τοῖς ἐν Χριστῷ.*

---

6. Ln. in f. add. *ἐπισκοπῆς* c. A al. m. Vg. al. Ephr. al. et 7. h. *ἐπιρίψ.* c. A.
8. Rc. *ὅτι ὁ ἀντίδ.* — h. *περιέρχεται* 14. al. Arm. Or. (1.) Cyr. hr. et alex. Petr. Chrs. al. — Ln. *τινὰ καταπιεῖν* c. BH al. pl. Thdret. Hil. al. (non Ephr. Chrs. Isid. Hier. al.) . . h. *τίνα καταπιεῖ* G al.
10. Rc. Kn. Sz. *ἡμᾶς* [*ὑμ.* c. ABG al. longe pl. Vg. ms. al. Thphyl.] — om. *Ἰησ.* B al. — Rc. Kn. Sz. *καταρτ. ὑμᾶς* [om. c. AB al. m. Syr. Vg. Har. Lux. Arm.] et Rc. Sz. *καταρτίσαι* et Rc. *στηρίξαι, σθενώσαι* et Rc. Kn. Sz. add. *θεμελιώσει.* [*-σαι* Rc. . . id om. c. AB Syr. Vg. Har. Lux. Aeth.]
11. Rc. Kn. Sz. *ἡ δόξα καὶ τό.* [om. c. AB al. Aeth. Vg. ms. Am.; etiam transp. et ex parte om.] — om. *τῶν αἰών.* B al. Cpt. Arm.; etiam *ἀμήν* om.
12. Rc. Kn. Sz. *ἑστήκατε.* [*στῆτε* c. A (h. *ἐν ᾗ*) B al. pm.]
13. Pro *Βαβ.* h. *Ἰόππῃ* cdd. ap. Georg. syncell. chron. 322. . . *Ῥώμῃ* 4. in m.
14. Rc. Kn. Sz. *Χρ. Ἰησοῦ.* [om. c. AB al. Syr. Aeth. Vg. ms.] — Rc. et Kn. (—) add. *ἀμήν.*
*) In subscr. add. *ἀπὸ Ῥώμης* 10. 78. 96. al. m.

## ΠΕΤΡΟΥ Β.

1 Σίμων Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ τοῖς ἰσότιμον
ἡμῖν λαχοῦσιν πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος
2 Ἰησοῦ Χριστοῦ. [2] χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει
3 τοῦ κυρίου ἡμῶν, [3] ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ
πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης διὰ τῆς ἐπιγνώσεως τοῦ καλέ-
4 σαντος ἡμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ, [4] δι' ὧν τὰ μέγιστα καὶ τίμια
ἡμῖν ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοι-
νωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν τῷ κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς.
5 [5] καὶ αὐτὸ δὲ τοῦτο σπουδὴν πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε
6 ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, [6] ἐν δὲ
τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ
7 τῇ ὑπομονῇ τὴν εὐσέβειαν, [7] ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν
8 δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. [8] ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ
πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ
9 κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· [9] ᾧ γὰρ μὴ πάρεστιν ταῦτα,

---

Cap. I. 1. Rc. Kn. Sz. *Συμέων Π.* [*Σίμων* c. B al. pm. Vg. Sah. Arm. et teste Wtst. Syr. Cpt.]

2. *τοῦ κυρ. ἡμ.* c. Har. Demid. Corb. 2, et addito *Ἰησοῦ Χριστοῦ* 69. al. Syr. utr. Pel. . . Rc. Kn. Sz. Ln. *τοῦ θεοῦ καὶ Ἰησοῦ* (add. *Χριστοῦ* A al. pm.; vv. pl.) *τοῦ κυρ. ἡμ.* (om. *ἡμ.* C al.) . . al. aliter. — Rc. Kn. Sz. *ἡμῶν*. 3. *Ὡς* etc.

3. Hab. *τὰ πάντ.* A al. — Rc. Kn. Sz. *διὰ δόξης κ. ἀρετῆς.* [*ἰδίᾳ* etc. c. A C al. pm. Syr. Vg. al. Did. Cyr.]

4. Rc. Kn. Sz. *ἡμ.* post *μέγ.* pon.; leg. *τιμ. ἡμ. κ. μέγ.* (G), *τίμ. κ. μέγ. ἡμ.* (B) et aliter. . . h. *ὑμῖν* A al. Syr. utr. — Rc. Kn. Sz. om. *τῷ.* [ctra A B G al.] — pro *ἐν ἐπιθ.* leg. *ἐπιθυμίᾳ*, *ἐπιθυμίας* (etiam Syr. Vg.), *ἐπιθυμίας καὶ* (C etc.).

5. Ln. *καὶ αὐτοὶ δὲ σπουδ.* c. A Aeth. Vg. (h. vos autem); leg. *κ. αὐτοὶ δὲ τοῦτο*, *κ. αὐτῷ δὲ τούτῳ*. . . Rc. Kn. Sz. *κ. αὐτὸ τοῦτο δέ*. . . *κ. αὐτὸ δὲ τ.* c. C al. m. Syr. Sl. Thphyl. — om. *πᾶσ.* C al. Thphyl. Syr. p. c. ast.

8. Ln. pro *ὑπάρχ.* h. *παρόντα* c. A al. Vg. Cyr.

τυφλός ἐστιν μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι
αὐτοῦ ἁμαρτημάτων. [10] διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν 10
ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ
μὴ πταίσητέ ποτε· [11] οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν 11
ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος
Ἰησοῦ Χριστοῦ.

Διὸ μελλήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ 12
εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. [13] δίκαιον δὲ 13
ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν
ὑπομνήσει, [14] εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός 14
μου, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέν μοι.
[15] σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν 15
τούτων μνήμην ποιεῖσθαι. [16] οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακο- 16
λουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγα-
λειότητος. [17] λαβὼν γὰρ παρὰ θεοῦ πατρὸς τιμὴν καὶ δόξαν φωνῆς 17
Mt. 3, ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· Οὗτός
17. et 17, 5. ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα. [18] καὶ ταύτην 18
τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν σὺν αὐτῷ ὄντες
ἐν τῷ ὄρει τῷ ἁγίῳ, [19] καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λό- 19
γον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ
τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρ-
δίαις ὑμῶν, [20] τοῦτο πρῶτον γινώσκοντες ὅτι πᾶσα προφητεία γρα- 20
φῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται· [21] οὐ γὰρ θελήματι ἀνθρώπου 21
ἠνέχθη προφητεία ποτέ, ἀλλ' ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλά-
λησαν ἀπὸ θεοῦ ἄνθρωποι.

---

9. Rc. Kn. Ln. ἁμαρτιῶν. [-τημάτων c. A H al. pl. Damsc.]
10. Ln. σπουδ. ἵνα διὰ τῶν καλῶν ὑμῶν ἔργων βεβαίαν, tum ποιεῖσθε (etiam ποιῆσθε leg.) c. A al. m. Syr. (Syr. p. c. ast.) Vg. al. m. Beda (non Ambr.). — h. παράκλησιν A et om. ποτέ A 73. Ambr.
12. Rc. Kn. Sz. pro μελλήσ. [c. A B C al. Cpt. Sah. Arm. Vg. Hes. al.] h. οὐκ ἀμελήσω.
15. Sz. om. per error. καί.
17. Hab. ὁ υἱός μ. ὁ ἀγ. μου οὗτός ἐστ. B.
19. Hab. ἀχμηρῷ A al. — 20. h. διαλύσεως 9. (s. XI.)
21. προφ. ποτέ c. B C al. m. Did. Thphyl. . . Rc. Kn. Sz. Ln. ποτὲ προφ. — Rc. Kn. Sz. Ln. ἅγιοι (Rc. οἱ ἅγ.) θεοῦ (Ln. τοῦ θ. c. A) ἄνθρ. .

## II.

1 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν
ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας,
καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυ-
2 τοῖς ταχινὴν ἀπώλειαν, 2 καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς
3 ἀσελγείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται, 3 καὶ
ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρίμα
4 ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει. 4 Εἰ γὰρ
ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου
5 ταρταρώσας παρέδωκεν εἰς κρίσιν τηρουμένους, 5 καὶ ἀρχαίου κόσμου * Gn. 7
οὐκ ἐφείσατο, ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξεν,
6 κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, 6 καὶ πόλεις Σοδόμων καὶ * Gn. 19
Γομόῤῥας τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων
7 ἀσεβεῖν τεθεικώς, 7 καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν
8 ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐῤῥύσατο· 8 βλέμματι γὰρ καὶ
ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς ἡμέραν ἐξ ἡμέρας ψυχὴν δι-
9 καίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν· 9 οἶδεν κύριος εὐσεβεῖς ἐκ πειρα-
σμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν,
10 10 μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευο-
μένους καὶ κυριότητος καταφρονοῦντας. τολμηταὶ αὐθάδεις, δόξας
11 οὐ τρέμουσιν βλασφημοῦντες, 11 ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει
12 μείζονες ὄντες οὐ φέρουσιν κατ' αὐτῶν βλάσφημον κρίσιν· 12 οὗτοι Jud. 10
δέ, ὡς ἄλογα ζῶα γεγεννημένα φυσικὰ εἰς ἅλωσιν καὶ φθοράν, ἐν

---

ἀπὸ θεοῦ ἄνθρ. c. B al. et addito ἅγ. ante ἄνθρ. C al. Cpt. Aeth. Did. .. h. ἅγ. ὑπὸ θ. ἄνθρ. Thphyl. .. θεοῦ ἄνθρ. Arm. .. tantum ἄνθρ. Vig.

Cap. II. 2. Rc. ταῖς ἀπωλείαις.

3. Hab. νυστάξει G al. m. Sl. Thphyl.

4. Ln. σειροῖς c. A (pergit ζόφοις) B. — Rc. τετηρημένους. [τηρουμέν. c. BCG al. pl.] .. Ln. κολαζομένους τηρεῖν (etiam τηρεῖσθαι leg.) c. A al. Syr. Erp. Cpt. Vg. (sed ante εἰς pon. κολαζ.) Ephr. Cyr. Damsc. al. [Cf. v. 9.]

6. Om. καταστροφῇ BC* al. Cpt. — 8. Ln. om. ὁ c. B.

10. Hab. ἐπιθυμίαις C al. m. Syr. al. Ephr. Thphyl. Hier.

11. Rc. Kn. Sz. παρὰ κυρίῳ βλάσφ. [om. c. A al. m. Syr. Vg. al. m.; etiam transpon.; etiam π. κυρίου leg.]

12. Rc. Kn. Sz. φυσικ., γεγενν. pon. [ctra ABC al.; etiam om. φυσικά et φυσικῶς h. 95.* .. naturaliter (omisso γεγεννημ. .. om. etiam 9.) Vg.] .. Sz. γεγενημένα c. A** al. pl. Oec.

οἷς ἀγνοοῦσιν βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καὶ φθαρήσον-
ται [13] κομιούμενοι μισθὸν ἀδικίας. ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ 13
Jud. 12. τρυφήν, σπίλοι καὶ μῶμοι ἐντρυφῶντες ἐν ταῖς ἀγάπαις αὐτῶν,
συνευωχούμενοι ὑμῖν, [14] ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ 14
ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν
* Nm. 22. γεγυμνασμένην πλεονεξίας ἔχοντες, κατάρας τέκνα, [15] καταλιπόν- 15
τες εὐθεῖαν ὁδὸν ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βα-
λαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν, [16] ἔλεγξιν δὲ ἔσχεν 16
ἰδίας παρανομίας· ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξά-
Jud. 13. μενον ἐκώλυσεν τὴν τοῦ προφήτου παραφρονίαν. [17] οὗτοί εἰσιν 17
πηγαὶ ἄνυδροι καὶ ὁμίχλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος
τοῦ σκότους τετήρηται. [18] ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι 18
δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγείας τοὺς ὀλίγως ἀποφεύγον-
τας, τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, [19] ἐλευθερίαν αὐτοῖς ἐπαγγελ- 19
λόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται,
τούτῳ καὶ δεδούλωται. [20] εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ 20
κόσμου ἐν ἐπιγνώσει τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ,
τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα
χείρονα τῶν πρώτων· [21] κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι 21

---

12. Rc. Kn. Sz. pro *καὶ φθαρ.* h. *καταφθαρήσ.* [ctra ABC al. vv. m. Ephr.]

13. Pro *κομιούμ.* h. *ἀδικούμενοι* B. — Rc. Kn. Sz. *ταῖς ἀπάταις αὐτ.* [*ἀγ.* c. A** (vdtr ipsius manus antiquae correctio) B Syr. Arr. Syr. p. in m. Vg. Ephr. Auct. de sing. cleric.; etiam *ἀγνοίαις* leg.]

14. Hab. *μοιχαλίας* A al. Cpt. Vg. Corb. Ephr. Hier. al. — h. *ἀκαταπαύστου* 13. al. m.; Vg. al. Ephr. al. .. Ln. *ἀκαταπάστους* c. AB. — Rc. *πλεονεξίαις*.

15. Rc. *τὴν εὐθεῖαν.* — pro *Βοσόρ* h. *Βεώρ* B 81. Syr. Tol. al. Aug. — h. *ἠγάπησαν* omisso *ὃς* B Arm.

16. Hab. *ἐν ἀνθρώποις* B.

17. Rc. pro *καὶ ὁμίχλ.* h. *νεφέλαι.* — Rc. Kn. Sz. *εἰς αἰῶνα τετήρ.* [om. c. B Syr. utr. Vg. al. Hier. Aug.]

18. *ἀσελγείας* c. 27. al. pm. Syr. utr. Sl. ms. Vg. Ephr. Hier. Aug. .. Rc. *ἐν ἀσελγείαις* (sic Sah.; sed ut vdtr cd. gr. nullus.) .. Kn. Sz. Ln. *ἀσελγείαις.* — Rc. *τοὺς ὄντως ἀποφυγόντας.* .. h. *ἀποφυγόντ.* etiam Sz.

20. Rc. Kn. Sz. om. *ἡμῶν.* — om. *κ. σωτῆρ.* 19. al.; vv. m.

τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν ὑποστρέψαι ἐκ τῆς παρα-
22 δοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. [22] συμβέβηκεν αὐτοῖς τὸ τῆς ἀλη- * Prov. 26, 11.
θοῦς παροιμίας· Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καί· Ὗς
λουσαμένη εἰς κύλισμα βορβόρου.

## III.

1 Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω ἐπιστολήν, ἐν
2 αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, [2] μνησθῆ- Jud. 17.
ναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν καὶ τῆς
3 τῶν ἀποστόλων ὑμῶν ἐντολῆς τοῦ κυρίου καὶ σωτῆρος, [3] τοῦτο Jud. 18.
πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν
ἐμπαιγμονῇ ἐμπαῖκται κατὰ τὰς ἰδίας ἐπιθυμίας αὐτῶν πορευόμενοι
4 [4] καὶ λέγοντες· Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ'
ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτως διαμένει ἀπ' ἀρχῆς
5 κτίσεως. [5] λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν
ἔκπαλαι καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συνεστῶσα τῷ τοῦ θεοῦ
6 7 λόγῳ, [6] δι' ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο· [7] οἱ Gn. 7, 21.
δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτοῦ λόγῳ τεθησαυρισμένοι εἰσὶν πυρὶ
τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώ-
8 πων. [8] ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα * Ps. 90, 4.
9 παρὰ κυρίῳ ὡς χίλια ἔτη καὶ χίλια ἔτη ὡς ἡμέρα μία. [9] οὐ βρα-
δύνει κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ
μακροθυμεῖ δι' ὑμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάν-

---

21. ὑποστρ. c. BC al. Damsc. . . Rc. Kn. Sz. ἐπιστρ. . . Ln. εἰς τὰ ὀπίσω ὑποστρ. . . h. εἰς τ. ὀπ. ἀνακάμψαι A al. Syr. utr. Ephr. Cyr. Chrs. . . add. εἰς τ. ὀπ. (varie pon.) etiam Vg. al. Hier. al. — Ln. pro ἐκ h. ἀπό c. A al. Vg. Ephr.

22. Rc. Kn. Sz. συμβέβ. δέ. [om. c. AB Sah.; etiam γάρ leg.] — h. κυλισμόν B al.

Cap. III. 2. Om. ἁγίων H al. — Rc. Kn. Sz. ἡμῶν. [ὑμ. c. ABCG al. pm.; Vg. al. Thphyl. . . al. aliter. . . om. plane 29. (s. XI.) Har.*]

3. Rc. Kn. Sz. ἐσχάτου. [ctra AB(C h. ἐσχάτῳ) al. m. Hipp. Chrs. Antioch. Thphyl.] — Rc. om. ἐν ἐμπαιγμ.

7. Rc. Ln. τῷ αὐτῷ c. A al. Vg. [τῷ αὐτοῦ c. BCG al. pl. Syr. utr. al. Thphyl.] — h. ἐν πυρὶ C* al.

9. Rc. Kn. Sz. ὁ κύρ. [ctra ABC al.] et εἰς ἡμᾶς. [δι' ὑμ. c. A al. Syr. utr. Vg. Corb. al. Aug. Fulg. . . h. εἰς ὑμᾶς BC al. Erp.]

1 Thss. 5, 2. *τας εἰς μετάνοιαν χωρῆσαι.* 10 *ἥξει δὲ ἡμέρα κυρίου ὡς κλέπτης,* 10
*ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα*
*λυθήσεται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται.* 11 *Τούτων* 11
*οὕτως πάντων λυομένων ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις*
*ἀναστροφαῖς καὶ εὐσεβείαις,* 12 *προσδοκῶντας καὶ σπεύδοντας τὴν* 12
*παρουσίαν τῆς τοῦ θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθή-*
*σονται καὶ στοιχεῖα καυσούμενα τήκεται.* 13 *καινοὺς δὲ οὐρανοὺς* 13
*καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δι-*
*καιοσύνη κατοικεῖ.*

*Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες σπουδάσατε ἄσπιλοι καὶ* 14
*ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ,* 15 *καὶ τὴν τοῦ κυρίου ἡμῶν* 15
*μακροθυμίαν σωτηρίαν ἡγεῖσθε, καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελ-*
*φὸς Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψεν ὑμῖν,* 16 *ὡς* 16
*καὶ ἐν πάσαις ἐπιστολαῖς, λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν αἷς*
*ἐστὶν δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν ὡς*
*καὶ τὰς λοιπὰς γραφὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.* 17 *Ὑμεῖς* 17
*οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε ἵνα μὴ τῇ τῶν ἀθέσμων*
*πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ,* 18 *αὐξάνετε* 18
*δὲ ἐν χάριτι καὶ γνώσει τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χρι-*
*στοῦ. αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος.*

---

**10.** Rc. Kn. Sz. *ἡ ἡμέρ.* [ctra BC Cyr.] — Rc. et Kn. (—) *κλέπτ. ἐν νυκτί.* — om. *οἱ* G al. pm. (non A.) — h. *ῥυζηδόν* (etiam *ῥιζηδόν*) A al. — Rc. Kn. Sz. *λυθήσονται.* [ctra BC al. Cyr.] — pro *κατακ.* h. *ἀφανισθήσεται* C Syr. utr. .. *εὑρεθήσεται* B (ap. Bch. et Btlj.) al. .. *οὐχ εὑρεθήσονται* Sah. .. om. *καὶ γῆ* usque *κατακ.* Har. Pel. Cass. (vdtr); etiam *γῆ δέ* leg.; etiam *ἔργα* om.; etiam *κατακαήσονται* leg.
**11.** *οὔτ.* c. B al. Syr. p. .. h. *δὲ οὕτως* C al. .. etiam tantum *δέ* leg. .. Rc. Kn. Sz. Ln. *οὖν.* — om. *ὑμᾶς* B; etiam *ἡμᾶς* leg.
**12.** Hab. *τοῦ κυρίου* 27. al. Vg. al. Cyr. al. m. — Ln. *καυσ. τακήσεται* c. C al. Syr. Vg. al. Thphyl.
**13.** Ln. *καινὴν καὶ τὰ ἐπαγγέλματα* c. A Sah. Corb. Har. Vg. ms. et ed. Sixt. Am. Hier. Beda. .. h. *κατὰ τὰ ἐπαγγέλματα αὐτ.* 5. Cpt. Vg. Cyr. Did. Aug. — h. *ἐνοικεῖ* A al.
**14.** Hab. *ἄμωμοι* A al. m. Phot.
**16.** Rc. Kn. Sz. *πάσαις ταῖς* [om. c. AB al.] et *ἐν οἷς.* [*αἷς* c. AB al. m. Syr. utr. Arr. Thphyl.]
**18.** Rc. Kn. Sz. Ln. in f. add. *ἀμήν.* [om. c. B al. Har.*]

# ΙΩΑΝΝΟΥ Α.

1 Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν,
ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου
2 τῆς ζωῆς· — [2] καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυ-
ροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς
3 τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν· — [3] ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν,
ἀπαγγέλλομεν καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν.
καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ
4 αὐτοῦ Ἰησοῦ Χριστοῦ. [4] καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ Jo. 15, 11
ἡμῶν ᾖ πεπληρωμένη. 2 Jo. 12
5 Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ καὶ ἀναγ- 1 Jo. [illegible]
γέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστὶν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν
6 οὐδεμία. [6] ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν
τῷ σκότει περιπατῶμεν, ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν·
7 [7] ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοι-
νωνίαν ἔχομεν μετ' ἀλλήλων καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ
8 καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. [8] ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν
οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν καὶ ἡ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν.
9 [9] ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστιν καὶ δίκαιος,
ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

---

Cap. I. 2. Hab. καὶ ὃ ἑωράκ. B 40. (add. καὶ ἀκηκόαμεν 40.)
3. Rc. Kn. Sz. om. καί ante ὑμῖν. [h. ABC al. m. Syr. Vg. ms. Did. Aug. (1.)] — om. δέ CG al. m. Aeth. al. Aug. — h. ὑμετέρ. Har.* Sl. ms. et add. ᾖ 25. (s. XI.) Arm. Vg. Aug. Ambr.
4. Ln. pro ὑμῖν h. ἡμεῖς c. A*B 13. Har.* Sah. — Rc. Kn. Sz. Ln. ἡ χαρ. ὑμῶν. . . ἡμῶν c. BG 31. al. m. Sl. ms. Am. Tol. Har. Thphyl. Oec. . . ἡμῶν ἐν ὑμῖν Syr. Erp.
5. ἔστ. αὔτ. c. BCG al. pl. Syr. p. Thphyl. Oec. . . Rc. Kn. Sz. Ln. αὔτ. ἔστ. — Rc. ἐπαγγελ. [ἀγγελία c. AG al. pl. Syr. Vg. al. Did. Oec.]
7. Hab. μετ' αὐτοῦ A* (vdtr) Aeth. cdd. lat. Did. al. . . utrque Clem. . . c. Deo Har. — Rc. Kn. Sz. Ἰησ. Χριστοῦ. [om. c. B al. Syr. Arm. Aeth. Sah. Vg. ms. Clem. al.] — leg. καθαρίσει et καθαριεῖ.
8. Rc. Kn. οὐκ ἔστ. ἐν ἡμ. — 9. h. καθαρίσει AH.

10 ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν 10
καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

## II.

Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. καὶ ἐάν 1
τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν
δίκαιον, 2 καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ 2
περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.
3 Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς 3
αὐτοῦ τηρῶμεν. 4 ὁ λέγων· ὅτι ἔγνωκα αὐτόν, καὶ τὰς ἐντολὰς 4
αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστίν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν·
5 ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ 5
θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμέν. 6 ὁ λέ- 6
γων ἐν αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς
περιπατεῖν.

Ἀγαπητοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν πα- 7
λαιάν, ἣν εἴχετε ἀπ' ἀρχῆς. ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν
ἠκούσατε. 8 πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν 8
αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται καὶ τὸ φῶς τὸ ἀληθι-
νὸν ἤδη φαίνει. 9 ὁ λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ 9
μισῶν ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. 10 ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐ- 10
τοῦ ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον οὐκ ἔστιν ἐν αὐτῷ· 11 ὁ δὲ 11
μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περι-
πατεῖ καὶ οὐκ οἶδεν ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς
ὀφθαλμοὺς αὐτοῦ.

Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ 12
ὄνομα αὐτοῦ. 13 γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. 13

---

Cap. II. 2. Ln. αὐτός ἐστ. ἱλ. c. B al. Vg. — h. μόνων B al. (μόνον Or. 3.)

4. Rc. Kn. Sz. om. ὅτι. [scr. c. AB al. m. Sl. Clem. (1.) al.]

6. Rc. Kn. Sz. αὐτὸς οὕτως. [om. c. AB al. Sah. Aeth. Vg. Clem. al. .. om. κ. αὐτ. περιπ. G.]

7. Rc. pro ἀγαπητ. h. ἀδελφοί. — Rc. Sz. in f. add. ἀπ' ἀρχῆς, qu. Kn. (—)

8. Hab. κ. ἐν ἡμῖν A al. m. cdd. lat. Hier. — h. ὅτι ἡ σκιά A.

10. οὐκ ἔστ. ἐν α. c. AC al. Lcif. . . Rc. Kn. Sz. Ln. ἐν α. οὐκ ἐστ.

γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. ἔγραψα ὑμῖν,
14 παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα. [14] ἔγραψα ὑμῖν, πατέρες, ὅτι
ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε
καὶ ὁ λόγος τοῦ θεοῦ ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν.
15 [15] μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ
16 τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ θεοῦ ἐν αὐτῷ, [16] ὅτι πᾶν τὸ
ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλ-
μῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλ' ἐκ
17 τοῦ κόσμου ἐστίν. [17] καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία
αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.
18 Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντί-
χριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώ-
19 σκομεν, ὅτι ἐσχάτη ὥρα ἐστίν. [19] ἐξ ἡμῶν ἐξῆλθαν, ἀλλ' οὐκ
ἦσαν ἐξ ἡμῶν, — εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ'
20 ἡμῶν, — ἀλλ' ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν. [20] καὶ
21 ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ ἁγίου καὶ οἴδατε πάντα. [21] οὐκ ἔγραψα
ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτήν, καὶ ὅτι
22 πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστιν. [22] τίς ἐστιν ὁ ψεύστης εἰ
μὴ ὁ ἀρνούμενος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός ἐστιν
23 ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. [23] πᾶς ὁ
ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν
24 καὶ τὸν πατέρα ἔχει. [24] ὑμεῖς ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν με-
νέτω. ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ
25 υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε. [25] καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν 1 Jo. 1.
αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον. 5.
26 27 Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. [27] καὶ ὑμεῖς

---

13. Rc. Kn. Sz. γράφω [ἔγραψα c. ACG al. pm. Syr. utr. Erp. Sah. Cpt. Aeth. Cyr. al. Or. int. .. Latini scribo sexies.] ὑμ., παιδία.
14. Om. τοῦ θεοῦ B Sah.
15. θεοῦ c. AC al. Cpt. Aeth. Har. Cyr. (Or. 1. πατρός. .. 1. κατὰ τὸν Ἰωάνν. ὁ ἔχων τ. ἀγάπην τοῦ θεοῦ, ἐκεῖνος οὐκ ἔστ. ἐκ τ. κόσμου τούτου etc.) .. Rc. Kn. Sz. Ln. πατρός... etiam θεοῦ καὶ πατρ. leg.
17. Om. αὐτοῦ A al. Arm. Or.
18. Om. ὅτι prius AG al. Aeth. — Rc. Kn. Sz. ὁ ἀντιχρ. [om. ὁ c. BC al. Or.]
23. Rc. om. ὁ ὁμολογ. τὸν υἱὸν κ. τ. πατ. ἔχει.
24. Rc. Kn. Sz. ὑμεῖς οὖν. [om. c. ABCG al. Syr. utr. Vg. al. Cyr.] — Ln. om. ἐν ante τῷ πατρί c. B Sl. Vg. — 25. Ln. ὑμῖν c. B. (h. αἰωνίαν B.)

τὸ χρῖσμα ὃ ἐλάβετε ἀπ᾽ αὐτοῦ, μένει ἐν ὑμῖν, καὶ οὐ χρείαν ἔχετε
ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ᾽ ὡς τὸ αὐτὸ χρῖσμα διδάσκει ὑμᾶς περὶ
πάντων, καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος, καὶ καθὼς ἐδί-
δαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ.

Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ἐὰν φανερωθῇ σχῶμεν 28
παῤῥησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.
[29] ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν, γινώσκετε, ὅτι καὶ πᾶς ὁ ποιῶν 29
τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

## III.

1 Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατήρ, ἵνα τέκνα θεοῦ 1
κληθῶμεν, καὶ ἐσμέν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι
οὐκ ἔγνω αὐτόν.

Ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμέν, καὶ οὔπω ἐφανερώθη τί 2
ἐσόμεθα. οἴδαμεν, ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι
ὀψόμεθα αὐτὸν καθώς ἐστιν. [3] καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύ- 3
την ἐπ᾽ αὐτῷ ἁγνίζει ἑαυτόν, καθὼς ἐκεῖνος ἁγνός ἐστιν. [4] πᾶς 4
ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν
ἡ ἀνομία. [5] καὶ οἴδατε, ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας 5
ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. [6] πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ 6
ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔγνωκεν
αὐτόν.

Παιδία, μηδεὶς πλανάτω ὑμᾶς. ὁ ποιῶν τὴν δικαιοσύνην δί- 7

---

27. Hab. τὸ χάρισμα ὃ ἐλάβ. B 10**; ac tum τὸ αὐτὸ χάρισμα 10.** (h. l. etiam πνεῦμα leg.) — Rc. Kn. Sz. ἐν υμ. μένει. — h. ἀλλά pro ἀλλ᾽ ὡς B al. Sah. Aeth. Hier. Aug. — h. τὸ αὐτοῦ χρ. 5. al. m. Syr. utr. Vg. al. Aeth. Cyr. al. — om. καί ante καθώς A Aug. — Rc. Kn. Sz. μενεῖτε.

28. Rc. Kn. Sz. ὅταν φανερ., ἔχωμεν.

29. Hab. ἐὰν ἴδητε A G al. pm. Cpt. Aeth. Thphyl. — ὅτι καὶ πᾶς c. A C al. Syr. Vg. (non Am.) .. om. καί Rc. Kn. Sz. Ln.

Cap. III. 1. Hab. ὑμῖν B al. — Rc. Kn. Sz. om. καὶ ἐσμέν. [scr. c. A B C al. pm. Syr. utr. Vg. al. m. Thphyl. Oec. Aug.] — h. ὑμᾶς G al. pl. Ar. Sl. Oec.

2. Rc. Kn. Sz. οἴδαμ. δέ.

4. Ln. om. ἡ ante ἁμαρτία c. B. ap. Btlj.; sed dubium est.

5. Om. τάς A. — Rc. Kn. Sz. τ. ἁμαρτίας ἡμῶν.

7. παιδία c. A C al. Cpt. Syr. p. Arm. .. Rc. Kn. Sz. Ln. τεκνία.

8 καιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· [8] ὁ ποιῶν τὴν ἁμαρτίαν
ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει· εἰς
τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.
9 [9] πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα 1 Jo. 5, 18.
αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ
10 γεγέννηται. [10] ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ
τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ
11 θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. [11] ὅτι αὕτη ἐστὶν
12 ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· [12] οὐ * Gn. 4, 8.
καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ.
καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ
δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.
13 14 Μὴ θαυμάζετε, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. [14] ἡμεῖς
οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγα-
15 πῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν μένει ἐν τῷ θανάτῳ. [15] πᾶς
ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν, καὶ οἴδατε, ὅτι
πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ μένουσαν.
16 [16] ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν
ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς
17 ψυχὰς θεῖναι. [17] ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ
τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ
ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ;
18 Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ
19 καὶ ἀληθείᾳ. [19] ἐν τούτῳ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν,
20 καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, [20] ὅτι ἐὰν κατα-
γινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν
καὶ γινώσκει πάντα.

---

10. Hab. τὴν δικαιοσ. AH al.
11. Hab. ἐπαγγελία C al. m. Cpt. al. Cyr. Oec. Lcif.
13. Hab. καὶ μή C al. Syr. al. — Rc. Kn. Sz. ἀδελφ. μου.
14. Rc. Kn. Sz. ὁ μὴ ἀγαπ. τὸν ἀδελφόν. [om. c. AB al. Sah. Arm. Vg. Did. Lcif. Aug.; etiam τοὺς ἀδελφούς et τὸν ἀδ. αὐτοῦ leg.]
15. Rc. Kn. Sz. ἐν αὐτῷ μένουσ. et 16. in f. τιθέναι.
18. Rc. Kn. Sz. τεκνία μου. — Rc. μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ.
19. Rc. Kn. Sz. καὶ ἐν τ. γινώσκομεν. [γνωσόμεθα c. AB al. m. Syr. al. m. Clem. Damsc. Oec.] — Ln. τὴν καρδίαν c. A* B 66.** Aug.
20. Ln. om. ὅτι ante μείζ. c. A al. Vg. al. Oec. Aug.

Ἀγαπητοί, ἐὰν ἡ καρδία μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν 21
ἔχομεν πρὸς τὸν θεόν, 22 καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν ἀπ' αὐ- 22
τοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐ-
τοῦ ποιοῦμεν. 23 καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν 23
τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλή-
λους καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν. 24 καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐ- 24
1 Jo. 4, 13. τοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ. καὶ ἐν τούτῳ γινώσκομεν
ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

## IV.

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε 1
τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστίν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξ-
εληλύθασιν εἰς τὸν κόσμον. 2 ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ 2
θεοῦ. πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα,
ἐκ τοῦ θεοῦ ἐστίν· 3 καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, 3
ἐκ τοῦ θεοῦ οὐκ ἔστιν, καὶ τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου, ὃ
ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.
Ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστέ, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι 4
μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ. 5 αὐτοὶ ἐκ τοῦ κόσμου 5
εἰσίν· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ κόσμος αὐτῶν ἀκούει.
6 ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμέν· ὁ γινώσκων τὸν θεὸν ἀκούει ἡμῶν· ὃς 6
οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν
τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης.

---

21. Rc. Kn. Sz. ἡ καρδ. ἡμῶν. [om. c. AB al. Vg. ms. Or. (1. pro καρδ. hab. συνείδησις) Aug. (et om. et hab.)] — om. ἡμῶν post καταγιν. BC 68. Or. (1.), tum hab. παῤῥ. ἔχει B.

22. Rc. Kn. Sz. παρ' αὐτοῦ. [ἀπ' c. ABC al. m.]

23. Ln. πιστεύωμεν c. AC al. pm. — om. ἡμῖν in f. H al. pl. Oec.; etiam ante ἐντολήν pon.

Cap. IV. 2. Hab. γινώσκεται 22. al. pl. Syr. Erp. Vg. Cyr. al. — h. ἐληλυθέναι B al.

3. Hab. ὃ λύει τὸν Ἰησοῦν ἀπὸ θεοῦ οὐκ ἔστιν vet. explria ap. Socrat. Similiter Vg. Ir. int. al. .. Rc. Kn. Sz. τ. Ἰησ. Χριστὸν (Sz. om. Χρ.) ἐν σαρκὶ ἐληλυθότα. .. τόν ante Ἰησ. om. 5. al. pm. Polyc. Thphyl. [Χρ. om. c. ABH al. explrib. ap. Socr. Syr. utr. Cpt. Aeth. al. Or. Cyr. Lcif. et ἐν σ. ἐληλ. om. c. AB al. vet. explrib. ap. Socr. Cpt. Sah. Aeth. Or. Cyr. Lcif.] — om. ἐκ G al. m. Sl. ms.

6. Ln. ἐν τούτῳ γινώσκομεν c. A Syr. Vg.

7 . Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ
ἐστὶν καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται καὶ γινώσκει τὸν
8 θεόν. [8] ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεὸς ἀγάπη ἐστίν.
9 [9] ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν
αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσω-
10 μεν δι' αὐτοῦ. [10] ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπή-
σαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλεν
τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
11 Ἀγαπητοί, εἰ οὕτως ὁ θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφεί-
12 λομεν ἀλλήλους ἀγαπᾶν. [12] θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν Jo. 1. 18.
ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ ἐν
13 ἡμῖν τετελειωμένη ἐστίν. [13] ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μέ-
νομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν 1 Jo. 3. 24.
14 ἡμῖν. [14] καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ πατὴρ
15 ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. [15] ὃς ἂν ὁμολογήσῃ, ὅτι
Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν
16 τῷ θεῷ. [16] καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην
ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ
17 ἀγάπῃ ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ. [17] ἐν τούτῳ τετελείω-
ται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς
κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ κόσμῳ
18 τούτῳ. [18] φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη
ἔξω βάλλει τὸν φόβον· ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος
19 οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. [19] ἡμεῖς ἀγαπῶμεν, ὅτι αὐτὸς πρῶ-
20 τος ἠγάπησεν ἡμᾶς. [20] ἐάν τις εἴπῃ· ὅτι ἀγαπῶ τὸν θεόν, καὶ
τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν

---

9. Om. ὁ θεός 25. al. m. Aeth. Arm. Aug. — 10. h. ἠγαπήκαμεν B.

12. Rc. Kn. Sz. ἐν ἡμῖν in f. pon. .. post τετελ. pon. B, ante τετελ. A al. Vg.

13. Hab. ἔδωκ. A al. m. Did. — 14. h. ἐθεασάμεθα A al. m. Cyr.

16. Hab. πιστεύομεν A 13. Cpt. cdd. lat. Aug. — Ln. in f. (μένει) .. id add. BGH al. pl. Cpt. al. Aug. al.

19. Ln. ἡμεῖς οὖν c. A 5. 13. 107. al. m. Syr. Arr. Aeth. Vg. — Rc. Kn. Sz. ἀγαπῶμ. αὐτόν [om. c. AB 5. 27. 29. 66.** Am. Aug. (1.) Pelag. .. h. τὸν θεόν 13. 33. 34. 68. 69. al. Syr. utr. Cpt. Arm. Vg. (non Am.) .. h. nos invicem et amemus Deum Aeth.] — Ln. ὅτι ὁ θεός c. A 5. 8. 13. 14.* 33. 34. al. Vg. Pelag.

*ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν, τὸν θεὸν ὃν οὐχ ἑώρακεν πῶς δύναται*
*ἀγαπᾶν;* [21] *καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγα-* 21
*πῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.*

## V.

*Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστός, ἐκ τοῦ θεοῦ* 1
*γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γε-*
*γεννημένον ἐξ αὐτοῦ.* [2] *ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα* 2
*τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶ-*
*μεν.* [3] *αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ* 3
*τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν,* [4] *ὅτι πᾶν τὸ* 4
*γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον. καὶ αὕτη ἐστὶν ἡ νίκη*
*ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν.* [5] *τίς ἐστιν ὁ νικῶν τὸν* 5
*κόσμον εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ;* [6] *οὗ-* 6
*τός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς ὁ Χριστός.*
*οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ*
*τὸ πνεῦμά ἐστιν τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.*
[7] *ὅτι τρεῖς εἰσὶν οἱ μαρτυροῦντες,* [8] *τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ* 7 8
*αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.* [9] *εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώ-* 9

---

20. Pro *πῶς* h. *οὐ* B al. Syr. p. Sah. Lcif.

Cap. V. 1. Lɴ. (*καὶ*) *τὸν γεγεννημ.* .. om. B al. Sah. Am. cdd. lat. Hil. Aug. al.

2. Rc. Kɴ. Sz. pro *ποιῶμεν* [c. A B al. Syr. Vg. al. m. Lcif. Aug.] h. *τηρῶμεν.* (v. sq. *ποιῶμεν* nusquam leg. . . *αὕτη* usque *τηρῶμ.* om. A al.)

4. Hab. *ὑμῶν* 3. al. pm. cdd. lat. al.

5. Hab. *τίς δέ* 13. al. pm. cdd. lat. al. Cyr. Did.

6. Pro *αἵματος* h. *πνεύματος* 54. al. Ambr. Aug. (1.) et *αἵματ. καὶ πνεύματος* A al. m. cdd. lat. al. Cyr. Oec. . . al. var. — om. *ὁ* ante *Χριστ.* AGH (H et al. pm. *Χριστ. Ἰησ.* h.) al. pl. Cyr. Thphyl. Oec. — pro *τῷ αἵματι* h. *ἐν τῷ πνεύματι* A al. . . al. aliter. (Lɴ. *ἐν τῷ αἵμ.*) — h. *ὅτι Χριστός ἐστ. ἡ ἀλ.* G 34. Arm. Vg. Har.

7. 8. Rc. et Kɴ. (—) post *μαρτυρ.* hab. *ἐν τῷ οὐρανῷ, ὁ πατὴρ, ὁ λόγος καὶ τὸ ἅγιον πνεῦμα. καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι.* 8. *Καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ πνεῦμ.* etc. c. 34. (s. XV.) 162. (s. XV.) [ii om. postea *καὶ οἱ τρ. εἰς τὸ ἕν εἰσ.*] 173. (s. XI.?) [sed hi omnes *πατήρ, λόγος καὶ πν. ἅγ.* hab.; articulos addidit Erasm.] Vg. cdd. post sec. X. Vigil. Fulg. Cassiod. al. (sed inter se diff.) Primum ea graece edita sunt in ed. Complut. (1514.), ab Erasm. (1522; nondum 1516. 1518.), a Rob. Steph. (1546 — 1569.), a Th.

*πων λαμβάνομεν, ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη*
*ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ, ὅτι μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ.*
10 [10] *ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ·*
*ὁ μὴ πιστεύων τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευ-*
*κεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐ-*
11 *τοῦ.* [11] *καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν*
12 *ὁ θεός, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστίν.* [12] *ὁ ἔχων τὸν*
*υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει.*
13 *Ταῦτα ἔγραψα ὑμῖν, ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον, οἱ*
14 *πιστεύοντες εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ.* [14] *καὶ αὕτη ἐστὶν*
*ἡ παῤῥησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ*
15 *θέλημα αὐτοῦ, ἀκούει ἡμῶν.* [15] *καὶ ἐὰν οἴδαμεν, ὅτι ἀκούει ἡμῶν*
*ὃ ἂν αἰτώμεθα, οἴδαμεν, ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ᾽*
16 *αὐτοῦ.* [16] *ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν*
*μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνου-*
*σιν μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκεί-*
17 *νης λέγω ἵνα ἐρωτήσῃ.* [17] *πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ ἔστιν*
*ἁμαρτία οὐ πρὸς θάνατον.*

---

Beza (1565 — 1576.). Catholicis sancita sunt edd. Sixtin. (1590.), Clement. (1592.). Lutherus ea non vertit, sed reperiuntur in edd. Lutheranae versionis Tigurinis 1529. 1531. et quidem distincta a reliquo textu literis minusculis, in edd. serioribus et quidem inclusa uncis, in ed. 1597. aliisque absque distinctione.

9. Rc. Kn. Sz. pro *ὅτι μεμαρτύρ.* [c. AB al. Cpt. Sah. Arm. Vg. Cyr. Aug.] h. *ἣν μεμαρτ.*

10. Ln. *ἔχει τὴν μαρτ. τοῦ θεοῦ* c. A al. pl. Cpt. Aeth. Vg. — h. *ἐν αὐτῷ* A G H al. pl. — Ln. pro *θεῷ* h. *υἱῷ* c. A al. m. Cpt. Aeth. Vg. (similiter etiam al. . . plane om. Am.) — h. *οὐκ ἐπίστευσεν* A al.

13. Rc. *ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ* [om. c. A B H al. Syr. utr. Cpt. Sah. Erp. Aeth. Arm. Vg. Cassiod.] et pro *οἱ πιστεύοντ.* [c. iisd. fere; B hab. *τοῖς πιστεύουσιν* et H *καὶ ἵνα πιστεύσητε*] h. *καὶ ἵνα πιστεύητε*. . . Kn. Sz. pon. *αἰώνιον ἔχετε* c. G al. pl.

14. Ln. *ὅ τι ἂν αἰτώμ.* c. A al. (quia quodcumque Vg.) — h. *ὄνομα* pro *θέλημ.* A al.

15. Ln. *καὶ ἂν οἶδ.* et *ἀπ᾽ αὐτοῦ* c. B al.

16. Ln. *ἐάν τις εἰδῇ.* [scit Vg. Tert. al.] — h. *ἵνα τις ἐρωτ.* 15. al. Syr. Vg. Clem. Or. Tert.

17. Om. *οὐ* 13. 67.* Sah. Syr. p. Aeth. Arm. Vg. Tert.

1 Jo. 3, 9. *Οἴδαμεν, ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει,* 18
*ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ*
*ἅπτεται αὐτοῦ.* [19] *οἴδαμεν, ὅτι ἐκ τοῦ θεοῦ ἐσμέν, καὶ ὁ κόσμος* 19
*ὅλος ἐν τῷ πονηρῷ κεῖται.* [20] *οἴδαμεν δέ, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει,* 20
*καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καί ἐσμεν*
*ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ· οὗτός ἐστιν ὁ*
*ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος.*

*Τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.* 21

## *ΙΩΑΝΝΟΥ Β.*

*Ὁ πρεσβύτερος ἐκλεκτῇ Κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ* 1
*ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ ἐγνω-*
*κότες τὴν ἀλήθειαν,* [2] *διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν,* 2
*καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα.* [3] *ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος,* 3
*εἰρήνη, παρὰ θεοῦ πατρὸς καὶ παρὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ*
*πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.*

*Ἐχάρην λίαν, ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας* 4
*ἐν ἀληθείᾳ καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός.* [5] *καὶ νῦν* 5
*ἐρωτῶ σε, Κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν, ἀλλὰ ἣν*
*εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.* [6] *καὶ αὕτη ἐστὶν ἡ* 6

---

20. Kn. Sz. Ln. *καὶ οἴδαμ.* c. A al. pm. Syr. Arr. Sab. Vg. Cyr. . . nec *καί* nec *δέ* h. G al. Sl. ms. — h. *ἔδωκ.* A al. Did. — h. *τὸν ἀληθ. θεόν* A al. pl. Cpt. Aeth. Arm. Arr. Sl. Vg. (non Am.) Ath. Did. Bas. al. (etiam *τὸν θεὸν τ. ἀληθ.*, *τὸ ἀληθινόν*, *αὐτόν*, Patrem, Deum veritatis leg.) — om. *ἐν τῷ* ante *υἱῷ* 33. al. Arm. Sl. Vg. Ath. Did. (1.) Bas. al. m. — om. *Ἰησ. Χρ.* A 162. Vg. Har. — Rc. Kn. Sz. *ἡ ζωή.* [om. *ἡ* c. A al. m. Did. Oec.; etiam *ζωὴ ἡ* et *ἡ ζωὴ ἡ* leg.]

21. Ln. *ἑαυτά* c. BH al. m. — Rc. et Ln. (—) in f. add. *ἀμήν.*

2. Hab. *τὴν ἐνοικοῦσαν* A; etiam *τὴν οὖσαν* leg. .. h. *τὴν ἐν ὑμῖν* 66.** (sec. XII.)

3. Om. *ἔσται μεθ' ὑμῶν* A Syr. p. — Rc. Kn. Sz. *κυρίου Ἰησ. Χρ.* [om. c. AB al. Syr. Erp. Aeth. Vg.

4. Om. *τοῦ* ante *πατρ.* B. — 5. Ln. *καινήν* ante *γράφ.* pon.

ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἡ ἐντολή
7 ἐστιν, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε· [7] ὅτι
πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν
Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχρι-
8 στος. [8] βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργάσασθε, ἀλλὰ
9 μισθὸν πλήρη ἀπολάβητε. [9] πᾶς ὁ προάγων καὶ μὴ μένων ἐν τῇ
διδαχῇ τοῦ Χριστοῦ θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ, οὗτος
10 καὶ τὸν υἱὸν καὶ τὸν πατέρα ἔχει. [10] εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ
ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν καὶ
11 χαίρειν αὐτῷ μὴ λέγετε· [11] ὁ λέγων γὰρ αὐτῷ χαίρειν κοινωνεῖ τοῖς
ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
12 Πολλὰ ἔχων ὑμῖν γράφειν οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέ- 3 Jo. 13
λανος· ἐλπίζω γὰρ γενέσθαι πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα λα-
13 λῆσαι, ἵνα ἡ χαρὰ ὑμῶν πεπληρωμένη ᾖ. [13] ἀσπάζεταί σε τὰ τέκνα 1 Jo. 1, 4.
τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς.

---

6. Rc. Kn. Sz. pro αὕτη ἡ ἐντ. ἐστ. (c. AB al.) h. αὕτ. ἐστ. ἡ ἐντ. — h. ἵνα καθώς A al. m. Sah. Arm. Vg. (retinent simul ἵνα ante ἐν αὐτῇ A 73.)

7. Rc. Kn. Sz. εἰσῆλθ. [ἐξ. c. A (ἐξῆλθαν, sic Ln.) B al. m. Syr. Vg. al. Ir.

8. Hab. βλέπ. αὐτούς G al. Ir. Lcif. — Rc. Kn. Sz. ἀπολέσωμεν et εἰργασάμεθα et ἀπολάβωμεν. [ἀπολέσητε etc. c. A al. pm. Syr. utr. Erp. Cpt. Sah. Aeth. Arm. Sl. recent. Vg. Chrs. Ir. Lcif. al. .. h. ἀπολέσηται et εἰργασάμεθα et ἀπολάβητε B. .. ἀπολέσητε, εἰργάσασθε, ἀπολάβωμεν 43. (s. XI.)

9. Rc. Kn. Sz. pro προάγων [c. AB Cpt. Sah. (vdtr) praecedit Am. cdd. lat. procedit Vg. ms. recedit Vg. Lcif.] h. παραβαίνων et post διδαχῇ posterius add. τοῦ Χριστοῦ. [om. c. AB al. Sah. Vg.; etiam αὐτοῦ leg.] — Rc. Kn. Sz. κ. τ. πατέρα κ. τ. υἱόν. (ctra A Am. Fulg.)

11. Rc. Kn. Sz. ὁ γὰρ λέγ.

12. Rc. ἀλλὰ ἐλπίζ. — Rc. Kn. Sz. ἐλθεῖν πρ. ὑμ. et ἡ χ. ἡμῶν ᾖ πεπληρ.

13. Rc. in f. ἀμήν, qd Kn. (—).

# ΙΩΑΝΝΟΥ Γ.

Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. 1
Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, 2
καθὼς εὐοδοῦταί σου ἡ ψυχή. 3 ἐχάρην γὰρ λίαν, ἐρχομένων ἀδελ- 3
φῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περι-
πατεῖς. 4 μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ 4
τέκνα ἐν τῇ ἀληθείᾳ περιπατοῦντα.
Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ 5
τοῦτο ξένους, 6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, 6
οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ. 7 ὑπὲρ γὰρ τοῦ 7
ὀνόματος ἐξῆλθον μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνικῶν. 8 ἡμεῖς 8
οὖν ὀφείλομεν ὑπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα
τῇ ἀληθείᾳ. 9 ἔγραψά τι τῇ ἐκκλησίᾳ· ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐ- 9
τῶν Διοτρέφης οὐκ ἐπιδέχεται ἡμᾶς. 10 διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπο- 10
μνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ
μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς
καὶ τοὺς βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.
Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθο- 11
ποιῶν ἐκ τοῦ θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακεν τὸν θεόν.
12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπ᾽ αὐτῆς τῆς ἀλη- 12
θείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἶδας ὅτι ἡ μαρτυρία ἡμῶν
ἀληθής ἐστιν.

---

4. Rc. Kn. Sz. om. τῇ ante ἀληθείᾳ.
5. Ln. ἐργάζῃ. — Rc. Kn. Sz. καὶ εἰς τοὺς ξένους.
6. Hab. ποιήσας προπέμψεις C Arm. Vg. (non Am.) . . . ποιεῖς προπέμψας 7. al. cdd. lat. Hier.
7. Rc. ὀνόματ. αὐτοῦ. — h. παρά pro ἀπό B al. — Rc. Kn. Sz. in f. ἐθνῶν.
8. Rc. Kn. Sz. ἀπολαμβ. [ὑπολ. c. ABC al. m. Oec. ms.]
9. Rc. Kn. Sz. om. τι. [scr. c. AC al. Cpt. Sah.; h. ἄν 49. al. m.; etiam ἄν τι leg.]
10. Pro βουλομέν. h. ἐπιδεχομένους C al. Syr. Vg. (non Am.) al.
11. Rc. ὁ δὲ κακοπ. — 12. Rc. Kn. Sz. οἴδατε.

13 Πολλὰ εἶχον γράψαι σοι, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ κα- 2 Jo. 12
14 λάμου σοι γράφειν· 14 ἐλπίζω δὲ εὐθέως σε ἰδεῖν, καὶ στόμα πρὸς
15 στόμα λαλήσομεν. 15 εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι· ἀσπά-
ζου τοὺς φίλους κατ' ὄνομα.

## ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗ.

1 Ἰούδας, Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν θεῷ
2 πατρὶ ἠγαπημένοις καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς. 2 ἔλεος
ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.
3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν, περὶ τῆς
κοινῆς ἡμῶν σωτηρίας ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν
4 ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. 4 παρ-
εισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο
τὸ κρῖμα ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριτα μετατιθέντες εἰς
ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χρι-
5 στὸν ἀρνούμενοι. 5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ἅπαξ
πάντα, ὅτι ὁ Ἰησοῦς λαὸν ἐκ γῆς Αἰγύπτου σώσας τὸ δεύτερον Nm. 14, 35 sqq.
6 τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν, 6 ἀγγέλους τε τοὺς μὴ τηρήσαντας
τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν
7 μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν· 7 ὡς Σόδομα Gn. 19

13. Rc. Kn. Sz. εἶχον γράφειν, ἀλλ' et in f. γράψαι.
15. Hab. οἱ ἀδελφοί A al.; etiam τοὺς ἀδελφούς legitur.

1. Rc. Kn. Sz. pro ἠγαπημ. (c. AB al. m. Syr. utr. Vg. al. Or. Ephr. al. m.) h. ἡγιασμένοις. — om. κ. Ἰησ. Χρ. τετηρ. 163. (sec. XIV.) Syr. p. ... h. Χριστοῦ 40. al. m. cd. lat. Or. Ephr. al.
3. Rc. Kn. Sz. om. ἡμῶν. [scr. c. AB al. m. Syr. al. Cyr. al.; etiam ὑμῶν leg.]
4. Rc. Kn. Sz. χάριν. [χάριτα c. AB.] — Rc. δεσπότ. θεόν.
5. Rc. Kn. Sz. εἰδότ. ὑμᾶς [om. c. ABC al. m. Syr. utr. Vg. al. Cyr. al.] ἅπαξ (id et om. et var. pon.) τοῦτο [πάντ. c. ABC al. m. Syr. p. Vg. al. Cyr. al.], ὅτι ὁ κύριος. [Ἰησ. c. AB al. Cpt. Vg. al. Cyr. al.; etiam ὁ θεός leg.]
6. Ln. ἀγγ. δέ c. A al. Vg. al. Ath. ms. al. (sed nec Clem. nec Or.)

καὶ Γόμοῤῥα καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τρόπον τούτοις
ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται
2 Pet. 2, 10. δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. 8 Ὁμοίως μέντοι καὶ οὗτοι 8
ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν, κυριότητα δὲ ἀθετοῦσιν, δό-
ξας δὲ βλασφημοῦσιν. 9 ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ δια- 9
βόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ
ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλὰ εἶπεν· Ἐπιτιμήσαι
2 Pet. 2, 12. σοι κύριος· 10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν, ὅσα δὲ 10
• Gn. 4, 8. φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις φθείρονται. 11 οὐαὶ 11
• Nm. 22. αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ Βα-
• Nm. 16. λαὰμ μισθοῦ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο.
2 Pet. 2, 13. 12 οὗτοί εἰσιν οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι 12
ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παρα-
φερόμεναι, δένδρα φθινοπωρινὰ ἄκαρπα δὶς ἀποθανόντα ἐκριζω-
θέντα, 13 κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύ- 13
2 Pet. 2, 17. νας, ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.
14 προεφήτευσεν δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἑνὼχ λέγων· 14
Ἰδού, ἦλθεν κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, 15 ποιῆσαι κρίσιν 15
κατὰ πάντων καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς περὶ πάντων τῶν
ἔργων αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλά-
λησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. 16 οὗτοί εἰσιν γογγυσταὶ 16
μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα
αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.
2 Pet. 3, 2. 3. Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρη- 17

---

7. Rc. Kn. Sz. ὅμ. τούτοις τρόπ. — h. ὑπερέχουσαι A.

9. Ln. ὅτε Μιχ. ὁ ἀρχ. τότε c. B. (*cum* Mich. altercaretur Vg.; similiter al. latt.)

12. Rc. Kn. Sz. ante ἐν ταῖς om. οἱ. [scr. c. AB al. m. Syr. utr. al. Aug.] — h. ἐν τ. ἀπάταις AC al.; etiam εὐωχίαις leg. — Ln. ἀγάπ. αὐτῶν c. A Syr. Arm. Vg. Lcif. — h. συνευωχ. ὑμῖν C al. m. Arm. al. — Rc. περιφερόμ.

13. Rc. εἰς τὸν αἰῶν. [om. c. A al. pm. Ephr. al.] — om. ὁ et τοῦ B.

14. H. ἐπροφήτευσ. (ἐπροεφήτ. ap. Btlj. dis.) B.

15. Rc. Kn. Sz. ἐξελέγξ. — Rc. Kn. Sz. τοὺς ἀσεβεῖς αὐτῶν. [om. c. ABC al. pm. Syr. utr. Vg. al.] — Rc. Kn. Sz. Ln. ἔργων ἀσεβείας... om. c. C al. Arm. Damsc. ... om. ἀσεβ. αὐτῶν 6. al. Syr. Tol. al.; etiam ἀσεβειῶν, ἀσεβῶν, πονηρῶν leg. — post σκληρῶν add. λόγων C al. m. Syr. al. Ephr. Damsc.

18 μένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, [18] ὅτι
ἔλεγον ὑμῖν· ὅτι ἐπ' ἐσχάτου χρόνου ἐλεύσονται ἐμπαῖκται κατὰ
19 τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. [19] οὗτοί εἰσιν οἱ
20 ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχοντες. [20] ὑμεῖς δέ, ἀγαπητοί,
ἐποικοδομοῦντες ἑαυτοὺς τῇ ἁγιωτάτῃ ὑμῶν πίστει, ἐν πνεύ-
21 ματι ἁγίῳ προσευχόμενοι, [21] ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε προσ-
δεχόμενοι τὸ ἔλεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον.
22 23 [22] καὶ οὓς μὲν ἐλέγχετε διακρινομένους, [23] οὓς δὲ σώζετε ἐκ πυρὸς
ἁρπάζοντες, οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ, μισοῦντες καὶ τὸν ἀπὸ τῆς
σαρκὸς ἐσπιλωμένον χιτῶνα.

24 Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους καὶ στῆσαι
25 κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, [25] μόνῳ θεῷ Rom.
σωτῆρι ἡμῶν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν δόξα, μεγαλω- 16, 27 1Tim.
σύνη, κράτος καὶ ἐξουσία πρὸ παντὸς τοῦ αἰῶνος καὶ νῦν καὶ εἰς 1, 17.
πάντας τοὺς αἰῶνας· ἀμήν.

---

18. Rc. Kn. Sz. ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπ... Ln. τοῦ χρόνου c. A al... om. τοῦ c. BC al.; etiam ἐπ' ἐσχάτων τῶν χρόνων leg.

19. Rc. Kn. Sz. ἀποδιορ. ἑαυτούς. [om. c. AH al. pl. verss. (exc. Vg.) Ephr. Cyr. Did. al.]

20. Rc. Kn. Sz. τῇ ἁγιωτ. ὑμ. (h. ἡμῶν C al. cdd. lat. Ephr.; etiam om.) πίστ. ἐποικοδ. ἑαυτ.

21. Hab. τηρήσωμεν B Cpt.

22 et 23. Rc. Kn. Sz. καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι· οὓς δὲ ἐν φόβῳ σώζετε ἐκ πυρὸς ἁρπάζοντες. [καὶ οὓς μὲν ἐλέγχ. etc. c. AB (nisi qd pro ἐλέγχετε h. ἐλεᾶτε, itaque bis h. ἐλεᾶτε) C (omittere vdtr οὓς δὲ ἐλεᾶτε) al. m. Cpt. Aeth. Arm. Vg. Oec. al... al. aliter.]

24. Rc. Kn. Sz. Ln. φυλάξ. ὑμᾶς... αὐτούς c. BH al. pl. Slav. Cyr... h. ἡμᾶς A 4.** .. om. 4.* (XV.), etiam post ἀπταίστ. pon.

25. Rc. post μόνῳ add. σοφῷ et om. διὰ Ἰησ. Χρ. τ. κυρ. ἡμῶν. [utrque ctra ABC al. pl. Syr. utr. Vg. al. m. Ephr. al.] — Rc. Kn. Sz. δόξα καὶ μεγ. [om. c. ABC al. m. Am. cdd. lat.] — Rc. Kn. om. πρὸ παντ. τ. αἰῶνος. [scr. c. ABCG al. pm. Vg. al. m. Thphyl. al.]

# ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ.

Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεός, δεῖξαι τοῖς 1
δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας
διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, [2] ὃς ἐμαρτύρησεν 2
τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα εἶδεν.
[3] μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προ- 3
Ap. 22, 10. φητείας καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.
Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ. χάρις ὑμῖν 4
καὶ εἰρήνη ἀπὸ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ
πνευμάτων τῶν ἐνώπιον τοῦ θρόνου αὐτοῦ, [5] καὶ ἀπὸ Ἰησοῦ Χρι- 5
Col. 1, 18. στοῦ, ὁ μάρτυς ὁ πιστός, ὁ πρωτότοκος τῶν νεκρῶν καὶ ὁ ἄρχων
τῶν βασιλέων τῆς γῆς. τῷ ἀγαπῶντι ἡμᾶς καὶ λύσαντι ἡμᾶς ἐκ
Ex. 19, 6. Ap. 5, 10. τῶν ἁμαρτιῶν ἐν τῷ αἵματι αὐτοῦ, [6] καὶ ἐποίησεν ἡμᾶς βασιλείαν, 6
ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς
τοὺς αἰῶνας· ἀμήν.

---

*) Rc. et Kn. (—) post Ἰωάνν. add. τοῦ Θεολόγου c. B (h. τ. θεολ. καὶ εὐαγγελιστοῦ) 17. al. .. al. aliter. [Ἀποκ. Ἰω. hab. A (in f. epistolae) C etc.]

Cap. I. 2. Rc. ὅσα τε.

4. Rc. τοῦ ὁ ὢν. — Rc. Kn. Sz. ἅ ἐστιν ἐνώπ. [τῶν c. A 47. .. h. ἅ (om. ἐστ.) B al. pl.; etiam ἅ εἰσιν leg. .. plane om. 80. (s. XIV.) Andr. 1. Areth.]

5. Rc. ἐκ τῶν νεκρ. et ἀγαπήσαντι. — Rc. Kn. Sz. λούσαντι [λύσ. c. AC al. Syr. Sl. (similiter Arm.) Prim. Cass. .. utrque referunt Andr. et Areth.; utrq. hab. interposita expositione 7. al. Ar. pol.] ἡμ. ἀπὸ [ἐκ c. AC al. Andr.] τ. ἁμ. ἡμῶν. [om c. A al. Andr. 2. Prim.; h. ὑμῶν Aeth.]

6. Hab. καὶ ποιήσαντι B al. m. Andr. (comm.) — Ln. ἡμῖν c. AC al.; nostrum regnum Tol. Har. Am. — Rc. βασιλεῖς καὶ ἱερ... βασιλείαν c. AC b al. longe pl. Syr. al. Areth. Lact. al.; et addito καί 80. Vg. Andr. 1. Tert. (1.) Prim... h. βασιλεῖς ἱερεῖς B 30.* (vdtr)... etiam βασίλειον ἱεράτευμα et βασιλείαν καὶ ἱεράτευμα leg. — Rc. Kn. Sz. αἰῶν. τῶν αἰώνων. [om. c. A 9. Cpt. Sl. ms. Andr. 1.] — om. ἀμήν 33. cdd. lat.

7 Ἰδού, ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς *Zach.
ὀφθαλμὸς καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν, καὶ κόψονται ἐπ' αὐτὸν 12, 10
8 πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ναί, ἀμήν. [8] Ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ὦ, sqq. * Es.
λέγει κύριος ὁ θεός, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντο- 44, 6. Ap. 21.
κράτωρ. 6. et 22, 13.
9 Ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει
καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν Ἰησοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ κα-
λουμένῃ Πάτμῳ διὰ τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ.
10 [10] ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα φωνὴν
11 ὀπίσω μου μεγάλην ὡς σάλπιγγος [11] λεγούσης· Ὃ βλέπεις γράψον
εἰς βιβλίον καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις, εἰς Ἔφεσον καὶ εἰς
Σμύρναν καὶ εἰς Πέργαμον καὶ εἰς Θυάτειρα καὶ εἰς Σάρδεις καὶ
12 εἰς Φιλαδέλφειαν καὶ εἰς Λαοδίκειαν. [12] καὶ ἐπέστρεψα βλέπειν
τὴν φωνὴν ἥτις ἐλάλει μετ' ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυ-
13 χνίας χρυσᾶς, [13] καὶ ἐν μέσῳ τῶν λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, *Dan. 7, 13.
ἐνδεδυμένον ποδήρη καὶ περιεζωσμένον πρὸς τοῖς μαζοῖς ζώνην χρυ-
14 σᾶν· [14] ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡς ἔριον λευκόν, *Dan. 7, 9.
15 ὡς χιών, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός, [15] καὶ οἱ πόδες *Ez. 1, 24.
αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ ὡς ἐν καμίνῳ πεπυρωμένοι, καὶ ἡ φωνὴ

7. Hab. *ἐπὶ τῶν* C Aeth. Ephr.
8. Rc. Sz. pro *ἄλφα* [c. A al. pl.] h. *A*. Sic semper. — Rc. et Kn. (—) *ἀρχὴ καὶ τέλος, λέγ.* et Rc. *λέγ. ὁ κύριος, ὁ ὤν*.
9. Rc. *ὁ καὶ ἀδελφ.* et *ἐν τῇ βασιλ.* — h. *κοινωνός* b. al. pl. Areth. (non Or. al.) — Rc. Kn. Sz. *Ἰησοῦ Χριστοῦ*. [*ἐν Ἰησ.* c. C 38. Tol. Am. et lat. al. Or. .. h. *ἐν Χρ.* AB 25. .. *ἐν Χρ. Ἰησ.* b. al. pl. Syr. Vg. al. Areth. Prim. .. h. *Ἰησοῦ* Dion. alex.] — Rc. Kn. Sz. *καὶ διὰ τὴν μ. Ἰησ. Χριστοῦ*. [Kn. (*Χρ.*)]
10. *φων. ὀπ. μου* c. b. al. pl. Areth. .. Rc. Kn. Sz. *ὀπ. μ. φων.* .. Ln. *φων. μεγ. ὄπισθέν μου* c. A.
11. Rc. *λεγούσης· Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος· καὶ ὃ βλέπ.* et om. *ἑπτά* et h. *ἐκκλ. ταῖς ἐν Ἀσίᾳ*. — Ln. *Θυάτειραν* c. A al. Vg. Aeth. Synops.
12. Hab. *καὶ ἐκεῖ ἐπέστρ.* B b. al. Ar. pol. — Rc. *ἐλάλησε*.
13. Rc. Kn. Sz. *τῶν ἑπτὰ λυχν.* — h. *ὁμοίωμα* A Har. Sl. ms. — Rc. Kn. Sz. *μαστοῖς* [*μαζ.* c. A b. al. Andr. Areth. (utrq. hab.)] et *χρυσῆν*. [ctra AC.]
14. Rc. *ὡσεὶ ἔριον*. — om. *λευκόν* 8. Cypr. Prim.; etiam add. *καί*.
15. Ln. *πεπυρωμένης* c. AC. .. h. *πεπυρωμένῳ* 16. al. pm. Syr. Vg. al. Ir. Cypr. Prim. (non Victorin. Tych.)

*αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν, [16] καὶ ἐν τῇ δεξιᾷ αὐτοῦ ἀστέρες* 16
*ἑπτά, καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκ-*
*πορευομένη, καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει*
*αὐτοῦ. [17] καὶ ὅτε εἶδον αὐτόν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς* 17
*νεκρός· καὶ ἔθηκεν τὴν δεξιὰν αὐτοῦ ἐπ' ἐμὲ λέγων· Μὴ φοβοῦ·*
*ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος, [18] καὶ ὁ ζῶν· καὶ ἐγενόμην νε-* 18
*κρός, καὶ ἰδοὺ ζῶν εἰμὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ ἔχω τὰς*
*κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου. [19] γράψον οὖν ἃ εἶδες καὶ ἃ* 19
*εἰσὶν καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα, [20] τὸ μυστήριον τῶν ἑπτὰ* 20
*ἀστέρων οὓς εἶδες ἐν τῇ δεξιᾷ μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυ-*
*σᾶς. οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσίν, καὶ αἱ*
*λυχνίαι αἱ ἑπτὰ ἐκκλησίαι εἰσίν.*

## II.

*Τῷ ἀγγέλῳ τῷ ἐν Ἐφέσῳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ* 1
*κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν*
*μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσέων· [2] Οἶδα τὰ ἔργα σου καὶ* 2
*τὸν κόπον καὶ τὴν ὑπομονήν σου, ὅτι οὐ δύνῃ βαστάσαι κακούς,*
*καὶ ἐπείρασας τοὺς λέγοντας ἑαυτοὺς ἀποστόλους καὶ οὐκ εἰσίν, καὶ*
*εὗρες αὐτοὺς ψευδεῖς· [3] καὶ ὑπομονὴν ἔχεις, καὶ ἐβάστασας διὰ τὸ* 3
*ὄνομά μου, καὶ οὐκ ἐκοπίασας. [4] ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι τὴν* 4

16. Rc. Kn. Sz. *καὶ ἔχων* [om. c. A 41. Aeth. .. etiam *εἶχεν* leg.] *ἐν τ. δ. αὐτ. χειρὶ ἀστέρας* [-*ρες* c. A 41. Aeth. .. Ln. *χειρὶ αὐτοῦ*. .. om. *χειρ.* c. 10. al. Arm. Vg. Andr. 2. Cypr. Prim. al.]

17. Rc. *ἐπέθηκε*, tum *χεῖρα ἐπ' ἐμ. λέγ. μοι*. .. Kn. (*χεῖρ.*) et (*μοί*). — h. *ὁ πρωτότοκος* A Areth.

18. Rc. *αἰώνων· ἀμήν.* — h. *κλεῖδας* 2. al. m. Andr. 2. (text.) Areth.

19. Rc. om. *οὖν*.

20. Rc. Kn. Sz. pro *οὓς* [c. AC al. Andr. 1.**] h. *ὧν*. — Rc. *καὶ αἱ ἑπτὰ λυχν. ἃς εἶδες.*

Cap. II. 1. Rc. Kn. Sz. *τῆς* [*τῷ* c. AC 36.] *ἐν Ἐφ.* (Rc. *Ἐφεσίνης*.) et *χρυσῶν*. [-*σέων* c. A,C.]

2. Rc. Kn. Sz. *κόπ. σου* et *καὶ ὅτι*. [om. c. A Aeth. Cpt. Cass.] — Rc. *ἐπειράσω τ. φάσκοντας εἶναι ἀποστ.* .. Kn. Sz. *λέγ. ἑαυτ. ἀπ. εἶναι.* [om. c. ABC al. Sl. Am.]

3. Rc. *καὶ ἐβάστασας, καὶ ὑπομ. ἔχεις, καὶ διὰ τὸ ὄν. μ. κεκοπίακας, καὶ οὐ κέκμηκας*. .. Kn. *κεκοπίακας*. .. Ln. *κεκοπίακες* c. ℵC. [*ἐκοπίασας* c. B 2. al. pl. Andr. Areth.] .. al. aliter. .. h. *καὶ κεκοπίακας* omisso *οὐ* 16. al. Arm. Sl. ms. Andr. 2.

5 ἀγάπην σου τὴν πρώτην ἀφῆκας. 5 μνημόνευε οὖν πόθεν πέπτω-
κας, καὶ μετανόησον καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μή, ἔρχο-
μαί σοι καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ
6 μετανοήσῃς. 6 ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊ-
7 τῶν, ἃ κἀγὼ μισῶ. 7 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει
ταῖς ἐκκλησίαις· Τῷ νικῶντι, δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς
ζωῆς, ὅ ἐστιν ἐν τῷ παραδείσῳ τοῦ θεοῦ μου.
8 Καὶ τῷ ἀγγέλῳ τῷ ἐν Σμύρνῃ ἐκκλησίας γράψον· Τάδε λέ-
9 γει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς καὶ ἔζησεν· 9 Οἶδά
σου τὴν θλῖψιν καὶ τὴν πτωχείαν, ἀλλὰ πλούσιος εἶ, καὶ τὴν βλασ-
φημίαν ἐκ τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς καὶ οὐκ εἰσὶν
10 ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ. 10 μὴ φοβοῦ ἃ μέλλεις πάσχειν. ἰδού,
μέλλει βάλλειν ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακήν, ἵνα πειρασθῆτε,
καὶ ἕξετε θλῖψιν ἡμερῶν δέκα. γίνου πιστὸς ἄχρι θανάτου, καὶ
11 δώσω σοι τὸν στέφανον τῆς ζωῆς. 11 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ
πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θα-
νάτου τοῦ δευτέρου.
12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· Τάδε
13 λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν· 13 Οἶδα
ποῦ κατοικεῖς· ὅπου ὁ θρόνος τοῦ σατανᾶ. καὶ κρατεῖς τὸ ὄνομά
μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου καὶ ἐν ταῖς ἡμέραις αἷς Ἀντί-

---

5. Rc. ἐκπέπτωκας. — Rc. Kn. Sz. σοὶ ταχύ.

6. Om. ἃ A Cpt. Ar.; sicut Aeth. Prim.

7. Ln. ἑπτὰ ἐκκλησ. c. A (h. ἐκκλ. ἑπτά C.) et νικοῦντι (etiam v. 17.) c. A. — Rc. ἐν μέσῳ τοῦ παραδείσου. — Rc. Ln. om. μοῦ. [scr. c. B b. al. longe pl.; Syr. Vg. al. m.; Areth. Cypr. Or. int. Prim. al.]

8. Rc. Kn. Sz. pro τῷ [c. A] h. τῆς et Rc. ἐκκλησίας Σμυρναίων. . . Ln. ἐν Σμύρνης c. A. — h. πρωτότοκος A.

9. Rc. τὰ ἔργα καὶ τὴν θλ. [om. c. AC al. Vg. al. Andr. (comm.) Prim.] — Rc. πλούσ. δέ et om. ἐκ.

10. Rc. Kn. Sz. μηδέν. [μή c. ABC al. Andr. 2.] — h. παθεῖν B al. pm. Andr. 2. Areth. — h. ἰδοὺ δή b. al. pm. Sl. Andr. 2. Areth. — Rc. Kn. βαλεῖν. [βάλλ. c. AC al. pl.] — Ln. καὶ ἔχητε c. A et (ἔχετε) C al. — h. ἡμέρας B al. pl. Syr. Arr. Vg. Areth. Tych.

13. Rc. Kn. Sz. τὰ ἔργα σου καὶ ποῦ. — om. καί ante ἐν b. al. pl.; vv. m. Andr. Prim. — Rc. Kn. Sz. ἐν αἷς Ἀντ. . . Ln. om. c. AC Cpt. Vg. Prim. al. . . om. ἐν c. 2. al. pl. Auct. quaest. ex utr. Test. . . etiam

πας, ὁ μάρτυς μου ὁ πιστός, ὃς ἀπεκτάνθη παρ' ὑμῖν ὅπου ὁ σα-
* Nm. 25, τανᾶς κατοικεῖ. [14] ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα. ἔχεις ἐκεῖ κρατοῦν- 14
2. et 31, τας τὴν διδαχὴν Βαλαάμ, ὃς ἐδίδασκεν τῷ Βαλὰκ βαλεῖν σκάνδαλον
16. ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, φαγεῖν εἰδωλόθυτα καὶ πορνεῦσαι. [15] οὕ- 15
τως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν Νικολαϊτῶν ὁμοίως. [16] μετα- 16
νόησον οὖν· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ καὶ πολεμήσω μετ' αὐτῶν
ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου. [17] Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ 17
πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι, δώσω αὐτῷ τοῦ μάννα
τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκὴν καὶ ἐπὶ τὴν ψῆ-
φον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ ὁ λαμβάνων.

Καὶ τῷ ἀγγέλῳ τῷ ἐν Θυατείροις ἐκκλησίας γράψον· Τάδε 18
λέγει ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα
πυρὸς καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ· [19] Οἶδά σου τὰ 19
ἔργα καὶ τὴν ἀγάπην καὶ τὴν πίστιν καὶ τὴν διακονίαν καὶ τὴν
ὑπομονήν σου, καὶ τὰ ἔργα σου τὰ ἔσχατα πλείονα τῶν πρώτων.
* 1 Rg. [20] ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι ἀφεῖς τὴν γυναῖκά σου τὴν Ἰεζάβελ, ἡ 20
16, 31. λέγουσα ἑαυτὴν προφῆτιν καὶ διδάσκει καὶ πλανᾷ τοὺς ἐμοὺς δού-
λους πορνεῦσαι καὶ φαγεῖν εἰδωλόθυτα. [21] καὶ ἔδωκα αὐτῇ χρόνον 21
ἵνα μετανοήσῃ, καὶ οὐ θέλει μετανοῆσαι ἐκ τῆς πορνείας αὐτῆς.
[22] ἰδού, βάλλω αὐτὴν εἰς κλίνην καὶ τοὺς μοιχεύοντας μετ' αὐτῆς 22

---

ἀντ' εἶπας leg.; ita quibus contendisti cum teste etc. Syr. al. et similiter al. — Ln. πιστ. μου c. A 14. Syr. (om. μοῦ post μάρτ. 12. al.) — om. ὅς 6. al. Aeth. Demid. Auct. quaest.

14. Rc. Kn. Sz. ὅτι ἔχεις. [om. c. C Syr. Cpt.; cdd. lat. Prim.] — Rc. τὸν Βαλάκ. (leg. Βαλαάμ C al. Andr. 1.)

15. Rc. Kn. τῶν Νικολ. — Rc. pro ὁμ. h. ὃ μισῶ et 16. om. οὖν.

17 Rc. φαγεῖν ἀπὸ τοῦ μάνν. et οὐδεὶς ἔγνω.

18. Rc. Kn. Sz. τῆς ἐν. [τῷ c. A... om. C.] — h. Θυατείρῃ B al. m. — om. ἐκκλησ. A et (vdtr) Tert. — Ln. om. αὐτοῦ [et Kn. (—)] c. A al. Andr. 2. Epiph.

19. Ln. om. τήν ante ὑπομ. c. AC. — Rc. ἔργ. σου καὶ τά.

20. Rc. σοῦ ὀλίγα, ὅτι ἐᾶς τ. γυν. (om. σοῦ) Ἰεζαβὴλ τὴν λέγουσαν (ἡ λέγ. c. AC. .. h. ἣ λέγει B al. pl. Andr. Aeth.) ἑαυτ. (h. αὐτήν B al) πρ., διδάσκειν καὶ πλανᾶσθαι τούς.

21. Hab. οὐκ ἠθέλησεν pro οὐ θέλ. A Prim. al. .. Rc. μετανοήσῃ ἐκ τῆς πορν. αὐτ., καὶ οὐ μετενόησεν. 22. ἰδού.

22. Rc. ἰδού, ἐγώ. — pro κλίν. h. φυλακήν A.

εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσουσιν ἐκ τῶν ἔργων αὐτῆς.
23 [23] τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ, καὶ γνώσονται πᾶσαι αἱ *Ps. 7, 10.
ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας, καὶ δώσω
24 ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν. [24] ὑμῖν δὲ λέγω τοῖς λοιποῖς
τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσιν τὴν διδαχὴν ταύτην, οἵτινες
οὐκ ἔγνωσαν τὰ βαθέα τοῦ σατανᾶ, ὡς λέγουσιν. οὐ βάλλω ἐφ'
25 ὑμᾶς ἄλλο βάρος· [25] πλὴν ὃ ἔχετε κρατήσατε ἄχρι οὗ ἂν ἥξω.
26 [26] καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ *Ps. 2, 8. 9.
27 ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, [27] καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ,
ὡς τὰ σκεύη τὰ κεραμικὰ συντριβήσεται, ὡς κἀγὼ εἴληφα παρὰ
28 τοῦ πατρός μου· [28] καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.
29 [29] Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

## III.

1 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον· Τάδε λέγει
ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ καὶ τοὺς ἑπτὰ ἀστέρας· Οἶδά
2 σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ. [2] γίνου γρη-
γορῶν, καὶ στήρισον τὰ λοιπὰ ἃ ἔμελλον ἀποθανεῖν. οὐ γὰρ εὕ-
3 ρηκά σου ἔργα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ μου. [3] μνημόνευε
οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον. ἐὰν
οὖν μὴ γρηγορήσῃς, ἥξω ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς ποίαν ὥραν Ap. 16, 15.
4 ἥξω ἐπὶ σέ. [4] ἀλλὰ ἔχεις ὀλίγα ὀνόματα ἐν Σάρδεσιν, οἳ οὐκ ἐμό-
λυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσιν μετ' ἐμοῦ ἐν λευκοῖς,
5 ὅτι ἄξιοί εἰσιν. [5] ὁ νικῶν οὕτως περιβαλεῖται ἐν ἱματίοις λευκοῖς,

---

22. Rc. Kn. Sz. μετανοήσωσιν. (-σουσιν c. A.) — Rc. ἔργων αὐτῶν.
23. Kn. ἐραυνῶν c. A (sic A et. 1 Cor. 2, 10. 1 Pet. 1, 11.) — pro ὑμ. h. αὐτοῦ B al. Vg. Tert. al. — 24. Rc. καὶ λοιποῖς, καὶ οἵτιν., βάθη, βαλῶ.
27. συντριβήσ. c. b. al. longe pl.; vv. fere omnib.; Andr. 2. Areth. Prim. Tych... Rc. Kn. Sz. Ln. συντρίβεται.

Cap. III. 1. Rc. τὸ ὄνομα.
2. Rc. στήριξον et ἃ μέλλει... h. ἃ ἔμελλες ἀποβάλλειν (s. ἀποβαλεῖν) B b. al. pl. Ar. pol. — Rc. Kn. Sz. τὰ ἔργ. [om. c. AC al.] — Rc. om. μου.
3. Om. καὶ ἤκ. κ. τήρ. B al. m. Aeth. — Rc. Sz. et Kn. (—) ἐπὶ σὲ ὡς. — h. γνώσῃ 2. al. pl.
4. Rc. om. ἀλλά et h. καὶ ἐν Σάρδ. — οἳ c. 17. al. Vg. Andr. Areth. Prim... Rc. Kn. Sz. Ln. ἅ.
5. Rc. Kn. Sz. οὗτος. [οὕτως c. AC al. pl.; vv. m.; Prim.]

καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ
ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου καὶ ἐνώπιον
τῶν ἀγγέλων αὐτοῦ. 6 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει 6
ταῖς ἐκκλησίαις.
*Es. 22, 22. Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· Τάδε 7
λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖν τοῦ Δαυΐδ, ὁ ἀνοί-
γων καὶ οὐδεὶς κλείει, καὶ κλείει καὶ οὐδεὶς ἀνοίγει· 8 Οἶδά σου 8
τὰ ἔργα· ἰδού, δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, ἣν οὐδεὶς
δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς
*Es. 45, 14. μου τὸν λόγον καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου. 9 ἰδού, δίδωμι ἐκ 9
τῆς συναγωγῆς τοῦ σατανᾶ τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι
καὶ οὐκ εἰσὶν ἀλλὰ ψεύδονται· ἰδού, ποιήσω αὐτοὺς ἵνα ἥξουσιν
καὶ προσκυνήσουσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ
ἠγάπησά σε. 10 ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ 10
σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι
ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.
Ap. 22, 7. 11 ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν 11
σου. 12 ὁ νικῶν, ποιήσω αὐτὸν στῦλον ἐν τῷ ναῷ τοῦ θεοῦ μου, 12
καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι, καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ
θεοῦ μου καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ θεοῦ μου, τῆς καινῆς
Ἱερουσαλήμ, ἡ καταβαίνουσα ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ μου,
καὶ τὸ ὄνομά μου τὸ καινόν. 13 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα 13
λέγει ταῖς ἐκκλησίαις.
Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Λαοδικείᾳ ἐκκλησίας γράψον· Τάδε 14

---

5. Rc. ἐξομολογήσομαι.
7. Ln. ἐν Φιλαδελφείας c. A et om. τοῦ c. A (h. Or. 2.). — Rc. κλεῖδα. — pro Δαυ. h. ᾅδου 7. al.; cdd. ap. Andr.; Cpt. — Ln. οὐδεὶς κλείσει, κλείων καὶ οὐδ. ἀνοίγει c. A. .. h. οὐδ. κλείσει αὐτὴν εἰ μὴ (εἰμί b.) ὁ ἀνοίγων, καὶ οὐδ. ἀνοίξει b. al. pl. Areth. Hil. .. om. tantum καί ante κλείει Vg. .. h. οὐδ. κλείσει καὶ κλείων κ. οὐδ. ἀνοίξει Or. (2.) .. al. aliter.
8. Rc. pro ἥν h. καί.
9. Ln. διδῶ c. AC (vdtr); dabo Vg. — Rc. Kn. Sz. ἥξωσι et προσκυνήσωσι. [ctra AC al.] — h. γνώσονται 15. al. scient Vg. Aeth.
10. Pro ὅτι h. καί A; etiam καὶ ὅτι leg. — 11. Rc. ἰδού, ἔρχομ.
12. Rc. ἡ καταβαίνει. — h. ἀπό pro ἐκ 2. al. pl. Areth. — om. μου ante τὸ καιν. 2. al. pl. Andr. 1. Areth.; ejus Arm. (ed. Venet.)
14. Rc. τῆς ἐκκλησίας Λαοδικέων.

λέγει ὁ ἀμήν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινός, ἡ ἀρχὴ τῆς κτίσεως
15 τοῦ θεοῦ· [15] Οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ οὔτε ζε-
16 στός. ὄφελον ψυχρὸς ἦς ἢ ζεστός. [16] οὕτως ὅτι χλιαρὸς εἶ καὶ
οὔτε ψυχρὸς οὔτε ζεστός, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου.
17 [17] ὅτι λέγεις· ὅτι πλούσιός εἰμι καὶ πεπλούτηκα καὶ οὐδὲν χρείαν
ἔχω, καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος καὶ ὁ ἐλεεινὸς καὶ
18 πτωχὸς καὶ τυφλὸς καὶ γυμνός, [18] συμβουλεύω σοι ἀγοράσαι παρ'
ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρός, ἵνα πλουτήσῃς, καὶ ἱμάτια
λευκά, ἵνα περιβάλῃ καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός
σου, καὶ κολλούριον ἐγχρῖσαι τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς.
19 [19] ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλευε οὖν καὶ μετα- *Prv. 3, 12
20 νόησον. [20] ἰδού, ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω· ἐάν τις ἀκούσῃ
τῆς φωνῆς μου καὶ ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν
21 καὶ δειπνήσω μετ' αὐτοῦ καὶ αὐτὸς μετ' ἐμοῦ. [21] ὁ νικῶν, δώσω
αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα καὶ
22 ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ. [22] Ὁ ἔχων
οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

## IV.

1 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ,
καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ,
λέγων· Ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα.
2 [2] εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ ἰδού, θρόνος ἔκειτο ἐν τῷ οὐ- *Ez. 1, 26 sqq.

---

14. Om. καὶ ἀληθ. Sl. ms. Fulg. Faust. .. h. καὶ ὁ ἀλ. C 2. .. ὁ ἀληθ. 7. al. Syr. Andr. 1.

15. Om. ὄφελ. usq. ζεστ. A 47. .. Rc. εἴης pro ἦς.

17. Om. ὅτι ante πλούσ. b. al. m. Vg. (ed. Sixt.) Andr. 2. al. — Rc. Kn. Sz. οὐδενός. [ctra A C al.] — Rc. om. ὁ ante ἐλεειν.

18. Hab. κολλύριον C al. pl. Andr. 2. Areth. Latt. — Rc. ἔγχρισον.

19. Rc. Kn. Sz. ζήλευσον. [ctra A C al. pl. Areth.]

20. Sz. καὶ εἰσελεύσ. c. b. al. pl. Sl. ms. (non Or. 4.)

Cap. IV. 1. Sz. Ln. ἀνεωγμ. c. b. al. pm. Areth. — Rc. λέγουσα... etiam καὶ λέγουσα leg.; om. 15. (est recent. pars cd. E evgliorum.) — Ln. ἀνάβηθι et ὅσα δεῖ c. A.

2. Rc. Kn. Sz. καὶ εὐθ. [om. c. A al. pl. Syr. Har. Vg. ms. Am. Prim. Hier. (etiam εὐθ. δέ leg.; etiam εὐθ. om.)] .. Ln. γενέσθαι. μετὰ τ. εὐθ. (sic interpg.)

ρανῷ, καὶ ἐπὶ τὸν θρόνον καθήμενος, [3] καὶ ὁ καθήμενος ὅμοιος 3
ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ, καὶ ἶρις κυκλόθεν τοῦ θρόνου
ὅμοιος ὁράσει σμαραγδίνῳ. [4] καὶ κυκλόθεν τοῦ θρόνου θρόνοι εἴ- 4
κοσι τέσσαρες· καὶ ἐπὶ τοὺς εἴκοσι τέσσαρας θρόνους πρεσβυτέρους
καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς, καὶ ἐπὶ τὰς κε-
φαλὰς αὐτῶν στεφάνους χρυσοῦς. [5] καὶ ἐκ τοῦ θρόνου ἐκπορεύον- 5
ται ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί· καὶ ἑπτὰ λαμπάδες πυρὸς
καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσιν τὰ ἑπτὰ πνεύματα τοῦ
* Ez. 1, 22. θεοῦ· [6] καὶ ἐνώπιον τοῦ θρόνου ὡς θάλασσα ὑαλίνη ὁμοία κρυ- 6
στάλλῳ· καὶ ἐν μέσῳ τοῦ θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα
* Ez. 1, 10. ζῷα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν. [7] καὶ τὸ ζῷον 7
τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῷον ὅμοιον μόσχῳ, καὶ
τὸ τρίτον ζῷον ἔχον τὸ πρόσωπον ἀνθρώπου, καὶ τὸ τέταρτον ζῷον
* Es. 6, 3. ὅμοιον ἀετῷ πετομένῳ. [8] καὶ τὰ τέσσαρα ζῷα, ἓν καθ᾽ ἓν αὐτῶν 8
ἔχον ἀνὰ πτέρυγας ἕξ, κυκλόθεν καὶ ἔσωθεν γέμουσιν ὀφθαλμῶν,
καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς λέγοντες· Ἅγιος ἅγιος
ἅγιος κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμε-
νος. [9] καὶ ὅταν δώσουσιν τὰ ζῷα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν 9
τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ, τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων, [10] πεσοῦνται οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθ- 10

---

2. Rc. Kn. Sz. ἐπὶ τοῦ θρόνου.

3. Om. καὶ ὁ καθήμ. b. al. m. Arr. al. Andr. Areth. — Rc. Kn. καθ. ἦν. — Rc. σαρδίνῳ et θρόν. ὁμοία. . . b. ὁμοίως 2. al. pm. Areth.; iiq. plurimi pergunt ὅρασις σμαραγδίνων.

4. Ln. θρόνους εἰκ. τέσσαρες c. A al. — Rc. εἰκ. καὶ τέσσ. bis et τοὺς θρόνους εἶδον τοὺς εἰκ. κ. τέσσ. πρεσβ. — Ln. om. ἐν c. A 28. Andr. 1. — Rc. ἔσχον ἐπὶ τάς.

5. Sz. ἐνώπ. τ. θρ. αὐτοῦ c. 7. al. m. Syr. Andr. 1. Areth. — Ln. ἅ ἐστιν τά c. A. . . om. τά b. al. pl. Areth. — 6. Rc. om. ὡς.

7. Rc. Kn. ὡς ἄνθρωπος. . . Ln. ὡς ἀνθρώπου. [om. ὡς c. 2. al. pl. Sl. ms. Ir. gr. Andr. 2. Areth.] — Rc. πετωμένῳ. Sic etiam VIII, 13. XIV, 6. XIX, 17.

8. Rc. om. τά ante τέσσ. et h. ἓν καθ᾽ ἑαυτὸ, εἶχον, tum γέμοντα et λέγοντα. — h. κυκλ. καὶ ἔξωθεν καί B al. — h. ἅγ. novies B al. pl. Arm. Damsc.; sexies b. al. — pon. ὁ ὢν καὶ ὁ ἦν 17. al. Andr. 2. Ephr. al.; etiam om. κ. ὁ ὤν.

9. Hab. δῶσιν b. al. pl. Vg. Areth.; etiam δώσει et δώσωσιν leg. — Rc. Kn. Sz. τοῦ θρόνου. [τῷ θρ. c. A.]

10. Rc. εἰκ. καὶ τέσσ.

ημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσιν τῷ ζῶντι εἰς τοὺς
αἰῶνας τῶν αἰώνων, καὶ βαλοῦσιν τοὺς στεφάνους αὐτῶν ἐνώπιον
11 τοῦ θρόνου, λέγοντες· [11] Ἄξιος εἶ, ὁ κύριος καὶ ὁ θεὸς ἡμῶν,
λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν, ὅτι σὺ ἔκτισας
τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου ἦσαν καὶ ἐκτίσθησαν.

## V.

1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βι- * Ez. 2, 9. 10.
βλίον γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν κατεσφραγισμένον σφραγῖσιν
2 ἑπτά. [2] καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα ἐν φωνῇ μεγάλῃ·
3 Τίς ἄξιος ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ; [3] καὶ * Ex. 33, 4.
οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ οὐδὲ ἐπὶ τῆς γῆς οὐδὲ ὑποκάτω τῆς
4 γῆς ἀνοῖξαι τὸ βιβλίον οὐδὲ βλέπειν αὐτό. [4] καὶ ἐγὼ ἔκλαιον πολύ,
ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι τὸ βιβλίον οὔτε βλέπειν αὐτό.
5 [5] καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· Μὴ κλαῖε· ἰδού, ἐνίκησεν
ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαυίδ, ὁ ἀνοίγων τὸ βιβλίον * Gn. 49, 9.
6 καὶ τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ. [6] Καὶ εἶδον ἐν μέσῳ τοῦ θρόνου
καὶ τῶν τεσσάρων ζώων καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων ἀρνίον ἑστη-
κὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτά, οἵ * Zach. 4, 10.
7 εἰσιν τὰ πνεύματα τοῦ θεοῦ ἀπεσταλμένοι εἰς πᾶσαν τὴν γῆν. [7] καὶ

---

11. Rc. Kn. Sz. εἶ, κύριε, λαβ. [ὁ κύρ. κ. ὁ θ. ἡμ. c. AB al. longe pl. (sed pl. add. ὁ ἅγιος, etiam Syr. Ar. pol. Areth. Thdor. stud.) Am... h. κύριε ὁ θεὸς ἡμ. 7. al.; vv. pl. Andr. 1. Prim. Fulg.] — Ln. om. τὴν ante δύν. c. A. — Rc. pro ἦσ. h. εἰσί. — om. κ. ἐκτίσθ. A; etiam transpon.

Cap. V. 1. Sz. καὶ ἔξωθεν c. b. al. pl.; vv. pl. (non Syr.) et PP. pl. (non Cypr. nec Or. ed. bis.)

2. Rc. om. ἐν. — Rc. Sz. et Kn. (—) τίς ἐστιν.

3. Kn. Sz. οὐρανῷ ἄνω c. 7. al. pl. Syr. Ar. pol. Cpt. (non Or. 2.) — Ln. οὔτε βλέπ... ter οὔτε 2. al. pl. Or. Andr. Areth. (in A, qui v. 4. om., οὔτε βλ. αὐτ. ad v. sq. pertinere vdtr.)

4. Om. ἐγώ 12. al. Cpt. (h. tum πολλοί) al. Or. Epiph. — Rc. Kn. Sz. πολλά. [πολύ c. (om. versum A.) b. al. pl. Syr. Vg. al. Andr. Areth. Cypr...om. Or. Epiph.] — Rc. ἀνοῖξ. καὶ ἀναγνῶναι.

5. Rc. ὁ ὢν ἐκ. — ὁ ἀνοίγων c. B al. pl. Areth.; etiam ἀνοίξει et ὃς ἀνοίξει leg... Rc. Kn. Sz. Ln. ἀνοῖξαι. — Rc. καὶ λῦσαι τάς.

6. Rc. κ. εἶδ. καὶ ἰδού. — h. ἅ εἰσιν b. al. pl. Andr. 1. Areth. — Rc. Kn. Sz. τὰ ἑπτά [om. c. A al. Aeth. Am. (h. in m.) Har.* Tych.] et τά

ἦλθεν καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου.
[8] καὶ ὅτε ἔλαβεν τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ οἱ εἴκοσι τέσσα- 8
ρες πρεσβύτεροι ἔπεσαν ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κι-
θάραν καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσ-
ευχαὶ τῶν ἁγίων. [9] καὶ ᾄδουσιν ᾠδὴν καινὴν λέγοντες· Ἄξιος εἶ 9
λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ, ὅτι ἐσφάγης,
καὶ ἠγόρασας τῷ θεῷ ἐν τῷ αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσ-
Ap. 1, 6. σης καὶ λαοῦ καὶ ἔθνους, [10] καὶ ἐποίησας αὐτοὺς βασιλείαν καὶ 10
ἱερεῖς, καὶ βασιλεύουσιν ἐπὶ τῆς γῆς. [11] καὶ εἶδον, καὶ ἤκουσα 11
φωνὴν ἀγγέλων πολλῶν κύκλῳ τοῦ θρόνου καὶ τῶν ζώων καὶ τῶν
• Dan. 7, 10. πρεσβυτέρων. καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων καὶ χι-
λιάδες χιλιάδων, [12] λέγοντες φωνῇ μεγάλῃ· Ἄξιόν ἐστιν τὸ ἀρνίον 12
τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ πλοῦτον καὶ σοφίαν καὶ
ἰσχὺν καὶ τιμὴν καὶ δόξαν καὶ εὐλογίαν. [13] καὶ πᾶν κτίσμα ὃ ἐν 13
τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς καὶ ὑποκάτω τῆς γῆς καὶ ἐπὶ τῆς θα-
λάσσης ἐστὶν καὶ τὰ ἐν αὐτοῖς, πάντας ἤκουσα λέγοντας· Τῷ καθ-
ημένῳ ἐπὶ τῷ θρόνῳ καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ ἡ
δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [14] καὶ τὰ τέσ- 14

---

ἀπεσταλμένα. [ἀπεστ. c. A... h. ἀποστελλόμενα 2. al. m. Areth. et τὰ ἀποστελλόμενα b. al. m.]

7. Rc. Kn. Sz. εἴληφ. τὸ βιβλίον. [om. c. A al. pm. Arm. Har.* Am. (h. in m.) Lips. 6; etiam in f. pon.]

8. Rc. Kn. Sz. κιθάρας. [ctra A al. pl. Syr. al. Areth. al.]

9. Om. τ. θεῷ Har.* Cypr. al. — Rc. Kn. Sz. Ln. ἡμᾶς ἐν... om. c. A Aeth.; etiam ἡμῶν leg.; ante τ. θεῷ pon. 16. al. Syr. Vg. al. Latt. m.

10. Rc. pro αὐτούς h. ἡμᾶς et Rc. Kn. Sz. Ln. add. τῷ θεῷ ἡμῶν... om. c. A Aeth.; etiam ἡμῶν om. — Rc. Kn. Sz. βασιλεῖς. [-λείαν c. A Cpt. Vg. Cypr. Prim. al.] — Rc. βασιλεύσομεν... Kn. Sz. βασιλεύσουσιν. (-ουσιν A al. m.)

11. Rc. κυκλόθεν. — 12. h. ἄξιος A.

13. Rc. Kn. Sz. ὅ ἐστιν et post θαλάσσ. ἅ ἐστι. [om. ἐστ. et ἅ c. A al. pl.; vv. nonnull.; Areth. .. ab aliis ὅ ἐστ., ab al. ἅ ἐστ. om.] — Rc. pro ἐπὶ τ. γ. h. ἐν τῇ γῇ. — Rc. Sz. πάντα, ἤκ. λέγοντας... Ln. πάντα ἤκ. λέγοντα. [πάντας et λέγοντας c. 2. al. pl. Areth. Prim. al... h. καὶ πάντας etc. 13. al. Andr. 1. .. πάντα, καὶ πάντας etc. B.] — Rc. Kn Sz. τοῦ θρόνου. [ctra A al. m.] — om. καί ante τ. ἀρν. A Sl. ms. .. om. κ. τ. ἀρν. Cpt.

σαρα ζῶα ἔλεγον· Ἀμήν, καὶ οἱ πρεσβύτεροι ἔπεσαν καὶ προσεκύνησαν.

# VI.

1 Καὶ εἶδον ὅτε ἤνοιξεν τὸ ἀρνίον μίαν ἐκ τῶν ἑπτὰ σφραγίδων,
καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος ὡς φωνὴ βροντῆς·
2 Ἔρχου. [2] καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ' [a] Zach. 6, 2. 1
αὐτὸν ἔχων τόξον, καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ ἐξῆλθεν νικῶν
3 καὶ ἵνα νικήσῃ. [3] Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν δευτέραν,
4 ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος· Ἔρχου. [4] καὶ ἐξῆλθεν ἄλλος
ἵππος πυῤῥός, καὶ τῷ καθημένῳ ἐπ' αὐτὸν ἐδόθη αὐτῷ λαβεῖν
τὴν εἰρήνην τῆς γῆς καὶ ἵνα ἀλλήλους σφάξουσιν, καὶ ἐδόθη αὐτῷ
5 μάχαιρα μεγάλη. [5] Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν τρίτην, ἤκουσα
τοῦ τρίτου ζώου λέγοντος· Ἔρχου. καὶ εἶδον, καὶ ἰδοὺ ἵππος μέλας, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.
6 [6] καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν· Χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῶν δηναρίου· καὶ τὸ
7 ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς. [7] Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα
8 τὴν τετάρτην, ἤκουσα τοῦ τετάρτου ζώου λέγοντος· Ἔρχου. [8] καὶ [a] Ez. 14, 21.
εἶδον, καὶ ἰδοὺ ἵππος χλωρός, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα

---

14. Hab. λέγοντα τὸ ἀμ. (etiam om. τό) b. al. pl. Areth. — Rc. et Kn. (—) εἴκοσι τέσσαρες πρεσβ. ἔπ. κ. πρ. ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Cap. VI. 1. Rc. om. ἑπτά, h. φωνῆς (etiam φωνῇ leg.), et in f. add. καὶ βλέπε... Kn. Sz. καὶ ἴδε. [om. c. A C al. m. Erp. Vg. ms. Am. Andr. 1... ab aliis om. sq. κ. εἶδον.]

2. Rc. (sic etiam v. 4. et 5.) ἐπ' αὐτῷ.

3. Rc. τ. δευτέρ. σφραγ. et in f. add. καὶ βλέπε.

4. Hab. πυρός A al. m. Erp. (utrq. Aeth.) — Rc. ἀπὸ τῆς... Kn. Sz. ἐκ τῆς. [om. c. A al.] · om. καί ante ἵνα b. al. m.; vv. m.; Andr. Areth. — Rc. Kn. Sz. σφάξωσι. [ctra A C.]

5. Rc. τ. τρίτ. σφραγ. — Rc. ἔρχ. καὶ βλέπε et Sz. ἔρχ. καὶ ἴδε... ab al. sq. κ. εἶδ. om.

6. Ln. ὡς φωνήν. — Rc. Kn. Sz. κριθῆς. [ctra A C 12. Andr. 2. text.]

7. Rc. Sz. Ln. ἤκουσ. φωνήν. — Rc. λέγουσαν, in f. add. καὶ βλέπε et Sz. κ. ἴδε... ab al. sq. κ. εἶδ. om.

8. Ln. om. αὐτοῦ post ἐπάν. c. C 12. Har. Ansb. al.

αὐτῷ ὁ θάνατος, καὶ ὁ ᾅδης ἠκολούθει μετ' αὐτοῦ, καὶ ἐδόθη
αὐτῷ ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἀποκτεῖναι ἐν ῥομφαίᾳ
καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς. [9] Καὶ 9
ὅτε ἤνοιξεν τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστη-
ρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ θεοῦ καὶ τὴν
μαρτυρίαν ἣν εἶχον. [10] καὶ ἔκραξαν φωνῇ μεγάλῃ λέγοντες· Ἕως 10
πότε, ὁ δεσπότης ὁ ἅγιος καὶ ἀληθινός, οὐ κρίνεις καὶ ἐκδικεῖς
τὸ αἷμα ἡμῶν ἐκ τῶν κατοικούντων ἐπὶ τῆς γῆς; [11] καὶ ἐδόθη αὐ- 11
τοῖς ἑκάστῳ στολὴ λευκή, καὶ ἐῤῥέθη αὐτοῖς ἵνα ἀναπαύσονται
ἔτι χρόνον, ἕως πληρωθῶσιν καὶ οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελ-
φοὶ αὐτῶν οἱ μέλλοντες ἀποκτέννεσθαι ὡς καὶ αὐτοί. [12] Καὶ εἶ- 12
δον ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν ἕκτην, καὶ σεισμὸς ἐγένετο μέγας,
καὶ ὁ ἥλιος ἐγένετο μέλας ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ὅλη
*Es. 34, 4. ἐγένετο ὡς αἷμα, [13] καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν 13
γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς ὑπὸ ἀνέμου μεγάλου
σειομένη, [14] καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον ἑλισσόμενον, 14

---

8. Om. ὁ ante θάνατ. C al. — Rc. Ln. ἀκολουθεῖ. [ctra (A hiat) B C al. pl. Vg. al. Andr. 2. Areth. Prim. Tych.] — h. αὐτῷ pro μετ' αὐτ. B al. pl. Andr. 2. Areth. (Or. ὁ θάν. κ. ὁ ᾅδ. ἀκολουθεῖ αὐτοῖς.) — Rc. Ln. αὐτοῖς. [αὐτῷ c. B al. longe pl.; vv. vdtr omnib.; Areth. Prim. Tych.] — Rc. ἐξ. ἀποκτ. ἐπὶ τὸ τέτ. τ. γ. — pro καὶ ὑπό h. κ. τὸ τέταρτον A.

9. Rc. Kn. Sz. διὰ τ. μαρτ. [om. c. A Cpt. cdd. lat. Cypr.] — h. μαρτ. τοῦ ἀρνίου B al. pl. Syr. Ar. pol. Andr. 2. Areth. . . al. alia add.

10. Rc. ἔκραζον et ὁ ἀληθ. — Rc. Kn. Sz. ἀπὸ τῶν. [ἐκ c. A C al. pl. Areth.]

11. Rc. ἐδόθησαν ἑκάστοις [. . Sz. αὐτοῖς c. B al. pl. Arm. Andr. 2. Areth. . . ἑκάστῳ 2. al. Clem. . . αὐτοῖς ἑκάστῳ c. A C al. m. (vv. m.) Prim.] στολαὶ λευκαί. — Rc. Kn. Sz. ἀναπαύσωνται. [ctra A al.] — Rc. ἔτι χρόν. μικρὸν ἕως οὗ πληρώσονται. (Ln. χρόν. ἔτι μικρόν et Sz. πληρώσωσι.) — h. καὶ οἱ μέλλ. 2. al. pl. Andr. 1. Areth. Cypr. (1.) — Rc. ἀποκτείνεσθ.

12. Om. εἶδ. 18. al. Ar. pol. Aeth. Tych.; etiam κ. εἶδ. καί leg. — Rc. κ. ἰδού, σεισμ. et om. ὅλη.

13. Hab. τοῦ θεοῦ A. . . om. τ. οὐρ. Vg. ms. Tych. al. . . h. de coelo Vg. (coeli Am.) Tert. Prim. — h. βαλοῦσα s. βάλλουσα 2. al. pl. Syr. Sl. ms.; etiam ἀποβάλλει et ἀποβαλοῦσα leg. — Ln. σαλευομένη c. A 12.

14. Rc. om. ὁ ante οὐρ. — Rc. Kn. Sz. εἱλισσ. [ἑλισσ. c. A C al. pl.; etiam -μενος leg. (Andr. 2. Areth.)]

15 καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν. [15] καὶ
οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ μεγιστᾶνες καὶ οἱ χιλίαρχοι καὶ οἱ πλού-
σιοι καὶ οἱ ἰσχυροὶ καὶ πᾶς δοῦλος καὶ ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς [a] Es. 2, 10.
16 εἰς τὰ σπήλαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων, [16] καὶ λέγουσιν τοῖς [a] Hos. 10, 8.
ὄρεσιν καὶ ταῖς πέτραις· Πέσατε ἐφ' ἡμᾶς καὶ κρύψατε ἡμᾶς ἀπὸ Lc. 23, 30.
προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου καὶ ἀπὸ τῆς ὀργῆς τοῦ
17 ἀρνίου, [17] ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτῶν, καὶ τις
δύναται σταθῆναι;

## VII.

1 Μετὰ τοῦτο εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσα-
ρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς,
ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς μήτε ἐπὶ τῆς θαλάσσης μήτε ἐπί
2 τι δένδρον. [2] καὶ εἶδον ἄλλον ἄγγελον ἀναβαίνοντα ἀπὸ ἀνατολῶν
ἡλίου, ἔχοντα σφραγῖδα θεοῦ ζῶντος, καὶ ἔκραξεν φωνῇ μεγάλῃ
τοῖς τέσσαρσιν ἀγγέλοις οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν
3 θάλασσαν, [3] λέγων· Μὴ ἀδικήσητε τὴν γῆν μήτε τὴν θάλασσαν
μήτε τὰ δένδρα, ἄχρι σφραγίσωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν [a] Ez. 9, 4.
4 ἐπὶ τῶν μετώπων αὐτῶν. [4] καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφρα-
γισμένων. ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἐσφραγισμένοι
5 ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ· [5] ἐκ φυλῆς Ἰούδα δώδεκα χιλιάδες
ἐσφραγισμένοι, ἐκ φυλῆς Ῥουβὴν δώδεκα χιλιάδες, ἐκ φυλῆς Γὰδ

---

14. Hab. ἀπεκίνησαν A.

15. Rc. pro ἰσχυρ. h. δυνατοί. — Rc. Kn. Sz. πᾶς ἐλεύθ. [om. c. AC al. pl.; vv. pm.; Areth. al.]

16. Rc. Kn. Sz. πέσετε. [ctra A al.] — h. τῷ θρόνῳ 2. al. m. Areth.

17. αὐτῶν c. C 38. Syr. Vg. Auct. de prom. Fulg. .. Rc. Kn. Sz. Ln. αὐτοῦ.

Cap. VII. 1. Rc. Kn. Sz. καὶ μετά [om. c. AC Cpt. Vg. Prim.] et Rc. Kn. μετ. ταῦτα. — Ln. τέσσαρες ἀγγ. et τέσσαρες ἀνέμ. c. A. — om. τῆς γῆς secund. 38. Vg. ms. al. Apring. al. — om. ἐπὶ τ. γῆς A. — Rc. Kn. Sz. πᾶν δένδρ. [τὶ c. C al. pl. Vg. al. Areth. Prim. .. h. ἐπὶ δένδρου A Arm., ἐ. δένδρων Syr.]

2. Rc. ἀναβάντα. — Rc. Kn. Sz. ἀνατολῆς. [-λῶν c. A al.]

3. Ln. γῆν καί c. A al. Cpt. Vg. (non Or. 2.) — Rc. Kn. Sz. ἄχρις οὗ.

5. Rc. Kn. Sz. decies post χιλιάδ. add. ἐσφραγισμένοι. [om. toties c. A al. pl. Syr. Har.* Vg. ms. al. Prim. .. al. add. quater al. quinquies.] — pro Γάδ h. Δάν 9. al. (contra Or. aliosq. diserte negantes Δάν commemorari.)

*δώδεκα χιλιάδες,* [6] *ἐκ φυλῆς Ἀσὴρ δώδεκα χιλιάδες, ἐκ φυλῆς Νε-* 6
*φθαλεὶμ δώδεκα χιλιάδες, ἐκ φυλῆς Μανασσῆ δώδεκα χιλιάδες,*
[7] *ἐκ φυλῆς Συμεὼν δώδεκα χιλιάδες, ἐκ φυλῆς Λευὶ δώδεκα χι-* 7
*λιάδες, ἐκ φυλῆς Ἰσαχὰρ δώδεκα χιλιάδες,* [8] *ἐκ φυλῆς Ζαβουλὼν* 8
*δώδεκα χιλιάδες, ἐκ φυλῆς Ἰωσὴφ δώδεκα χιλιάδες, ἐκ φυλῆς*
*Βενιαμὶν δώδεκα χιλιάδες ἐσφραγισμένοι.*

*Μετὰ ταῦτα εἶδον, καὶ ὄχλος πολύς, ὃν ἀριθμῆσαι αὐτὸν* 9
*οὐδεὶς ἐδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσ-*
*σῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τοῦ ἀρνίου, περι-*
*βεβλημένους στολὰς λευκάς, καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν·*
[10] *καὶ κράζουσιν φωνῇ μεγάλῃ λέγοντες· Ἡ σωτηρία τῷ θεῷ ἡμῶν* 10
*τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ καὶ τῷ ἀρνίῳ.* [11] *καὶ πάντες οἱ ἄγγε-* 11
*λοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν*
*τεσσάρων ζώων, καὶ ἔπεσαν ἐνώπιον τοῦ θρόνου ἐπὶ τὰ πρόσωπα*
*αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ,* [12] *λέγοντες· Ἀμήν, ἡ εὐλογία* 12
*καὶ ἡ δόξα καὶ ἡ σοφία καὶ ἡ εὐχαριστία καὶ ἡ τιμὴ καὶ ἡ δύνα-*
*μις καὶ ἡ ἰσχὺς τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* [13] *καὶ* 13
*ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων λέγων μοι· Οὗτοι οἱ περιβεβλη-*
*μένοι τὰς στολὰς τὰς λευκὰς τίνες εἰσὶν καὶ πόθεν ἦλθον;* [14] *καὶ* 14
*εἴρηκα αὐτῷ· Κύριε, σὺ οἶδας. καὶ εἶπέν μοι· Οὗτοί εἰσιν οἱ ἐρ-*
*χόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐ-*
*τῶν καὶ ἐλεύκαναν ἐν τῷ αἵματι τοῦ ἀρνίου.* [15] *διὰ τοῦτό εἰσιν* 15
*ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ*

8. Ln. *Βενιαμείν.*

9. Rc. Kn. Sz. *κ. ἰδού, ὄχλ.* .. om. c. C. .. Ln. *εἶδον ὄχλον πολὺν* c. A (sed pgit *καί.*) Vg. al. Cypr. Prim. al. — h. *ἑστῶτας* 2. al. pl. — Rc. *περιβεβλημένοι.* — h. *φοίνικας* b. al. pl. Areth.

10. Rc. *κράζοντες.* — Rc. Kn. Sz. *τοῦ θρόνου.* [ctra A al. pl.] .. *τῷ θεῷ* om.; etiam *τοῦ θεοῦ* (sic A) leg.; idque post *θρόνου* pon. 37. al.

11. Rc. Kn. Sz. *ἑστήκεσαν.* [*εἱστήκεισ.* c. A (C *ἑστήκεισαν*) al. m. Andr. Areth. — Rc. *τὸ πρόσωπον.* — om. *τ. θεῷ* Tol. Vg. ms. Fulg.

12. Om. *ἀμήν* Cpt. Vg. ms. — om. *κ. ἡ σοφ.* A; transpon. 26. — Rc. Sz. et Kn. (—) in f. add. *ἀμήν.* [om. c. C al. Andr. 2. Prim. al.]

13. Om. *εἰσίν* 12. (s. XI.)

14. Kn. Sz. et Ln. (—) *κύρ. μου.* (om. A Prim. etc.) — Ln. *ἀπὸ θλίψ. μεγάλ.* c. A. — Rc. *ἐλεύκ. στολὰς αὐτῶν* (h. *τὰς στ. αὐτ.* B 2.) .. Sz. Ln. *ἐλεύκ. αὐτάς.* [om. c. 9. al. pl. Arm. al. Areth.]

νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ, καὶ ὁ καθήμενος ἐπὶ τοῦ θρόνου σκη-
16 νώσει ἐπ᾽ αὐτούς. [16] οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδὲ * Es. 49,
17 μὴ πέσῃ ἐπ᾽ αὐτοὺς ὁ ἥλιος οὐδὲ πᾶν καῦμα, [17] ὅτι τὸ ἀρνίον 10.
τὸ ἀνὰ μέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς καὶ ὁδηγήσει αὐτοὺς
ἐπὶ ζωῆς πηγὰς ὑδάτων, καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἐκ τῶν Ap. 21.
ὀφθαλμῶν αὐτῶν. 4. *Es. 25, 8.

## VIII.

1 Καὶ ὅταν ἤνοιξεν τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο σιγὴ ἐν
2 τῷ οὐρανῷ ὡς ἡμίωρον. [2] καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους οἳ ἐνώπιον
3 τοῦ θεοῦ ἑστήκασιν, καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες. [3] καὶ
ἄλλος ἄγγελος ἦλθεν καὶ ἐστάθη ἐπὶ τοῦ θυσιαστηρίου ἔχων λιβα-
νωτὸν χρυσοῦν, καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλά, ἵνα δώσει ταῖς
προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ
4 ἐνώπιον τοῦ θρόνου. [4] καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς
προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ θεοῦ.
5 [5] καὶ εἴληφεν ὁ ἄγγελος τὸν λιβανωτόν, καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ
πυρὸς τοῦ θυσιαστηρίου καὶ ἔβαλεν εἰς τὴν γῆν· καὶ ἐγένοντο βρον-
ταὶ καὶ ἀστραπαὶ καὶ φωναὶ καὶ σεισμός.
6 Καὶ οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας ἡτοίμα-
7 σαν ἑαυτοὺς ἵνα σαλπίσωσιν. [7] Καὶ ὁ πρῶτος ἐσάλπισεν, καὶ ἐγένετο
χάλαζα καὶ πῦρ μεμιγμένα ἐν αἵματι καὶ ἐβλήθη εἰς τὴν γῆν· καὶ
τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη,
καὶ πᾶς χόρτος χλωρὸς κατεκάη. [8] Καὶ ὁ δεύτερος αγγελος ἐσάλ-
8 πισεν, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασ-

---

15. Hab. ἐπὶ τῷ θρόνῳ b. al. pl. Areth.
16. Ln. οὐδ. μὴ διψ. c. A al. — h. οὐδ᾽ οὐ μὴ πέσῃ b. al. pl. Andr. Areth.
17. Hab. ποιμαίνει et ὁδηγεῖ b. al. pl. — Rc. pro ζωῆς h. ζώσας et ἀπὸ τῶν.

Cap. VIII. 1. Rc. Kn. Sz. ὅτε et ἡμιώριον. [ὅταν et ἡμίωρον c. A C.]
3. Rc. Kn. Sz. Ln. ἱστάθ. ἐ. τὸ θυσιαστήριον. .. τοῦ θυσ. c. C (h. τοῦ θυσιαστήριον) b. al. longe pl. Andr. Areth. — Rc. Kn. Sz. δώσῃ. [-σει c. A al. pl. Andr. 1; etiam δῷ leg.]
6. Rc. om. οἱ ante ἔχ. — Ln. αὑτούς c. A.
7. Rc. et Kn. (—) πρῶτ. ἄγγελος. — Rc. om. ἐν, tum om. καὶ τὸ τρίτ. τῆς γῆς κατεκ.
8. Om. πυρί B al. pl. Areth. Tych.

σαν· καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα, [9] καὶ ἀπέθανεν
τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχάς, 9
καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρησαν. [10] Καὶ ὁ τρίτος ἄγγελος
ἐσάλπισεν, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς 10
λαμπάς καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς
τῶν ὑδάτων. [11] καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ ἄψινθος. καὶ 11
ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολλοὶ τῶν ἀνθρώ-
πων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν. [12] Καὶ ὁ τέ-
ταρτος ἄγγελος ἐσάλπισεν, καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου καὶ τὸ 12
τρίτον τῆς σελήνης καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτισθῇ τὸ
τρίτον αὐτῶν καὶ ἡ ἡμέρα μὴ φάνῃ τὸ τρίτον αὐτῆς, καὶ ἡ νὺξ
ὁμοίως. [13] καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου ἐν μεσουρα- 13
νήματι, λέγοντος φωνῇ μεγάλῃ· Οὐαὶ οὐαὶ οὐαὶ τοῖς κατοικοῦσιν
ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγ-
γέλων τῶν μελλόντων σαλπίζειν.

## IX.

Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισεν. καὶ εἶδον ἀστέρα ἐκ τοῦ 1
οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ
φρέατος τῆς ἀβύσσου. [2] καὶ ἤνοιξεν τὸ φρέαρ τῆς ἀβύσσου· καὶ 2
ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης, καὶ
ἐσκοτώθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. [3] καὶ ἐκ 3
τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία
ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς. [4] καὶ ἐῤῥέθη αὐταῖς, ἵνα 4

---

9. Om. τ. ἐν τ. θαλάσσ. 1. al. Arm. Sl. ms. Har. Am.; post ψυχ. pon. Vg. — Rc. Sz. διεφθάρῃ.

10. Rc. om. τῶν ante ὑδάτ.

11. Rc. om. ὁ ante ἄψινθ. et τῶν ante ἀνθρ. — Rc. Kn. Sz. pro ἐγένετο [c. A b. al. longe pl.; (vv. vdtr; certe Vg.) Andr. Areth. Latt.] h. γίνεται.

12. Rc. Kn. Sz. φαίνῃ. [φάνῃ c. A B al. pl. Andr. 1.] . . pon. τὸ τρίτ. αὐτῆς (αὐτῶν 14. al. Cpt.) μὴ φάνῃ ἡ (ἡ om. B.) ἡμέρα, καί (s. μὴ φάνῃ· ἡ ἡμ. καί) B al. pl. Vg. Cpt. — pro τρίτ. ultimo h. τέταρτον A.

13. Rc. pro ἀετ. h. ἀγγέλου. . . h. ἀγγ. ὡς ἀετ. 13. Prim. (text.) — h. τοὺς κατοικοῦντας B al. pl.

Cap. IX. 2. Om. καὶ ἤν. τὸ φρ. τ. ἀβύσσ. 2. al. pl. Am. Har.* Tol.* al. Areth. — pro μεγάλ. h. καιομένης 2. al. pl. Syr. al. Areth. Victorin.; etiam καιομ. μεγ. leg. — Rc. Kn. Sz. ἐσκοτίσθη. [-τώθη c. A al.]

μὴ ἀδικήσουσιν τὸν χόρτον τῆς γῆς οὐδὲ πᾶν χλωρὸν οὐδὲ πᾶν δέν-
δρον, εἰ μὴ τοὺς ἀνθρώπους οἵτινες οὐκ ἔχουσιν τὴν σφραγῖδα τοῦ
5 θεοῦ ἐπὶ τῶν μετώπων. 5 καὶ ἐδόθη αὐταῖς, ἵνα μὴ ἀποκτείνωσιν
αὐτούς, ἀλλ᾽ ἵνα βασανισθήσονται μῆνας πέντε· καὶ ὁ βασανισμὸς
6 αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν παίσῃ ἄνθρωπον. 6 καὶ ἐν *Job. 3.
ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ 21.
οὐ μὴ εὕρωσιν αὐτόν, καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύγει
7 ὁ θάνατος ἀπ᾽ αὐτῶν. 7 καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια *Joel 2.
ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς 4. 5.
στέφανοι ὅμοιοι χρυσῷ, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀν-
8 θρώπων, 8 καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες *Joel 1.
9 αὐτῶν ὡς λεόντων ἦσαν, 9 καὶ εἶχον θώρακας ὡς θώρακας σιδη- 6.
ροῦς, καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων
10 πολλῶν τρεχόντων εἰς πόλεμον. 10 καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορ-
πίοις καὶ κέντρα, καὶ ἐν ταῖς οὐραῖς αὐτῶν ἡ ἐξουσία αὐτῶν ἀδι-
11 κῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε· 11 ἔχουσαι ἐπ᾽ αὐτῶν βασιλέα
τὸν ἄγγελον τῆς ἀβύσσου, ὄνομα αὐτῷ Ἑβραϊστὶ Ἀβαδδών, καὶ ἐν
12 τῇ Ἑλληνικῇ ὄνομα ἔχει Ἀπολλύων. 12 Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν·
ἰδού, ἔρχεται ἔτι δύο οὐαὶ μετὰ ταῦτα.
13 Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισεν. καὶ ἤκουσα φωνὴν μίαν ἐκ

---

4. Rc. Kn. Sz. *ἀδικήσωσι.* [-σουσιν c. A.] — Rc. *ἀνθρ. μόνους.* — Rc. Kn. Sz. in f. add. *αὐτῶν.* [om. c. A al. Tol. Har.* Am. Andr. 1.]

5. Ln. *αὐτοῖς* c. A 12. (ita a nonnull. etiam v. 3. et 4. leg.) — Rc. Kn. Sz. *βασανισθῶσι.* [-σθήσονται c. A al.; etiam *βασανίσωσιν* leg.]

6. Rc. *οὐχ εὑρ.* — Rc. Kn. Sz. *εὑρήσουσιν* [*εὑρ.* c. A al. m. Andr. 1. Har.*; etiam *εὑρήσωσιν* leg.] et *φεύξεται.* [*φεύγ.* c. A al.]

7. Kn. Sz. *στέφαν. χρυσοῖ* c. 2. al. pl. Ar. pol. Sl. ms. Areth.

10. Rc. Kn. *κέντρα ἦν ἐν τ. οὐρ. αὐτ., καὶ ἡ ἐξ.* [*κέντρ., καὶ* etc. c. A al. Syr. Erp. Vg. ms. . . h. *κέντρ., καὶ ἐν τ. οὐρ. αὐτ. ἐξ. ἔχουσιν τοῦ* (etiam om. *τοῦ*) *ἀδ.* B al. pl. Areth. . . Similiter al.] — Sz. *τοῦ ἀδικ.*

11. Rc. *καὶ ἔχουσιν.* . . Kn. Ln. *ἔχουσιν.* [*ἔχουσαι* c. 2. al. pl. Sl. ms. Areth.; etiam *ἔχουσαι καί*, *ἔχουσαι δέ*, *καὶ εἶχον* leg.] — Rc. Kn. Sz. *ἐφ᾽ αὐτ.* [*ἐπ᾽ αὐτ.* c. A al. pl. Areth.] — om. *τόν* ante *ἀγγ.* 2. al. pm. et h. *ἐν δὲ τῇ* 2. al. pl. Andr. Areth.

12. Rc. Kn. Sz. *ἔρχονται.* [ctra A al. pl. Cpt. (veniet vae alterum Hier. et Arr.)] — h. *καὶ μετὰ ταῦτ. καὶ ὁ ἕκτ.* etc. B al.; aliique similiter.

τῶν κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ,
[14] λέγοντα τῷ ἕκτῳ ἀγγέλῳ, ὁ ἔχων τὴν σάλπιγγα· Λῦσον τοὺς 14
τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ
Εὐφράτῃ. [15] καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι 15
εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτόν, ἵνα ἀποκτείνωσιν
τὸ τρίτον τῶν ἀνθρώπων. [16] καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων 16
τοῦ ἱππικοῦ δισμυριάδες μυριάδων· ἤκουσα τὸν ἀριθμὸν αὐτῶν.
[17] καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει καὶ τοὺς καθημένους 17
ἐπ᾽ αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώ-
δεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν
στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον. [18] ἀπὸ 18
τῶν τριῶν πληγῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων,
ἐκ τοῦ πυρὸς καὶ τοῦ καπνοῦ καὶ τοῦ θείου τοῦ ἐκπορευομένου
ἐκ τῶν στομάτων αὐτῶν. [19] ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στό- 19
ματι αὐτῶν ἐστὶν καὶ ἐν ταῖς οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ αὐτῶν
*Ps.115, ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλάς, καὶ ἐν αὐταῖς ἀδικοῦσιν. [20] καὶ 20
4. et 135, οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς
15. ταύταις, οὐ μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ
προσκυνήσουσιν τὰ δαιμόνια καὶ τὰ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀρ-
γυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν
δύνανται οὔτε ἀκούειν οὔτε περιπατεῖν, [21] καὶ οὐ μετενόησαν ἐκ 21
τῶν φόνων αὐτῶν οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν οὔτε ἐκ τῆς πορ-
νείας αὐτῶν οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

---

13. Rc. Kn. Sz. *τ. τεσσάρων κεράτ.* [om. c. A al. Syr. Tol. Har. Vg. ms. Am. al. Beda al.]

14. Pro *λέγοντα* [c. A.] h. *λέγοντος* B al. pl. Areth. Haym. (text.) .. Rc. Kn. Sz. *λέγουσαν*... h. *λέγων* 40. — om. *ἕκτῳ* A. — Rc. *ὃς εἶχε τήν*.

16. Rc. om. *τῶν* ante *στρατ.* — h. *τοῦ ἵππου* b. al. m. — Rc. Kn. Sz. *δύο μυρ.* [*δισμυρ.* c. A al. Cypr. (h. dismyriades) .. h. tantum *μυριάδ.* b. al. pl. Ar. pol. Sl. ms. Andr.] — Rc. *καὶ ἤκουσ.*

18. Rc. *ὑπό*, om. *πληγῶν*, tum h. *καὶ ἐκ τ. καπν. κ. ἐκ τ. θ.* — h. *ἀνθρώπ. ἀπὸ τοῦ* 2. al. pl. Andr. 2. Areth.

19. Rc. *αἱ γὰρ ἐξουσίαι αὐτῶν ἐν τ. στ. αὐτ. εἰσιν* et om. *καὶ ἐν τ. οὐρ. αὐτ.* — h. *ὄφεων* 2. al. pl. Areth.

20. Rc. Ln. *οὔτε μετεν.* [*οὐ* c. b. al. pl. Andr. 1. Areth.; etiam *οὐδέ* leg.] — Rc. Kn. Sz. *προσκυνήσωσι.* [*-σουσιν* c. A C al.] — Rc. om. *τά* ante *εἰδ.* — om. *κ. τὰ χαλκ.* 2. al. pl. Ar. Aeth. Areth. — Rc. Kn. Sz. *δύναται.* [ctra A al. pl. Andr.]

# X.

1 *Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρα-
νοῦ, περιβεβλημένον νεφέλην, καὶ ἡ ἶρις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ,
καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στῦ-*
2 *λοι πυρός,* [2] *καὶ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἠνεῳγμένον.
καὶ ἔθηκεν τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης, τὸν δὲ*
3 *εὐώνυμον ἐπὶ τῆς γῆς,* [3] *καὶ ἔκραξεν φωνῇ μεγάλῃ ὥσπερ λέων μυ-
κᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν*
4 *φωνάς.* [4] *καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταί, ἤμελλον γράφειν· καὶ* ᵃDan. 8. 26.
*ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· Σφράγισον ἃ ἐλάλησαν*
5 *αἱ ἑπτὰ βρονταί, καὶ μὴ αὐτὰ γράψῃς.* [5] *καὶ ὁ ἄγγελος, ὃν εἶδον
ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρεν τὴν χεῖρα αὐτοῦ*
6 *τὴν δεξιὰν εἰς τὸν οὐρανόν,* [6] *καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ καὶ τὴν
γῆν καὶ τὰ ἐν αὐτῇ καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, ὅτι χρό-*
7 *νος οὐκέτι ἔσται,* [7] *ἀλλὰ ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου
ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, καὶ ἐτελέσθη τὸ μυστήριον τοῦ* ᵃAm. 3. 7.
8 *θεοῦ, ὡς εὐηγγέλισεν τοὺς ἑαυτοῦ δούλους τοὺς προφήτας.* [8] *καὶ
ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ πάλιν λαλοῦσαν μετ' ἐμοῦ καὶ
λέγουσαν· Ὕπαγε λάβε τὸ βιβλίον τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ τοῦ*
9 *ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.* [9] *καὶ*

---

**Cap. X.** 1. Om. ἄλλ. b. al. pl. Sl. ms. Andr. 1.; etiam post ἀγγ. pon. — Rc. om. ἡ ante ἰρ. et αὐτοῦ post κεφαλ. — Rc. Kn. Sz. τῆς κεφαλῆς. [τὴν κεφ. c. AC al.] — h. στῦλος 38. Syr. Vg. ms. al. Tych.

2. Rc. καὶ εἶχεν. — h. βιβλιδάριον C al. pl. Andr. 1. Areth. .. βιβλίον B al. pl. — om. ἠνεῳγμ. A Cpt. — Rc. τὴν θάλασσαν et τὴν γῆν.

4. Rc. et Kn. (—) τὰς φωνὰς ἑαυτῶν, ἔμελλον. — Rc. λέγουσ. μοι et ταῦτα γράψ.

5. Rc. om. τὴν δεξιάν.

6. Om. ἐν ante ζῶντι B al. pl. — om. καὶ τ. γῆν κ. τ. ἐν αὐτ. A 12. Cpt. Sl. ms. et κ. τ. θάλ. usq. αὐτ. A al. pm. Arm. Sl. Vg. ms. Prim. — Rc. οὐκ ἔσται ἔτι.

7. Om. καὶ ante ἐτελέσθ. b. al. m.; vv. nonnull.; Andr. 2. Areth. — Rc. τελεσθῇ (etiam τελεσθήσεται leg.) et τοῖς ἑ. δούλοις τοῖς προφήταις. — h. εὐηγγελίσατο b. al. pm. Andr. 1.

8. Rc. Kn. Sz. λαλοῦσα et λέγουσα [ctra AC al. Vg.] et βιβλαρίδιον. [βιβλ. c. AC al.; h. βιβλιδάριον b. al. pl. Areth.] — Rc. om. τοῦ ante ἀγγ.

* Ez. 2, 8 sqq. ἀπῆλθα πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ δοῦναί μοι τὸ βιβλαρίδιον.
καὶ λέγει μοι· Λάβε καὶ κατάφαγε αὐτό· καὶ πικρανεῖ σου τὴν
κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι. [10] καὶ ἔλα- 10
βον τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον
αὐτό· καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκύ· καὶ ὅτε ἔφαγον
αὐτό, ἐπικράνθη ἡ κοιλία μου. [11] καὶ λέγουσίν μοι· Δεῖ σε πά- 11
λιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἔθνεσιν καὶ γλώσσαις καὶ βασιλεῦσιν
πολλοῖς.

## XI.

* Ez. 40, 5. Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων· Ἔγειρε καὶ 1
μέτρησον τὸν ναὸν τοῦ θεοῦ καὶ τὸ θυσιαστήριον καὶ τοὺς προσ-
κυνοῦντας ἐν αὐτῷ. [2] καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε 2
ἔξωθεν καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσιν, καὶ τὴν
πόλιν τὴν ἁγίαν πατήσουσιν μῆνας τεσσαράκοντα καὶ δύο. [3] καὶ 3
δώσω τοῖς δυσὶν μάρτυσίν μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας
* Zach. 4, 2 sqq. διακοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους. [4] οὗτοί εἰσιν αἱ δύο 4
ἐλαῖαι καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ κυρίου τῆς γῆς ἑστῶτες.
* 2 Rg. 1, 10. [5] καὶ εἴ τις αὐτοὺς θέλει ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στό- 5
ματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴ τις θέλει
αὐτοὺς ἀδικῆσαι, οὕτως δεῖ αὐτὸν ἀποκτανθῆναι. [6] οὗτοι ἔχουσιν 6

---

9. Rc. Kn. Sz. ἀπῆλθον. [-θα c. A al.] — Rc. δός μοι. — h. βιβλιδάριον b. al. pl. Areth. (βιβλαρίδ. A**, sed a pr. manu vdtr correctum, A* βιβλάριον.) .. etiam βιβλίον leg. — pro κοιλ. h. καρδίαν A. (κοιλ. δηλαδὴ τ. καρδίαν Andr. comm.)

10. Hab. βιβλιδάριον b. al. .. βιβλίον 6. al. Areth.

11. Rc. Kn. Sz. pro λέγουσιν [c. A al. pm. Har. Areth.; h. λέγουσα 13.] h. λέγει.

Cap. XI. 1. Rc. καὶ ὁ ἄγγελος εἱστήκει λέγων. — Rc. Kn. Sz. Ln. ἔγειραι. . . ἔγειρε c. A al. pm. Andr. 1*; etiam ἔγειρον leg.

2. Hab. τὴν ἔσωθεν 12. al. Sl. — Rc. Kn. Sz. ἐκβ. ἔξω [ἔξωθεν c. A al. Andr. 1.] et om. καί ante δύο [ctra A al. m. Syr. al.]. — h. μετρήσουσιν A.

3. Ln. περιβεβλημένους c. AB al.

4. Hab. αὐλαῖαι A et ἀλαῖαι C. Rc. om. αἱ post καί, h. τοῦ θεοῦ et ἑστῶσαι. — Ln. om. τοῦ ante κυρ. c. A.

5. Rc. bis θέλῃ. . . pro posteriore h. θελήσῃ A. — pro ἀδικ. ante οὕτ. (om. οὕτ. A.) h ἀποκτεῖναι 28. al. Andr.

τὴν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ ὑετὸς βρέχῃ τὰς ἡμέρας τῆς * 1 R. 17, 1
προφητείας αὐτῶν, καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν * Ex 7, 19
αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ ὁσάκις ἐὰν
7 θελήσωσιν. [7] καὶ ὅταν τελέσωσιν τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον * Dan. 7.
τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει μετ' αὐτῶν πόλεμον καὶ νι-
8 κήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτούς. [8] καὶ τὸ πτῶμα αὐτῶν ἐπὶ
τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς
9 Σόδομα καὶ Αἴγυπτος, ὅπου καὶ ὁ κύριος αὐτῶν ἐσταυρώθη. [9] καὶ
βλέπουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὸ πτῶμα
αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμισυ, καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφίου-
10 σιν τεθῆναι εἰς μνῆμα. [10] καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαίρου- * Esth 9, 22
σιν ἐπ' αὐτοῖς καὶ εὐφραίνονται, καὶ δῶρα πέμψουσιν ἀλλήλοις,
ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς
11 γῆς. [11] καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ
θεοῦ εἰσῆλθεν ἐν αὐτοῖς, καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ
12 φόβος μέγας ἐπέπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς. [12] καὶ ἤκου-
σαν φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν· Ἀνάβατε ὧδε, καὶ
ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ, καὶ ἐθεώρησαν αὐτοὺς οἱ
13 ἐχθροὶ αὐτῶν. [13] καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας, καὶ
τὸ δέκατον τῆς πόλεως ἔπεσεν, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ

---

6. Rc. Kn. Sz. (Sz. pon. τ. οὐρ. ἐξουσ. κλεῖσ.) om. τήν ante ἐξουσ. prius. [scr. c. AC.] — Rc. ἐν ἡμέραις αὐτ. τῆς προφ. et om. ἐν ante πάσῃ.

8. Rc. τὰ πτώματα. — Rc. Kn. Sz. om. τῆς ante πόλ. [ctra A b. al. pm. Andr. Areth.] — post ὅπου om. καί 7. al. Cpt. Sl. ms. Lips. 4. Andr. 2. (text.) Areth. — Rc. κύρ. ἡμῶν.

9. Rc. βλέψουσιν, τὰ πτώματα, μνήματα. — om. καί ante ἥμισ. b. al. pm. Andr. 1. Areth. Cass. — Rc. Kn. Sz. ἀφήσουσι. [ἀφίουσ. c. AC al. Andr. 1. Lips. 5.]

10. Rc. χαροῦσιν [χαίρ. c. ABC al. pl. Andr. 1. Glyc. Tych.] et Rc. Kn. Sz. εὐφρανθήσονται. [εὐφραίν. c. AC al. Andr. 1. Tych.] — h. δώσουσιν B al. pm. Andr. 2. Areth. Tych.

11. Rc. ἐπ' αὐτούς. [ἐν αὐτ. c. A al. Andr. 1. Vig... h. αὐτοῖς C al. .. εἰς αὐτούς B al. pm. Andr. 2. Areth.] — Rc. Kn. Sz. ἔπεσεν. [ἐπέπ. c. AC al. m. Sl. Andr. 1.] — τῶν θεωρούντων C 17.*

12. Hab. ἤκουσα b. al. pm.; vv. m.; Andr. Areth. Tych. — h. φωνῆς μεγάλης λεγούσης C al. — Rc. Kn. Sz. λέγ. αὐτοῖς. [om. c. A 28.] — Rc. Kn. Sz. ἀνάβητε. [ctra AC al.]

13. Om. καί ab init. 6. al. m. Areth. Tych. — h. τῇ ἡμέρᾳ B b. al. pl. Ar. pol. Sl. Andr. 2. Areth. — pro δέκ. h. τρίτον B.

ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά, καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο
καὶ ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ. [14] Ἡ οὐαὶ ἡ δευτέρα 14
ἀπῆλθεν· ἰδού, ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ.
Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισεν, καὶ ἐγένοντο φωναὶ μεγά- 15
Ap. 12, 10. λαι ἐν τῷ οὐρανῷ, λέγοντες· Ἐγένετο ἡ βασιλεία τοῦ κόσμου τοῦ
κυρίου ἡμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων. [16] καὶ οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι οἱ ἐνώπιον 16
τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν ἔπεσαν ἐπὶ τὰ πρόσ-
ωπα αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ, [17] λέγοντες· Εὐχαριστοῦ- 17
μέν σοι, κύριε ὁ θεὸς ὁ παντοκράτωρ ὁ ὢν καὶ ὁ ἦν, ὅτι εἴληφας
τὴν δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας, [18] καὶ τὰ ἔθνη ὠρ- 18
γίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν νεκρῶν κριθῆ-
ναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις καὶ
τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ
τοῖς μεγάλοις, καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν. [19] καὶ 19
ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς
Ap. 8, 5. et 16, 18. διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ, καὶ ἐγένοντο ἀστραπαὶ καὶ φω-
ναὶ καὶ βρονταὶ καὶ χάλαζα μεγάλη.

## XII.

Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ περιβεβλημένη 1
τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς
* Mich. 4, 10. κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα, [2] καὶ ἐν γαστρὶ ἔχουσα 2

14. Om. ἰδού 6. al. m. Vg. ms.; post τρίτη pon. b. al. pl. Andr. 2. Areth.

15. Rc. λέγουσαι· Ἐγένοντο αἱ βασιλεῖαι. — h. ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ βασ. 4. al. m. Sl. ms. Tol. Vg. ms. Andr. 1. Areth.

16. Ln. om. οἱ ante εἰκ. c. A et ante ἐνώπ. c. A al. — Rc. εἰκ. καὶ τέσσ. — h. ἐνώπ. τοῦ θρόνου τοῦ θ. B al. pm. Syr. Arr. Areth. et pergit οἳ κάθηνται B (omisso οἳ etiam C 2. Arm.) al. pm. Areth.

17. Rc. ἦν καὶ ὁ ἐρχόμενος.

18. Ln. καὶ τοὺς ἁγίους κ. τοὺς φοβουμένους τ. ὄ. σ., τοὺς μικροὺς κ. τοὺς μεγάλους c. AC et om. καί ante διαφθεῖραι c. A.

19. Ln. θεοῦ ὁ ἐν c. A al. Victorin. — Sz. διαθήκ. τοῦ κυρίου c. 2. al. pm. Andr. Areth.; etiam κυρίου et τοῦ θεοῦ leg. .. om. Cpt. Erp. Vg. ms. Prim. (comm.) al. — Rc. Kn. Sz. Ln. βροντ. καὶ σεισμὸς καί. .. om. c. B b. al. pm. Ar. Areth.; etiam καὶ σεισμοί, σεισμός, καὶ ὁ σεισμ. leg.

3 κράζει, καὶ ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. [3]καὶ ὤφθη ἄλλο
σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων πυῤῥὸς μέγας, ἔχων κε-
φαλὰς ἑπτὰ καὶ κέρατα δέκα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ δια-
4 δήματα, [4]καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ
οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν. καὶ ὁ δράκων ἕστηκεν
ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον
5 αὐτῆς καταφάγῃ. [5]καὶ ἔτεκεν υἱὸν ἄρσενα, ὃς μέλλει ποιμαίνειν [a] Ps. 2, 9.
πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς
6 πρὸς τὸν θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ. [6]καὶ ἡ γυνὴ ἔφυγεν
εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ἀπὸ τοῦ θεοῦ,
7 ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. [7]καὶ [a] Dan. 12, 1.
ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ, ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ τοῦ
πολεμῆσαι μετὰ τοῦ δράκοντος. καὶ ὁ δράκων ἐπολέμησεν καὶ οἱ
8 ἄγγελοι αὐτοῦ, [8]καὶ οὐκ ἴσχυσαν, οὐδὲ τόπος εὑρέθη αὐτῶν ἔτι
9 ἐν τῷ οὐρανῷ. [9]καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος,
ὁ καλούμενος διάβολος καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην
ὅλην, ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλή-
10 θησαν. [10]καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ λέγουσαν·
Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ θεοῦ Ap. 19, 1.
ἡμῶν καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ, ὅτι ἐβλήθη ὁ κατήγωρ
τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτοὺς ἐνώπιον τοῦ θεοῦ ἡμῶν

---

Cap. XII. 2. Sz. ἔκραζεν c. b. al. pl. Syr. Aeth. Vg. ed. (et clamans om. ὠδίν. Am.) Andr. 2. Areth. Prim. . . h. ἔκραξεν B al. . . om. Arr. Arm. — Rc. Kn. Sz. om. καί ante ὠδίν. [scr. c. A C.]

3. Hab. πυρός B C al. pl. Cpt. Andr. (comm.) Synops.

5. Ln. υἱὸν ἄρσεν c. A C. . . Rc. Kn. Sz. ἄῤῥενα (etiam v. 13.). — Rc. om. πρός post καί.

6. Rc. om. ἐκεῖ post ἔχει. — h. ὑπὸ τοῦ 2. al. pm. Meth. Andr. Areth. — h. ἐκτρέφ. b. al. pm. Areth.

7. Ln. ὅ τε Μιχ. c. A. — Rc. ἐπολέμησαν κατὰ τοῦ δράκ. . . om. τοῦ ante πολεμ. B al. pl.

8. Rc. οὔτε. — Kn. Sz. Ln. ἴσχυσεν [c. A b. al. pl. Erp. Cpt. Aeth. Andr. (comm.) Victorin. Cass. (non Prim. Hier. Tych.)] et Kn. Ln. εὑρέθ. αὐτῷ c. b. al. pl.; vv. iisdem et PP. iisdem.

9. Om. ὁ ante σαταν. b. al. pm. Areth.

10. Rc. Sz. κατεβλήθη. [ctra A B al. pm. Andr. 1. Areth.] — Rc. κατήγορος. [-γωρ c. A.] — Rc. Kn. Sz. pro αὐτούς [c. A al. Andr. . . b. ἡμῶν Sl. ms. . . om. 32. (s. XV.)] h. αὐτῶν.

*ἡμέρας καὶ νυκτός. 11 καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ* 11
*ἀρνίου καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν, καὶ οὐκ ἠγάπησαν*
*τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. 12 διὰ τοῦτο εὐφραίνεσθε, οἱ οὐ-* 12
*ρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες· οὐαὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ,*
*ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι*
*ὀλίγον καιρὸν ἔχει.*
*Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξεν τὴν* 13
Es. 40, 31. *γυναῖκα ἥτις ἔτεκεν τὸν ἄρσενα. 14 καὶ ἐδόθησαν τῇ γυναικὶ αἱ* 14
Dan. 7, 23. *δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον*
*εἰς τὸν τόπον αὐτῆς, ὅπου τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ*
*ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως. 15 καὶ ἔβαλεν ὁ ὄφις ἐκ* 15
*τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμόν, ἵνα*
*αὐτὴν ποταμοφόρητον ποιήσῃ. 16 καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί,* 16
*καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιεν τὸν ποταμὸν ὃν*
*ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. 17 καὶ ὠργίσθη ὁ δρά-* 17
*κων ἐπὶ τῇ γυναικί, καὶ ἀπῆλθεν ποιῆσαι πόλεμον μετὰ τῶν λοι-*
*πῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ*
*καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ.*

## XIII.

*18 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης.* **(XIII.)** *1 καὶ* 18 1
Dan. 7, 3 sqq. *εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κέρατα δέκα καὶ*
*κεφαλὰς ἑπτὰ καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα καὶ ἐπὶ*
*τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας. 2 καὶ τὸ θηρίον, ὃ εἶ-* 2
*δον, ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκου, καὶ τὸ*
*στόμα αὐτοῦ ὡς στόμα λέοντος. καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν*
*δύναμιν αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην· 3 καὶ* 3

---

11. Hab. *καὶ τὴν μαρτυρίαν αὐτῶν* C. — Ln. *οὐχ ἠγ.* c. A.
12. Om. *οἱ* ante *οὐρ.* C al. pm. Areth. — h. *κατασκηνοῦν.* C; etiam *συνόντες* et *κατοικοῦντες* leg. — Rc. *οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν κ. τὴν θάλασσαν.*
14. Rc. Kn. Sz. om. *αἱ.* [ctra A al. m. Syr. Andr.] — h. *ὅπως τρέφηται* 2. al. pm. Arr. Andr. (comm.) Areth. — om. *κ. ἥμ. καιρ.* C.
15. Rc. *ἵνα ταύτην* et 17. *τοῦ Ἰησ. Χριστοῦ.*
18. Ln. *ἐστάθη* c. A Syr. Ar. pol. Aeth. Arm. Vg. Tych. Victorin. . . om. v. Prim.

Cap. XIII. 1. Rc. *ὄνομα* et v. 2. *ἄρκτου.*

μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον, καὶ ἡ
πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη. καὶ ἐθαυμάσθη ὅλη ἡ γῆ
4 ὀπίσω τοῦ θηρίου, [4] καὶ προσεκύνησαν τῷ δράκοντι, ὅτι ἔδωκεν
τὴν ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τῷ θηρίῳ λέγοντες·
Τίς ὅμοιος τῷ θηρίῳ, καὶ τίς δύναται πολεμῆσαι μετ᾽ αὐτοῦ;
5 [5] καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν, καὶ ἐδόθη
6 αὐτῷ ἐξουσία μῆνας τεσσαράκοντα καὶ δύο. [6] καὶ ἤνοιξεν τὸ στόμα
αὐτοῦ εἰς βλασφημίας πρὸς τὸν θεόν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ
7 καὶ τὴν σκηνὴν αὐτοῦ καὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας. [7] καὶ Ap. 11,
ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν ἁγίων καὶ νικῆσαι αὐτούς, 6. et 7,
καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ λαὸν καὶ γλῶσσαν 9.
8 καὶ ἔθνος. [8] καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ
τῆς γῆς, οὗ οὐ γέγραπται τὸ ὄνομα αὐτοῦ ἐν τῷ βιβλίῳ τῆς ζωῆς Ap. 17,
9 τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου. [9] Εἴ τις ἔχει 8.

---

3. Rc. *καὶ εἶδον μίαν τῶν* (om. *ἐκ*). — h. *ὡσεὶ* b. al. pm. Andr. 2. Areth. (text.) — Rc. Kn. Sz. *ἐθαύμασεν*. [*ἐθαυμάσθη* c. AC (h. *ἐθαυμαστώθη*) Andr. 1. et (pergunt *ἐν ὅλῃ τῇ γῇ*) 12. al. m. Andr. 2.]

4. Rc. *τὸν δράκοντα, ὃς ἔδωκεν* [*ὅτι ἔδ.* c. AC al. pl.; vv. pm.; Andr. Ir. Prim... h. *τῷ δεδωκότι* B b. al. pl. Areth.; etiam *τῷ δόντι* et *ὅτε ἔδωκ.* leg.] *ἐξουσ.* (om. *τήν*), tum *τὸ θηρίον* [*τῷ θ.* c. C b. al. pl. Andr. Areth.] et om. *καί* ante *τίς*. — h. *δυνατός* b. al. pm. Areth.

5. Rc. Kn. Sz. *βλασφημίας*... Ln. *βλάσφημα* c. A al... *βλασφημίαν* c. b. al. pl. Vg. ms. (magna blasphemiae Am.) Ir. Dion. alex. Areth. al. — Rc. *ἐξουσ. πόλεμον ποιῆσαι* et Kn. Sz. Ln. *ἐξ. ποιῆσαι*... om. plane c. Arm. Ir. Dion. alex. ap. Eus. Prim. (sed h. ad ipsum loc. *ποιῆσαι*) et (certe non attingunt) Andr. et Areth. in comm... h. *πολεμῆσαι* 14. Erp... facere signa quae voluit Aeth... operari Lips. 4. in m... loquendi Prosp.

6. Rc. Kn. Sz. *βλασφημίαν*. [-*ας* c. AC al. Vg. ed.] — om. *καὶ τ. σκηνὴν αὐτ.* Sl. ms. Tol.* — Ln. om. *καί* ante *τούς* c. AC b. al. pm. Syr. ed. Sl. ms.

7. Ln. om. *καὶ ἐδόθη α. π. π. μ. τ. ἁγ. κ. νικ. αὐτούς* c. AC al. Andr. 2. (et in comm.) Ir.; post *ἔθνος* pon. Syr. — Rc. om. *κ. λαόν*. [scr. c. AB (h. *κ. λαούς* C) al. pl. vv. m. Andr. 1. Areth. Ir. Prim.]

8. Rc. *αὐτῷ*, tum *τὰ ὀνόματα*, *τῇ βίβλῳ* et om. *τοῦ* ante *ἐσφαγμ.* — Rc. Kn. Sz. *ὧν οὐ* omisso *αὐτοῦ* [*οὗ οὐ* c. C Ir. (h. *ουαιγέγρ.*.. *οὗ ἐγέγρ.?* A) et add. *αὐτοῦ* c. AC et (teste Wtst.) Ar. Aeth... h. *ᾧ οὔτε* 8... *ὧν οὔτε* B al. pl.]

οὗς, ἀκουσάτω. [10] εἴ τις εἰς αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλω- 10
σίαν ὑπάγει· εἴ τις ἐν μαχαίρῃ ἀποκτέννει, δεῖ αὐτὸν ἐν μαχαίρῃ
ἀποκτανθῆναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.
Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχεν κέ- 11
ρατα δύο ὅμοια ἀρνίῳ καὶ ἐλάλει ὡς δράκων. [12] καὶ τὴν ἐξουσίαν 12
τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ. καὶ ποιεῖ τὴν γῆν
καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας ἵνα προσκυνήσουσιν τὸ θηρίον τὸ
Ap. 13, 3. πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. [13] καὶ 13
ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ πῦρ ποιῇ ἐκ τοῦ οὐρανοῦ καταβαίνειν
εἰς τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων. [14] καὶ πλανᾷ τοὺς κατοικοῦν- 14
τας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ
θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θη-
ρίῳ ὃς ἔχει τὴν πληγὴν τῆς μαχαίρης καὶ ἔζησεν. [15] καὶ ἐδόθη αὐτῷ 15
δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ
* Dan. 3, 6. θηρίου, καὶ ποιήσῃ ἵνα ὅσοι ἐὰν μὴ προσκυνήσωσιν τὴν εἰκόνα τοῦ
θηρίου ἀποκτανθῶσιν. [16] καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς 16
μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ τοὺς ἐλευ-
θέρους καὶ τοὺς δούλους, ἵνα δῶσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς

---

10. Pro εἴ τις usq. ὑπάγ. h. εἴ τις αἰχμ. συνάγει C. .. εἴ τ. εἰς αἰχμ. ὑπάγει B al. et omisso εἰς Cpt. Sl. ms. .. εἴ τ. εἰς αἰχμ., εἰς αἰχμ. ὑπάγει A Sl. ms. .. εἴ τ. αἰχμαλωτίζει, εἰς αἰχμ. ὑπάγει 7. .. εἴ τ. αἰχμ. ἀπάγει, εἰς αἰχμ. ὑπάγει 33. al. Syr. .. εἴ τ. ἔχει αἰχμαλωσίαν, ὑπάγει b. al. pl. Sl. ms. Andr. 2. — Rc. Kn. Sz. μαχαίρᾳ [-ρῃ c. AC] et ἀποκτενεῖ. .. Ln. ἀποκταίνει. (A pro ἀποκτ. δεῖ h. ἀποκτανθῆναι.)

11. Om. δύο 2. al. pl. Areth. Victorin.; etiam post ἀρνίῳ pon.; etiam δέκα δύο leg.

12. Hab. καὶ ἐποίει τήν b. al. pl. Syr. al. Andr. 2. Areth. .. h. ἐποίει ter Sl. Vg. Hipp.; al. ter hab. ποιήσει. — Rc. Kn. Sz. προσκυνήσωσι. [-σουσιν c. AC al. pl.] — om. τ. θανάτ. A.

13. Sz. καὶ πῦρ ἵνα ἐκ τ. οὐρ. καταβαίνῃ c. b. al. pl. Areth. — h. ἐπὶ τ. γῆν b. al. pl. Hipp. Andr. 2. Areth.

14. Hab. τοὺς ἐμοὺς τοὺς κατ. b. al. pl. Areth. — Rc. Kn. Sz. pro ὅς [c. A al.] h. ὅ. — h. ὃ εἶχεν b. al. pl. Syr. Andr. Areth., et καὶ ἔζησ. ἀπὸ τῆς μαχ. 2. al. pl. Areth. — Rc. Kn. Sz. μαχαίρας. [-ρης c. AC.]

15. Ln. αὐτῇ c. AC. — om. δοῦναι C; post πν. pon. b. al. pl. Hipp. Areth. — Rc. Kn. Sz. ἵνα pon. ante ἀποκτ. et Kn. Sz. προσκ. τῇ εἰκόνι.

16. Rc. δώσῃ (etiam δώσουσιν, δώσωσιν, δοθῇ, λάβωσιν τό, ἔχειν leg.).

17 αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ τὸ μέτωπον αὐτῶν, [17] ἵνα μή τις δύνηται
ἀγοράσαι ἢ πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα τοῦ ὀνόματος τοῦ
18 θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. [18] Ὧδε ἡ σοφία ἐστίν.
ὁ ἔχων νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀν-
θρώπου ἐστίν. καὶ ὁ ἀριθμὸς αὐτοῦ ἑξακόσιοι ἑξήκοντα ἕξ.

## XIV.

1 Καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ
μετ' αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ
ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν
2 μετώπων αὐτῶν. [2] καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν
ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης, καὶ ἡ φωνὴ ἣν
3 ἤκουσα ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. [3] καὶ * Ps. 33, 3.
ᾄδουσιν ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσά-
ρων ζώων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἐδύνατο μαθεῖν τὴν
ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορα-
4 σμένοι ἀπὸ τῆς γῆς. [4] οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύν-
θησαν· παρθένοι γάρ εἰσιν. οὗτοι οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου
ἂν ὑπάγῃ. οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ
5 θεῷ καὶ τῷ ἀρνίῳ, [5] καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· * Zeph. 3, 13.
ἄμωμοί εἰσιν.

---

16. Rc. τῶν μετώπων. (h. τοῦ μετώπου C Cpt. Areth.)
17. Rc. Kn. Sz. καὶ ἵνα. — Sz. per err. om. ὁ ante ἔχ. — Pro τοῦ ὀνόμ. [c. C Syr. Tol. Lips. 4. Vg. ms. (Am. nomine) Andr. 1. Ir. Prim.] h. Rc. ἢ τὸ ὄνομα et Kn. Sz. τὸ ὄν.
18. Rc. τὸν νοῦν. — Rc. Kn. Sz. pro ἑξακ. ἑξ. ἕξ scr. χξς'. .. h. ἑξακόσιαι δέκα ἕξ (i. e. χις'.) C 11; quidam ap. Ir. (ipse improbat.) Tych. (var. edd.) .. h. ἑξακόσια ἑξ. ἕ. 7. al. Andr.
Cap. XIV. 1. Rc. om. τό ante ἀρν. — Rc. Kn. Sz. ἑστηκός. [ἑστός c. AC al. .. h. ἑστώς 12. al. m. Or. Meth.] — h. ἐπὶ ὄρος (om. τό et Σ.) C. — Rc. om. αὐτοῦ καὶ τὸ ὄνομα.
2. Rc. καὶ φωνὴν ἤκουσα κιθαρῳδ.
3. Rc. Ln. ὡς ᾠδήν. [om. c. b. al. pl.; vv. pl. (non Vg.) Or. Meth. Andr. 3. Areth. Prim. Hier. Cass.]
4. Om. οὗτ. εἰσ. A Aeth. Vg. ms. — Rc. Kn. Sz. οὗτ. εἰσιν οἱ ἀκ. [om. c. AC Vg. al. Or. al.] — Ln. ὑπάγει c. A al. (non Or.) — h. ὑπὸ Ἰησοῦ ἠγορ. b al. pl. Syr. Ar. pol. Areth. et ἀπ' ἀρχῆς 16. al. Ar. pol. al.
5. Rc. εὑρέθ. δόλος et in f. add. ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ. — Rc. Kn. Sz. ἄμ. γάρ. [om. c. AC al. Har. Vg. ms. (hab. Or.)]

Καὶ εἶδον ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχοντα εὐ- 6
αγγέλιον αἰώνιον εὐαγγελίσαι ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς γῆς καὶ
ἐπὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν, 7 λέγων ἐν φωνῇ 7
μεγάλῃ· Φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ
ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων. 8 καὶ 8
• Es. 21, ἄλλος δεύτερος ἄγγελος ἠκολούθησεν λέγων· Ἔπεσεν ἔπεσεν Βα-
9. • Dan, 4, βυλὼν ἡ μεγάλη, ἣ ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς
27. • Jer. 51, πεπότικεν πάντα τὰ ἔθνη. 9 καὶ ἄλλος ἄγγελος τρίτος ἠκολούθησεν 9
7. Ap. 18, αὐτοῖς λέγων ἐν φωνῇ μεγάλῃ· Εἴ τις προσκυνεῖ τὸ θηρίον καὶ τὴν
2. 3. εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ
• Ps. 75, ἐπὶ τὴν χεῖρα αὐτοῦ, 10 καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ 10
8. τοῦ θεοῦ τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς
(9.) αὐτοῦ, καὶ βασανισθήσονται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἀγγέ-
• Es. 34, λων καὶ ἐνώπιον τοῦ ἀρνίου. 11 καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ 11
10. αὐτῶν εἰς αἰῶνας αἰώνων ἀναβαίνει, καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν
ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐ-

---

6. Rc. Kn. Sz. Ln. *ἄλλον ἀγγ.* .. om. c. B al. longe pl. Ar. pol. Sl. ms. Or. Andr. 2. Areth. Ambr.; etiam post *ἀγγ.* pon. — h. *εὐαγγελίσασθαι* b. al. pl. Or. Andr. 1. — Rc. Kn. Sz. om. *ἐπί* primum [ctra AC al. Or.] et Rc. om. etiam tertium. — Rc. Ln. pro *καθημ.* [c. b. al. pl. Sl. ms. Vg. Or. Andr. 2. Areth. Cypr. (var.)] h. *κατοικοῦντας*.

7. Rc. *λέγοντα*. — h. *φοβ. τ. κύριον* 2. al. pl. Ar. pol. Vg. (non Am.) Areth. al. (non Or. Cypr. Prim.) — Rc. Ln. om. *τήν* ante *θάλασσ.* [scr. c. b. al. pl. Or. Andr. Areth.]

8. Rc. Sz. om. *δεύτερ.* .. Kn. post *ἀγγ.* pon. c. C al. pm. Cpt. Arm. Andr. 2. [antep. c. AB al. longe pl. Syr. (et omisso *ἄλλ.* Arr.) Andr. 1. Areth.] — om. *ἔπεσ.* alterum BC al. pl. Cpt. al. — Rc. *ἡ πόλις ἡ μεγ.* — Rc. Kn. Sz. *ὅτι ἐκ* [*ἣ* c. AC al. pl. Syr. Vg. Aeth. .. om. b. al. pl. Arm. al. .. h. cecidit, cec. Bab. illa magna a vino fornicat. suae (text.), et a vino fornic. suae ceciderunt (h. *πέπτωκεν* 12. Cpt.) omn. gentes (comm.) Prim.] — om. *τ. θυμ.* Vg. ms. Andr. 1. (text.) Prim. (comm.) al. — Rc. Kn. Sz. om. *τά*.

9. Rc. *καὶ τρίτ. ἀγγ.* .. h. *καὶ ἄλλος ἀγγ.* 14. et *καὶ ἀγγ.* 12. — Ln. *αὐτῷ* c. A Prim. — om. *καί* ante *λαμβ.* C 14.

10. Ln. *ἐκ τοῦ ποτηρίου* c. A (sed pergit *τὴν ὀργήν*.) al. — Rc. Kn. Sz. *βασανισθήσεται* [*-σονται* c. A al.] et *ἐν. τ. ἁγίων ἀγγ.* .. Ln. *ἐν. ἀγγ. ἁγ.* c. C al. (etiam *τῶν* ante *ἁγ.* retinetur) .. om. *ἁγ.* (retento *τῶν*) c. A al. Cpt. Vg. ms. .. etiam bis leg. *ἁγίων* et aliter.

12 *τοῦ καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.* [12] *Ὧδε*
*ἡ ὑπομονὴ τῶν ἁγίων ἐστίν, οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ*
13 *καὶ τὴν πίστιν Ἰησοῦ.* [13] *καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λε-*
*γούσης· Γράψον· Μακάριοι οἱ νεκροὶ οἱ ἐν κυρίῳ ἀποθνήσκοντες*
*ἀπ' ἄρτι. ναί, λέγει τὸ πνεῦμα, ἵνα ἀναπαύσονται ἐκ τῶν κόπων*
*αὐτῶν· τὰ γὰρ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.*
14 *Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμε-*
*νον ὅμοιον υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον* Ap. 1, 13.
15 *χρυσοῦν καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ.* [15] *καὶ ἄλλος ἄγγελος* • Joel. 3, 13.
*ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ*
*τῆς νεφέλης· Πέμψον τὸ δρέπανόν σου καὶ θέρισον, ὅτι ἦλθεν*
16 *ἡ ὥρα θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.* [16] *καὶ ἔβαλεν*
*ὁ καθήμενος ἐπὶ τῆς νεφέλης τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ*
17 *ἐθερίσθη ἡ γῆ.* [17] *καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν*
18 *τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ.* [18] *καὶ ἄλλος ἄγγελος*
*ἐκ τοῦ θυσιαστηρίου, ὁ ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός, καὶ ἐφώνη-*
*σεν φωνῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ λέγων· Πέμψον*
*σου τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου*
19 *τῆς γῆς, ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.* [19] *καὶ ἔβαλεν ὁ ἄγγε-* • Es. 63.
*λος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησεν τὴν ἄμπελον*
*τῆς γῆς καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὸν μέγαν.*

---

12. Rc. Kn. Sz. om. *ἡ*. [ctra A al. pl. Andr.] — Rc. *ὧδε οἱ*.
13. Rc. *λεγούσ. μοι*. — pon. *ἀπάρτι* (s. *ἀπαρτί*) *λέγ. ναί* b. al. pl. Ar. pol. .. etiam pro *ναί* leg. *καί*, etiam om. .. Amodo jam dicit Vg. Abhinc etiam dicit Prim. — Rc. Kn. Sz. *ἀναπαύσωντ*. [*-σοντ*. c. AC (h. *ἀναπαήσοντ*. AC) al.] et *τὰ δέ*. [*γάρ* c. AC al. Syr. Vg. Prim. Aug. .. h. *καὶ τά* Arr. .. *τά* Cpt.]
14. Ln. *καθήμενος ὅμοιος*. — Ln. *υἱόν* c. A al. pm.; etiam *υἱοῦ* et *υἱῶν* leg. — Rc. Kn. Sz. *τῆς κεφαλῆς*. [*τὴν κ*. c. A al. pm.]
15. Rc. *σοὶ ἡ ὥρα τοῦ θερ*. — 16. Rc. Kn. Sz. *τὴν νεφέλην*.
18. Rc. Kn. Sz. *ἄγγ. ἐξῆλθεν* [om. c. A (om. *καί* ante *ἐφώνησ*. A.) Vg. ms. Am. Prim. al.], om. *ὁ* ante *ἔχων* [scr. c. A (Syr. al.)], pro *φωνῇ* [c. AB al. Vg. al. .. h. *ἐν κραυγ*. 2. al. pl. Areth.] h. *κραυγῇ*. — h. *ἤκμασεν ἡ σταφυλή* (pergunt *τῆς γῆς* 2. al. pl. Syr. Aeth. Areth.) B al. pl. Arr. Aeth. Areth.
19. Hab. *ἐξέβαλ. ὁ ἄγγ*. 2. al. pl. Areth. — h. *τὸν ληνν*. et *τὸν μέγ*. b. al. pm. .. Rc. *τὴν ληνν*. et *τὴν μεγάλ*. [*τὴν ληνν*. et *τὸν μέγ*. c. AC al. pl. Areth. Tych.; cdd. gr. ap. Prim. et Ansb.]

20 καὶ ἐπατήθη ἡ ληνὸς ἔξωθεν τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα 20
ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων χιλίων
ἑξακοσίων.

## XV.

Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν, 1
ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς
ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ. 2 καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην 2
μεμιγμένην πυρί, καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰ-
κόνος αὐτοῦ καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ ἑστῶτας ἐπὶ
*Ex. 15, 1. τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ θεοῦ. 3 καὶ ᾄδου- 3
σιν τὴν ᾠδὴν Μωϋσέως τοῦ δούλου τοῦ θεοῦ καὶ τὴν ᾠδὴν τοῦ
ἀρνίου, λέγοντες· Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, κύριε ὁ θεὸς
ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν
*Jer. 10, 7. ἐθνῶν· 4 τίς οὐ μὴ φοβηθῇ, κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; 4
ὅτι μόνος ὅσιος, ὅτι πάντα τὰ ἔθνη ἥξουσιν καὶ προσκυνήσουσιν
ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.
Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ 5
μαρτυρίου ἐν τῷ οὐρανῷ, 6 καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες 6
τὰς ἑπτὰ πληγάς, ἐνδεδυμένοι λίνον καθαρὸν λαμπρὸν καὶ περιε-
ζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς. 7 καὶ ἓν ἐκ τῶν τεσσάρων 7

---

20. Rc. ἔξω.

Cap. XV. 2. Rc. καὶ ἐκ τοῦ χαράγματος αὐτοῦ, ἐκ τοῦ ἀριθμ. — h. τὰς κιθάρ. 2. al. pl. Areth.

3. Rc. Sz. om. τοῦ ante δούλ. [ctra A b. al. pl. Andr.] — Rc. τῶν ἁγίων. [ἐθν. c. AB al. longe pl. Cpt. al. Andr. Areth. al. .. h. τ. αἰώνων C 18. Syr. Vg. al. Tych. al. (Cf. 1 Tim. 1, 17.)]

4. Rc. Kn. Sz. φοβηθῇ σε. [om. c. ABC al. pl. Tol. Vg. ms. Am. al. Cypr. Prim. al.] — Ln. δοξάσει c. AC al. pl. Areth. — om. κύρ. 14. Aeth. Arm. (post ἐνώπ. σου pon. Aeth. Arm.) Demid. Cypr. Ambr. Prim. — h. μόν. ἅγιος B b. al. longe pl. Sl. ms. Andr. 2. — h. ὅτι πάντες ἥξ. B al. pl. Ar. pol. et πάντως Areth.

5. Rc. ἰδού, ἠνοίγη.

6. Rc. om. οἱ ante ἔχ. — Rc. Kn. Sz. Ln. πληγὰς ἐκ τοῦ ναοῦ... om. c. B al. pl. Areth.; etiam ante οἱ ἔχ. et post ἐνδεδ. pon.; etiam ἐκ τ. οὐρανοῦ leg. — h. οἳ ἦσαν ἐνδεδ. B b. al. pl. Areth. — Ln. pro λίνον h. λίθον c. AC al. Sl. ms. Lips. 4. 5. 6. Demid. Vg. ms. Am. (utrque commemorant Andr. Beda al. .. cf. *Ez. 28, 13.) .. h. λινοῦν B al.. om. Aeth. Erp. — Rc. καθαρ. καί.

ζώων ἔδωκεν τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γεμούσας
8 τοῦ θυμοῦ τοῦ θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [8] καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ, καὶ οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων. Ex. 6, 4. Ex. 40, 35.

## XVI.

1 Καὶ ἤκουσα μεγάλης φωνῆς λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις· Ὑπάγετε καὶ ἐκχέετε τὰς ἑπτὰ φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ εἰς τὴν Ex. 7-10.
2 γῆν. [2] Καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν· καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν ἐπὶ τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ
3 εἰκόνι αὐτοῦ. [3] Καὶ ὁ δεύτερος ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα ψυχὴ ζωῆς
4 ἀπέθανεν, τὰ ἐν τῇ θαλάσσῃ. [4] Καὶ ὁ τρίτος ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τῶν ὑδάτων· καὶ ἐγένοντο
5 αἷμα. [5] καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος· Δίκαιος
6 εἶ, ὁ ὢν καὶ ὁ ἦν ὅσιος, ὅτι ταῦτα ἔκρινας, [6] ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς δέδωκας πιεῖν· ἄξιοί εἰσιν.
7 [7] καὶ ἤκουσα τοῦ θυσιαστηρίου λέγοντος· Ναί, κύριε ὁ θεὸς ὁ Ap. 19, 2.
8 παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου. [8] Καὶ ὁ τέταρτος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον, καὶ ἐδόθη αὐτῷ

---

Cap. XVI. 1. Rc. Kn. Sz. Ln. *ἐκ τοῦ ναοῦ λεγούσ.* .. om. c. B al. pl. Syr. al. Areth.; post *λεγούσ.* pon. Andr. 1.; leg. etiam *ἐκ τοῦ οὐρανοῦ.* — om. *καί* ante *ἐκχ.* 7. al. pl. Lips. 4. Vg. ms. al. Andr. 1. Rup... om. *ὑπ. καί* Tol. — Rc. Kn. Sz. *ἐκχέατε.* [-*ετε* c. AC al.] — Rc. om. *ἑπτά* ante *φιάλ.*

2. Rc. Kn. *ἐπὶ τὴν γ.* et *εἰς τοὺς ἀνθρ.* — om. *κακόν* A. .. om. *κακ. καί* Cpt. al. Andr. 2. et in comm. Areth. (comm.)

3. Rc. Sz. et Kn. (—) *δεύτ. ἄγγελος.* — Rc. pro *ζωῆς* [c. AC.] h. *ζῶσα*... om. Sz. c. 2. al. pl. Sl. ms. Prim. — Rc. Kn. Sz. om. *τά.* [scr. c. AC (Syr. Sl. ms.)]

4. Rc. et Kn. (—) *τρίτ. ἄγγελος.* — Rc. Kn. Sz. *εἰς τάς.* — Rc. Kn. Sz. pro *ἐγένοντο* [c. A 36. Syr. al. Prim. al.] h. *ἐγένετο.*

5. Rc. *κύριε,* *εἶ* et *καὶ ὁ ὅσιος.* .. Kn. Sz. *ὁ ὅσ.* [om. c. ABC al. pl. Syr. Arm.] — h. *ὃς ἦν* B al. pl.

6. Rc. *γάρ εἰσιν* et 7. *ἄλλου ἐκ τοῦ θυσιαστ.*

8. Rc. et Kn. (—) *τέταρτ. ἄγγελος.*

καυματίσαι τοὺς ἀνθρώπους ἐν πυρί. 9 καὶ ἐκαυματίσθησαν οἱ ἄν- 9
θρωποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν τὸ ὄνομα τοῦ θεοῦ τοῦ
ἔχοντος τὴν ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας, καὶ οὐ μετενόησαν
δοῦναι αὐτῷ δόξαν. 10 Καὶ ὁ πέμπτος ἐξέχεεν τὴν φιάλην αὐτοῦ 10
ἐπὶ τὸν θρόνον τοῦ θηρίου· καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτω-
μένη, καὶ ἐμασῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου, 11 καὶ 11
ἐβλασφήμησαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ
τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν. 12 Καὶ 12
Es. 11, ὁ ἕκτος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν
15. 16. Εὐφράτην· καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς
τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡλίου. 13 καὶ εἶδον ἐκ τοῦ στό- 13
ματος τοῦ δράκοντος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ
στόματος τοῦ ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα ὡς βάτρα-
1 Rg. χοι· 14 εἰσὶν γὰρ πνεύματα δαιμονίων ποιοῦντα σημεῖα, ἃ ἐκπορεύε- 14
22, 21. ται ἐπὶ τοὺς βασιλεῖς τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς
22. τὸν πόλεμον τῆς μεγάλης ἡμέρας τοῦ θεοῦ τοῦ παντοκράτορος.
Ap. 3, 3. 15 Ἰδού, ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ 15
ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ καὶ βλέπωσιν τὴν ἀσχημο-
σύνην αὐτοῦ. 16 καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλού- 16
μενον Ἑβραϊστὶ Ἁρμαγεδών. 17 Καὶ ὁ ἕβδομος ἐξέχεεν τὴν φιάλην 17
αὐτοῦ ἐπὶ τὸν ἀέρα· καὶ ἐξῆλθεν φωνὴ ἐκ τοῦ ναοῦ ἀπὸ τοῦ θρό-
νου λέγουσα· Γέγονεν. 18 καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ 18

---

9. Sz. ἐβλασφ. οἱ ἄνθρωποι c. B h. al. pl. Syr. al. Areth. — Rc. Kn. Sz. om. τήν ante ἐξ. [scr. c. A al. pl. Andr. 2.]

10. Rc. et Kn. (—) πέμπτ. ἄγγελος. — Rc. Kn. Sz. ἐμασσῶντο. [ctra A C al. pm.]

12. Rc. et Kn. (—) ἕκτ. ἄγγελος. — Kn. Sz. om. τόν ante Εὐφρ. c. b. al. pl. Areth. — h. ἀνατολῆς 2. al. pl. Sl. ms. Areth.

13. Rc. ἀκάθ. ὅμοια βατράχοις.

14. Rc. δαιμόνων, τῆς γῆς καὶ τῆς οἰκουμ., om. τόν. — Rc. Kn. Sz. τῆς ἡμέρ. ἐκείνης τῆς μεγάλ. [ctra A al. Vg. Cpt. Aeth. Arm. Erp. Tych.]

16. Rc. Ἀρμαγεδδών. .. Kn. Sz. Ἀρμ. scribunt. .. etiam Ἑρμαγεδών [Vg. ms. Am. Areth. Tych.], Ἀρμαγδεών [Sl. ms.], Μαγεδών [B al. pl. Sl. ms. Vg. ms. Tych. ms.] et aliter leg.

17. Rc. et Kn. (—) ἕβδ. ἄγγελος. — Rc. εἰς τόν. — Rc. Kn. Sz. φωνὴ μεγάλη [om. c. A al. Cass.] ἀπὸ [ἐκ c. A al. pl. Vg. Andr.] τ. ν. τοῦ οὐρανοῦ. [Kn. (—)]

βρονταί, καὶ σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ ἄν-
θρωπος ἐγένετο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτως μέγας.
19 [19] καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν
ἐθνῶν ἔπεσαν. καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ, Ap. 14. 8.
δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ.
20 21 [20] καὶ πᾶσα νῆσος ἔφυγεν, καὶ ὄρη οὐχ εὑρέθησαν. [21] καὶ χάλαζα
μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώ-
πους· καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς πληγῆς τῆς
χαλάζης, ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

## XVII.

1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ *Jer. 51. 13.
φιάλας, καὶ ἐλάλησεν μετ' ἐμοῦ λέγων· Δεῦρο, δείξω σοι τὸ κρῖμα
2 τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης ἐπὶ ὑδάτων πολλῶν, [2] μεθ'
ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦν-
3 τες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. [3] καὶ ἀπήνεγκέν με *Es. 21. 1.
εἰς ἔρημον ἐν πνεύματι. καὶ εἶδα γυναῖκα καθημένην ἐπὶ θηρίον
κόκκινον, γέμον τὰ ὀνόματα βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ
4 κέρατα δέκα. [4] καὶ ἡ γυνὴ ἦν περιβεβλημένη πορφυροῦν καὶ κόκ- *Jer. 51. 7.
κινον καὶ κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις,
ἔχουσα ποτήριον χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς γέμον βδελυγμάτων καὶ
5 τὰ ἀκάθαρτα τῆς πορνείας αὐτῆς, [5] καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς
ὄνομα γεγραμμένον· Μυστήριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν Ap. 14. 8.
6 πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς. [6] καὶ εἶδα τὴν γυναῖκα μεθύου-
σαν ἐκ τοῦ αἵματος τῶν ἁγίων καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων

---

18. Om. ἐγένετ. ante μέγ. 2. al. pl. Ar. pol. Sl. ms. Andr. 2. Areth. Prim. — Rc. Kn. Sz. οἱ ἄνθρωποι ἐγένοντο [ctra A 38. Cpt. Arm. .. etiam ἄνθρωποι ἐγένοντ. et οἱ οὐρανοὶ ἐγένοντ. leg.]

Cap. XVII. 1. Rc. λέγων μοι. — Rc. Kn. Sz. τῶν ὑδάτ. τῶν πολλ. [ctra A al. pl. Hipp. Andr.]

3. Rc. Kn. Sz. εἶδον, etiam v. 6. [εἶδα c. A.] — Rc. Kn. Sz. γέμον ὀνομάτων. [τὰ ὀνόμ. c. A al. .. h. ὀνόματα 2. al. pl. .. Ln. scr. γέμοντα ὀνόματα.]

4. Rc. γυνὴ ἡ περιβ. πορφύρᾳ κ. κοκκίνῳ, χρυσῷ, καὶ ἀκαθάρτητος πορνείας. — h. πορν. τῆς γῆς B al. pl. Syr. al. Hipp. Areth.; totius terrae Cypr. Prim.; etiam αὐτῆς καὶ τῆς γῆς leg... plane om. Arm.

5. Pro πορνῶν (s. πόρνων) h. πορνειῶν Areth. (non in comm.) Vg. Prim.

6. Cf. ad v. 3.

Ἰησοῦ. καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα μέγα. 7 Καὶ εἶπέν μοι 7
ὁ ἄγγελος· Διὰ τί ἐθαύμασας; ἐγὼ ἐρῶ σοι τὸ μυστήριον τῆς γυ-
ναικὸς καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτήν, τοῦ ἔχοντος τὰς
Ap. 17, 11. ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα. 8 τὸ θηρίον, ὃ εἶδες, ἦν καὶ 8
οὐκ ἔστιν, καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου καὶ εἰς ἀπώλειαν
Ap. 13, 8. ὑπάγει· καὶ θαυμασθήσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ
γέγραπται τὸ ὄνομα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου,
βλεπόντων τὸ θηρίον, ὅτι ἦν καὶ οὐκ ἔστιν καὶ πάρεσται. 9 ὧδε 9
ὁ νοῦς ὁ ἔχων σοφίαν. αἱ ἑπτὰ κεφαλαὶ ἑπτὰ ὄρη εἰσίν, ὅπου ἡ
γυνὴ κάθηται ἐπ᾽ αὐτῶν. 10 καὶ βασιλεῖς ἑπτά εἰσιν· οἱ πέντε 10
ἔπεσαν, ὁ εἷς ἔστιν, ὁ ἄλλος οὔπω ἦλθεν, καὶ ὅταν ἔλθῃ, ὀλίγον
Ap. 17, 8. αὐτὸν δεῖ μεῖναι. 11 καὶ τὸ θηρίον ὃ ἦν καὶ οὐκ ἔστιν, καὶ αὐτὸς 11
ὄγδοός ἐστιν, καὶ ἐκ τῶν ἑπτά ἐστιν, καὶ εἰς ἀπώλειαν ὑπάγει.
Dan. 7, 24. 12 καὶ τὰ δέκα κέρατα, ἃ εἶδες, δέκα βασιλεῖς εἰσίν, οἵτινες βα- 12
σιλείαν οὐκ ἔλαβον, ἀλλὰ ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβά-
νουσιν μετὰ τοῦ θηρίου. 13 οὗτοι μίαν γνώμην ἔχουσιν, καὶ τὴν 13
δύναμιν καὶ ἐξουσίαν αὐτῶν τῷ θηρίῳ διδόασιν. 14 οὗτοι μετὰ τοῦ 14
ἀρνίου πολεμήσουσιν καὶ τὸ ἀρνίον νικήσει αὐτούς, ὅτι κύριος κυ-
ρίων ἐστὶν καὶ βασιλεὺς βασιλέων, καὶ οἱ μετ᾽ αὐτοῦ κλητοὶ καὶ
Es. 8, 7. ἐκλεκτοὶ καὶ πιστοί. 15 καὶ εἶπέν μοι· Τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ 15
πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶν καὶ ἔθνη καὶ γλῶσσαι. 16 καὶ 16
τὰ δέκα κέρατα ἃ εἶδες καὶ τὸ θηρίον, οὗτοι μισήσουσιν τὴν πόρ-

---

8. Rc. om. τό ante θηρ. — Rc. Kn. Sz. ὑπάγειν [-γει c. A al. Andr. Areth. Ir. Prim.] et θαυμάσονται. [-σθήσ. c. A; etiam θαυμάσουσιν leg.] — κατοικ. τὴν γῆν 2. al. pl. Vg. Hipp. — Ln. οὐκ ἐγέγραπτο c. (A οὐκ ἐγέγραπται) 8. al. Hipp. — Rc. τὰ ὀνόματα, βλέποντες, ὅ,τι [pon. ὅτι ἦν τὸ θηρ. B al. pl. Sl. ms. Areth.], καίπερ ἐστίν. [κ. πάρεσται c. A B al. longe pl. Sl. Hipp. Andr. 2. Andr. in comm. Areth. Prim. . . h. καὶ πάρεστιν 11. al. pm. Andr. 1. . . al. similiter. . . om. plane Vg. (pergit: *Et hic est sensus*)] — h. τοῦ βιβλίου 2. al. pl. . . τῷ βιβλίῳ Hipp. Andr. 2. — 10. Rc. καὶ ὁ εἷς.

12. Rc. Kn. Sz. οὔπω ἔλαβ. [οὐκ c. A Vg. ms. al. Ir. ms.]

13. Rc. Kn. Sz. τὴν ἐξουσ. [ctra A al. longe pl. Areth.] — Rc. Sz. ἑαυτῶν. — Rc. in f. διαδιδώσουσιν. . . etiam δώσουσιν et διαδώσουσιν leg.

15. Rc. Kn. Sz. λέγει μοι. [ctra A Syr. Arr. Vg. . . om. εἰπ. μ. Aeth. Rup.]

16. Rc. pro καὶ τό h. ἐπὶ τό. . . om. κ. τὸ θηρ. Vg. ms. (et bestiam Am.) Tych. Beda.

νην, καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνήν, καὶ τὰς σάρ-
17 κας αὐτῆς φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί· [17] ὁ γὰρ
θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ καὶ
δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι τελεσθήσονται οἱ λό-
18 γοι τοῦ θεοῦ. [18] καὶ ἡ γυνή, ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη
ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

## XVIII.

1 Μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρα-
νοῦ, ἔχοντα ἐξουσίαν μεγάλην, καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης
2 αὐτοῦ. [2] καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ λέγων· Ἔπεσεν ἔπεσεν Βα- Ap. 14. 8.
βυλὼν ἡ μεγάλη καὶ ἐγένετο κατοικητήριον δαιμονίων καὶ φυλακὴ
παντὸς πνεύματος ἀκαθάρτου καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρ-
3 του καὶ μεμισημένου, [3] ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας Ap. 14. 8.
αὐτῆς πέπωκεν πάντα τὰ ἔθνη, καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐ- Jer. 51. 7.
τῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρή- Nah. 3. 4.
4 νους αὐτῆς ἐπλούτησαν. [4] καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ
λέγουσαν· Ἐξέλθατε ἐξ αὐτῆς, ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε Jer. 51. 6. et 9.

---

16. καὶ γυμν. et om. et pon. ante ποιήσ... add. ποιήσουσιν αὐτήν B b. al. pl. Areth. (text.)

17. Rc. Kn. Sz. post γνώμ. αὐτ. add. καὶ ποιῆσαι γνώμην μίαν (μίαν γν. Rc.). [om. c. A Vg. Tych. Andr. (ap. Mill. et Wtst.) Andr. 1. (diff. cdd.) .. om. ποιῆσ. τ. γνώμ. αὐτοῦ καί 18. al. Aeth. et similiter Arm. . . h. et esse illos in consensu et metu Prim. (Cf. v. 13.)] — Rc. τελεσθῇ (h. τελεσθῶσιν B al. pl. Areth.) τὰ ῥήματα τοῦ.

Cap. XVIII. 1. Rc. Kn. Sz. Καὶ μετά. [om. c. A al. pl. Syr. al. Hipp. al. m.] — Rc. om. ἄλλ. [scr. c. AB al. longe pl.; vv. pl. Hipp. al. pm.; sed etiam post ἄγγ. pon. et ἄγγ. ἕτερον leg.]

2. Rc. ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ λέγ... h. tantum ἐν ἰσχύϊ Vg. Tych... al. aliter. — om. ἔπεσ. alterum B al. pl. Arr. al. Areth. Prim. — Rc. Kn. Sz. δαιμόνων. [-νίων c. A Areth.] — Ln. πνεύμ. ἀκ. καὶ μεμισημένου c. A al. Areth. — pro ὀρν. h. θηρίου A Andr. (comm.)

3. Ln. om. τοῦ οἴν. [c. A Aeth. Tol. Lips. 5. 6. Vg. ms. Am. Ansb... etiam τ. θυμ. om. et utrumque var. pon.] et h. πέπτωκαν. [c. AC Cpt. Aeth. et (h. πεπτώκασιν) al. pl. .. etiam πεπώκασιν, πεπότικεν leg... de vino fornicat. ejus et reges terrae fornicati sunt Prim.]

4. Rc. Kn. Sz. ἐξέλθετε. [-θατε c. A] .. h. ἔξελθε 2. al. pl. Areth. al.

ταῖς ἁμαρτίαις αὐτῆς καὶ ἐκ τῶν πληγῶν αὐτῆς ἵνα μὴ λάβητε,
[5] ὅτι ἐκολλήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ καὶ ἐμνη- 5
*Ps.137, μόνευσεν ὁ θεὸς τὰ ἀδικήματα αὐτῆς. [6] ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ 6
8. ἀπέδωκεν, καὶ διπλώσατε διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ πο-
*Es. 47, τηρίῳ ᾧ ἐκέρασεν κεράσατε αὐτῇ διπλοῦν· [7] ὅσα ἐδόξασεν αὐτὴν 7
7-9. καὶ ἐστρηνίασεν, τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ πένθος. ὅτι
ἐν τῇ καρδίᾳ αὐτῆς λέγει· ὅτι κάθημαι βασίλισσα καὶ χήρα οὐκ
εἰμὶ καὶ πένθος οὐ μὴ ἴδω, [8] διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ 8
πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός, καὶ ἐν πυρὶ κατα-
καυθήσεται· ὅτι ἰσχυρὸς ὁ θεὸς ὁ κρίνας αὐτήν. [9] καὶ κλαύσουσιν 9
καὶ κόψονται ἐπ' αὐτὴν οἱ βασιλεῖς τῆς γῆς οἱ μετ' αὐτῆς πορνεύ-
σαντες καὶ στρηνιάσαντες, ὅταν βλέπωσιν τὸν καπνὸν τῆς πυρώσεως
αὐτῆς, [10] ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ 10
αὐτῆς, λέγοντες· Οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, Βαβυλὼν ἡ πόλις
*Ez.27. ἡ ἰσχυρά, ὅτι μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου. [11] καὶ οἱ ἔμποροι τῆς 11
γῆς κλαίουσιν καὶ πενθοῦσιν ἐπ' αὐτήν, ὅτι τὸν γόμον αὐτῶν οὐδ-
εὶς ἀγοράζει οὐκέτι, [12] γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου 12
καὶ μαργαρίτου καὶ βυσσίνου καὶ πορφύρας καὶ σηρικοῦ καὶ κοκ-
κίνου, καὶ πᾶν ξύλον θύϊνον καὶ πᾶν σκεῦος ἐλεφάντινον καὶ πᾶν
σκεῦος ἐκ λίθου τιμιωτάτου καὶ χαλκοῦ καὶ σιδήρου καὶ μαρμάρου,

---

4. Pro λάβ. h. βλαβῆτε Sl. Andr. 1. Cypr. Prim. Tych.
5. Rc. ὅτι ἠκολούθησαν. — post ἐμνημ. add. αὐτῆς 2. al. pl.
6. Rc. ἀπέδωκ. ὑμῖν. — Rc. Kn. Sz. αὐτῇ διπλᾶ. [om. c. A al. Sl. ms. Vg. et (hab. τά) C al. pl. Hipp.]
7. Rc. Kn. Sz. ἑαυτήν. [ctra AC al. pl.] et om. ὅτι ante κάθημ. [ctra AC al. pl. Sl. Andr. 1. al.]
8. Rc. Kn. Sz. κύριος ὁ θεός. [om. c. A Aeth. Vg. .. om. ὁ θεός 6. al. pl. Aeth. al.] — Rc. κρίνων.
9. Rc. Ln. κλαύσονται [ctra BC al. longe pl. Andr. 1. Areth.] et Rc. add. αὐτήν. — ἐπ' αὐτήν c. C b. al. pl. Hipp. Areth. .. Rc. Kn. Sz. Ln. ἐπ' αὐτῇ. . . al. aliter. . . om. 14. Prim.
10. Rc. ἐν μιᾷ. . . h. ὅτι μίαν ὥραν ἡ κρίσ. σ. A.
11. Hab. κλαύσουσιν κ. πενθήσουσιν 2. al. pl. Arr. Vg. Hipp. al. .. κλαίουσιν κ. πενθήσουσιν B; etiam alterum om. — ἐπ' αὐτήν c. C al. Hipp. .. Rc. Kn. Sz. Ln. ἐπ' αὐτῇ. . . h. ἐν αὐτῇ A; etiam ἐφ' ἑαυτούς (s. -τοῖς) leg.
12. Ln. μαργαρίταις c. A. (h. χρυσοῦν κ. ἀργυροῦν κ. λίθους τιμίους κ. μαργαρίτας C.) — Rc. βύσσου. — h. πορφυροῦ 2. al. pl. Areth. al. . . om. κ. πορφ. A Ansb.; post σηρικ. pon. Prim.

13 [13] καὶ κιννάμωμον καὶ ἄμωμον καὶ θυμιάματα καὶ μύρον καὶ λί-
βανον καὶ οἶνον καὶ ἔλαιον καὶ σεμίδαλιν καὶ σῖτον καὶ κτήνη καὶ
πρόβατα, καὶ ἵππων καὶ ῥεδῶν καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώ-
14 πων. [14] καὶ ἡ ὀπώρα σου τῆς ἐπιθυμίας τῆς ψυχῆς ἀπῆλθεν ἀπὸ
σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπώλετο ἀπὸ σοῦ, καὶ
15 οὐκέτι αὐτὰ οὐ μὴ εὑρήσουσιν. [15] οἱ ἔμποροι τούτων, οἱ πλου-
τήσαντες ἀπ' αὐτῆς, ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ
16 βασανισμοῦ αὐτῆς κλαίοντες καὶ πενθοῦντες, [16] λέγοντες· Οὐαὶ Ap. 17.
οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη κόκκινον καὶ πορφυροῦν 4.
καὶ βύσσινον καὶ κεχρυσωμένη ἐν χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαρ-
17 γαρίτῃ, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος. [17] καὶ πᾶς
κυβερνήτης καὶ πᾶς ὁ ἐπὶ τόπον πλέων καὶ ναῦται καὶ ὅσοι τὴν
18 θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν [18] καὶ ἔκραξαν βλέ- *Es. 34.
ποντες τὸν τόπον τῆς πυρώσεως αὐτῆς, λέγοντες· Τίς ὁμοία τῇ πό- 10.
19 λει τῇ μεγάλῃ; [19] καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ
ἔκραξαν κλαίοντες καὶ πενθοῦντες, λέγοντες· Οὐαὶ οὐαί, ἡ πόλις
ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θα-
20 λάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη. [20] εὐφραί- *Es. 44.
νου ἐν αὐτῇ, οὐρανὲ καὶ οἱ ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, 23.
21 ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς. [21] Καὶ ἦρεν εἷς ἄγγε- *Jer. 51.
λος ἰσχυρὸς λίθον ὡς μύλινον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν 63. 64.

---

13. Rc. Kn. Sz. *κινάμωμον.* [*κιννάμ.* c. A al.] — Rc. om. *κ. ἄμωμ.*

14. Rc. Kn. Sz. *σοῦ* post *ὀπώρ.* [c. A C Am. cdd. lat. Prim. al.] pon. post *ψυχῆς.* — Rc. pro *ἀπώλ.* h. *ἀπῆλθεν.* — Rc. Kn. Sz. *οὐ μὴ εὑρήσῃς αὐτά.* [*αὐτά* etc. c. A (pon. *αὐτ.* post *μή*) C al. Syr. Vg. Aeth. . . etiam *εὕρῃς* et *εὑρήσεις* leg.]

16. Rc. et Kn. (—) *καὶ λέγοντ.* — Rc. *χρυσῷ.* . . Ln. om. *ἐν* c. A (non C) al. pl. Areth. (non Hipp.) — Rc. Kn. Sz. *μαργαρίταις.* [-*τῃ* c. A.]

17. Rc. *κ. πᾶς ἐπὶ τῶν πλοίων ὁ ὅμιλος.* . . h. *κ. π. ἐπὶ* (s. *ὁ ἐπὶ*) *τῶν πλοίων πλέων* 4. al. pl. Areth. al.

18. Rc. Kn. Sz. h. v. et v. sq. *ἔκραζον.* [ctra A C al. Hipp.] — Rc. *ὁρῶντες* pro *βλέπ.* — Rc. Kn. Sz. *τὸν καπνόν.* (Cf. v. 9.) [*τόπ.* c. A 10. Vg.]

19. Ln. *ἔβαλαν* c. C. . . h. *ἐπέβαλον* A. — h. *καὶ λέγοντ.* b. al. pl. vv. m. Andr. 2. al. — Rc. om. *τά* ante *πλ.*

20. Rc. pro *ἐν αὐτῇ* [c. A C] h. *ἐπ' αὐτῇ.* . . Kn. Sz. *ἐπ' αὐτήν.* — Rc. om. *καὶ οἱ* ante *ἀποστ.*

21. Rc. Kn. Sz. *μύλον.* [ctra A C Syr. ed. Cpt. Vg.]

λέγων· Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις,
* Es. 24, 8. καὶ οὐ μὴ εὑρεθῇ ἔτι. [22] καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ 22
αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνί-
της πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ μύλου οὐ μὴ
* Es. 23, 8. ἀκουσθῇ ἐν σοὶ ἔτι, [23] καὶ φῶς λύχνου οὐ μὴ φάνῃ ἐν σοὶ ἔτι, 23
καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, ὅτι οἱ
ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου
ἐπλανήθησαν πάντα τὰ ἔθνη, [24] καὶ ἐν αὐτῇ αἵματα προφητῶν 24
καὶ ἁγίων εὑρέθη καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

## XIX.

Ap. 12, 10. Μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν μεγάλην ὄχλου πολλοῦ ἐν τῷ 1
οὐρανῷ, λεγόντων· Ἀλληλουΐα, ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ δύ-
Ap. 16, 7. ναμις τοῦ θεοῦ ἡμῶν, [2] ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ, 2
ὅτι ἔκρινεν τὴν πόρνην τὴν μεγάλην ἥτις διέφθειρεν τὴν γῆν ἐν τῇ
* Dt 32, 43. πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησεν τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χει-
* Es. 34, 10. ρὸς αὐτῆς. [3] καὶ δεύτερον εἴρηκαν· Ἀλληλουΐα, καὶ ὁ καπνὸς αὐ- 3
* Ps. 106, 48. τῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [4] καὶ ἔπεσαν οἱ εἴκοσι 4
τέσσαρες πρεσβύτεροι καὶ τὰ τέσσαρα ζῶα, καὶ προσεκύνησαν τῷ
θεῷ τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ λέγοντες· Ἀμὴν ἀλληλουΐα. [5] καὶ 5
φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθεν λέγουσα· Αἰνεῖτε τῷ θεῷ ἡμῶν,
πάντες οἱ δοῦλοι αὐτοῦ καὶ οἱ φοβούμενοι αὐτόν, οἱ μικροὶ καὶ οἱ
* Ez. 1, 24. μεγάλοι. [6] καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ καὶ ὡς φωνὴν ὑδά- 6

---

22. Om. πάσ. τέχνης A Cpt. al. — h. φωνὴ μύθου C.
23. Ln. post φάνῃ om. ἐν c. C (om. καὶ φῶς usq. ἔτι proxim. A) et om. οἱ ante ἔμπορ. c. A.
24. Rc. Ln. αἷμα. [αἵματα c. b. al. longe pl. Arr. Sl. ms. Andr. 2. Andr. in comm. Areth.]

Cap. XIX. 1. Rc. Καὶ μετά. — om. ὡς h. al. pl. Syr. al. Andr. Prim. Tych. — Rc. λέγοντος, post δόξα add. καὶ ἡ τιμή [quae Kn. (—)] et h. δύν. κυρίῳ τῷ θεῷ ἡμ.
2. Rc. Sz. Ln. ἔφθειρεν. [διέφθ. c. b. al. longe pl. Andr. 2. Areth. .. h. ἔκρινεν A.] — Rc. om. τῆς ante χειρ.
4. Rc. εἴκ. καὶ τέσσ. — Rc. Kn. Sz. τοῦ θρόνου. [ctra A al. pl. Areth.]
5. Rc. Sz. ἐκ τοῦ θρ. — Rc. τὸν θεόν et καὶ οἱ μικρ.
6. Om. ὡς primum 6. al. pl. Arm. Andr. Prim.; etiam post φων. pon.; om. secundum A 12; inde Ln. om.

των πολλῶν καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λέγοντες· Ἀλληλούϊα,
7 ὅτι ἐβασίλευσεν κύριος ὁ θεὸς ὁ παντοκράτωρ. [7] χαίρωμεν καὶ *Ps. 118, 24.
ἀγαλλιῶμεν, καὶ δώσομεν τὴν δόξαν αὐτῷ· ὅτι ἦλθεν ὁ γάμος τοῦ
8 ἀρνίου καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν, [8] καὶ ἐδόθη αὐτῇ ἵνα
περιβάληται βύσσινον λαμπρὸν καθαρόν. τὸ γὰρ βύσσινον τὰ δι-
9 καιώματα τῶν ἁγίων ἐστίν. [9] Καὶ λέγει μοι· Γράψον· Μακάριοι
οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει μοι·
10 Οὗτοι οἱ λόγοι οἱ ἀληθινοὶ τοῦ θεοῦ εἰσίν. [10] καὶ ἔπεσα ἔμπροσθεν
τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ. καὶ λέγει μοι· Ὅρα μή· σύν-
δουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν
Ἰησοῦ· τῷ θεῷ προσκύνησον. ἡ γὰρ μαρτυρία Ἰησοῦ ἐστὶν τὸ
πνεῦμα τῆς προφητείας.
11 Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον. καὶ ἰδοὺ ἵππος λευκός,
καὶ ὁ καθήμενος ἐπ' αὐτὸν καλούμενος πιστὸς καὶ ἀληθινός, καὶ
12 ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. [12] οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς
φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά, ἔχων
13 ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός. [13] καὶ περιβεβλη- *Es. 63, 1.
μένος ἱμάτιον βεβαμμένον αἵματι, καὶ κέκληται τὸ ὄνομα αὐτοῦ
14 ὁ λόγος τοῦ θεοῦ. [14] καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκο-
λούθει αὐτῷ ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν κα-
15 θαρόν. [15] καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα,

---

6. Rc. Ln. pro λέγοντες [c. B b. al. pl. .. h. λέγοντας 12. al. pm. Areth. .. al. aliter.] h. λεγόντων. — Kn. Sz. θεὸς ἡμῶν c. b. al. pl. Syr. Vg. al. Andr. Areth.

7. Rc. Kn. Sz. ἀγαλλιώμεθα [ctra A al. Andr.] et δῶμεν. [δώσομ. c. A; etiam δώσωμεν leg.]

9. Rc. Kn. Sz. om. οἱ ante ἀληθ. [scr. c. A al.]

10. Rc. Kn. Sz. bis τοῦ Ἰησ. [ctra A al. pl. Andr. Areth.]

11. Rc. Kn. Sz. ἀνεῳγμ. — Ln. om. καλούμεν. c. A al. Arm. Sl. ed. Vg. ms. (hab. Am.) Hipp. Andr. Areth. [hab. Or. (2.) Ir. Cypr. Hier. Prim. Tych.]

12. Om. ὡς 2. al. longe pl. Arm. Hipp. Andr. — h. ὀνόματα γεγραμμένα καὶ ὄν. γεγραμμ. ὃ B b. al. longe pl. Syr. Andr. 2; etiam aliter leg. [hab. ὄν. γεγρ. Or. Hipp. Andr. Areth. Ir. Cypr. al.]

13. Rc. Kn. Sz. καλεῖται. — 14. Rc. καὶ καθαρ.

15. Sz. δίστομος ὀξεῖα c. B b. al. longe pl. Syr. Vg. ed. al. Andr. 2. Areth. Cypr. Prim. Tych. [om. A al. Erp. Arm. Cpt. Sl. ms. Vg. ms. Am. Or. Andr. 1. Ir. al. (Cf. Ap. 1, 16. 2, 12.)]

Ap. 12, 5. ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη. καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ
* Ps. 2, 9. σιδηρᾷ, καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς
τοῦ θεοῦ τοῦ παντοκράτορος. [16] καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ 16
τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον· Βασιλεὺς βασιλέων καὶ κύ-
* Ez. 39, 17-20. ριος κυρίων. [17] Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· καὶ 17
ἔκραξεν φωνῇ μεγάλῃ, λέγων πᾶσιν τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν
μεσουρανήματι· Δεῦτε συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ θεοῦ,
[18] ἵνα φάγητε σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας 18
ἰσχυρῶν καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτούς, καὶ
σάρκας πάντων ἐλευθέρων τε καὶ δούλων καὶ μικρῶν καὶ μεγάλων.
[19] Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύ- 19
ματα αὐτῶν συνηγμένα ποιῆσαι τὸν πόλεμον μετὰ τοῦ καθημένου
* Es. 30, 33. ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ. [20] καὶ ἐπιάσθη 20
τὸ θηρίον, καὶ ὁ μετ' αὐτοῦ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα
ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησεν τοὺς λαβόντας τὸ χάραγμα τοῦ
θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ. ζῶντες ἐβλήθησαν
οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ. [21] καὶ 21
οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵπ-
που, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ, καὶ πάντα τὰ ὄρνεα
ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

## XX.

Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν 1
κλεῖν τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. [2] καὶ 2

---

15. Rc. πατάσσῃ et καὶ τῆς ὀργ.
16. Om. ἐπὶ τὸ ἱμ. καί A Aeth. Cass. — Rc. Sz. τὸ ὄνομ.
17. Om. ἕνα B al. pl. Syr. Andr. 1. Tych.; etiam ἄλλον et ἕνα ἄλλον leg. — Rc. καὶ συνάγεσθε et δεῖπν. τοῦ μεγάλου θεοῦ.
18. Rc. Kn. Sz. ἐπ' αὐτῶν. [-τούς c. A al.] — Rc. om. τέ. — Sz. καὶ μικρ. τε c. b. al. pl. (om. pm. καί antecedens; etiam Sl. ms.) Sl. ms.
19. Ln. pro αὐτῶν h. αὐτοῦ c. A al. — Rc. Kn. om. τόν.
20. Rc. καὶ μετὰ τούτου ὁ ψευδ. .. Ln. καὶ μετ' αὐτ. ὁ ψευδ. c. b. al. pm. Sl. Vg. Andr. 2. al. .. καὶ ὁ μετ' αὐτ. ὁ 33. al. .. h. καὶ οἱ μετ' αὐτ. ὁ A 41. et x. οἱ μετ' αὐτ. καὶ ὁ Cpt. .. al. aliter. .. h. καὶ ὁ Erp. — om. οἱ δύο Aeth. Arm. — Ln. τῆς καιομένης c. A. (ignis ardentis Vg. al.) — Rc. τῷ θείῳ.
21. Rc. ἐκπορευομένῃ pro ἐξελθ.

Cap. XX. 1. Rc. τὴν κλεῖδα.

ἐκράτησεν τὸν δράκοντα, ὁ ὄφις ὁ ἀρχαῖος, ὅς ἐστιν διάβολος καὶ Ap. 12, 9.
3 ὁ σατανᾶς, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη, [3] καὶ ἔβαλεν αὐτὸν εἰς τὴν
ἄβυσσον, καὶ ἔκλεισεν καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλα-
νήσῃ ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· μετὰ ταῦτα δεῖ λυ-
θῆναι αὐτὸν μικρὸν χρόνον.

4 Καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ' αὐτούς, καὶ κρίμα *Dan. 7, 9. 22. 27.
ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυ-
ρίαν Ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ οἵτινες οὐ προσεκύ-
νησαν τὸ θηρίον οὐδὲ τὴν εἰκόνα αὐτοῦ καὶ οὐκ ἔλαβον τὸ χάραγμα
ἐπὶ τὸ μέτωπον καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν καὶ ἐβασίλευ-
5 σαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη. [5] οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζη-
σαν ἄχρι τελεσθῇ τὰ χίλια ἔτη. Αὕτη ἡ ἀνάστασις ἡ πρώτη.
6 [6] μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ·
ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται *Es. 61, 6.
ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσιν μετ' αὐτοῦ
χίλια ἔτη.

7 Καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται ὁ σατανᾶς ἐκ τῆς *Ez. 38 et 39.
8 φυλακῆς αὐτοῦ, [8] καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς
τέσσαρσιν γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ Μαγώγ, συναγαγεῖν αὐ-
τοὺς εἰς τὸν πόλεμον, ὧν ὁ ἀριθμὸς αὐτῶν ὡς ἡ ἄμμος τῆς θα-
9 λάσσης. [9] καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλευσαν
τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην. καὶ

---

2. Rc. Kn. Sz. τὸν ὄφιν τὸν ἀρχαῖον [ὁ ὄφις etc. c. A. . . om. Aeth. Sl. ms. (add. ὁ ὄφ. post ἐστ. Sl. ms.)] — Rc. Kn. Sz. om. ὁ ante σαταν. [ctra A b. al. pl. Areth.] — h. σαταν. ὁ πλανῶν τὴν οἰκουμένην ὅλην B b. al. longe pl. Syr. al. Andr. 2. Areth.

3. Rc. ἔκλεισ. αὐτόν. — pro ἐπαν. αὐτ. h. ἐμμενῶς αὐτόν A. — Kn. Sz. πλανᾷ. — Rc. Sz. et Kn. (—) καὶ μετά.

4. Hab. τῶν πεπολεμημένων A. — Rc. Kn. Sz. τῷ θηρίῳ (Sz. h. τὸ θηρίον) οὔτε τῇ εἰκόνι. — Rc. et Kn. (—) μέτωπ. αὐτῶν. — Rc. Kn. Sz. τὰ χίλ. [ctra A al. pl. Andr.]

5. Om. οἱ usque ἔτη 2. al. pl. — Rc. Kn. Sz. οἱ δέ. [om. c. A Vg.; etiam καὶ οἱ leg. — Rc. ἀνέζησαν ἕως.]

6. Rc. ὁ θάνατ. ὁ δεύτ. — h. τὰ χίλ. 14. al. pl. Syr.

7. Hab. μετά pro ὅτ. τελ. B al. pl. Arm. Sl. ms. Areth.

8. Rc. Kn. Sz. τὸν Μαγ. [om. c. A al. Andr. 1.] — Rc. Kn. om. τόν ante πόλ. — Rc. om. αὐτῶν.

9. Rc. Kn. Sz. ἐκύκλωσαν. [ctra A al. pl.]

*κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτούς· [10]καὶ ὁ διά-* 10
*βολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ θείου,*
*ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης, καὶ βασανισθήσονται*
*ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*
*Dan. 7, 9. 10. *Καὶ εἶδον θρόνον μέγαν λευκὸν καὶ τὸν καθήμενον ἐπ' αὐ-* 11
*τόν, οὗ ἀπὸ τοῦ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος*
*οὐχ εὑρέθη αὐτοῖς. [12]καὶ εἶδον τοὺς νεκροὺς τοὺς μεγάλους καὶ* 12
*τοὺς μικροὺς ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία ἠνοίχθησαν·*
*καὶ ἄλλο βιβλίον ἠνοίχθη, ὅ ἐστιν τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νε-*
*κροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.*
*[13]καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, καὶ ὁ θά-* 13
*νατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς, καὶ ἐκρίθη-*
*σαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν. [14]καὶ ὁ θάνατος καὶ ὁ ᾅδης* 14
*ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός. Οὗτος ὁ θάνατος ὁ δεύτερός*
*ἐστιν, ἡ λίμνη τοῦ πυρός. [15]καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ* 15
*τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.*

## XXI.

*Es. 65, 17. *Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐ-* 1
*ρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθαν, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.*
*[2]καὶ τὴν πόλιν τὴν ἁγίαν Ἰερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν* 2
*ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμη-*

---

10. Rc. om. *καί* post *ὅπου*.

11. Rc. Kn. Ln. *ἐπ' αὐτοῦ*. [*-τόν* c. b. al. pl. Ephr. (2.) Andr. 1. Areth. .. h. *-τῷ* 33. al. Ephr. (1.) Andr. 2.]

12. Rc. Kn. Sz. *μικροὺς κ. μεγάλ.* [*τοὺς μεγ. κ. τοὺς μικρ.* c. A al. pm.; vv. pm.; Andr. Areth. (comm.) Ir. Prim. al. .. om. 2. al. m.] — om. *ἑστῶτ. ἐν. τ. θρόν.* Prim. Aug. .. om. *ἑστῶτ.* 2. al. Vg. ms.; etiam post *νεκρούς* pon. .. Rc. pro *θρόν.* h. *θεοῦ*. — Rc. *ἠνεῴχθησ.* [*ἠνοίχθ.* c. A al. pl. Areth.; etiam *ἠνοίγησ.*, *ἤνοιξαν*, *ἤνοιξεν*, *ἀνεῴχθησαν* leg.] et Rc. Kn. Sz. *ἠνεῴχθη*. [*ἠνοίχθ.* c. A al. pl. Areth.; etiam *ἀνεῴχθη* leg.]

13. Rc. *τοὺς ἐν αὐτῇ νεκρ.* et *τ. ἐν αὐτοῖς νεκρ.* — Ln. *Ἅιδης ἔδωκεν* c. A al.

14. Rc. *οὗτ. ἐστ. ὁ δεύτ. θάνατ.* et om. *ἡ λίμν. τ. πυρ.*

Cap. XXI. 1. Rc. Kn. *γῆ παρῆλθε* (etiam *ἀπῆλθε* leg.) .. Sz. *ἀπῆλθον*. [*-θαν* c. A.]

2. Rc. *καὶ ἐγὼ Ἰωάννης*. — Sz. mire errans h. *κεκοσμένην*.

3 μένην τῷ ἀνδρὶ αὐτῆς. [3] καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ θρόνου *Ez. 37,
λεγούσης· Ἰδού, ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκη- 27.
νώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ θεὸς
4 μετ' αὐτῶν ἔσται αὐτῶν θεός, [4] καὶ ἐξαλείψει πᾶν δάκρυον ἀπὸ Ap. 7,
τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος 17.
οὔτε κραυγὴ οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθαν.
5 [5] καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· Ἰδού, καινὰ ποιῶ πάντα. *Es. 43,
καὶ λέγει· Γράψον, ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσιν. 19.
6 [6] καὶ εἶπέν μοι· Γέγοναν. ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ὦ, ἡ ἀρχὴ Ap. 19, 9. et 22, 6.
καὶ τὸ τέλος. ἐγὼ τῷ διψῶντι δώσω αὐτῷ ἐκ τῆς πηγῆς τοῦ ὕδα- Ap. 16, 17.
7 τος τῆς ζωῆς δωρεάν. [7] ὁ νικῶν κληρονομήσει ταῦτα, καὶ ἔσομαι et 22, 13.
8 αὐτῷ θεὸς καὶ αὐτὸς ἔσται μοι υἱός. [8] τοῖς δὲ δειλοῖς καὶ ἀπί-
στοις καὶ ἐβδελυγμένοις καὶ φονεῦσιν καὶ πόρνοις καὶ φαρμακοῖς
καὶ εἰδωλολάτραις καὶ πᾶσιν τοῖς ψευδέσιν τὸ μέρος αὐτῶν ἐν τῇ
λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.

---

3. Rc. Kn. Sz. ἐκ τ. οὐρανοῦ. [θρόν. c. A 18. Vg. Ir. Ambr. Aug.] — Rc. Ln. λαοί. [λαός c. b. al. longe pl. Syr. Arr. Cpt. Aeth. Vg. Andr. 2. Areth. Prim. al. (non Ir.)] — Rc. Kn. Sz. θεὸς αὐτῶν. [αὐτ. θ. c. A Vg. .. om. b. al. longe pl. Erp. Cpt. Sl. ms. Andr. 2. Areth. Prim. al. (hab. Ir. Aug. (om. 1.) Tych.). .. h. θ. ὢν αὐτ. (omissis καὶ αὐτοί usq. μ. αὐτ. ἔσт. sive, ut Rc. h., ἔστ. μ. αὐτ.) 12.]

4. Rc. Ln. et Kn. (—) ἐξαλ. ὁ θεός. [om. c. B al. longe pl.; vv. pl.; Ir. gr. et lat. al.] .. h. ἐξαλ. ἀπ' αὐτῶν B al. pl. (ex his m. om. ἀπὸ τ. ὀφθ. α.) — Ln. pro ἀπό h. ἐκ c. A et om. ὅτι c. A Sl. ms.; h. quae Vg. ms. Am.

5. Rc. τοῦ θρόνου. — Rc. Kn. Sz. λέγ. μοι. — h. τοῦ θεοῦ εἰσίν B al. pl. Syr. Areth.; etiam post εἰσ. pon.

6. Rc. Kn. Sz. γέγονε. [γέγοναν c. A Ir. (is non citat sqq.) et (h. γεγόνασιν) 38. .. h. γέγονα ἐγὼ τό 7. al. pl. Syr. Andr. 1. Areth. .. γέγονα τό b. al. longe pl. Andr. 2. .. γέγονεν· ἐγὼ τό Arm. Ar. pol. .. ἐγώ εἰμι τό (omisso γέγ.) Cpt. Sl. ms. Lux. Tych. .. ἐγὼ τό (om. γέγ. et εἰμ.) Erp. .. al. aliter.] — Rc. Kn. Ln. om. αὐτῷ. [scr. c. B al. longe pl. Areth.] — om. τῆς πηγ. A Sl. ms.

7. Pro κληρον. [c. A al. pm.; vv.; Andr. Tert. Cypr. Fulg. Prim.] h. δώσω αὐτῷ B al. longe pl. Sl. ms. Areth. .. h. δώσ. αὐτῷ ταῦτ. καὶ κληρον. ταῦτ. Sl. ms. — Rc. pro ταῦτ. h. πάντα, tum Rc. Sz. ὁ υἱός.

8. Rc. ab init. δειλοῖς δέ. — Sz. post ἀπίστ. add. καὶ ἁμαρτωλοῖς c. B b. al. longe pl. Syr. al. Andr. 2. Areth. [non A etc. Erp. Cpt. Arm. Sl. ms. (sed ms. aliud hab. et aliud hab. omisso καί.) Vg. Tert. al.] — Rc. φαρμακεῦσι et ἐστ. δεύτ. θάν.

*Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ* 9
*φιάλας, τῶν γεμόντων τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλη-*
*σεν μετ' ἐμοῦ λέγων· Δεῦρο, δείξω σοι τὴν νύμφην τὴν γυναῖκα*
* Ez. 40, *τοῦ ἀρνίου.* [10] *καὶ ἀπήνεγκέν με ἐν πνεύματι ἐπὶ ὄρος μέγα καὶ* 10
2. *ὑψηλόν, καὶ ἔδειξέν μοι τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ κατα-*
*βαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ,* [11] *ἔχουσαν τὴν δόξαν* 11
*τοῦ θεοῦ. ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ*
* Ez. 48, *ἰάσπιδι κρυσταλλίζοντι·* [12] *ἔχουσα τεῖχος μέγα καὶ ὑψηλόν, ἔχουσα* 12
31 sqq. *πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνό-*
*ματα ἐπιγεγραμμένα, ἅ ἐστιν τὰ ὀνόματα τῶν δώδεκα φυλῶν υἱῶν*
*Ἰσραήλ.* [13] *ἀπὸ ἀνατολῆς πυλῶνες τρεῖς, καὶ ἀπὸ βοῤῥᾶ πυλῶνες* 13
*τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ δυσμῶν πυλῶνες*
*τρεῖς.* [14] *καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ* 14
*ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.*
* Ez. 40, [15] *καὶ ὁ λαλῶν μετ' ἐμοῦ εἶχεν μέτρον κάλαμον χρυσοῦν, ἵνα με-* 15
3. *τρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος αὐτῆς.*
* Ez. 41, [16] *καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς ὅσον καὶ* 16
21. *τὸ πλάτος. καὶ ἐμέτρησεν τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώ-*
*δεκα χιλιάδων. τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα*
*ἐστίν.* [17] *καὶ ἐμέτρησεν τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα τεσ-* 17

---

**9.** Rc. *πρός με εἷς* et om. sq. *ἐκ.* — Rc. Kn. Sz. pro *τ. γεμόντ.* [c. A 12.] h. *τὰς γεμούσας*. .. etiam *γεμούσας* et *ἐχούσας* leg.; etiam sq. *τῶν* om. — Rc. Sz. *τοῦ ἀρν. τὴν γυν.* pon. .. h. *τ. γυν. τ. νύμφ. τ. ἀρν.* b. al. pl. Ar. pol. Areth. Cypr. .. h. tantum *τ. γυναῖκ. τ. ἀρν.* Vg. ms. Tych. (1.) et tantum *τ. νύμφ. τ. ἀρν.* Demid. Vg. ms. Apring.

**10.** Rc. *τὴν μεγάλην τὴν ἁγ.* — Leg. *ἀπὸ τ. οὐρ.* et *ἐκ τ. θεοῦ*... om. *ἀπ. τ. θεοῦ* Vg. ms. Hier. Tych. Cass.

**11.** Rc. *καὶ ὁ φωστ.*

**12.** Rc. *ἔχουσάν τε τεῖχ.* et *ἔχουσαν πυλ.* — Rc. Kn. Sz. om. *τὰ ὀνόμ.* [scr. c. A al. pl. (etiam *τά* om.) Syr. Vg. al. Areth.] et h. *τῶν υἱῶν.* [om. c. A al. pl. Areth.; etiam *υἱῶν* om.; etiam *τοῦ* leg.]

**13.** Kn. Sz. *ἀπ' ἀνατολῶν* c. b. al. pl. Areth. — Rc. ter om. *καί.*

**14.** Rc. pro *ἐπ' αὐτ.* h. *ἐν αὐτοῖς* et om. sq. *δώδεκα.* — Pro *δώδ.* h. l. et alibi a nonnull. leg. *δεκαδύο.*

**15.** Rc. om. *μέτρον.*

**16.** Rc. *τοσοῦτόν ἐστιν ὅσον καί*... Kn. om. hoc *καί* c. B al. pl. Andr. Areth. — h. *δώδ. χιλ. δώδεκα* B b. al. pl. Syr.

18 σάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου. [18] καὶ ἡ ἐν-
δόμησις τοῦ τείχους αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρὸν
19 ὅμοιον ὑάλῳ καθαρῷ. [19] οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ •Es. 54, 11. 12.
λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτερος •Ex.
20 σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος, [20] ὁ πέμ- 28, 17 sqq.
πτος σαρδιόνυξ, ὁ ἕκτος σάρδιον, ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος
βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος χρυσόπρασον, ὁ ἑνδέκα-
21 τος ὑάκινθος, ὁ δωδέκατος ἀμέθυστος. [21] καὶ οἱ δώδεκα πυλῶνες
δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαρ-
γαρίτου. καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος
22 διαυγής. [22] καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ κύριος ὁ θεὸς ὁ
23 παντοκράτωρ ὁ ναὸς αὐτῆς ἐστίν, καὶ τὸ ἀρνίον. [23] καὶ ἡ πόλις •Es. 60, 19.
οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ· Ap. 22, 5.
ἡ γὰρ δόξα τοῦ θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρ-
24 νίον. [24] καὶ περιπατήσουσιν τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς, καὶ •Es. 60, 3 sqq.
25 οἱ βασιλεῖς τῆς γῆς φέρουσιν τὴν δόξαν αὐτῶν εἰς αὐτήν, [25] καὶ
οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας — νὺξ γὰρ οὐκ ἔσται Ap. 22, 5.
26 ἐκεῖ —, [26] καὶ οἴσουσιν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς
27 αὐτήν. [27] καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ποιῶν βδέ-
λυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς
τοῦ ἀρνίου.

## XXII.

1 Καὶ ἔδειξέν μοι ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλ- •Ez. 47, 1. et 12.

---

**18.** Rc. Kn. Sz. καὶ ἦν ἡ. [om. c. A Syr. Aeth.] — Rc. Sz. ὁμοία.
**19.** Rc. Kn. Sz. καὶ ὁ θεμ. [om. c. A al. pl. Sl. ms. Vg. ms. Am. Areth. al.] — h. ὁ τρίτ. χαρχηδών 35. (s. XIV.) et χαρκητόν Cpt.
**20.** Rc. Kn. Sz. σαρδόνυξ [σαρδιόν. c. A.], σάρδιος. [-ον c. A al. pl. Areth.], χρυσόπρασος. [-σον c. A.] — h. ἀμέθυσος b. al. pm. Andr. Areth.
**21.** Rc. pro διαυγ. h. διαφανής.
**22.** Rc. Kn. Sz. om. ὁ ante ναός. [scr. c. A.]
**23.** Rc. Kn. ἐν αὐτῇ. .. h. φαίνωσιν· αὐτῇ γὰρ ἡ B al. pl. (Areth. ap. Wtst.) .. om. γάρ Sl. ms.
**24.** Rc. καὶ τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι. — Rc. Sz. et Kn. (—) δόξ. καὶ τὴν τιμήν.
**27.** Rc. κοινοῦν. — Rc. Kn. Sz. ποιοῦν. [-ῶν c. A al. pm. .. h. ὁ ποιῶν 2. al. pm.]
Cap. XXII. 1. Rc. καθαρὸν ποταμόν.

λον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ καὶ τοῦ ἀρνίου. [2] ἐν 2
μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν
ξύλον ζωῆς ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον ἀποδιδοῦν
τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν
* Zach. ἐθνῶν. [3] καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι. καὶ ὁ θρόνος τοῦ θεοῦ 3
14, 11. καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν
αὐτῷ [4] καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ 4
Ap. 21, τῶν μετώπων αὐτῶν. [5] καὶ νὺξ οὐκ ἔσται ἔτι, καὶ οὐχ ἕξουσιν 5
25. χρείαν φωτὸς λύχνου καὶ φῶς ἡλίου, ὅτι κύριος ὁ θεὸς φωτίσει
ἐπ' αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [6] Καὶ 6
εἶπέν μοι· Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί, καὶ ὁ κύριος ὁ θεὸς
τῶν πνευμάτων τῶν προφητῶν ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ δεῖ-
Ap. 3, 11. ξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει· [7] Καὶ ἰδού, ἔρχο- 7
μαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βι-
βλίου τούτου.

Κἀγὼ Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα· καὶ ὅτε ἤκουσα 8
καὶ ὅτε εἶδον, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέ-
λου τοῦ δεικνύοντός μοι ταῦτα. [9] καὶ λέγει μοι· Ὅρα μή· σύν- 9
δουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν καὶ τῶν τη-
ρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ θεῷ προσκύνησον.

---

2. Rc. Kn. Sz. ἐντεῦθ. κ. ἐντεῦθεν. [ἐκεῖθ. c. AB al. pl. Syr. al. Areth. Hil.] — Rc. et Kn. (—) ἕνα ἕκαστ. — h. ἀποδιδούς (s. ante s. post ἕκαστ.) et s. ἑκάστῳ (B) s. ἕκαστος s. ἕκαστον s. om. B b. al. pl.; etiam ἀποδιδόντα leg.

3. Rc. κατανάθεμα. — pro ἔτι h. ἐκεῖ b. al. pl. Andr. Areth.; etiam utrque leg.

5. Rc. Kn. pro ἔτι h. ἐκεῖ .. om. 2. al. pl. Auct. de prom. — Rc. Kn. χρ. οὐκ ἔχουσι. .. Sz. οὐ χρεία c. 2. al. pl. [οὐχ ἕξ. χρ. c. A Syr. Vg. al. Andr. Palam.] — Rc. Kn. Sz. om. φωτός ante λύχν. [ctra A al. Syr. Vg. al. m.; PP. m.] iid. et Ln. φωτὸς ἡλ. .. φῶς c. A al. pl. .. om. Lips. 5. — om. ἡλίου 2. al. pl. Ar. pol. Sl. ms. — Rc. φωτίζει. .. Kn. Sz. φωτιεῖ. [φωτίσ. c. A al. Palam.] — Rc. om. ἐπ'.

6. Hab. κ. λέγει μ. b. al. pl. — Rc. pro πνευμ. τῶν h. ἁγίων.

7. Rc. Kn. om. καί ab init.

8. κ. ὅτε εἶδ. c. B al. pl. .. Rc. Kn. Sz. Ln. καὶ ἔβλεψα. .. h. κ. ἔβλεπον A... κ. εἶδον 16. al.

9. Rc. γάρ εἰμι. — om. καί post προφητ. 12. al. pl. Sl. ms. Andr. Areth. Prim.

10 [10] καὶ λέγει μοι· Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ * Dan. 12, 4.
βιβλίου τούτου· ὁ καιρὸς ἐγγύς ἐστιν. Ap.1,3
11 Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι,
καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω
12 ἔτι. [12] ἰδού, ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ' ἐμοῦ, ἀπο- Ap.22,7. * Es.40,
13 δοῦναι ἑκάστῳ ὡς τὸ ἔργον ἐστὶν αὐτοῦ. [13] ἐγὼ τὸ ἄλφα καὶ τὸ 10.
14 ὦ, πρῶτος καὶ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος. [14] μακάριοι οἱ πλύ- Ap.21,6. Ap.7,14.
νοντες τὰς στολὰς αὐτῶν, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον
15 τῆς ζωῆς καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. [15] ἔξω οἱ
κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλο-
16 λάτραι καὶ πᾶς φιλῶν καὶ ποιῶν ψεῦδος. [16] ἐγὼ Ἰησοῦς ἔπεμψα
τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ταῖς ἐκκλησίαις. ἐγώ * Es.11,
εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυΐδ, ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός. 1. Ap.2,28.
17 [17] Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· Ἔρχου. καὶ ὁ ἀκούων * Es.55,
εἰπάτω· Ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω, ὁ θέλων λαβέτω ὕδωρ 1.
ζωῆς δωρεάν.

---

10. Rc. ὅτι ὁ καιρ. .. Kn. (ὅτι) .. Ln. ὁ καιρ. γάρ .. etiam ὁ γὰρ καιρ. leg. [om. c. 4. al. pl. Sl. ms. Areth.]

11. Rc. ῥυπῶν ῥυπωσάτω. [ῥυπαρ. ῥυπαρευθήτω c. b. al. pl. Andr. Areth. .. om. κ. ὁ ῥυπ. ῥυπ. ἔτι A al. .. h. ῥυπαρ. ῥυπανθήτω 18.* (s. XIII.) 32. (s. XV.) Or. (2.)] — Rc. ὁ δίκ. δικαιωθήτω.

12. Rc. καὶ ἰδού. — Rc. Kn. Sz. αὐτοῦ ἔσται. [ἐστ. αὐτ. c. A al. Syr... al. aliter.]

13. Rc. ἐγώ εἰμι. — Rc. Sz. ὁ πρ. κ. ὁ ἔσχ. (Rc. post τέλ. pon., om. ἡ ante ἀρχ. et τό ante τέλ.) .. om. plane Cpt. Vg. ms.

14. Rc. Kn. Sz. pro πλύν. τ. στολ. α. [c. A 7. 38. (h. πλυνοῦντες) Aeth. Arm. in m. Vg. (add. in sanguine agni Arm. ed. in m. Vg. ed.; non Am. nec mss. al.) Prim. Fulg... h. πλατύνοντ. τ. στ. α. Ath.] h. ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ.

15. Rc. ἔξω δέ. — Rc. Kn. Sz. ὁ φιλ. [om. c. A b. al. pl. Hipp. Ath.]

16. Rc. Kn. Sz. ἐπὶ ταῖς... Ln. ἐν ταῖς... om. c. 4. al. pl. Arm. Sl. ms. Andr. 2. Areth. et (h. ἑπτά) Prim. — Rc. τοῦ Δαβ. — Rc. ὁ λαμπρ. καὶ ὀρθρινός... Ln. ὁ λ. καὶ ὁ πρωϊν. c. A Vg. [ὁ πρ. (om. καί) c. 2. al. longe pl. Syr. al. Ath. Andr. Prim. al. .. etiam ὁ πρ. ὁ λαμπρ. pon.; h. tantum ὁ πρ. 35. Erp.]

17. Rc. bis pro ἔρχου h. ἐλθέ et διψ. ἐλθέτω, tum καὶ ὁ θέλ. λαμβανέτω.

* Dt. 4, 2. *Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας* 18
*τοῦ βιβλίου τούτου· ἐάν τις ἐπιθῇ ἐπ' αὐτά, ἐπιθήσει ὁ θεὸς ἐπ'*
*αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ.* 19 *καὶ* 19
*ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης,*
*ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ τῆς*
*πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.*
*Λέγει ὁ μαρτυρῶν ταῦτα· Ναί, ἔρχομαι ταχύ. Ἀμήν, ἔρχου,* 20
*κύριε Ἰησοῦ.*
*Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ μετὰ πάντων.* 21

---

**18.** **Om. vv. 18. 19. cd. 12. (post s. XI.) et om. vv. 18. 19. 20. 21. Tol. Vg. ms.**

**18.** **Rc.** *συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι*, **tum h.** *ἐπιτιθῇ πρὸς ταῦτα.* **— h.** *ἐπιθήσαι* **9. al. pl. — om.** *ἐπ' αὐτόν* **A*; etiam ante** *ὁ θεός* **pon. . . h.** *ἐπ' αὐτῷ* **A** 11.** — Rc. om.** *τῷ* **ante** *βιβλ.*

**19.** **Rc.** *ἀφαιρῇ ἀπὸ τῶν*, **om.** *τοῦ* **ante** *βιβλ.*, **h.** *ἀφαιρήσει* **(etiam** *ἀφέλοι* **leg.)** *ὁ θεός, ἀπὸ βίβλου τῆς, καὶ τῶν γεγρ.*, **om.** *τῷ* **ante** *βιβλ.* **— Rc. Kn. Sz.** *ἐκ τῆς πόλ.* **[om. c. A al. (Vg.)]**

**20.** **Rc.** *ταχύ· ἀμήν. Ναί, ἔρχου.*

**21.** **Rc.** *κυρ. ἡμῶν.* **— Rc. Kn. Sz.** *Ἰησ. Χριστοῦ.* **[om. c. A al.; etiam** *χάρ. τοῦ Χριστ. μετά* **et** *χάρ. τοῦ κυρίου μετά* **leg.] — Rc. in f. add.** *ὑμῶν. Ἀμήν. . .* **Kn. Sz.** *τῶν ἁγίων.* **[ea om. c. A Vg. ms. Am. (add. Amen Am.)]**

IMPRESSIT BERNH. TAUCHNITZ JUN.